
UNIVERSITY OF TORONTO
3 1761 00001545 3



IOANNIS STOBAEI

ANTHOLOGIVM

RECENSVERVNT

CVRTIVS WACHSMVTH ET OTTO HENSE

VOLVMEN QVARTVM

ANTHOLOGII LIBRI QVARTI

PARTEM PRIOREM

AB OTTONE HENSE

EDITAM CONTINENS

BEROLINI
APVD WEIDMANNOS
MCMIX

IOANNIS STOBAEI

ANTHOLOGII

LIBRI DVO POSTERIORES

RECENSVIT

OTTO HENSE

VOLVMEN II

BEROLINI
APVD WEIDMANNOS
MCMIX

PRAEFATIO.

Etiam quartum Stobaei librum, cuius nunc prior pars emittitur, dudum edere in animo habui. sed fere postquam Senecae epistulas recensui, cui libro componendo tres annos me dederam totum, tam crebris et infestis fortunae incursionibus vexatus sum, ut amplioris libri certa pensa intra certos terminos absolvenda typothetae tradere diu dubitarem. quamquam igitur studiis gnomologicis interim operam dare non desii (fortasse unus alterve legentium Musonii Rufi editionem vel Teletis reliquiarum alteram hoc ipso anno editam inspexit), tamen minoris ambitus libros vel commentationes tunc quidem temporis ne transgrederer, dehortari me solebam, tacitus scilicet, nam de se ipse quis loquitur nisi invitus? hodie proloquor cur vela tunc contraxerim, exstitit enim qui ipsam illam mihi dilationem obiectavit.

Quamquam fingamus fieri posse ut optio mihi detur utrum ab opere quasi absoluto manum me malim removisse decem annis ante an hodieque curam et laborem continuare, sine ulla haesitatione hoc ego, non illud praeoptarim. praeoptarim autem non mea causa vel urguens quod Attalum haud illepide dixisse ferunt philosophum, scilicet iucundius esse pingere quam pinxisse, immo ipsum gnomologum genus studiorum aut fallimur aut ita comparatum est, ut quod quis elaborarit id ultimam manum refugiat pertinacius. quam pauci hodie sunt qui Augustum Meinekium ingenii acumine vel sermonis graeci peritia aequiparent, et quam non sibi placuit criticorum ille princeps, cum Stobaei florilegium q. d. publicaret. multis

magnisque mihi crede difficultatibus impedita est crisis in fragmentis tot cuiusvis generis et aetatis et indolis scriptorum notorum ignotorum factitanda eoque maioribus, quo licentius ipsorum gnomologorum in his excerptis grassata est interpolandi mutandi amputandi libido ac temeritas. accedit quod qui Stobaei eclogas sui similibus illustrare volet, is vix umquam sibi ipse satis faciet. expertus didici: semper fere reperiet quod non sine fructu eis quae collegerat vel observarat addi vel substitui posse existimet. tam larga nimirum est apophthegmatorum potissimum chriarum homoeomatorum, quibus ipsi veteres scripta sua ornare solebant, abundantia tantaque posterioris aevi gnomologiorum Boissonadii, Elteri, Guil. Meyeri, Henr. Schenkelii, Sternbachii, Wachsmuthii aliorumque curis editorum frequentia. maius igitur periculum est ne quis nimium multas consimilium eclogarum congerat ad Stobaeum explicandum quam ne nimium paucas. quamquam ab hoc quidem periculo hodie tutiores paulo sumus quam eramus decennio fere ante. quod autem sumus, cum aliis tum Antonio Eltero laudi ducendum puto. nam ita est: in testimoniis colligendis digerendisve viam ac rationem non tenebit nisi qui singula florilegia qua affinitate inter se cohaereant quove discrimine seiuncta sint probe perspectum habet. luculentiore quodam exemplo res apparuit Stob. vol. III proleg. p. XXXVIII s., ubi de 'corpore Parisino' breviter monui, qua collectione ut ad hunc quartum librum non minus quam ad tertium componendum uti mihi liceret, Elteri beneficio factum est. idem vero vir doctus, qui et ita me sibi devinxit, ut huius voluminis plagulas non sine magno libri emolumento perlegeret, annis 1893—1897 'de gnomologiorum Graecorum historia atque origine' programmatorum universitatis Bonnensis decade tam docte et dilucide disseruit, ut cui cordi erit etiam in gnomologicis 'non fumum ex fulgore' ut cum Horatio loquar 'sed ex fumo dare lucem', utiliores commentationes quam Elteri commendari non possint. non

est huius loci plenius enarrare quam bene vir doctus de his studiis meruerit, unum tamen ut silentio hic premam a me impetrare non possum, dico 'Gnomica homoeomata', quae ille intra quinque primos h. s. annos collectionibus usus ex parte primum in lucem protractis reconcinnavit feliciter et commentariis illustravit doctrinae et sagacitatis plenis. etiam Stobaei editori homoeomatorum haec recensio non nihil praebet utilitatis, ut non gaudere non potuerim quod etiam ab hac parte nunc ad ipsum fontem escendere licet, non rivulis avocatum discurrentibus. ubi enim homoeomata in censum veniunt, Elteri commentarius valde idoneus est qui simpliciorem reddat adnotationem Stobaeanam et testimoniorum onere aliqua tenus liberet. pluris autem procul dubio interest minui testium numerum quam augeri in eo praesertim apparatu, quem raro intra ipsius Stobaei librorum memoriam coercere liceat. consulantur si placet quae ab Eltero, Schenkelio aliisque de corporis Parisini q. d. origine et structura, de homoeomatorum compositione deque aliis id genus collectionibus disputata sunt, et clarum fiet, cur in Stobaeo non modo vilior Antonii Maimique mxemoria plerumque spernenda fuerit sed cur ego etiam testimonia quae primo quidem adspectu videri poterant locupletiora, ubi res suadebat, procul habuerim. sunt perplexae admodum et difficiles nec semper lectu iucundae huius modi de vetustiorum gnomologiorum propagine disquisitiones eoque minus, puto, paucorum hominum doctorum sollertia ad exitum duci poterunt, quo plura fortasse in bibliothecis adhuc latent variae originis exemplaria. grato tamen animo hoc nobis praedicare licet, plus illa studia profecisse extremis decenniis quam antea saeculorum decursu. quod ne quis immodice dictum putet, meminerit, quam inopes fere consilii fuerint in florilegiis recte aestimandis Orellii vel Meinekii quamve vaccillaverit omnino doctorum in talibus iudicium, antequam studii gnomologici solidiora fundamenta iaceret Wachsmuth. nostris vero diebus aliunde quam insperata

lux etiam his studiis affulserit, cuinam ignotum est? modestiorem sane locum ut videtur florilegia vel potius florilegiorum laciniae adhuc obtinent in tanta copia papyrorum, quibus Aegyptus nobis thesauros tam splendidos quam solidos reclusit, fit tamen ut unum eius modi frustulum maiore nobis pretio sit quam decem florilegia Byzantina. quod Wilamowitzium fugere non poterat, cum de florilegio papyri Berol. 9772 ageret *Berl. klass.* V 2 p. 126 vel de papyro Berol. 9773 ibid. p. 129 (cf. huius vol. p. 526, 14 adn. 551, 1 adn.). discimus autem eius modi speciminibus sane adhuc parvulis, quod sciri maxime interest, iam in florilegiis Stobaeo longe antiquioribus non modo easdem atque apud illum eclogas eodemque vel simili ordine offerri sed interdum ne inscriptiones quidem capitulorum diversas fuisse, cf. huius vol. p. 550, 2. ut quod olim a Clemente Alexandrino (cf. Stob. III p. 724 adn. 1) vel a Theophilo Antiocheno profecti de florilegiorum origine deque fonte Stobaei disputandi ambagibus evincere studuerunt et evicerunt (cf. Diels mus. Rhen. XXX p. 175, Elter De gnomolog. gr. hist. atque orig. III p. 131 ss.), id recta via nunc supraque spem confirmetur ipsa alterius a. Chr. saeculi papyrorum auctoritate. quidni sincere gaudeam quod hodie nobis licet testimoniorum ope aetatem Stobaei tot saeculis superantium vel confirmare traditionem Stobaeanam et illustrare vel, ubi melior e papyris emicat memoria (cf. huius vol. p. 198, 17 adn. 390, 8 adn. 495, 4 adn. 515, 19 adn. 553, 8 s. adn.), etiam confutare? vix minus autem utilitatis Stobaeo adfert marmor nuper prope Cyzicum inventum quod qui descripsit F. W. Hasluck (*Journ. of Hell. stud.* v. XXVII p. I 1907 p. 62 s.), ipsum titulum a se editum quarti fere tertiique ante Chr. saeculi confinio adsignavit. memini Wilamowitzium conicere tabulam saluberrimis gnomis repletam fortasse in gymnasio olim publice constitutam fuisse. ipsa autem praecepta Cyzicena artissime cohaerere cum sylloge gnomarum septem sapientibus adscriptarum, quam lemmate *Σωσιάδου τῶν ἑπτὰ*

σοφῶν ὑποθῆκαι addito servavit Stobaeus III 1, 173, primus perspexit Diels *Berl. sitz. ber.* 1907 p. 457. quo modo sententiae marmoris Cyziceni haud raro mutilae auxilio Stobaei suppleri possint enarrari hic nihil attinet, sed etiam quod hoc loco magis intersit doceri, Stobaei contextus quanto iam commodius ope Cyziceni recenseri possit, tunc mihi liceat, cum etiam plenius innotuerit inscriptio, explicare. interim relegentur legentes ad ea quae monui *Berl. philol. wochenschr.* a. 1907 p. 765. hoc unum hodie addatur quod Sosiadae ecloga cum marmore Cyziceno collata perspicuum fit, de Stobaei codice Br(uxellensi), cuius virtutes ego olim ipse etiam ineditis aliquot promulgatis in clara luce posueram, in hac Sosiadae ecloga codicis cum ceteris libris Stobaeanis discrepantia pavefactum paulo me timidius iudicasse. apparet igitur, quo laetioribus in dies augescit incrementis materies gnomologa, eo diligentius laborandum esse, ut ne quid gravioris momenti ex eis quae interim succrevere desideretur in Stobaeo. non decimo quoque anno, Gesneriana nisi redeat aetas, Stobaei editio in lucem prodit. laboris autem societas, ad quam olim a Wachsmuthio, cuius mortem deploravimus, invitatus sum, diligenter a me et sancte servabitur, si quid supersit aetatis, etiam ita, ut tam libris a me ipso editis quam duobus prioribus ab illo curatis subnectam ea de quibus interim plenius vel rectius instructi erimus. denique sicut usque ad hunc diem, si ullo modo tempus suppetebat, eis qui familiariter a me postulabant, ut de Stobaei librorum memoria certiores fierent, non detrectavi quo minus in anticessum darem quibus indigere se mihi significarant, sic etiam posthac curabo, ne si quid didici vel observavi, observaverim mihi soli. calcar si addam, fore speraverim ut quarti libri mox etiam altera pars operas exerceat, sed ne hodie quidem polliceri possum quasi omnibus omissis uni me Stobaeo vacaturum esse.

Scribebam Friburgi Brisgavorum mense Octobri a. 1909.

ADDENDA ET CORRIGENDA

IV 1, 1 p. **1**, 6 interim verbis *πατρίδι — εὐτυχοῖεν ἄν* novum accessit testimonium Oxyrh. Pap. II n. CCXXIV col. I p. 115, ubi quae servata sunt sic supplerunt editores [*πατριδι*] *κακω*[*ν α*]*ν α*[*ι πο*]*λις ἐλασσονων*· [*πειρωμ*]*εναι* [*τ*]*ὸ λο*[*ιπο*]*ν ευτυχ*[*ο*]*ιεν αν*· IV 1, 6 p. **2**, 12: recurrit ecloga corp. Par. 716, Elt. (*Σοφοκλέους*) ubi *οὐκ οἶδ' ὅτι* (om. *χρή*) *πρὸς ταῦτα κτέ.* IV 1, 9 p. **3**, 12 *ὅποι 'ν* (i. *ὅποι ἄν*) *τύχωμεν* Herwerden Coll. cr. (L. B. a. 1903) p. 25 IV 1, 20 p. **6**, 13 ⟨*καλῶς*⟩ | *δοκεῖτ' ἂν οἰκεῖν γαῖαν, ἢ πένης ἅπας κτέ.* prop. Herwerden mus. Rhen. LVIII p. 142 IV 1, 31, p. **10**, 6 *μακρὰν συνήθειαν βραχεῖ λῦσ' ἐν χρ.* ci. Blaydes Advers. in com. gr. fr. II p. 232 IV 1, 34 p. **10**, 16, adn. adde: *ἡσσωμένοις* Tr. IV 1, 41 p. **12**, 6 recurrit ecloga corp. Par. 717 Elt. (*Πολναίνου*) IV 1, 44 p. **13**, 3 *ἂν* quod Iacobsio auctore addidi interim reprobat Diels *Vorsokr.*[2] II 1 p. 725 IV 1, 46 p. **14**, 1 deleatur virgula. leniter addidi *τὸ* quia iterato articulo multitudo bonorum *ἅσσα οὐδεὶς ἂν δύναιτο καταλέξαι* magis sub sensum cadit IV 1, 49 p. **15**, 17 adn. adde: *ἄνδρες* Diels IV 1, 50 p. **16**, 1 legitur ecloga etiam corp. Par. 718 Elt. (*Ξενοφῶντος*), ubi *μιμεῖσθαι* (pro *μισ-*), dein *ἀτιμῶσι — ἐξελαύνονται καὶ ἀποκτενοῦσι* IV 1, 50 p. **16**, 3 *ἰσχυροὶ* corruptum putat Kalinka ibid. p. **16**, 6 reponendum *ἐξελαύνονται*, nam hoc ipsum est etiam in libris Xenophontis. monuit Kalinka ibid. p. **16**, 12 adn. lege: versu 14 (pro 25) ibid. p. **16**, 15 lege: (VI p. 71) IV 1, 70 p. **23**, 6 recurrit ecloga etiam corp. Par. 720 Elt. (*Ἰαμβλίχου*) sine v. l. IV 1, 72 p. **23**, 17 post *Θεοφράστου* addatur: (fr. LXXXVI e Wimm.) IV 1, 76 p. 24, 23 recurrit ecloga corp. Par. 721 Elt. (*Σόλωνος*), ubi *εἶπεν ἐκείνην — συμβαίνειν — ἀμύνασθαι* IV 1, 84 p. **26**, 15 iteratur corp. Par. 722 Elt. (*Σωκράτους*) ubi *ἡ ἄνδρας ἀγαθοὺς ἔχουσα* IV 1, 85 p. **26**, 18 recurrit corp. Par. 723 (lemmate non iterato) ubi *τῆς αὐτῶν ἡλικίας* sicut in libris Stob. IV 1, 93 p. **31**, 20 adn. adde: an *μερέεσσιν*? IV 1, 94 p. **33**, 14 adn. lege: *ἡδονὰς* libri ibid. p. **35**, 17 *πόλισιν* dedi cum Meinekio dormitanter. aut *πόλεσιν* servandum quippe quod compareat in recentioris aetatis titulis Doricis, aut scribendum *πολίεσσιν* IV 1, 96 p. **37**, 2 adn. adde: malim *παρέντεσσι* IV 1, 99 p. **41**, 1 dispertiendum *προσαγορεύεται* sicut infra p. **47**, 21 *συν-ήλγησε* IV 1, 124 p. **73**, 15 adn. lege: Eusebius praep. ev. XII 8 p. 581 c tom. II p. 157 Gifford ibid. p. **74**, 11 adn. aberravit typotheta. lege 12 *ξυμφωνιῶν* (*συμ-* Eus.) Plat. Euseb. IV 1, 127 p. **75**, 16 adn. lege: Eusebius praep. ev. XII 48 p. 617 d tom. II p. 201 Giff. ibid. p. **75**, 19 adn. deleantur v. '*ἑαυτὴν* Euseb.', addantur sub 20 '*αὐτὴν πρὸς αὐτὴν*

Euseb. ibid. p. **76**, 6 adn. corrigatur: *ἀντεμπίμπλαιτ'* (*ἀντιπίπλαιτ'* cod. Ven.) etiam Eusebius ibid. p. **76**, 7 adn.: *γένοιτο* Eusebi codd. *IO*, ceteri *γίγνοιτο* IV 1, 133 p. **80**, 10 adn. adde: expectes *δαμιοργός* vel *δαμιεργός*. illud reponendum fortasse, cf. infra p. 592, 10 adn. IV 1, 138 p. **86**, 1 servandum *πλεονεκτίοντες*, etsi *νοσέοντες* modo legitur p. 84, 6 (ubi cod. *νοσέονται*), *ποιοῦντι* p. 84, 15 ibid. p. **86**, 9 repone *διοικῆται* ex M, quamquam 20 legitur *ποτιδεῖσθαι* IV 1, 149 p. **96**, 16—18 recurrunt verba infra IV 5, 16 p. 201, 12 IV 1, 154 p. **103**, 9 adn. adde: *εἰς ὅσον δὴ δύναμις παρείκει* Cobet mnemos.[2] II p. 435 IV 1, 160 p. **112**, 8 adn. lege: Euseb. praep. ev. XII 35 p. 610 c tom. II p. 192 Giff. IV 2, 4 p. **115**, 15 'incredibile est hyperbaton *ἐμπλησθέντες ἢ* pro *ἢ ἐμπλησθέντες*' Herwerden mus. Rhen. LVIII p. 145 IV 2, 7 p. **116**, 12 cf. Herwerden Collect. cr. p. 172

IV 2, 13 p. **122**, 5 adn. *τοῖς* (non *τοῖσιν*) corp. Par. de Democratis codicibus interim accuratiora docuit Diels *Vorsokr.*[2] II 1 p. 721. inter *κρέσσον* et *κρεῖσσον* fluctuantur libri Democratis IV 2, 14 p. **122**, 6 adn. lege: lemmate non iterato e. q. s. cf. Democriti fr. 174 p. 417, 8 Diels[2] IV 2, 15 p. **122**, 10 *φόνον καὶ μὴ φόνον* Valckenaerio adsignat Gaisford. *φόνον καὶ μὴ φόνον* libri. moneo propter Dilesium IV 2, 16 p. **122**, 15 adn. adde: *ἐπιτιμίης* dubitans ci. Diels *Vorsokr.*[2] II 1 p. 725 ibid. p. **123**, 1 adn. adde: *τίσιος* (*honoris*) prop. Mekler IV 2, 25 p. **156**, 13 adn. lege: ap. schol. ibid. p. **156**, 19 adn. lege: *παρ' αὐτοῖς τις ἀροτῆρα* ibid. p. **157**, 1 lege *ἀποκτείνῃ ἢ* (pro *αποκτείνῃ η*). sed cum hoc vitiorum genere quod ex ipsa typorum indole repetendum est iam in priore volumine frustra luctatus sum, cf. Stob. III p. LXXX IV 2, 30 p. **164**, 18 adn. lege **18** pro **16**. dein: Eusebius praep. ev. XII 25 p. 598 d tom. II p. 178 Giff. ibid. p. **165**, 2 adn. lege: *συγγίγνεσθαι* Eus. ibid. p. **165**, 3 adn. adde: *μήτε δούλην μήτε δοῦλον* Eusebi codd. *IO* ibid. p. **165**, 12 *ἀμπέλων* in Eusebi contextu Gifford sed adnotans *ἀμπελώνων IO* IV 2, 41 p. **179**, 2 adn. lege: Eusebius praep. ev. XII 39 p. 611 d tom. II p. 193 Giff. IV 2, 44 p. **179**, 21 adn. lege: ab Eusebio praep. ev. XII 36 p. 611 a tom. II p. 193 Giff. IV 5, 15 p. **200** adn. 16 lege: 17 IV 5, 23 p. **202**, 19 adn. lege: proleg. in Telet.[2] p. LXXXIV IV 5, 24 p. **203**, 3 adn. vereor ne minus recte iudicarim. aut *μὲν* non genuinum, aut bis *δ'* addendum in proximis IV 5, 36 p. **207**, 5 recurrit corp. Par. 728 Elt. (*Εὐσεβίου*) sine discrepantia

IV 5, 46 p. **210**, 14 adn.: *τοὺς ἄλλους* (pro *τοὺς ἀνθρώπους*) quod conieci, praeceperat Cobet, ut adnotat Diels *Vorsokr.*[2] II 1 p. 726, qui in altera ed. proposuit, non recepit *τοὺς ⟨ἄλλους⟩ ἀνθρώπους* IV 5, 47 p. **211**, 6 *τοῦτο* Wilamowitz IV 5, 48 p. **211**, 10 interim hanc fere sententiam fuisse *οὐδενὶ γὰρ ἄλλῳ ἔοικεν* (= *προσήκει*) *ἢ ἑωυτῷ ⟨εἶναι ὑπαί⟩τιον αὐτόν, ἐφ' ἑτέροισι ⟨δ'⟩ ου γίγνεσθαι* suspicatur Diels *Vorsokr.*[2] II 1 p. 726

ibid. p. **211**, 14 *ἐκείνους* interim tuetur Diels[2] l. c. IV 5, 54 p. **215**, 3 lege *τοὺς ἐν δυνάμει* et in adn.: *τους* MA *τοῖς* S

IV 5, 66 p. **220**, 13 recurrit corp. Par. 729 Elt. (*Δημοσθένους*) sine v. l. IV 5, 69 p. **221**, 6 addatur in adn.: *Δεῖ δὲ — ἐξετάζειν* [*χρὴ*] ci. Cobet mnemos.[2] II p. 108 IV 5, 78 p. **224**, 8 recurrit ecloga corp. Par. 260 Elt. (*ἀποφθέγματα τοῦ αὐτοῦ* i. e.

Σωκράτους). ibid. 10 *κάκιστον δὲ ἔλεγεν ἄρχοντα εἶναι* corp. Par. IV 5, 80 p. **224**, 17 recurrit ecloga corp. Par. 730 Elt. (*Ἐπικτήτου*) sine ulla discrepantia IV 5, 90 p. **227**, 1 recurrit ecloga corp. Par. 731 Elt. (*Πλάτωνος*) sine discrepantia IV 5, 91 p. **227**, 4 recurrit ecloga corp. Par. 732 Elt. sine lemm., in contextu non differens IV 5, 109 p. **237**, 5 *ἂν* om. libri Xenophontis. hanc aliasque quae ad Xenophontem pertinent adnotationes ex meliore sua librorum cognitione mecum communicavit Th. Thalheim ibid. p. **237**, 8 adn. lege: *ἀγροὺς ἢ κατὰ* Xen. ibid. 18 adn. lege: *ἐπιμελεῖσθαι* Xenophontis omnes IV 5, 112 p. **238**, 9 recurrit ecloga corp. Par. 733 Elt. (*Πυθαγόρου*). in contextu *βάλλονται* cod. Par. 1168 sicut Stobaei M IV 7, 1 p. **249**, 6 adn. adde: *δήμου* ci. Io. Kvíčala IV 8, 4 p. **297**, 3 quod olim coniecit Wilamowitz *Eur. Herakles*[1] I p. 173 adn. 104, id hodie vix tuebitur IV 8, 7 p. **297**, 15 adn. debuit typotheta *οἳ πλέον ἔχ⟨ειν ζητ⟩οῦσι τῶν ἅ.* IV 8, 30, p. **306**, 1 *καὶ ὁ ἰδιωτικός* Xenophontis cod. Vat. 1335 ibid. p. **306**, 15 adn.: *ὅτε δ' αὖ* Xenophontis libri omnes ibid. p. **307**, 3 *τούτου* Xen. ibid. p. **308**, 5 adn.: immo omnes libri Xen. post *δοκεῖ* offerunt *εἶναι.* unde Leoncl. *ἔνθα ἃ ἀξ. δοκεῖ εἶναι ἀνθρώποις συναγείρεται* ibid. p. **309**, 8 adn. adde: *οὐδένα ὡς οὐ δι'* Xenophontis libri omnes ibid. p. **310**, 5 adn. lege: *ἐδωδῆς* Xenophontis libri omnes ibid. p. 311, 1 adn.: *τρυφῆς ψυχῆς* Xenophontis libri. *τρυφῇ ψυχῆς* ci. Reuchlinus ibid. p. **311**, 5 adn. adde: *τῶν τε πολυτελῶν* Xenophontis libri ibid. p. 311, 16 adn.: *μὲν* om. libri Xenophontis ibid. p. **312**, 2 adn.: *ὁ* om. libri Xen. ibid. p. **312**, 16 adn.: *φανερὰ* etiam Xen. libri omnes, in Xen. delevit Ernesti ibid. p. **315**, 8 adnotationis altera pars (*τιμωρεῖν αὐτοῖς — αὐτοῖς μεγ.*) delenda est. nam *αἱ πόλεις αὐτοῖς μεγάλως* etiam libri Xenophontis ibid. p. **315**, 11 s. adn.: *τι* (post *θᾶττον*) om. libri Xenophontis IV 9, 2 p. **321**, 7 adn. lege: Maximus Tyr. Diss. 30, 1 IV 9, 3 p. **321**, 11 cf. Oxyrh. pap. VI n. 853 (comment. in Thucyd. l. II, 8, 1) p. 121, 34 *γλυκ[ὺς δὲ πό]λεμος ἀπείροισιν· ὥς φη[σι Πίνδαρος.* schol. Thuc. l. c. *ὑπὸ ἀπειρίας] παροιμία, γλυκὺς ἀπείρῳ πόλεμος* IV 10, 25 p. **333**, 13 adn. adde: *ἀποδείξεις* ci. Herwerden Coll. cr. p. 158 IV 10, 26 p. **334**, 1 versum ab Euripide alienum putat Wilamowitz Herm. XL p. 135, qui etiam versus *οἱ γὰρ πόνοι — θηρωμένη* Euripidi abiudicat IV 11, 7 p. **339**, 5 *οἷος* non sanum videtur Herwerdeno qui *οὗτος* expectat mus. Rhen. LVIII p. 145 IV 12, 7 p. **343**, 12 lege *Στρατιῶτα κοὐκ ἄνθρ.* IV 12, 10 p. **343**, 20 adn. lege: Drerup Isocr. I p. 35 ‖ IV 13 p. **349** ss. dextrae huius capitis paginae debuerunt sic signari CAPVT XIII *ΠΕΡΙ ΣΤΡΑΤΗΓΩΝ ΚΤΕ.* IV 13, 22 p. **351**, 5 imprimi volui *Ἀλεαδῶν* IV 13, 61 p. **368**, 2 adn. lege: *εἶναι* om. A^1 suppl. A^2 IV 13, 66 p. **369**, 5 adn. lege: Clemens Alex. strom. VI 2 p. 435, 16 Stähl. IV 14, 5 p. **373**, 6 adn. adde: *ἢ αὐτὸ τἀγαθὸν* ci. Richards IV 15, 3 p. **377**, 2 adn. adde: *τὴν γῆν] χώραν* ci. Blaydes IV 15, 3 p. **377**, 3 adn. lege: monostich. IV 15, 19 p. **385**, 12 *αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα* Xen. idque rectius quia v. *διὰ τῶν χ.* pertinent ad *αὐτουργοὺς*, monet Thalheim ibid. p. **385**, 15 adn. adde: *χώρῳ* Xen. ibid. p. **385**, 20 adn. lege: *τι ἡ* (sic Steph.: *τῇ* libri Xen.) *γῆ* ibid. p. **386**, 1 *ὠφελούμεναι* libri Xen.

itaque probabiliter *ὠφελούμεναι δὲ καὶ αἱ κύνες* (cf. 5) *καὶ οἱ ἵπποι* Holden' Thalheim ibid. p. **386**, 15 adn. adde *ποῦ πολὺ πλείων* libri Xen. ibid. p. **387**, 5 adn. adde: *ἄρα καὶ ὑπὸ* Xen. ibid. p. **387**, 17 repone *τόν τε ἐπὶ π.*, adde in adn.: *τε* etiam libri Xen., *δὲ* ci. Zeune quod falsum esse monet Thalheim IV 16, 1 p. **394**, 3 adn. lege: cf. Clemens Al. strom. V 1 p. 328, 24 Stähl. *ὅ τε Αἰσχύλος κτέ.* IV 16, 18 p. **399**, 2 adn. debui saltem *ἐνίδρυνται*, sed verum alia via quaerendum IV 17, 2 p. **400**, 8: articulum *τῶν* non recte seclusit Gesn., versus alia ratione sanandus erit IV 18[1], 2 p. **406**, 11 adn. adde: *ἀλλ' ἢ πόλεμος ἢ καὶ* (vel *τις*) *μεταβολὴ κτέ.* Blaydes Advers. in com. gr. fr. P. II p. 240 IV 18[2], 16 p. **419**, 12 adn. adde: *καὶ τὰς ψυχὰς* om. libri Xenophontis idque merito, ut iudicat Thalheim ibid. p. **419**, 15 adn. adde: *ἔχουσαι* libri Xenophontis ibid. p. **419**, 17 adn. adde: *κακὸν* (pro *κακοὶ ἂν*) *καὶ* libri Xenophontis IV 19, 34 p. **428**, 4 adn. adde: *τἀνθρώπει'* pro *τἀνθρώπων* ci. Miller *The American Iournal of phil.* vol. XXX (1909) p. 29 IV 20[1], 34 p. **445**, 16 adn. lege: ‖ 17 *οὐσίαν* A | IV 20[2], 46 p. **460**, 11 adn. adde: *εὐπαγῆ* praecepit Campbell ibid. p. **460**, 13 adn. adde: *οὔτ' ἀποσπᾶσθαι θέλει* prop. Th. Gomperz *Nachl.* p. 6 IV 20[2], 57 p. **464** in adn. lege 14 pro 41 IV 22[1] p. **495** supra pagina scribendum: CAPVT XXII IV 22[1], 24 p. **506**, 10 *ἀγαγεῖν* deleverim ibid. p. **507**, 3 adn. non recte *δεδομένην* prop. Nauck, cf. infra p. 664, 17 IV 22[1], 25 p. **512**, 3 adn. lege: L. B. a. 1903 IV 22[6], 120 p. **546**, 14 adn. lege *ζαπλούτους* IV 23, 39 p. **582**, 4 adn. lege: *καὶ ἀνανδρίη* (*-δρία* non nulli ut etiam Bar.) Democrat. omitto e. q. s. IV 25, 53 p. **642**, 23 adn. dele signum interrogationis

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ
ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ

ADNOTATIO CRITICA

Vide Stob. III p. 1 adn.

CAPVT I.

ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ.

1 *Εὐριπίδου Φοίνισσαι* (1015 ss.).

Εἰ γὰρ λαβὼν ἕκαστος ὅ τι δύναιτό τις
χρηστὸν διέλθοι τοῦτο κεἰς κοινὸν φέροι
πατρίδι, κακῶν ⟨ἂν⟩ αἱ πόλεις ἐλασσόνων
πειρώμεναι τὸ λοιπὸν εὐτυχοῖεν ἄν.

2 *Εὐριπίδου Φαέθοντι* (fr. 784 N.[2]).

Ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν,
ὅστις [τῶν] πατὴρ ὡς παισὶ μὴ φρονοῦσιν εὖ
εἰκῇ πολίταις παραδίδωσ' ἐξουσίαν.

---

1. 2 *τὰ δὲ τοῦ τετάρτου βιβλίου ἐστὶ ταῦτα· πρῶτον Περὶ πολιτείας* Phot. *Περὶ πολιτείας* S M A Mac. Br Tr. numerum *μγ'* addunt tertii libri capitis extremi ratione habita M A Mac. *λζ'* S *μα'* Tr. aperte falsi igitur sunt numeri, quod semel moneo, in S Tr, inutiles etiam alterius classis, nam adscripti sunt ea demum aetate, qua totius operis libri duo posteriores tradi solebant a prioribus avolsi. utile erat aut intra singulos libros capita dinumerare aut per opus universum. utramque rationem secutus est Photius (cf. Stob. v. I p. 3 ss.), alterius computationis ad totum Stobaei opus pertinentis testimonia quaedam pretiosissima servavit S in margine superiore, quae illustravi Stob. III proleg. p. VIII ss. velut f. 54v ad quarti libri c. 1 adscripsit ille *ρμθ*, f. 68v ad c. 2 *ρν*, utrumque rectissime ‖ 3 ecl. cum lemm. hab. S, om. M A ‖ 5 *φέροι* ex Eur. Gesn.[1]: *φέρει* S ‖ 6 *κακῶν ἂν αἱ* Eur.: *κακῶς αἱ* S ‖ 8 ecl. cum lemm. hab. S M A, *τ̃ αυτ* pro *εὐριπίδου* S ‖ 9 *μωροῖς* S M A | *τοῦτον* oscitanter Gesn.[1], *τόνδ'* Toup, *τοῦτον ἐγκρίνω* Badham ‖ 10 *πατὴρ ὡς* scripsi: *τῶν πατέρων* libri. *πατὴρ ὢν* Grotius d. poet. p. 163 ‖ 11 *εἰκῇ* scripsi: *ἢ καὶ* libri

3 (eiusd. fr. 774 N.[2]).

Ναῦν τοι μί' ἄγκυρ' οὐδαμῶς σῴζειν φιλεῖ
ὡς τρεῖς ἀφέντι· προστάτης θ' ἁπλοῦς πόλει
σφαλερός, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πέλει.

4 *Εὐριπίδου Φρίξῳ* (fr. 828 N.[2]).

Αἱ γὰρ πόλεις εἴσ' ἄνδρες, οὐκ ἐρημία.

5 *Σοφοκλέους Φαίδρα* (fr. 622 N.[2]).

Οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις,
ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
λάγδην πατεῖται, κωτίλος δ' ἀνὴρ λαβὼν
πανοῦργα χερσὶν κέντρα κηδεύει πόλιν.

6 *Σοφοκλέους Ἀλεάδαι* (fr. 81 N.[2]).

Κοὐκ οἶδ' ὅ τι χρὴ πρὸς ταῦτα λέγειν,
ὅταν οἵ τ' ἀγαθοὶ πρὸς τῶν ἀγενῶν
κατανικῶνται·
ποία πόλις ἂν τάδ' ἐνέγκοι;

7 *Τοῦ αὐτοῦ Ἐριφύλη* (fr. 193 N.[2]).

Ὅπου δὲ μὴ τἄριστ' ἐλευθέρως λέγειν
ἔξεστι, νικᾷ δ' ἐν πόλει τὰ χείρονα,

---

1 ecl. sine lemmate hab. S M A, cum prioribus versibus cohaerentem S M, fort. etiam A: separavit Gesn.[1] eiusdem Phaethontis fabulae esse versus collegit Blass ex cod. Clarom. f. 162 ubi in pag. IV horum initia agnosci possunt similia. intercidisse igitur videtur ante *ναῦν τοι* lemma *Ἐν ταὐτῷ* sim. hic ut alibi gnomologus usus est florilegio Euripideo ex litterarum ordine disposito ‖ 2 *οὐχ ὁμῶς* prop. Badham ‖ 3 post *πόλει* una littera rasa in M ‖ 4 *σφαλερὸσ* sed *ὸ* in ras. M manu dubia | *ὑπὼν* ex *ὑπὸν* corr. M[1] | *καὶ ἄλλος* S M A | *πέλει* Barnes: *πόλει* libri ‖ 5 ecl. cum lemm. hab. M A, om. S ‖ 6 *εἴσ'* Gesn.[2] *εἰσὶν* M A ‖ 7 ecl. cum lemm. hab. S M A. affert versus fabulae nomine non addito schol. Lucian. p. 199, 21 ed. Rabe ‖ 8 *γένοιντ' ἂν* S *γένοιτ' ἂν* M *γένοιτο* A | *ἀσφαλεῖς πόλεις* in *ἀσφαλὴς πόλις* corr. S[1] *ασφαλὴς πόλεις* M *ἀσφαλὴς πόλις* A ‖ 11 *χερσὶν* schol. Luc.: *χεροῖν* S M A; *χειροῖν* scr. Gesn.[1] | *ἔργα κηδεύοι* schol. Luc. ‖ 12 ecl. cum lemm. hab. S M A; *τ̄ αυ^τ* pro *σοφοκλ.* S ‖ 14 an *οἱ λαμπροὶ* sim.? | *ἀγεννῶν* S M A: corr. Grotius d. p. p. 163 ‖ 17 ecl. cum lemm. hab. S M A, detracto lemmate Br isque post huius capitis ecl. 19; *σοφοκλέουσ* M *τοῦ αὐτοῦ* S A ‖ 18 *τὰ ῥᾶιστα* (sic S) vel *τὰ ῥᾶστα* (*ῥᾶστ'*) libri: corr. Wyttenbach

ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν.

8 *Βίωνος Βουκολικά* (fr. III p. 140 Wil.).

Μηδὲ λίπῃς μ' ἀγέραστον, ἐπὴν χὡ Φοῖβος ἀείδειν
μισθὸν ἔδωκε· τιμὰ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ.

9 *Εὐπόλιδος* (fr. 117 K.).

Καὶ μὴν ἐγὼ πολλῶν παρόντων οὐκ ἔχω τί λέξω.
οὕτω σφόδρ' ἀλγῶ τὴν πολιτείαν ὁρῶν παρ' ἡμῖν.
ἡμεῖς γὰρ οὐχ οὕτω τέως ᾠκοῦμεν οἱ γέροντες,
ἀλλ' ἦσαν ἡμῖν τῇ πόλει πρῶτον μὲν οἱ στρατηγοὶ
ἐκ τῶν μεγίστων οἰκιῶν, πλούτῳ γένει τε πρῶτοι,
οἷς ὡσπερεὶ θεοῖσιν ηὐχόμεσθα· καὶ γὰρ ἦσαν·
ὥστ' ἀσφαλῶς ἐπράττομεν· νυνὶ δ', ὅταν τύχωμεν,
στρατευόμεσθ' αἱρούμενοι καθάρματα στρατηγούς.

10 *Εὐριπίδου Ἱκετίδων* (238 ss.).

Τρεῖς γὰρ πολιτῶν μερίδες· οἱ μὲν ὄλβιοι
ἀνωφελεῖς τε πλειόνων τ' ἐρῶσ' ἀεί,
οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου
δεινοὶ νέμοντες τῷ φθόνῳ πλεῖον μέρος
εἰς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακὰ
γλώσσῃ πονηρῶν προστατῶν φηλούμενοι.
τριῶν δὲ μοιρῶν ἡ μέσῃ σῴζει πόλιν,

---

1 *ἁμαρτίαι* S *ἁμαρτίᾳ* Br *ἁμαρτίαις* M A ‖ 2 ecl. cum lemm. hab. S, om. M A; *βίων*^{o} *βουκολι*^{S} (*-κολικὰ* Tr.) S Tr. lemma decurtatum esse in S elucet Bioneis aliis ‖ 3 *ἐπὴν* S. *ἐπεὶ* Schaefer. *ἄειρεν μισθὸν ἑκών* cum Hermanno Meineke in bucolicis. *ἀείδων μισθὸν ἕλεν* ediderat Hermann, *ἀείδει μισθὸν ἑλὼν* non melius Ahrens. potius lacuna signanda erit post *ἔδωκε* cum Buechelero ‖ 5 ecl. cum lemm. hab. S M A; ad Demos revocavit Meineke ‖ 7 *πολιτείαν* A^{1} e corr. quid ante rasuram fuerit, non video ‖ 8 *ὦ γέροντες* libri: corr. Brunck ‖ 11 *ὡσπερεὶ* Tr. p. 203: *ὡσπερὶ* (nisi *ὡσπτερὶ* M) libri | *ηὐχόμεθα* S(?) M A^{1} Tr.: tacite corr. Gesn.^{1} p. 246 ‖ 12 *νυνὶ* M A *νῦν* S | *δὲ* M | *ὅταν* Kock: *ὅπῃ* S M A *ὅποι* Tr. | *τύχωμεν* Herwerden: *τύχοιμεν* libri ‖ 13 *στρατευόμεσθ'* S *στρατευόμεθ'* M *-ευόμεθ'* Tr. *-ευοίμεσθ'* A ‖ 14 ecl. cum lemm. hab. S M A Br ‖ 15 *μὲν* Stobaei libri, Eur. cod. Vat. 287 e corr.: *γὰρ* libri Eur. ‖ 16 *τε*] *δὲ* A | *τε* (*δ'* A) post *πλειόνων* delevit Reiske | *ἔρωσ* S M A ‖ 18 *πλέον* Dindorf ‖ 20 *γλώσσαις* Eur. | *φιλούμενοι* S M A Br *φηλ-* Eur. ‖ 21 *ἡ 'ν μέσῳ σῴζει πόλεις* Eur.

κόσμον φυλάσσουσ', ὅντιν' ἂν δόξῃ πόλει.

11 *Σοφοκλέους* (fr. 850 N²).

Ὅπου γὰρ οἱ φύσαντες ἡσσῶνται τέκνων,
οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις.

12 *Εὐριπίδου Αἴγῃ* (fr. 267 N.²).

Δεινὴ πόλις νοσοῦσ' ἀνευρίσκειν κακά.

13 *Τοῦ αὐτοῦ* (fr. 1048 N.²).

Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
χρῆν γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας
μηδὲν δύνασθαι, τἀμφανῆ δ' ὑψήλ' ἄγειν.
ὅστις κατ' ἰσχὺν πρῶτος ὠνομάζετο
ἢ τόξα πάλλων ἢ μάχῃ δορὸς σθένων,
τοῦτον τυραννεῖν τῶν κακιόνων ἐχρῆν.

14 *Σοφοκλέους Αἴαντι* (1071 ss.).

Καίτοι κακοῦ πρὸς ἀνδρὸς ἄνδρα δημότην
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
οὐ γάρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ' ἄν, ἔνθα μὴ παρεστήκῃ δέος,
οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι

---

1 *φυλάττουσ'* A. | *ὅντιν' ἂν τάξῃ πόλις* Eur. ‖ 2 ecl. cum lemm. hab. SMA ‖ 3 *φυλάσσοντες* SMA: corr. Pierson ‖ 5 ecl. hab. S, om. MA; *ευρι*$^{\pi\delta}$ *αὐγή* S ‖ 6 malim *νοσοῦσα πόλις* ‖ 7 ecl. cum lemm. hab. S, om. MA. lemmate *τ̄ αυ*$^{\tau}$ num etiam hic ut alibi eadem significetur fabula aegre diiudices. quamquam primus versus eisdem verbis legitur Hec. 805 Hecubaque recentius esse fragmentum aliis rationibus evicisse sibi videtur Schroeder de iteratis p. 82 et 89 ‖ 9 *χρὴ* ex *χρῆν* S¹ *χρὴ* Tr. p. 203, inde vulg. ‖ 11 sqq. vide ne dirimendi sint a prioribus, cum quibus male coeunt, ut sensit Matthiae. Eurysthei fragmento 378 N.² (Stob. flor. 92, 7 M.) praemitti eos vult Gomperz | *κατ' ἄστυ* F. G. Schmidt | *ὢν ἠτάζετο* Gomperz ‖ 12 *τόξα βάλλων* ci. Wyttenbach *τόξ' ἰάλλων* Meineke ‖ 13 *τοῦτον* (ut scripsit Grotius d. p. p. 165) S: *τούτων* Tr., vulg. ‖ 14 ecl. cum lemm. hab. S (post ecl. 13) MA (post ecl. 11) Br (post ecl. 7); *τοῦ αὐτῦ* pro *σοφ.* A, poetae nom. omisso nihil nisi *αν*$^{\tau}$ S *ἐξ αἰαντος* Br ‖ 15 duo versus priores desunt in MA Br | *ὄντα* pro *ἄνδρα* Reiske ‖ 18 *παρεστήκῃ* SM quamquam primo -*ει* voluisse videtur S *παρεστήκει* A *παρεστήκοι* Br *καθεστήκῃ* Soph. ubi pr. -*ει* ut videtur L ‖ 19 *γε* MABr *τε* S | *ἄρχοιτ'* sive *ἔχοιτ'* in foramine periit S | *ἐστὶ* pro *ἔτι* M

μηδὲν φόβου πρόβλημα μηδ' αἰδοῦς ἔχων.

15 *Μενάνδρου Ἐμπιμπραμένῃ* (fr. 155 K.).

Τρία γάρ ἐστι, δέσποτα,
δι' ὧν ἅπαντα γίνετ', ἢ κατὰ ⟨τοὺς⟩ νόμους,
ἢ ταῖς ἀνάγκαις, ἢ ⟨τὸ⟩ τρίτον ἔθει τινί.

16 *Εὐριπίδου Φοίνικι* (fr. 806 N.[2]).

Ἀλλ' οὔποτ' αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν
παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη,
πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ με καὶ σκότος,
εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.

17 *Σοφοκλῆς Αἴαντι* (1081 ss.).

Ὅπου δ' ὑβρίζειν δρᾶν θ' ἃ βούλεται παρῇ,
ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
ἐξ οὐρίων δραμοῦσαν εἰς βυθὸν πεσεῖν.
ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον,
καὶ μὴ δοκῶμεν δρῶντες ἂν ἡδώμεθα,
οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα·
ἕρπει [γὰρ] παραλλὰξ ταῦτα.

18 (19 Mein.) *Εὐριπίδου Ἑκάβῃ* (306 ss.).

---

2 ecl. hab. S M A; *μ^ε* nec plura S *μενάνδρου* (*-ους* M) *ἐμπιπραμένη* M A sed *ἐμπιμπρ-* libri Stob. III 22, 28 H. et flor. 75, 6 M. ‖ 4 *γίνεται ἢ* S | *τοὺς* addidit Bentley ut in proximo v. *τὸ* ‖ 5 *ἀνάγκαισιν* A ‖ 6 ecl. cum lemm. hab. S, om. M A ‖ 7 *ἄλλῳ βροτῶν* ci. Wecklein ‖ 9 *κιγχάνῃ* Monk | *με καὶ* S: *μέλας* Grotius dict. poet. p. 167. *πρὶν γὰρ κατ' ὄσσων κιγχάνοι με καὶ σκότος* ci. Meineke. deleri enim voluit lacunae signum quod post *σκότος* posuerat. quamquam intercidisse nonnulla persuasit Ribbeckio *die roem. Trag.* p. 193 ‖ 10 *ἢ χρὴ* ci. Gesn.[1] p. 248 mrg. *εἰ χρῇ* Vitelli *app. cr. sulla Elettra di Eur.* p. 78 adn. 1 *ἦ χρὴ* Gomperz *nachl.* p. 37 | *τιμώμενον* ci. Stadtmueller in Fleckeiseni annal. 1879 p. 527 *τιμώμενος* Vitelli ‖ 11 ecl. cum lemm. hab. S post ecl. 16) M A (post ecl. 15) ‖ 12 *ὅπου θ'* A | *παρῆν* S ‖ 13 *ποτ' ἂν* Elmsley ‖ 14 *ἐξ οὐρίων* (*ἐξουρι* S *ἐξ ουρίων* M) Stob. Soph. *ἐξ οὐρίας* Tr. | *ἐς* M A ‖ 16 *ἃν* Soph. *ἂν* (*ἀν* M) libri Stob. ‖ 17 *οὐκ* S *οὐδ' οὐκ* M *οὐδ' εἰκ'* A | *αὖτις* (*αυτισ* M) libri Stob. | *ἃν* Soph. *ἂν* libri Stob. ‖ 18 *γὰρ* delevit Gesn.[1] | *παραλὰξ* M ‖ 19 ecl. cum lemm. hab. S (post ecl. 18 Mein.) M A (post ecl. 17) poetae nomine non addito Br (post ecl. 10). *ἑκάβῃ* Mac. *ἑκάβη* ceteri nisi quod *ἐξ ἑκάβης* Br. adfert versus

Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ
μηδὲν φέρηται τῶν κακιόνων πλέον.

19 (18 Mein.) *Σοφοκλῆς Αἴαντι* (157 ss.).

Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
καίτοι σμικροὶ μεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦμα πέλονται·
μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν
καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων.
ἀλλ' οὐ δυνατὶν τοὺς ἀνοήτους
τούτων γνώμας προδιδάσκειν.

20 *Εὐριπίδου Αἰόλῳ* (fr. 21 N.²).

Δοκεῖτ' ἂν οἰκεῖν ῥᾷον, εἰ πένης ἅπας
λαὸς πολιτεύοιτο πλουσίων ἄτερ;
οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
ἀλλ' ἔστι τις σύγκρασις, ὥστ' ἔχειν καλῶς.
ἃ μὴ γὰρ ἔστι τῷ πένητι, πλούσιος
δίδωσ'· ἃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα,
τοῖσιν πένησι χρώμενοι τιμώμεθα.

21 (24 Mein.) *Μενάνδρου* (fr. 265 K.).

Eustratius in Aristot. eth. p. Ib, lex. Vindob. p. 187, 15 N., duos extremos Georgius Pachymeres p. 37 ed. Boiss.

1 *ἐν τούτῳ γὰρ* Eustr., lex. Vindob. | *πάσχουσιν* Eustr. ‖ 4 ecl. cum lemm. hab. S (post ecl. 17 Mein.) M A (post ecl. 19 Mein.); nihil nisi *τ̆ αυ^τ* pro lemm. S ‖ 7 *ῥυμα* sine acc. S ‖ 8 *ἄριστ' ἂν* Soph. *ἄριστα* SMA *ἄριστ' ἂν δράσοι* Tr. ‖ 9 *μικροτέρων* M *σμικροτέρω* SA ‖ 11 *προσδ-* A ‖ 12 ecl. cum lemm. hab. S (post. ecl. 19 Mein.) MA (post 18 Mein.); *τ̆ αυ^τ* pro *εὐρ.* S. eclogae versum tertium et quartum sine fab. n. adfert Plutarchus Is. et Os. p. 369B de tranqu. an. p. 474A, v. *οὐκ ἂν—σύγκρασις* de aud. poetis p. 25C, v. *οὐκ ἂν γένοιτο χωρὶς ἐσθλά* Theophr. metaph. p. 316. cf. Elter De gnomol. Gr. hist. atque orig. comment. part. I p. 46 ‖ 13 *οἰκεῖν* sed *ν* ex corr. M¹ | *ῥᾷον* scripsi: *γᾶν* SMA; *γαῖαν* tacite Gesn.¹ p. 248, vulg. *λῷον* ci. H. Stadtmueller ‖ 17 *πένητι* Erfurdt: *πένηθ' ὁ* SMA ‖ 18 *δίδωσιν* libri ‖ 19 *τιμώμεθα* SM *πειθώμεθα* A: *θηρώμεθα* Bergler *πεπάμεθα* Hartung *'πικτώμεθα* Wecklein ‖ 20 ecl. cum lemm. hab. S (post ecl. 23 Mein.) MA (post ecl. 20 Mein.) sine lemm. Br (post ecl. 14 Mein.); *τ̆ αυ^τ* S. cf. supra III 9, 16

Τὸ καλῶς ἔχον που κρεῖττόν ἐστι καὶ νόμου.

22 (21 Mein.) *Εὐριπίδου Ἀντιγόνῃ* (fr. 173 N.^{2}).

Οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ
πόλεμος ἐν ἀστοῖς, ἢν διχοστατῇ πόλις.

23 *Μενάνδρου* (fr. 791 K.).

Κοινὸν ἀγαθόν ἐστι τοῦτο χρηστὸς εὐτυχῶν.

24 (22 Mein.) *Εὐριπίδου Ἀλκμήνης* (fr. 91 N.^{2}).

Ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου πέλει.

25 *Σοφοκλέους* (fr. 851 N.^{2}).

Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.

26 *Τοῦ αὐτοῦ* (Ant. 672).

Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.

27 *Ἡνιόχου* (fr. 5 com. II p. 433 K.).

Ἐγὼ δ' ὄνομα τὸ μὲν καθ' ἑκάστην αὐτίκα
λέξω· συνάπασαι δ' εἰσὶ παντοδαπαὶ πόλεις,

---

2 ecl. cum lemm. hab. S (post ecl. 20 Mein.) M A (post ecl. 24 Mein.); *τ̆ αυ^τ ἀντιγ^ο* S ‖ 3 *οἰκτρότατος* Gomperz *nachl.* p. 21 | *ἄνοισι* sed linea transversa omissa S ‖ 4 *πόλεμος ἄλαστος* F. G. Schmidt *krit. st.* II p. 447 sq. | *διχοστατεῖ* M ‖ 5 ecl. cum lemm. hab. S (post ecl. 23 Mein.) M A (post ecl. 21 Mein.). recurrit inter monost. 681 ubi editur *κοινὸν δὲ καλόν ἐστι χρ. εὐ.* respexit Charito I 4, 3 *καὶ γὰρ εἶ κοινὸν ἀγαθὸν πάσης Σικελίας εὐτυχῶν* ‖ 6 vitium alii aliter tollere studebant: *κοινὸν ἀγαθὸν τοῦτ' ἐστὶ* Dorville in Char. p. 227 *κ. ἀγαθὸν δὲ τοῦτο* Gaisford *κ. γὰρ ἀγαθόν ἐστι χρ. εὐ.* Meineke ‖ 7 ecl. cum lemm. hab. S (post ecl. 21 Mein.) MA (post ecl. 23); *τ̆ αυ^τ* S ‖ 8 *ἀτρέκεια δὲ Ἄριστον ἀνδρὸς ὅπλον ἐνδίκου πέλει* ci. Herwerden | *δικαίου πέλει* superscr. A^1 ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 24 Mein.) M A (post ecl. 22 Mein.); *σοφο*^{S} etiam S post *κακόν*: (ecl. 26), in rasura tamen scripsit pr. m., cum ante *τ̆ αυ^τ* fuisset. *Μενάνδρου* offert Apostol. cent. XII 14b exemplari generis Trincavelliani usus, unde Menandro non recte tribuit Meineke com. IV p. 368 sq. inter Men. mon. relatus est versus 372, cf. ibid. 380. 580 et cod. Vrbin. ap. Meyerum *Vrb. samml.* p. 440 ‖ 10 *τοῖσιν ἐγχωρίοις* S M A: corr. Grotius dict. poet. p. 169; *τοῖς ἐγχωρίοις* Tr. p. 204, vulg. ‖ 11 ecl. cum lemm. hab. S M A; de S vide quae dixi ad ecl. 25, *σοφοκλέους* Tr. usus videtur gnoma Aristoxenus Stob. IV 1, 49 ‖ 13 ecl. cum lemm. hab. S, om. M A ‖ 14 *ὀνόματα μὲν* Grotius dict. poet. p. 169 | *καθ' ἑκάστης* scripsisse paenituit Meinekium com. V 1 p. 94 ‖ 15 *συναπασαι* sine acc. S

αἳ νῦν ἀνοηταίνουσι πολὺν ἤδη χρόνον.
τάχ' ἄν τις ὑποκρούσειεν ὅ τι ποτ' ἐνθάδε
νῦν εἰσι, κἂν ἔροιτο, παρ' ἐμοῦ πεύσεται·
τὸ χωρίον μὲν γὰρ τόδ' ἐστὶ πᾶν κύκλῳ
Ὀλυμπία, τηνδὶ δὲ τὴν σκηνὴν ἐκεῖ
σκηνὴν ὁρᾶν θεωρικὴν νομίζετε.
εἶεν· τί οὖν ἐνταῦθα δρῶσιν αἱ πόλεις;
ἐλευθέρι' ἀφίκοντο θύσουσαί ποτε,
ὅτε τῶν φόρων ἐγένοντ' ἐλεύθεραι σχεδόν.
κἄπειτ' ἀπ' ἐκείνης τῆς θυσίας διέφθορεν
αὐτὰς ξενίζουσ' ἡμέραν ἐξ ἡμέρας
ἀβουλία κατέχουσα πολὺν ἤδη χρόνον.
γυναῖκε δ' αὐτὴν δύο ταράττετόν τινε
ἀεὶ συνοῦσαι, δημοκρατία θατέρᾳ
ὄνομ' ἐστί, τῇ δ' ἀριστοκρατία θατέρᾳ,
δι' ἃς πεπαρῳνήκασιν ἤδη πολλάκις.

28 *Ἀριστοφάνους* (ran. 727—37).

Τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς καὶ σώφρονας
ἄνδρας ὄντας καὶ δικαίους καὶ καλούς τε κἀγαθοὺς
καὶ τραφέντας ἐν παλαίστρᾳ καὶ χοροῖς καὶ μουσικῇ,
προυσελοῦμεν, τοῖς δὲ χαλκοῖς καὶ ξένοις καὶ πυρρίαις

---

1 *αἱ νῦν ἀνοηταίνουσαι* S: corr. Salmasius | *ηδη* (sine spir. et acc.) sup. lin. S[1] ‖ 3 quod traditur *κἂν ἔροιτο* sic stare non posse monuit Meineke qui parum probabiliter *ὑποκρούσειε κἀνέροιθ' ὅ τι Πότ' ἐνθαδὶ νῦν εἰσι· παρ' ἐ. π.* proposuit com. III p. 564. *νῦν εἰσί· χἂν* (i. *καὶ ἃ ἄν*) *ἔροιτο, π. ἐ. π.* ci. Kock com. II p. 434 *νῦν εἰσίν· ἃν δ' ἔροιτο, π. ἐ. π.* ego ‖ 4 *μὲν πᾶν τόδ' ἐστὶν ἐν κύκλω* Voss. Frob. p. 212, moneo propter Meinekii et Kockii adnotationem ‖ 5 *τὴν δ' εἰ δε* (*εἶδε* Tr. p. 205) S: corr. Valckenaer diatr. p. 278 ‖ 6 *πυθικὴν* pro *θεωρικὴν* Voss. Frob., inde Gesn. mrg. | *νομίζετε* voluisse videtur Grotius dict. poet. p. 531: *νομίζεται* S ‖ 8 *ἐλευθέρια* S, ex Frob. Gesn. mrg.: *ἐλευθερίᾳ* Tr. ‖ 9 *τῶν ἐφόρων* (*heroen, gebieter*) ci. Bergk *gr. literaturgesch.* IV p. 168 adn. 193, dubito ‖ 13 *αὐτὰς* Grotius l. c.: *αὐτὴν* S | *δύο ταράττετον* Meineke: *δύ' ἐταράττετον* S; *δύ' ἐταραττέτην* ci. Kock ‖ 14 *συνοῦσα* olim, post *συνόντε* et 16 *δι' ὣ* inutiliter ci. Meineke ‖ 17 ecl. cum lemm. hab. S, om. M A ‖ 19 *ὄντας* om. Tr. ‖ 20 *παλαίστραις* Ar. ‖ 21 *προυσελοῦμεν* Ar.: *προυγελοῦμεν* S | *πυρρίαις* S[1] obsouant

καὶ πονηροῖς κἀκ πονηρῶν εἰς ἅπαντα χρώμεθα
ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις πρὸ τοῦ
οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν.
ἀλλὰ καὶ νῦν, ὦ 'νόητοι, μεταβαλόντες τοὺς τρόπους
χρῆσθε τοῖς χρηστοῖσιν αὖθις· καὶ κατορθώσασι γὰρ
εὔλογον· κἄν τι σφαλῆτ', ἐξ ἀξίου γὰρ τοῦ ξύλου,
ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

29 *Εὐριπίδου* (Suppl. 312—13).

Παῦσαι· τὸ γάρ ⟨τοι⟩ συνέχον ἀνθρώπων πόλεις
τοῦτ' ἔσθ', ὅταν τις τοὺς νόμους σῴζῃ καλῶς.

30 *Μενάνδρου* (fr. 542 K.).

Εἴπερ τὸν ἀδικοῦντα † μενως ἠμύνετο
ἕκαστος ἡμῶν καὶ συνηγωνίζετο
ἴσως, νομίζων ἴδιον εἶναι τὸ γεγονὸς
ἀδίκημα, καὶ συνέπραττον ἀλλήλοις πικρῶς,
οὐκ ἂν ἐπὶ πλεῖον τὸ κακὸν ἡμῖν ηὔξετο

1—3 adfert neglegentius verbisque *ὑστάτοις ἀφ.* omissis Suidas s. *Πονηροῖς* et s. *Φαρμακός* ‖ 1 *οὖσι πάντα* in Aristophane Meineke, cf. vind. Ar. p. 171 ‖ 2 *ὑστέροις* ci. Meineke | *προ* ut saepissime sine acc. S ‖ 3 adfert schol. Ar. equ. 1136 respicit Aristides II p. 409, 19 Dind. | *ἐχρήσατ'* tacite ex Ar. Gesn.[1] p. 250: *ἐχρήσαιτ'* S *χρήσαιτ'* Suid. ‖ 4 *κἂν νῦν nunc certe* Meineke vind. Ar. p. 172 ‖ 5 *κατορθώσασι* tacite ex Ar. Gesn.[1]: *κατορθώσασαι* S ‖ 6. 7 adfert Suidas (s. *Ἄξιον* et *Ἀπὸ καλοῦ* et *Κἄν τι*) ‖ 6 *γὰρ* S *γοῦν* Ar. ‖ 7 *τῶν σοφῶν* Tr. ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 9 *τὸ γάρ τοι* Eur.: *τὸ γὰρ* S M A; *τὸ μὲν γὰρ* tacite Gesn.[1], inde vulg. ‖ 10 *νόμους* M A, Eur.: . . . *ὺς* S, fuisse autem *αὐτοὺς* in codice ut apud Tr. indicat accentus | *σώζῃ* (vel *-ηι*) S Eur.: *σώζει* M *σώζοι* A ‖ 11 ecl. cum lemm. hab. S M A ‖ 12 *ἀδικοῦντα μὲν ὡς* (*ὥς* A) S A *ἀδικοῦντα μενωσ* M: *ἀδικοῦντ' ἀσμένως* Grotius dict. poet. p. 171 *ἀδικοῦντ' ἐπιμελῶς* Meineke, *ἀ. εὐμενῶς* Herwerden anal. cr. p. 31, *ἀ. ἐκτενῶς* ego, *ἀ. ἐμμενῶς* Elter ‖ 13 *ἡμῖν* Herwerden | *ιζετ* in S foramine perierunt sed ut ima litterae ζ particula adhuc conspicua sit ‖ 14 *ἴσως* et 15 *πικρῶς* ex Franckenii sententia transponi iubet (*συνηγ. Πικρῶς, ν. ἴ. εἶναι τὸ γ. Ἀδίκημα, καὶ συνεπρ. ἀλλήλοις, ἴσως Οὐκ ἂν κτἑ.*) Herwerden ‖ 15 *συνεπράττομεν* Heringa ‖ 16 *ηὔξετο* Bentley: *ηὔξαιτο* M A idem si unquam in S fuit (ut visum est Gaisfordo) statim pr. m. correxit in *ηὔξατο*, praeterea supra *-ατο* nescio quid rasum est in S

τὸ τῶν πονηρῶν, ἀλλὰ παρατηρούμενοι
καὶ τυγχάνοντες ἧς ἔδει τιμωρίας
ἤτοι σπάνιοι σφόδρ' ἂν ἦσαν ἢ πεπαυμένοι.

31 *Μενάνδρου* (fr. 726 K.).

Ἔργον ἐστί, Φανία,
μακρὰν συνήθειαν [ἐν] βραχεῖ λῦσαι χρόνῳ.

32 *Αἰσχίνου ἐν τῷ κατὰ Τιμάρχου* (30 p. 55).

Τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ τὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν.

33 *Δημοκρίτου* (fr. 248 Diels[2]).

Ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δέ, ὅταν αὐτοὶ βούλωνται πάσχειν ⟨εὖ⟩· τοῖσι γὰρ πειθομένοισι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται.

34 *Τοῦ αὐτοῦ* (fr. 249 Diels[2]).

Στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁμοίη φθορή.

35 *Αἰσχίνου* (c. Ctes. 147 p. 537).

---

4 ecl. cum lemm. hab. M A (post ecl. 30) sine lemm. Br. (post ecl. 24 Mein.), om. S; *μενάνδρου* M *τοῦ αὐτοῦ* A. recurrit Maxim. c. 62 p. 256 R. (*Menandri*) Anton. II c. 80 p. 146 (sine lemm.) ubi pro *ἔργον ἐστι, Π.* legitur *ἀμήχανον* et post *χρόνῳ* nullo interstitio pergitur *τὸ γὰρ σύνηθες οὐδαμοῦ παροπτέον*, cf. Stob. IV 2, 5 ‖ 5 *πανία* (*παπία* Br.) libri: corr. Gataker ‖ 6 *ἐν* seclusit Gataker ‖ 7 ecl. cum lemm. hab. S M A; in lemmate *ἐν τῷ* om. S. cf. Thom. Mag. 261, 3 ‖ 8 *γὰρ* om. Mac., cf. proleg. Stob. III p. XXXXII ‖ 9 *τὰ τῆς πόλεως* S M A: *τῆς πόλεως* Aesch. *τῆς πόλ.* delet Cobet | *διαθεῖναι* Aeschinis libri haud pauci ‖ 10 ecl. cum lemm. hab. S M A. recurrit corp. Par. 812 Elt.; gnomol. Byz. 69 p. 177 W. (Pal. 58 Bar. 94); Georgid. cod. Laur. f. 70[r] ‖ 11 *ὁ νόμος* libri Stob. *νόμος* testes ceteri | *οὐ δύναται* corp. Par. Georg. ‖ 12 *πάσχειν, τοῖσι γὰρ* libri Stob. *πάσχειν εὖ, τοῖς γὰρ* Pal. Bar. *πάσχειν ἐν τοῖς γὰρ* corp. Par. | *πειθομένοισι* libri Stob.: *-οις* ceteri ‖ 13 *τὴν ἰδίην* (*ἰδίαν* A sed *ην* superscr. A[1]) *ἀρετὴν ἐνδείκνυται* libri Stob.: *ἐνδείκνυται τὴν ἰδίαν ἀρετήν* ceteri ‖ 14 ecl. cum lemm. hab. S M A (post ecl. 33) Br (post ecl. 35) ‖ 15 *ἔμφυλος* ci. Natorp ‖ 16 *ἡσσομένοις* S M Br *-οισιν* A ‖ 17 ecl. cum lemm. hab. S M A (post ecl. 34) Br (post ecl. 31); *αἰσχίνου* ($\overset{\chi}{\text{αισ}}$ S) libri nisi quod *αἰσχίλου* Br. recurrit corp. Par. 167 Elt. (*Δημοκρίτου γνῶμαι*)

Πονηρὰ φύσις μεγάλης ἐξουσίας λαβομένη μεγάλας ἀπεργάζεται συμφοράς.

36 *Δημοσθένους ἐκ τοῦ Κατ' Ἀνδροτίωνος* (p. 613).

Τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι δεῖ τὸ τῆς πόλεως ἦθος μιμεῖσθαι, καὶ σῴζειν ὑμῖν τοὺς τοιούτους, ὦ Ἀθηναῖοι, προσήκει, καὶ μισεῖν τοὺς οἷός περ οὗτος. ὡς ἐκεῖνο εἰδόσι μὲν ἴσως, ὅμως δὲ ἐρῶ· ὁποίους τινὰς ἂν φαίνησθε ἀγαπῶντες καὶ σῴζοντες, τούτοις ὅμοιοι δόξετε εἶναι.

37 *Ξενοφῶντος ἐν δ' Σωκρατικῶν ἀπομνημονευμάτων* (IV 6, 12).

Βασιλείας δὲ καὶ τυραννίδας ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι, διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ ἑκόντων τε τῶν ἀνθρώπων καὶ κατὰ τοὺς νόμους τῶν πόλεων ἀρχὴν βασιλείαν ἡγεῖτο, τὴν δὲ ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην μὲν τὴν πολιτείαν ἀριστοκρατίαν ἐνόμιζεν εἶναι, ὅπου δὲ ἐκ τιμημάτων, πλουτοκρατίαν, ὅπου δ' ἐκ πάντων, δημοκρατίαν.

38 *Ἡροδότου ἱστορίας ε'* (78).

Δηλοῖ δὲ οὐ καθ' ἓν μοῦνον, ἀλλὰ πανταχῇ, ἡ ἰσηγορίη ὡς ἐστὶ χρῆμα σπουδαῖον.

39 *Τοῦ αὐτοῦ ἱστορίας ς'* (27).

---

1 *λαβομένη* libri Stobaei: *ἐπιλαβομένη* Aesch. corp. Par. | *μεγάλας* libri, etiam Tr.: *μεγάς* S *δημοσίας* Aesch. corp. Par. ‖ 3 ecl. cum lemm. hab. SMA: *ἐκ τοῦ* om. S ‖ 4 *ὑπὲρ πόλεως* Dem. ‖ 5 *ὑμῖν* S, Dem: *ἡμῖν* MA | *ὦ ἄνδρες Ἀθ.* Dem. ‖ 6 *προσήκει* Dem.: *προσήκειν* A *προσῆκεν* SM | *οἱόσπερ* Tr. Dem. *οἷουσπερ* SMA ‖ 8 *ἂν* om. S ‖ 9 *δόξεται* A ‖ 10 ecl. cum lemm. hab. SMA; *δ'* Gaisford: *α'* libri. *σωκρατικῶν* compendiose addunt libri, *ἀπομν.* om. S ‖ 12 *βασιλείας δὲ* (*μὲν* A) *καὶ τυραννίδας* (*-δας* ex *-δος* corr. M[1]) libri Stob.: *βασιλείαν δὲ καὶ τυραννίδα* tacite e Xen. Gesn.[1] ‖ 14 *τῶν* om. A | *κατὰ νόμους* Xen. rectius ‖ 15 *ἀρχὴν* tacite e Xen. Gesn.[1]: *ἄρχειν* (sine acc. M) SMA ‖ 18 *μὲν* om. Xenophontis plurimi ‖ 19 *πλουτοκράτειαν* S ‖ 20 *δημοκράτειαν* M ‖ 21 ecl. cum lemm. hab. SMA ‖ 22 *κατ'* Stein | *μοῦνον* S Her.: *μόνον* MA ‖ 23 *ἔστι* libri Stob. ‖ 24 ecl. cum lemm. hab. SMA ‖

Φιλέει δέ κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ ἢ πόλι ἢ ἔθνεϊ ἔσεσθαι.

40 *Δημοκρίτου* (fr. 250 Diels[2]).

Ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς πόλισι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.

41 *Πολυαίνου ἐν τῷ Ὑπὲρ τοῦ συνεδρίου.*

Οὐ γὰρ ἀγνοεῖς ὡς ἐν τοῖς κοινοῖς, κἂν τοὐλάχιστόν τις παρέληται, ἀφορμὴ τῆς τῶν πλειόνων ἀπωλείας γίνεται.

42 *Δημοκρίτου* (fr. 251 Diels[2]).

Ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.

43 (fr. 252 Diels[2]).

Τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅκως ἄξεται εὖ, μήτε φιλονεικέοντα παρὰ τὸ ἐπιεικὲς μήτε ἰσχὺν ἑαυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ. πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι, καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σῳζομένου ⟨τὰ⟩ πάντα σῴζεται καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται.

---

2 *πόλι* Her.: *πόλει* libri Stob. ‖ **3** ecl. cum lemm. hab. S M A (post ecl. 39), lemmate non iterato Br (post ecl. 34) ‖ **4** *ταῖς πόλεσι* (-*σιν* M) S M A Br. *τῇσι πόλισι* Mullach. sic supra *πολίων* fuisse, non *πόλεων* III 7, 25 (cf. III 6, 26), docet *ποΝων* quod ibi asservarunt M Br ‖ **6** ecl. cum lemm. hab. S M A Br; *πολυαίν̄* nec plura S Br, *συνε*^{*δρ*} M ‖ **7** *οὐ γὰρ ἀγνοεῖς ὡς* om. Br ‖ **8** *ἀφέληται* S | *ἀπολείας γίγνεται* M ‖ **9** ecl. cum lemm. hab. S M A; spatio rubricae non relicto *δημοκρίτου*, dein *Ἡ* in margine sinistro supplevit rubricator vetus M ‖ **10** *Ἡ* om. A | *τῆς* sed *ῆ* in ras. M[1] | *τοῖς* S M A: *τοῖσι* Mullach | *δυνάστῃσι* A: *δυνατῇσι* S *δυνατῇσι* ex -*εῖσι* ut videtur corr. M[1]; *δυνατοῖσι* Tr. ‖ **11** *τοσοῦτο* Natorp *die ethica des Dem.* p. 34 ‖ **13** ecl. hab. lemmate non iterato S M A. cohaeret cum priore M A | *πόλιν*] *ιν* iam S[1], sed redintegravit (sic ut non nulla alia in f. 55[v]) S rec. ‖ **14. 15** *ἡγέεσθαι* Orelli op. sent. et mor. II p. 374 | *αὔξεται* S M A: corr. Koen ad Greg. Cor. p. 233 n. 24 Schaef. ‖ **16** *ἑαυτῷ* S M A: *ἑωυτῷ* Mullach, vide Stob. III Add. et Corr. p. LXXII ‖ **17** *ξένον* S M A: corr. Schaefer ap. Orellium l. c. p. 735 ‖ **19** *τὰ* addidit Meineke | *φθειρομένου* Tr.

44 (fr. 253 Diels[2])

Τοῖς χρηστοῖσιν οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα πρήσσειν· τὰ γὰρ ἴδια κακῶς ⟨ἂν⟩ ἔσχεν. εἰ δὲ ἀμελέοι τις τῶν δημοσίων, κακῶς ἀκούειν γίγνεται, καὶ ἢν μηδὲν μήτε κλέπτῃ μήτε ἀδικῇ. ἐπεὶ καὶ ⟨μὴ⟩ ἀμελέοντι ἢ ἀδικέοντι κίνδυνος κακῶς ἀκούειν καὶ δὴ καὶ παθεῖν τι. ἀνάγκη δὲ ἁμαρτάνειν, συγγιγνώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.

45 (fr. 254 Diels[2])

Οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται.

46 (fr. 255 Diels[2])

Ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι καὶ προτελεῖν τολμέωσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτίρειν ἔνεστι καὶ ⟨τὸ⟩ μὴ ἐρήμους εἶναι καὶ τὸ

---

1 ecl. hab. S M A lemmate non iterato, cum prioribus iungunt M A | *τοῖσι* Mullach | *χρηστοῖσιν* etiam S, errat Gaisford | *συμφέρον* S M A: *ξυμ-* Mullach, Meineke, Natorp || 2 *ἀμελέοντας* Tr. p. 207: *ἀμελαίνοντας* S M A || 2. 3 *ἑαυτῶν* M | *τῶν ἑωυτῶν* non nimis bene iungi sensit Mullach p. 312. | *οὐ ξυμφέρον ἀμελέοντας τῶν δημοσίων τὰ ἑωυτῶν πρήσσειν* temere Cobet mnemos. IX p. 124 || 3 *πρήσειν* S | *ἂν* addidit Iacobs add. animadv. in Athen. p. 16 || 4 *ἀμελέοι τις τῶν δ.* ci. Meineke probante Cobeto; *ἀμελέοιτο τῶν δ.* libri; *ἀμελέοιτο τῶν δ. τι* scr. Gesn.[1], *ἀμελέοιτό τι τῶν δ.* subdubitans ci. Gaisford | *γίγνεται* S M A || 5 *τις* post *μηδὲν* addit Orelli | *ἀδικῇ* S M A; *ἀδικέῃ* Mullach | *μὴ* addidit Meineke || 6 *δὴ* (ut correxerat Iacobs l. c.) M A: *δεῖ* S || 7 *γὰρ* pro *δὲ* ci. Meineke, *δὴ* scr. Natorp cum Mullachio | *συγγιγνώσκεσθαι* S M A || 9 ecl. hab. lemmate non iterato S M A. recurrit Anton. II c. 1 p. 78 (*Δημοκρίτου*) || 10 *ἰόντες* etiam A, aberravit Gaisford | *ἐς* S M *εἰς* A Ant. || 11 *ἐόντες* M ex *ἰόντες* S[1] *ὄντες* A Ant. | *ἂν ἀκυδέες* S A Ant. *ἀνακυδέεσ* M *ἂν ἀκηδέες* Tr : *ἀνακηδέες* cum Burchardo Meineke Natorp Diels. eadem corruptela supra Stob. II 9, 3 W. ubi minus bene *νηκηδής* (*ἀνακύδης* libri) Hauptio obsecutus scripsit Wachsmuth. recte iudicavit Diels *Vorsokr.*[2] p. 417. inepte *ἀναιδέες* Cobet l. c. p. 125 || 12 *θάρσεος* libri infra IV 2, 17 || 13 ecl. hab. lemmate non iterato S M A || 14 *τοῖσι* Mullach || 15 *τούτῳ*] *τοσούτω* M || 16 *οἰκτείρειν* S M A | *το* addidit Meineke

ἑταίρους γίγνεσθαι, καὶ τὸ ἀμύνειν ἀλλήλοισι καὶ ⟨τὸ⟩ τοὺς πολιήτας ὁμονόους εἶναι καὶ ἄλλα ἀγαθά, ἅσσα οὐδεὶς ἂν δύναιτο καταλέξαι.

47 *Σωκράτους.*

Τῆς εὐτυχίας ὥσπερ τῆς πολιτικῆς ὁμιλίας κοινὴν εἶναι δεῖ τοῖς ἀξίοις τὴν ἀπόλαυσιν.

48 *Ὅρκος τῶν Ἀθήνησιν ἐφήβων.*

Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερά, οὐδ' ἐγκαταλείψω τὸν παραστάτην, ὅτῳ ἂν στοιχήσω, ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ ὑπὲρ ὁσίων καὶ μόνος καὶ μετὰ πολλῶν· τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παραδώσω, πλείω δὲ καὶ ἀρείω ὅσης ἂν παραδέξωμαι· καὶ εὐηκοήσω τῶν ἀεὶ κρινόντων ἐμφρόνως, καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι καὶ οὕς τινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως· καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω, ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ πάντων· καὶ ἱερὰ τὰ πάτρια τιμήσω. ἵστορες θεοὶ τούτων.

---

1 *ἑτέρους* SM *ἑτερους* (αι supra) A[1] ut videtur | *γίγν-* SMA | *τὸ* addidi ‖ 2 *τ[οὺς πο]λιήτας*, foramine perierunt syllabae saeptae in S | *ἅσσα* SM *ἅσσ* (ον supra) A *ὅσσα* Tr. ‖ 4 ecl. cum lemm. hab. SMA. ecloga recurrit inter gnomica homoeomata (ed. Bonnae a. 1904) 76 Elt. per errorem in Plutarchi fragmentorum numerum receptam esse a Bernardace commonet Elter ‖ 5 *ὥσπερ* periit laesa membrana S, om. Tr. | *τῆς* S: om. MA, gnom. homoeom. | *ὥσπερ συμποτικῆς ὁμιλίας* gnom. homoeom. ‖ 7 ecl. cum lemm. hab. SMA[1]. cf. Pollux VIII 105. Plut. Alcib. 15 et Cic. de republ. III 9 ‖ 8 *καταισχυνῶ* Poll.: *καταισχύνω* SMA[1] | *ὅπλα τα ἱερὰ* SMA: *τὰ ὅπλα* Poll. ‖ 9 *ᾧ ἂν στοιχῶ* Poll. | *ὑπὲρ* e *περὶ* corr. A[1] ‖ 10 *ὑπὲρ ὁσίων* SMA sed *ὑπὲρ* supra lin. S: *ὁσίων* Poll. | *πολλῶν* hic, *πάντων* infra (16) tam Stobaeus quam Pollux ‖ 10. 11 *καὶ τὴν πατρίδα οὐκ ἐλάττω* Poll. ‖ 11. 12 *πλείω—παραδέξωμαι*] *πλεύσω δὲ καὶ καταρόσω ὁπόσην ἂν παραδέξωμαι* Poll. | *ὅσης ἂν* Cobet: *ὅσην ἂν* SMA ‖ 12 *καὶ συνήσω* Poll. | *κραινόντων* optat Cobet nov. l. p. 223 cui suspectior est iuris iurandi formula quam Stobaeus et Pollux conservarunt, cf. Schoemann-Lipsius *griech. alterth.*[4] I p. 379 n. 2 ‖ 12. 13 *ἐμφρόνως* SM *εὐφρόνως* A, om. Poll. ‖ 13. 14 *καὶ οὕστινας ἄλλους ἱδρύσεται τὸ πλῆθος ἐμφρόνως* Poll. ‖ 14. 15 *ὁμοφρόνως — μὴ πείθηται* in marg. suppl. A m. ant. | *μὴ* om. Tr. ‖ 16. 17 *καὶ τὰ ἱερὰ τὰ πάτρια*

49 *Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων* (Diels *Vorsokr.*[2] I p. 283).

Καθόλου δὲ ᾤοντο δεῖν ὑπολαμβάνειν μηδὲν εἶναι μεῖζον κακὸν ἀναρχίας· οὐ γὰρ πεφυκέναι τὸν ἄνθρωπον διασῴζεσθαι μηδενὸς ἐπιστατοῦντος. περὶ δὲ ἀρχόντων καὶ ἀρχομένων οὕτως ἐφρόνουν· τοὺς μὲν γὰρ ἄρχοντας ἔφασκον οὐ μόνον ἐπιστήμονας ἀλλὰ καὶ φιλανθρώπους δεῖν εἶναι· καὶ τοὺς ἀρχομένους οὐ μόνον πειθηνίους ἀλλὰ καὶ φιλάρχοντας. ἐπιμελητέον δὲ πάσης ἡλικίας ἡγοῦντο καὶ τοὺς μὲν παῖδας ἐν γράμμασι καὶ τοῖς ἄλλοις μαθήμασιν ἀσκεῖσθαι· τοὺς δὲ νεανίσκους τοῖς τῆς πόλεως ἔθεσί τε καὶ νόμοις γυμνάζεσθαι· τοὺς δὲ ἄνδρας ταῖς πράξεσί τε καὶ δημοσίαις λειτουργίαις προσέχειν· τοὺς δὲ πρεσβύτας ἐνθυμήσεσι καὶ κριτηρίοις καὶ συμβουλίαις δεῖν ἐναναστρέφεσθαι μετὰ πάσης ἐπιστήμης ὑπελάμβανον, ὅπως μήτε οἱ παῖδες νηπιάζοιεν μήτε οἱ νεανίσκοι παιδαριεύοιντο μήτε οἱ ἄνδρες νεανιεύοιντο μήτε οἱ γέροντες παραφρονοῖεν. δεῖν δὲ ἔφασκον εὐθὺς ἐκ παίδων καὶ τὴν τροφὴν τεταγμένως προσφέρεσθαι, † διδάσκουσαν ὡς ἡ μὲν τάξις καὶ συμμετρία καλὰ καὶ σύμφορα, ἡ δὲ ἀταξία καὶ ἀσυμμετρία αἰσχρά τε καὶ ἀσύμφορα.

Poll. | *τὰ* (ante *πάτρ.*) om. A | *τούτων* om. Poll. qui enumerat deorum dearumque nomina

1 ecl. cum lemm. hab. S M A Br, pro lemm. *ἀριστοξένου* nec plura Br ‖ **3** *καθόλου δὲ*—**5** *ἐπιστατοῦντος* habet Iamblichus de vit. Pyth. 175 p. 128, 10 Nauck. cf. Soph. Ant. 672 *ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν* ‖ **7** *ἀλλὰ καὶ φιλανθρώπους*—**8** *τοὺς ἀρχομένους* om. Tr. ‖ **12** *ἐγγυμνάζεσθαι* prop. Meineke dubitans ipse ‖ **14. 15** *ἐναναστρέφεσθαι* libri omnes ‖ **17** *οἱ* (ante *ἄνδρ.*) quod addi voluerat Meineke offert Br, om. S M A ‖ **18** *δεῖν δὲ κτἑ.*] cf. Iambl. de vita Pyth. c. 31, 203 p. 144, 24 Nauck: *ἐρωτᾶν τε καὶ διαπορεῖν πολλάκις αὐτοὺς ἔφασαν, τίνος ἕνεκα τοὺς παῖδας συνεθίζομεν προσφέρεσθαι τὴν τροφὴν τεταγμένως τε καὶ συμμέτρως, καὶ τὴν μὲν τάξιν καὶ τὴν συμμετρίαν ἀποφαίνομεν αὐτοῖς καλά, τὰ δὲ τούτων ἐναντία, τήν τε ἀταξίαν καὶ τὴν ἀσυμμετρίαν, αἰσχρά* | *δεῖν* ex corr. Br ‖ **19** exspectes *τεταγμένως⟨τε καὶ συμμέτρως⟩ προσφ.* | *διδάσκουσαν* S M Br *διδάσκουσα* A. *διδάσκοντες* prop. Gesn.[1] marg. recte fortasse. *καὶ διδάσκουσιν* Elter ‖ **20** v. *καλὰ καὶ σ.* —**21** *ἀσυμμετρία* suppl. A m. ant. in

50 *Ξενοφῶντος ἐκ τῆς Ἀθηναίων πολιτείας* (I 14).

Ὅτι μισεῖσθαι μὲν ἀνάγκη τὸν ἄρχοντα ὑπὸ τοῦ ἀρχομένου. εἰ δὲ ἰσχύσουσιν οἱ πλούσιοι καὶ ἰσχυροὶ ἐν ταῖς πόλεσιν, ὀλίγιστον χρόνον ἡ ἀρχὴ ἔσται τοῦ δήμου. διὰ ταῦτα τοὺς μὲν χρηστοὺς ἀτιμοῦσι καὶ χρήματα ἀφαιροῦνται καὶ ἐξελαύνουσι καὶ ἀποκτείνουσι, τοὺς δὲ πονηροὺς αὔξουσιν.

51 *Ἐν ταὐτῷ* (II 20).

Δημοκρατίαν δ' ἐγὼ αὐτῷ μὲν τῷ δήμῳ συγγιγνώσκω. ἑαυτὸν μὲν γὰρ εὖ ποιεῖν πάντη συγγνώμη ἐστίν· ὅστις δὲ μὴ ὢν τοῦ δήμου εἵλετο ἐν δημοκρατουμένῃ πόλει οἰκεῖν μᾶλλον ἢ ⟨ἐν⟩ ὀλιγαρχουμένῃ, ἀδικεῖν παρεσκευάσατο καὶ ἔγνω ὅτι μᾶλλον οἷόν τε διαλαθεῖν κακῷ ὄντι ἐν δημοκρατουμένῃ πόλει ἢ ἐν ὀλιγαρχουμένῃ.

52 *Δημοσθένους Φιλιππικῶν* (II p. 71).

Ἔστι τοίνυν νὴ Δί', ἔφην ἐγώ, παντοδαπὰ εὑρημένα ταῖς πόλεσιν πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα καὶ τείχη καὶ τάφροι καὶ τἄλλα ὅσα τοιαῦτα. καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα καὶ δαπάνης προσδεῖται· ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν

---

marg., om. Tr. | *καλὰ καὶ σύμφορα* SMA; *καλὴ καὶ σύμφορος* scr. Gesn.² idque receperunt editores. quamquam *καλά* etiam Iambl., unde nescio an appareat non nimis scite breviata esse verba a gnomologo ‖ 21 *ἀσύμφορα* (prius *α* ex *σ* corr. A¹ ut videtur) libri omnes: *ἀσύμφορος* scribunt cum Gesnero

1 ecl. cum lemm hab. SMA ‖ 2 *τὸν ἄρχοντα ἀνάγκη* M ‖ 3 *ἰσχύουσιν* A | *καὶ ἰσχυροὶ* SM *καὶ οἱ ἰσχυροὶ* A Xen. ‖ 4 *τοῦ δήμου τοῦ Ἀθήνησι. διὰ ταῦτα οὖν τοὺς μὲν* Xen. ‖ 6 *ἐξελαύνουσι* S Xen.: *ἐξελαύνονται* MA | *ἀποκτείνουσι* Tr. Xen.: *ἀποκτένουσι* S MA ‖ 8 ecl. cum lemm. hab. SMA ‖ 9 *δ' ἐγὼ μὲν αὐτῷ τῷ δ.* Xen. quod apud Stobaeum est id a levi correctore profectum videtur Cobeto n. l. p. 746 ‖ 10 *ἑαυτὸν* [*μὲν*] *γὰρ* Cobet l. c. | *παντὶ* Xen.: *πάντη* SMA ‖ 12 v. *ἢ ὀλιγ.—ὅτι μᾶλλον* (13) om. A | *ἐν* ante *ὀλιγ.* addidi e Xen. coll. versu 25 ‖ 13 *μᾶλλον* post *πόλει* (14) potius offert Xen. ‖ 15 ecl. cum lemm. hab. SMA ‖ 18 *τέχνη* pro *τείχη* MA¹ ‖ 19 *ταῦτα* SMA Dem.; *τὰ* Gesn.² ex arbitrio. Gaisfordi adnotatione deceptus est Blass Dem. or. vol. I 4 (Lips. a. 1885) p. XLVIII

ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστ' ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. τί οὖν ἐστι τοῦτο; ἀπιστία. ταύτην φυλάττετε, ταύτης ἀντέχεσθε· ἂν ταύτην σῴζητε, οὐδὲν μὴ δεινὸν πάθητε.

53 *Ἐκ τοῦ Πολυαίνου Ὑπὲρ τοῦ κοινοῦ τῶν Μακεδόνων.*

Πρὸς μὲν δὴ τὸ μικρὸν τέλος φήμ' ἔγωγε· ἀλλὰ τὸ ἔθος μέγα. ἔστι δὲ ὁ λόγος οὐ περὶ τῆς ποσότητος, ἀλλὰ περὶ τοῦ δικαίου· καὶ πρόδηλον ὡς ἀεὶ τὰ πονηρὰ τῶν ἐθῶν ἄρχεται μὲν ἀπὸ μικρῶν, ἀμελούμενα δὲ ἰσχὺν μείζω λαμβάνει.

54 *Θουκυδίδου ἱστορίας* ⟨*α'*⟩ (71).

Νῦν δέ, ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν. ἀνάγκη δὲ ὥσπερ τέχνης ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν, καὶ ἡσυχαζούσῃ μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς πολλὰ δὲ ἀναγκαζομένοις ἰέναι πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ.

55 *Ἐκ τοῦ Πολυαίνου Ὑπὲρ Μακεδόνων.*

Οὐκ εἰδὼς ὅτι πᾶν τὸ νεωτεριζόμενον ἐν ταῖς πολι-

---

1 *ἔστ'* M *ἐστ'* A *ἐστιν* S ‖ 3 *τούτω* M[1] ‖ 4 *σώζηται* A ‖ 5 ecl. cum lemm. hab. S M A; *ἐκ*[τ] *πολυ*, nec iam *α* comparet, cetera om. ut videtur S. cf. Stob. II 31, 77 ‖ 8 *ἐστὶν* compend. M ‖ 9 *ἀεὶ* A *αἰεὶ* S M ‖ 10 *ἔρχεται* A | *ἀμελό* ////// S | ante *ἰσχὺν* articulus *τὴν* in S A, sed nunc ut evanuerit in S excepta quadam compendii particula ‖ 12 ecl. hab. S, om. M A; *θουκυ*[δδ] *ἱστ* sed olim ut etiam libri numerus (sc. *α'*) fuisse videatur S. hunc saltem supplevimus. sed suo more lemma breviavit S (cf. ecl. 56. 61), quod fuit *Θουκ. ἱστορίας* ⟨*α' δημηγορίας Κορινθίων*⟩. saepius libri indiculus intercidit (*ἱστορίας* una cum numero ante *δημηγορίας*) velut III 5, 17 (5, 122 Mein.) III 7, 18. 7, 34 H., quem ibi erunt fortasse qui inseri malint ‖ 13 cf. schol. Aristid. 518, 9 D. *νῦν δὲ ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα* ‖ 15 *ἀεὶ* etiam Thucydidis libri ‖ 16 *πόλει* [*τὰ*] *ἀκίνητα* ⟨*τὰ*⟩ *νόμιμα* scr. Hude tollens prius *τὰ* cum Vsenero ‖ 17 *ἐπιτεχν.*] Hesych. s. v. ‖ 18 ecl. cum lemm. hab. S (post 54); *εκ*[τ] *πολυαί*[δ]*ν*, sed ut *αιν* facile cum *διν* confundi possit, omissis ceteris S *ἐκ τοῦ πολυαίνου ὑπὲρ λαγόνων* M A. *ἐκ τοῦ Π. ὑπὲρ Μακεδόνων* Meineke recte, nisi fuerit ut supra *ὑπὲρ τοῦ κοινοῦ τῶν Μακεδόνων*

τείαις ἀρχὴ δυνάμεως μείζονος γίνεται· ἄνδρας δὲ γεωργοὺς οὐκ ὀξεῖα τῶν κοινῶν ἀδικημάτων ἡ αἴσθησις εἰσέρχεται.

56 *Θουκυδίδου ἱστορίας α' δημηγορίας Ἀθηναίων* (77, 5).

Ὑπὸ γοῦν τοῦ Μήδου δεινότερα τούτων πάσχοντες ἠνείχοντο, ἡ δὲ ἡμετέρα ἀρχὴ χαλεπὴ δοκεῖ εἶναι, εἰκότως· τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις.

57 *Αἰσχίνου ἐν τῷ Κατὰ Τιμάρχου* (2 p. 28).

Αἱ γὰρ ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦσιν.

58 *Θουκυδίδου ἱστορίας τρίτης δημηγορίας Κλέωνος* (37, 3).

Πάντων δὲ δεινότατον, εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει ὧν ἂν δόξῃ πέρι, μηδὲ γνωσόμεθα ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν ἢ καλῶς ἔχουσιν ἀκύροις, ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερον ἢ δεξιότης μετὰ ἀκολασίας.

59 *Ἐν ταὐτῷ* (III 37, 3 s.).

Οἵ τε φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς ἐπὶ τὸ πλεῖον ἄμεινον οἰκοῦσι τὰς πόλεις. οἱ μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι τῶν τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλώσοντες τὴν γνώμην, καὶ ἐκ

---

(19) 1 *ἐν μὲν ταῖς πόλεσιν* prop. Hirschig | *δὲ* om. A ‖ 2 *ἡ* S om. M A ‖ 4 ecl. cum lemm. hab. S M A; *δημ. Ἀθ.* om. S ‖ 6 *μήδου* S M sed *η* ex *ι* corr. S[1] *μίδου* A ‖ 7 *εἶναι δοκεῖ* M ‖ 8 *αἰεὶ* recte Thucydidis cod. Pal. Heidelb. 252 ‖ 9 ecl. cum lemm. hab. S M A; *ἐν τῷ* om. S. cf. Gregor. Cor. VII 1316 Hermog. (rh. gr. II) p. 449, 30 Sp. ‖ 10. 11 *ἐπανορθοῦνται* Aeschinis libri aliquot | 12 ecl. cum lemm. hab. S M A ‖ 14. 15 *καθεστήξει ὧν* reposui e Thuc.: *καθίστησιν ὧν* S *καθεστησιων* M *καθεστισίων* A[1] *καθεστήσει ὧν* A[2] ‖ 15 *αν δόξι* M ‖ 17 *ἀμαθία—18 ἀκολασίας* Apostol. II 70b ‖ 19 ecl. cum lemm. hab. S M A ‖ 20. 21 *ξυνετωτέρους* sed *ετω* e corr. M[1] ‖ 21 *ἐπὶ τὸ πλεῖον* S M, Thucydidis libri plerique: *ἐπιτοπλεῖστον* A (silet certe Mekler), Tr. ‖ 23 *αἰεὶ* recte Thucydidei libri pauci ‖ 24 *ἄλλοις* e Thuc. Gesn.[2]: *πολλοῖς* S M A | *δηλώσαντες* Thuc.

τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις· οἱ δὲ ἀπιστοῦντες τῇ ἑαυτῶν ξυνέσει ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι δὲ τὸν τοῦ καλῶς εἰπόντος μέμφεσθαι λόγον, κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον ἢ ἀγωνισταὶ διορθοῦνται τὰ πλείω.

60 *Δημοσθένους Φιλιππικῶν* (X p. 132).

Τοιγάρτοι διεστηκότων εἰς δύο ταῦτα τῶν ἐν ταῖς πόλεσι, τῶν μὲν εἰς τὸ μήτ' ἄρχειν βίᾳ βούλεσθαι μηδενὸς μήτε δουλεύειν ἄλλῳ, ἀλλ' ἐν ἐλευθερίᾳ καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι, τῶν δ' εἰς τὸ ἄρχειν μὲν τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι' ὅτου ποτ' ἂν οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι, οἱ τῆς ἐκείνου προαιρέσεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κεκρατήκασι πανταχοῦ.

61 *Θουκυδίδου ἱστορίας ς´ ἐκ τῆς δημηγορίας Νικίου* 9, 2).

Νομίζω ὁμοίως ἀγαθὸν πολίτην εἶναι, ὃς ἂν καὶ τοῦ σώματός τι καὶ τῆς οὐσίας προήται· μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι' αὑτὸν βούλοιτο ὀρθοῦσθαι.

62 *Αἰσχίνου ἐν τῷ Κατὰ Τιμάρχου* (4).

Ὁμολογοῦνται τρεῖς εἶναι πολιτεῖαι ἐν ἅπασιν ἀν-

---

2 *τῇ ἐξ αὐτῶν* (vel *αυτ-* sine sp.) libri Thucydidis ‖ **3** *τὸν* om. libri Thucydidei ‖ **4** *μέμψασθαι* Thuc. ‖ **5** *ὀρθοῦνται* Thuc. sed syll. *δι-* vide ne ex dittographia quadam suborta sit ‖ **6** ecl. cum lemm. hab. SMA. *ἐκ τῶν Φιλιππικῶν* A ‖ **8** *βουλεύεσθαι* A ‖ **9** *ἐν τῇ ἐλευθερίᾳ καὶ ἐν τοῖς νόμοις* A ‖ **11. 12** *διο τουποτανοιωνται* non distincta M ‖ **13** *οἱ τυραννίδων* e. q. s. habet in marg. a m. ant. A | *οἱ* S: *οὐ* potius videtur esse in M, *ἢ* in A ‖ **15** ecl. cum lemm. hab. SMA; *Θουκ*[δδ] *ἱστ*[ο] *ς´* nec plura S *ἐκ τῆς* om. sed spatiolo inter *ς* et *δημ.* interiecto M ‖ **17** *νομίζων* Thuc. *νομίζω* gnomologus consulto ‖ **18** *προήται* libri: *προνοῆται* Thuc. cf. schol. Thuc.: *ἀγαθὸν πολίτην ἡγοῦμαι καὶ τὸν ἀφειδοῦντα τοῦ σώματος καὶ τὸν προνοούμενον ἐν καιρῷ ὁμοίως* ‖ **19** *δι' αὑτὸν* scripsi: *δι' αυτὸν* S *διαυτὸν* M *δι' αὐτὸν* A; *δι' ἑαυτὸν* Thuc. ‖ **21** ecl. cum lemm. hab. SMA, *ἐν τῷ* om. S. cf. Greg. Cor. VII 1316 ‖ **22** *ὁμολογοῦνται γὰρ τρεῖς* Aesch., Greg.: particulam delevit gnomologus

θρώποις, τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία. διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις.

63 *Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ* (p. 291 D—292 A).

Ἆρ' οὐ μοναρχία τῶν πολιτικῶν ἡμῖν ἀρχῶν ἐστι μία; — Ναί. — Καὶ μετὰ μοναρχίαν εἴποι τις ἂν οἶμαι τὴν ὑπὸ τῶν ὀλίγων δυναστείαν. — Πῶς δ' οὔ; — Τρίτον δὲ σχῆμα πολιτείας οὐχ ἡ τοῦ πλήθους ἀρχή, δημοκρατία τοὔνομα κληθεῖσα; — Καὶ πάνυ γε. — Τρεῖς δ' οὖσαι μῶν οὐ πέντε τρόπον τινὰ γίγνονται, δύ' ἐξ αὑτῶν ἄλλα πρὸς αὑταῖς ὀνόματα τίκτουσαι; — Ποῖα δή; — Πρὸς τὸ βίαιόν που καὶ ἑκούσιον ἀποσκοποῦντες νῦν καὶ πενίαν καὶ πλοῦτον καὶ νόμον καὶ ἀνομίαν ἐν αὐταῖς γιγνόμενα διπλῆν ἑκατέραν τοῖν δυοῖν διαιροῦντες μοναρχίαν μὲν προσαγορεύουσιν ὡς δύο παρεχομένην εἴδη δυοῖν ὀνόμασιν, τὸ μὲν τυραννίδι, τὸ δὲ βασιλικῇ; — Τί μήν; — Τὴν δὲ ὑπὸ ὀλίγων γε ἑκάστοτε κρατηθεῖσαν πόλιν ἀριστοκρατίᾳ καὶ ὀλιγαρχίᾳ. — Καὶ πάνυ γε. — Δημοκρατίας γε μήν, ἐάν τ' οὖν βιαίως ἐάν τε ἑκουσίως τῶν τὰς οὐσίας ἐχόντων τὸ πλῆθος ἄρχῃ, καὶ ἐάν τε τοὺς νόμους ἀκριβῶς φυλάττον ἐάν τε μή, πάντως τοὔνομα οὐδεὶς αὐτῆς εἴωθε μεταλλάττειν. — Ἀληθῆ.

64 *Τοῦ αὐτοῦ ἐκ τοῦ Κριτίου ἢ Ἀτλαντικοῦ* (p. 110 A—C).

Λέγω δὲ ταῦτα τεκμαιρόμενος, ὅτι Κέκροπός τε καὶ

(22) 1 *παρὰ πᾶσιν ἀνθρώποις* Aesch. *πᾶσιν* (om. *παρὰ*) *ἀ.* Greg. cf. Aesch. Ctesiph. 6 ‖ 1 prius *καὶ* om. Greg. ‖ 5 ecl. cum lemm. hab. S M A ‖ 7 *εἴπῃ* A ‖ 10 *καὶ* om. Platonis B ‖ 11 *γίγνεται* A ‖ 11. 12 *αὐτῶν* (*αυ-* M) libri, *ἑαυτῶν* Plat. ‖ 12 *αὐταῖς* (*αυ-* S) S M A *ἑαυταῖς* Plat. | *ὀνόματα* M Tr., Plat.: *οὐνόματα* S *ὀνόματι* A ‖ 15 *δυοῖν* sed *υ* ex *οι* corr. S[1] ‖ 17 *τὸ μὲν* om. libri Platonis ‖ 19 *ἀριστοκρατίᾳ καὶ ὀλιγαρχίᾳ* Plat.: *ἀριστοκρατία καὶ ὀλιγαρχία* S M A ut Platonis vulg. ‖ 22 *τε μὴ* S M, Plat. *τε καὶ μὴ* A idque frustra recepere Gaisford et Meineke | *πάντωσ* sed *ωσ* ex *ασ* corr. M[1] ‖ 23 *μεταλλάττειν* S, Plat. *-αλάττειν* M *-αλάσσειν* A ‖ 24 ecl. cum lemm. hab. S M A, in lemm. *ἐκ τῶν κριτίου* A, verba *ἢ ἀτλ.* om. S ‖ 25 *αὐτὰ* Ps.-Plat., *κέκροπόσ*
ε *ε*
τ sed *σ* *τ* in ras. M[1]

Ἐρεχθέως καὶ Ἐριχθονίου καὶ Ἐρυσίχθονος τῶν τε ἄλλων τὰ πλεῖστα ὅσαπερ καὶ Θησέως τῶν ἄνω περὶ τῶν ὀνομάτων ἑκάστων ἀπομνημονεύεται, τούτων ἐκείνους τε πολλὰ ἐπονομάζοντας ⟨τοὺς ἱερέας⟩ ἔφη Σόλων τὸν τότε διηγεῖσθαι πόλεμον, καὶ τὰ τῶν γυναικῶν κατὰ ταὐτά. καὶ δὴ καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότε ἦν ἐπιτηδεύματα ταῖς τε γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ περὶ τὸν πόλεμον, οὕτω κατ᾽ ἐκεῖνον τὸν νόμον ὡπλισμένην τὴν θεὸν ἀνάθημα θεῖναι τοῖς τότε, ἔνδειγμα ὅτι πάνθ᾽ ὅσα ξύννομα ζῷα θήλεα καὶ ὅσα ἄρρενα, τὴν προσήκουσαν ἀρετὴν ἑκάστῳ γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδεύειν πέφυκεν.

65 *Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι* (14 p. 29 c).

Περὶ μὲν οὖν τῶν πολιτειῶν, ἐντεῦθεν γὰρ ὑποτιθέμενος ἠρξάμην, οἶμαι πᾶσι δεινότατον μὲν εἶναι τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς, δικαιότατον δὲ τὸ διορθώσασθαι περὶ τούτων καὶ μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν.

66 a *Θουκυδίδου δημηγορίας Ἀλκιβιάδου.*

* * *

1 *ἐρισίχθονος* Tr. ‖ 2 *ὅσαπερ* (compend. S) *καὶ* S M A, Ps.-Plat.: *ὅσα καὶ* Tr. ‖ 4 *ἐπονομάζοντας τοὺς ἱερέας ἔφη Σόλων τὸν τότε* scripsi: *ἐπονομάζοντας ἔφης ὅλον τὸν τότε* (*ὅλων τόν τε* A *ὅλων. τον τε* M) S M A. *ἐπονομάζοντας τοὺς ἱερέας Σόλων ἔφη τὸν τότε* Ps.-Plat. idque tacite ex Platonis Ald. scr. Gesn.[1] p. 256 ‖ 5 *καὶ τὰ*]
αὶ ὰ *ή ὰ*
κ τ fere, non *κ τ* agnovisse sibi visus est Mekler in A | *ταὐτά* scripsi: *ταῦτα* S M A *τὰ αὐτά* Ps.-Plat. ‖ 6 *τὸ τοῦ θ.* Tr. | *θεούσ σχῆμα* M ‖ 7 *τε* om. A ‖ 8 *νόμον*] *πόνον* e Platonis Ald. adscr. Gesn.[1] mrg. ‖ 9 *θεῖναι*] *εἶναι* Gesn.[1] mrg. e Platonis Ald. ‖ 10 *ξύννομα* (*σύνν*-Ps.-Plat.) A Tr.: *ξύνομα* S M ‖ 11 *παγκοινῇ* A ‖ 13 ecl. cum lemm. hab. S M A, *ἢ Κύπριοι* om. S ‖ 15 *πᾶσι δοκεῖν δεινότατον* Is: sed non obstabo, si quis a librario, non ab ipso gnomologo illud *δοκεῖν* omissum esse putaverit; ‖ 17 *διορθώσασθαι* S M A, Isocratis cod. Vatic. 65: *διωρίσθαι* (primo *διορ.σθαι*) Isocratis cod. Vrbin. ‖ 18 *ἀνομίους* M ‖ 19 *κατὰ τὴν ἀξίαν ἑκάστους* Is. ‖ 20 lemma hab. S M A, ut eclogam ex Alcibiadis oratione petitam, velut VI

66 b (Thuc. VI 39, 1).

Ἐγὼ δέ φημι πρῶτα μὲν δῆμον ξύμπαν ὠνομάσθαι, ὀλιγαρχίαν δὲ μέρος· ἔπειτα φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς πλουσίους, βουλεῦσαι δ' ἂν βέλτιστα τοὺς ξυνετούς, κρῖναι δ' ἂν ἀκούσαντας ἄριστα τοὺς πολλούς, καὶ ταῦτα ὁμοίως καὶ κατὰ μέρη καὶ ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖ. ὀλιγαρχία δὲ τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι, τῶν δὲ ὠφελίμων οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ ξύμπαντ' ἀφελομένη ἔχει.

67 *Δημοσθένους Φιλιππικῶν* (VIII p. 107).

Οὐδέ γ' ἐμοὶ δοκεῖ δικαίου τοῦτ' εἶναι πολίτου, τοιαῦτα πολιτεύμαθ' εὑρίσκειν, ἐξ ὧν ἐγὼ μὲν πρῶτος ὑμῶν ἔσομαι εὐθέως, ὑμεῖς δὲ τῶν ἄλλων ὕστατοι· ἀλλὰ συναυξάνεσθαι δεῖ τὴν πόλιν τοῖς τῶν ἀγαθῶν πολιτῶν πολιτεύμασι, καὶ τὸ βέλτιστον ἀεί, μὴ τὸ ῥᾷστον ἅπαντας λέγειν· ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται, ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ προσάγεσθαι διδάσκοντα τὸν ἀγαθὸν πολίτην.

68 (70 Mein.) *Θουκυδίδου δημηγορίας Εὐφήμου* (VI 85, 1).

Ἀνδρὶ δὲ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ οὐδὲν ἄλογον ὅ τι ξυμφέρον οὐδ' οἰκεῖον ὅ τι μὴ πιστόν· πρὸς ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι.

18, 7, intercidisse probabile sit. fuerit olim *Θουκυδίδου* ⟨*ἱστορίας ϛ'*⟩ *δημηγορίας Ἀλκιβιάδου.* ⟨. . . . . *Θουκυδίδου ἱστορίας ϛ' δημηγορίας Ἀθηναγόρου*⟩. pro *Ἀλκιβιάδου* scribendum esse *Ἀθηναγόρου* vix recte suspicatus est Gaisford

2 *πρῶτα μὲν* supra versum A | *ξύμπαντα* A ‖ 4 *δ' ἂν* ex *δ' ἂσ* ut videtur corr. M[1] ‖ 6. 7 *δημοκρατεία* M ‖ 7 *ἰσομοιρεῖ* S A *ἰσομοιρῇ* M *ἰσομοιρεῖν* Thuc. ‖ 8 *πλεονεκτεῖν* A ‖ 9 *ξύμπαντα* (*ξύμπαντ'* Herwerden) A *ξύμπαν* S M, libri Thuc., *σύμπαν* Tr. ‖ 10 ecl. cum lemm hab. S M A ‖ 11 *οὐδέ γε* (*γέ* M acc. rubr.) *μοι* S M A *οὐδέ γ' ἐμοὶ* Dem. ‖ 12 *πολιτεύματ'* M ‖ 15 *βέλτιον* A | *ἀεὶ* A Dem. *αἰεὶ* S M ‖ 16 *ἐκεῖνο* Dem.: *ἐκείνω* (vel -*ωι*) libri Stob. ‖ 17 *τοῦτο* Dem.: *τούτω* (vel -*τωι*) libri Stob. | *προάγεσθαι* Dem. ‖ 19 ecl. cum lemm. hab. S (post ecl. 43, 69 Mein.) M A (post v. *τὸν ἀγαθὸν πολίτην*); in lemmate *εὐφ* . . . S. nescio an ante *δημηγορίας* interciderit *ἱστορίας ϛ'* ‖ 21 *οὐδενα λογον* S ‖ 23 *δεῖ ἢ ἐχθρὸν* Thuc.: *δεῖν ἐχθρὸν* libri Stob.

69 (67 extr. Mein.) *Δημοσθένους Φιλιππικῶν* (X p. 133).

Ἵν᾽ ὑμῶν ἕκαστος, ὦ Ἀθηναῖοι, τοῦτο γνῷ καὶ εἰδῇ, ὅτι ἡ καθ᾽ ἡμέραν ῥᾳστώνη καὶ ῥᾳθυμία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω καὶ ταῖς πόλεσιν οὐκ εὐθέως, ἀλλ᾽ ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ.

70 (71 Mein.) *Ἰαμβλίχου ἐκ τῶν Προτρεπτικῶν εἰς φιλοσοφίαν λόγων* (c. 2 p. 9, 8 Pist.)

Ὁμοίως ἐπισφαλὲς μαινομένῳ δοῦναι μάχαιραν καὶ μοχθηρῷ δύναμιν.

71 (68 Mein.) *Δημοσθένους Φιλιππικῶν* (X p. 142).

Ὥσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου τίς ἐστι γονεύς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ τοὺς γονέας τοὺς σύμπαντας ἡγεῖσθαι, καὶ προσήκειν τούτους οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι, ἀλλ᾽ εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν σκοπεῖν ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται.

72 *Θεοφράστου.*

Θεόφραστος ἐρωτηθεὶς ὑπό τινος, τί συνέχει τὸν τῶν ἀνθρώπων βίον, ἔφη ‘εὐεργεσία καὶ τιμὴ καὶ τιμωρία.’

73 *Χαρίλλου* (Plut. reg. et imp. apophth. p. 189 F).

---

1 ecl. cum lemm. hab. S (post eclogae 67 Mein. partem priorem) M A (post ecl. 70 Mein.), lemmate detracto verbis *τὸν ἀγαθὸν πολίτην* adiungit Tr., quo in errore perseverarunt Gaisford et Meineke. pro lemmate *τ̃ αυ^τ* S ‖ 2 *ὦ ἄνδρες Ἀθ.* Dem. ‖ 4 *βόοισ* M | *πόλεσιν οὐκ ἐφ᾽ ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν εὐθέως* Dem. ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 70 Mein.) M A (post ecl. 67 extr. Mein.); pro lemmate *ἰαμβλι^χ* nec plura S. legitur ecloga cum lemm. etiam supra III 2, 39 p. 187, 7 H. ubi videsis ‖ 8 post *ὁμοίως ἐπισφ.* addunt *καὶ ὅμοιον* libri Iambl. ‖ 10 ecl. cum lemm. hab. S (post 67 extr. Mein.) M A (post ecl. 71 Mein.); *τ̃ αυ^τ* pro lemm. S ‖ 12 *τοὺς* ante *γον.* om. libri Demosthenis ‖ 13 *προσήκει* libri Dem. praeter vulg. ‖ 15. 16 *περιοφθήσονται* Dem. *περιοφθήσωνται* libri Stob. ‖ 17 ecl. sine lemm. hab. S (post ecl. 71 Mein.), addito lemmate M A (post ecl. 68 Mein.), sine lemm. Br (post ecl. 49 Mein.) recurrit ecloga gnomol. Vat. 322 Sternb. cf. Append. Vat. p. 71 n. 27 Sternb. ‖ 18 *Θ. ὁ ἐκ τοῦ περιπάτου φιλόσοφος ἐρωτ.* gnomol. Vat. | *ὑπό τινος* om. S Br ‖ 19 *ἔφη*] *εἶπεν* gnomol. Vat. ‖ 20 ecl. sine lemm. hab. S, addito lemm. M A. *Χαριλάου* et mox *Χαρίλαος*

Χάριλλος ὁ βασιλεὺς ἐρωτηθείς, διὰ τί νόμους ὀλίγους ὁ Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο τοὺς ὀλίγοις χρωμένους λόγοις μὴ πολλῶν δεῖσθαι νόμων.

74 *Ἡροδότου ἱστορίας β'* (35).

Ἐσθίουσι δὲ ἔξω ἐν τῇσιν ὁδοῖσιν ἐπιλέγοντες ὡς τὰ μὲν αἰσχρὰ ἀναγκαῖα δὲ ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεών, τὰ δὲ μὴ αἰσχρὰ ἀναφανδόν.

75 *Ξενοφῶντος ἐν α' Ἀπομνημονευμάτων* (c. 2, 10).

Ἐγὼ δ' οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας ὅτι τῇ μὲν βίᾳ πρόσεστιν ἔχθρα καὶ κίνδυνος, διὰ δὲ τοῦ πείθειν ἀκινδύνως τε καὶ μετὰ φιλίας τὰ αὐτὰ γίγνεται. οἱ μὲν γὰρ βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν, οἱ δὲ πεισθέντες ὡς κεχαρισμένοι φιλοῦσιν. οὐκοῦν οὐ τῶν φρόνησιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων τὰ τοιαῦτα πράττειν ἐστίν. ἀλλὰ μὴν καὶ συμμάχων ὁ μὲν βιάζεσθαι τολμῶν δέοιτ' ἂν οὐκ ὀλίγων, ὁ δὲ πείθειν δυνάμενος οὐδενός· καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι πείθειν. καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει· τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον ἢ ζῶντι πειθομένῳ χρῆσθαι;

76 *Σόλωνος.*

---

perperam Gaisford et Meineke. *Χάριλλος* etiam pinacogr. Photi p. 64 Elt.

1. 2 *ὀλίγους οὕτω Λυκ.* Plut. ‖ 2 *ὀλίγοις* sed *οις* in ras. M[1] ‖ 2. 3 *χρωμένους ὀλίγοις* Plut. ‖ 3 *λόγοις* e Plut. Meineke: *νόμοις* libri Stobaei | *πολλῶν* supra lin. add. A[1] om. SM. *μὴ δεῖσθαι νόμων πολλῶν* Plut. idque ipsum aut *πολλῶν νόμων* suspicor olim fuisse etiam in Stobaeo ‖ 4 ecl. cum lemm. hab. S, om. M A ‖ 6 *χρεόν* Her. ‖ 8 ecl. cum lemm. hab. S M A; pro lemm. *ξενοφ* nec plura S ‖ 10 *ἱκανοὺς* ex *ἱκανῶς* S[1] ‖ 10. 11 *τοὺς πολίτας* ex dativo corr. S[1] ‖ 11 *εἰδότας* M, e Xen. Gesn.[1]: *εἰδότες* S A ‖ 12 *πρόσεισιν ἔχθραι καὶ κίνδυνοι* Xen. ‖ 15 *οὔκουν τῶν* Xen. ‖ 16 *ἀλλὰ τὸν ἰσχυν* M ‖ 17 aut *τὸ* (vel *τὸ τὰ*) *τοιαῦτα πρ.* scribi volunt Xenophontis editores aut tollunt v. *τὰ τ. πρ.* | *ἔστιν* M ‖ 23 ecl. sine lemm. hab. S Br (et hic quidem post ecl. 72), addito lemmate M A

Σόλων ἐκείνην εἶπεν ἄριστα τὴν πόλιν οἰκεῖσθαι, ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι, καὶ τὸ ἐναντίον ἐν ᾗ τοὺς κακοὺς ἀμύνεσθαι.

77 *Τοῦ αὐτοῦ.*

Σόλων ἐρωτηθεὶς πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν πόλει, εἶπεν 'εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις'.

78 (69 Mein.) *Δημοσθένους Φιλιππικῶν* (X p. 142).

Δεῖ γάρ, ὦ Ἀθηναῖοι, δικαίως ἀλλήλοις τῆς πολιτείας κοινωνεῖν, τοὺς μὲν εὐπόρους εἰς μὲν τὸν βίον τὸν ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας καὶ ὑπὲρ τούτων μὴ δεδοικότας, εἰς δὲ τοὺς κινδύνους κοινὰ ὑπὲρ τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας, τοὺς δὲ λοιποὺς τὰ μὲν κοινὰ κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος, τὰ δὲ ἑκάστου ἴδια τοῦ κεκτημένου. οὕτω καὶ ἡ μικρὰ πόλις μεγάλη γίγνεται καὶ μεγάλη σῴζεται.

79 (78 Mein.) *Περιάνδρου.*

Περίανδρος ἐρωτηθείς, διὰ τί οὐκ ἀποτίθεται τὴν

---

recurrit corp. Par. 372 Elt. inter Favorini apophthegmata; gnomol. Vat. 503 Sternb. *Ὁ αὐτὸς* (sc. *Σόλων ὁ σοφός*) *ἔφη ἐκείνην ἄριστα κτἑ.*

1 *οἰκεῖσθαι τὴν π.* corp. Par. *διοικεῖσθαι τὴν π.* gnomol. Vat. ‖ **2** *ἄνδρας* om. corp. Par. gnomol. Vat. | *καὶ τὸ ἐναντίον—***3** *ἀμύνεσθαι*] *κάκιστα δὲ οἰκεῖσθαι, ἐν ᾗ τοὺς κακοὺς* corp. Par. gnomol. Vat.; v. *τὸ ἐναντίον, ἐν ᾗ* secludi maluit Meineke ‖ **4** ecl. sine lemm. hab. S Br, addito lemmate M A. recurrit fere gnomol. Vat. 501 Sternb. non iisdem verbis Soloni hoc dictum adsignatur Diog. Laert. I 2, 59 Plut. vit. Sol. c. 18 extr. Sept. sap. conviv. p. 154 D ‖ **5** *ἐρωτηθεὶς δὲ* (om. *Σόλων*) Br *Σόλων ὁ σοφὸς ἐρωτῶντος αὐτόν τινος πῶς ἂν μὴ γένοιτο ἀδίκημα εἶπεν* gnomol. Vat. | *ἐν τῇ π.* inutiliter Gesn.[1] ‖ **6** *ἀγανακτοῖεν ἐπὶ τοῖς ἀδικήμασιν οἱ μὴ ἀδ.* gnomol. Vat. ‖ **8** ecl. cum lemm. hab. S (post ecl. 68 Mein.) M A (post ecl. 77 Mein.); pro lemm. *τ αυτ* nec plura S ‖ **9** *ὦ ἄνδρες Ἀθ.* Dem. ‖ **10. 11** *τῶν ἑαυτῶν* codd. Dem. *τὰ ἑαυτ-* Auger | *τούτων* M A, Dem., *τούτου* S ‖ **12** *κοίν' ὑπὲρ τῆς σωτηρίας ὄντα* (*ὄντα* Demosthenis cod. S) *τῇ πατρίδι* [*παρέχοντας*] in Dem. Blass ‖ **14** *μέρος* S A, Dem. *μέτρ* sic M ‖ **15** *καὶ μικρὰ* Dem. ‖ **16** *μεγάλη πόλις* Demosthenis cod. S ‖ **17** ecl. sine lemm. hab. S (post ecl. 77 Mein.) Br (post ecl. 82 Mein.) addito lemmate M A (post ecl. 69 Mein.). cf. Diog. Laert. I 97

ἀρχήν, εἶπεν 'ὅτι τῷ κατ' ἀνάγκην ἄρχοντι καὶ τὸ ἑκουσίως ἀποστῆναι κίνδυνον φέρει'.

80 (79 Mein.) *Πυθαγόρου.*

Πυθαγόρας εἶπεν εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφήν, ἔπειτα κόρον, εἶτα ὕβριν, μετὰ δὲ ταῦτα ὄλεθρον.

81 (84 Mein.)

Ὁ αὐτὸς τῶν πόλεων ἐκείνην εἶπεν ἀρίστην τὴν ἄνδρας ἀγαθοὺς ἔχουσαν.

82 (83 Mein.) *Σωκράτους.*

Σωκράτης ἐρωτηθείς, ποία πόλις ἄριστα οἰκεῖται, ⟨ἔφη⟩ 'ἡ μετὰ νόμου ζῶσα καὶ τοῖς ἀδικοῦσιν ἐπεξιοῦσα.'

83 (81 Mein.) *Τοῦ αὐτοῦ.*

Σωκράτης ἐρωτηθείς, ποία ἀνομεῖται πόλις, 'ἐν ᾗ' ἔφη 'οἱ ἄρχοντες μεθ' ἑταιρείας καθίστανται.'

84 (80 Mein.) *Τοῦ αὐτοῦ.*

Σωκράτης ἐρωτηθείς, ποία ἰσχυροτάτη τῶν πόλεων, εἶπεν 'ἡ ἄνδρας ἀγαθοὺς ἔχουσα.'

85 *Τοῦ αὐτοῦ.*

Σωκράτης ἐρωτηθείς, εἰς τὰς ἀρχὰς ὁποίους τινὰς δεῖ καθιστάναι, εἶπεν 'οἵτινες ἐκ παίδων καλῶς ἤχθησαν καὶ

---

3 ecl. sine lemm. hab. S, adiecto lemmate M A ‖ **6** ecl. sine lemm. hab. S post ecl. 79 Mein., om. M A ‖ **7** *ὁ αυτὸς* S *Πυθαγόρας* Gesnero[2] praeeunte temere Gaisford et Meineke | *ἀρίστην*] *καρτερωτάτην* vel *ἰσχυροτάτην* sim. optat Meineke ‖ **9** ecl. hab M A (post ecl. 79 Mein.) Br (post ecl. 41 Mein.), om. S. lemma quod detractum est in Br exhibent M(?) A. *Τοῦ αὐτοῦ* temere Gaisford et Meineke. recurrit ecl. Maxim. c. 68 (*Σωκρ.*) teste Eltero, initium (*ὁ αὐτὸς—διοικεῖται ἔφη*) etiam corp. Par. 1053 Elt. ‖ **11** *ἔφη* Max., corp. Par.: om. M A Br; *εἶπεν* Gesn.[2] | *ζῶσα ἔφη καὶ* Br | *ἐπαξιοῦσα* A[1] ‖ **12** ecl. cum lemm. hab. M A post ecl. 83 Mein., eodem loco sed abiecto lemmate Br, om. S ‖ **13** *ἐρωτηθεὶς δὲ* Br | *ποῖα* M | *εὐνομεῖται* oscitanter Gesn.[2] **15** ecl cum lemm. hab. M A (post ecl. 81 Mein.), in eadem sede sed detracto lemmate Br, om. S. *Σωκράτους* ut videtur M ‖ **16** *Σωκράτης ἐρ.* om. Br. | *ποία δὲ* Br | *ἰσχυρωτάτη* M ‖ **17** *ἡ* M Br *οἱ* A | *ἄνδρας ἀγαθοὺς ἔχουσα* M A Br, *ἄνδρας ἔχουσα ἀγαθούς* ex Gesn.[2] Gaisford et Meineke. cf. ecl. 81 ‖ **18** ecl. sine lemm. hab. S (post ecl. 84 Mein.) cum lemm. *Τοῦ αὐτοῦ* M A post ecl. 80 Mein. eodemque loco Br sed hic lemmate detracto ‖ **19** pro v. *Σωκράτης—*20 *εἶπεν* legitur

εἰς ἡλικίαν ἐλθόντες μὴ γεγόνασι προδόται τῆς αὐτῶν † ἡλικίας λήμματος χάριν.'

86 *Πλάτωνος ἐκ τοῦ Μενεξένου ἢ Ἐπιταφίου* (p. 238 C).

Πολιτεία γὰρ ἀνατροφὴ ἀνθρώπων ἐστίν, καλὴ μὲν ἀγαθῶν, μὴ καλὴ δὲ κακῶν.

87 *Αἰσχίνου* (Ctesiph. 180).

Κἀκεῖνο ἐκλογίσασθε, ὅτι, ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε.

88 *Ζήνωνος* (fr. 266 Arn.).

Ζήνων ἔφη δεῖν τὰς πόλεις κοσμεῖν οὐκ ἀναθήμασιν, ἀλλὰ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

89 *Σόλωνος.*

Σόλων ὁ νομοθέτης ἐρωτηθεὶς ὑπό τινος, πῶς ἄριστα

ὁ αὐτὸς τούτους ἔφη καθιστάναι ἄρχοντας in S ‖ 19 *Σωκρ. ἐρ.* om. Br qui ex interpolatione *εἰς δὲ τὰς* | *τινας* M Br om. A

1 *αὐτῶν* tacite Meineke: *αὐτῶν* libri ‖ 2 *ἡλικίας* vix sanum. *εὐκλείας* olim Nauck. *εὐαγωγίας* ego verbis *οἵτινες—καλῶς ἤχθησαν* collatis, *παιδείας* Elter. ante v. *λήμματος χ.* aliquid intercidisse suspicatus est Meineke flor. IV p. LXV velut *μηδὲ ὅρκους ὀμωμόκασι* incerta coniectura ‖ 3 ecl. cum lemm. hab. S M A, nil nisi *πλα*^τ pro lemm. S. laudat verba Dionysius Hal. Demosth. p. 187, 2 Vsener et Raderm. ‖ 4 male *ἀνατροφὴ* (*-στροφὴν* Tr.) libri Stobaei. sed vide ne scribendum sit *ανων τροφή* [*ἀνθρώπων*] *ἐστιν*, nam *ἀνθρώπων τροφή 'στι* Dionys. *τροφὴ ἀνθρώπων ἐστίν* Plat. ‖ 4. 5 *καλὴ μὲν ἀγαθῶν* Stob. Plat.: *καὶ ἡ μὲν ἀγαθὴ ἀγαθῶν* Dionys. ubi tamen *καλὴ μὲν* [*ἀγαθὴ*] *ἀγαθῶν* prop. Radermacher ‖ 5 *μὴ καλὴ δὲ κακῶν* etiam Dionys.: *ἡ δὲ ἐναντία κακῶν* libri Platonis ‖ 6 ecl. cum lemm. hab S M A ‖ 8 *καὶ* (ante *κατὰ*) Aesch. *ἢ* S M A ‖ 10 *χαρίζεσθε* A ‖ 12 ecl. sine lemmate hab. S, addito lemmate M A. Zenonis *Περὶ πολιτείας* libro tribuit Wachsmuth comment. I de Zenone Citiensi et Cleanthe Assio p. 5 ‖ 13 *ἀναθύμασιν* A[1] ‖ 15 ecl. sine lemm. hab. S, cum lemm. M A, lemmate non iterato (post ecl. 77) Br. cf. gnomol. Byz. n. 71 p, 178 W. ‖ 16 *Σόλων ὁ νομοθέτης ἐρ. ὑπό τινος πῶς—1 οἰκοῖντο ἔφη* reposui ex M A *ὁ αὐτὸς ἐρωτηθεὶς πῶς—οἰκοῖντο ἔφη* Br *Σόλων πῶς—οἰκοῖντο ἐρωτηθεὶς εἶπεν* S

αἱ πόλεις οἰκοῖντο, ἔφη 'ἐὰν οἱ μὲν πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις.'

90 *Θουκυδίδου ἐκ τοῦ Ἐπιταφίου* (II 46).

Ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσιν.

91 (82 Mein.) *Σόλωνος.*

Σόλων ἐρωτηθείς, τίς ἀρίστη πόλις, 'ἐν ᾗ' ἔφη 'πλεῖστα ἀρετῆς ἆθλα.'

92 (91 Mein.) *Ἀρκεσιλάου.*

Ἀρκεσίλαος ἔλεγεν, ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροὶ πολλοί, ἐνταῦθα νόσοι πλεῖσται, οὕτω δὴ καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ καὶ ἀδικίαν εἶναι μεγίστην.

93 (92 Mein.) *Ἱπποδάμου Πυθαγορείου ἐκ τοῦ Περὶ πολιτείας.*

Φαμὶ δ' ἐγὼν ἐς μοίρας τρεῖς διεστάσθαι τὰν σύμπασαν πολιτείαν· καὶ μίαν μὲν εἶμεν μοῖραν τῶν ἀρετᾷ κυβερνώντων τὰ κοινά, δευτέραν δὲ τῶν δυνάμει, τρίταν δὲ τῶν ἐκπλαρώσει καὶ χορηγίᾳ τῶν ἀναγκαίων. ὀνυμαίνω δὲ τὸ μὲν πρᾶτον πλᾶθος βουλευτικόν, τὸ δὲ δεύτερον

---

1 *ἐὰν μὲν οἱ* S ‖ 3 ecl. cum lemm. hab. S M A: *Θουκυδ* pro lemmate nec plura S ‖ 4 *τοῖς δὲ* M, Thucydidis cod. Palatinus: *τοῖσδε* S A, Thucydidis reliqui ‖ 6 ecl. cum lemm. hab. M A (post ecl. 90) lemmate non iterato (post ecl. 89) Br, om. S. temere Socrati dedit apophthegma Gesn.[2] ordine eclogarum turbato, error remansit in Gaisfordi Meinekiique editionibus ‖ 7 *Σόλων ἐρωτηθεὶς τίς* M A *ἐρωτηθεὶς δὲ τίσ* Br. ‖ 9 ecl. sine lemm. hab. S (post ecl. 90) addito lemmate M A (post ecl. 82 Mein.). recurrit corp. Par. 537 Elt. (*Ἀρκεσιλάου*) ‖ 11 *δὴ* A *δὲ* S M corp. Par. ‖ 12 *ἐκεῖ εἶναι καὶ ἀδικίαν* M A corp. Par. | *πλείστην* optat Meineke ‖ 13 ecl. cum lemm. hab. S M A; *πυθαγορίου* S A *πυθαγόρου* M Tr. *ἐκ τοῦ* om. S. expectes *Ἱππ.* ⟨*Θουρίου*⟩ *Πυθ.* ut legitur flor. 103, 26 Mein. ‖ 15 *ἐγὼ* libri: corr. Meineke | *ἐς* M A *εἰς* S | *διεστασθαι* sine acc. M accentum loco dubio ut ambigas voluerit *διέσ-* an *διεστάσθαι* A *διεστᾶσθαι* S | *τὴν* S M A: corr. Meineke ‖ 16 *εἶναι* libri: corr. Meineke | *ἀρετᾷ* Hirschig: *ἀγαθῶν* S M superscr. A[2] ‖ 17 *τρίτη* A ‖ 18 *ἐκπληρώσει* A | *ὀνομάνω* S M A sed *η* supra *α* A[1]: corr. Orelli ‖ 19 *πρῶτον* S M A: corr. Meineke | *πλᾶθος* S M *πλῆθος* A | *δουλευτικὸν* A[1]

ἐπίκουρον, τὸ δὲ τρίτον βάναυσον. καὶ τὰ μὲν πρᾶτα τῶν ἐλευθέραν βιοτὰν ἐχόντων οἰκῇα φαμὶ εἶμεν, τὸ δὲ τρίτον τῶν βιοπόνων. καὶ τὸ μὲν βουλευτικὸν ἄριστον εἶμεν, τὸ δὲ βάναυσον χερήϊον, τὸ δ' ἐπίκουρον μέσον. καὶ τὸ μὲν βουλευτικὸν ἄρχεν δεῖ, τὸ δὲ βάναυσον ἄρχεσθαι, τὸ δὲ ἐπίκουρον καὶ ἄρχεν καὶ ἄρχεσθαι. τὸ μὲν γὰρ καὶ τί δεῖ πράσσεν προβουλεύει, τὸ δ' ἐπίκουρον τῷ μὲν προπολεμὲν ἄρχει τῶ βαναύσω παντός, τῷ δὲ προβουλεύεσθαι ἄρχεται.

94 (93 Mein.) *Ἐν ταὐτῷ.*

Ταυτᾶν δὲ τᾶν μοιρᾶν ἑκάστα πάλιν ἐς τρία τέτακται. τῶ τε γὰρ βουλευτικῶ μέρεος τὸ μέν ἐστι πρόεδρον, τὸ δὲ ἀρχοντικόν, τὸ δὲ κοινοβουλευτικόν· πρόεδρον μὲν τὸ προσυνεδρεῦον καὶ [τὸ] προβουλευόμενον περὶ τῶν πραγμάτων καὶ ὕστερον ἐπαναφέρον ἐπὶ τὰν βουλάν· ἀρχοντικὸν δὲ τὸ ἤτοι ἄρχον ἢ γεγεναμένον ἀρχοντικόν· κοινοβουλευτικὸν δὲ τὸ ἄλλο πλᾶθος τὸ παραδεχόμενον τὰ προσυνηδρευμένα καὶ ἐπιψαφιζόμενον καὶ ἐπικυροῦν τὰ ἐπὶ κρίσει. ὡς δ' ἁπλῶς εἰπέν, δεῖ τὼς μὲν προέδρως ἐπὶ τὸ κοινοβουλευτικὸν ἀναφέρεν, τὸ δὲ κοινοβουλευτικὸν διὰ τῶν στραταγῶν ἐπὶ τὰν ἐκκλησίαν. ὡσαύτως δὲ

1 *πρᾶτα τῶν* Elter: *αὐτῶν* libri, superscr. A[1]. *αὐτῶν τῶν* vel *δύο τῶν* ci. Meineke ‖ 2 *βιοτὰν* S *βιωτὰν* M A | *οἰκήια* S *οἰκῆα* M *οἰκεῖα* A | *φημὶ* A | *εἶμεν* S *εἶμεν* sed *εἰ* in ras. M *εἶναι* A ‖ 3 *εἶναι* A ‖ 5 *ἄρχεν* M *ἄρχειν* S A ‖ 6 *ἄρχειν* A | *τί* S *τίνα* M *τινα* A ‖ 7 *πράσσ-* scripsi: *πράττεν* S *πράττειν* M A Tr. | *προπολεμεῖν* libri: corr. Meineke ‖ 8 *τὸ δὲ* A ‖ 9 ecl. cum lemm. hab. S M A; *ἐν ταυτῷ* libri, *τοῦ αὐτοῦ* temere Gaisford ‖ 10 *ταύταν* M *τούταν* A *τούτων* S: corr. Orelli | *τᾶν μοιρᾶν* ex *τὰν μοίραν* si quid video corr. M[1] | *ἕκαστα* ex *-τον* S[1] | *πόλιν* M | *ἐς* Meineke, *εἰς* libri 11 *μέν ἐντι* Orelli | 13 *τὸ* secl. Cobet | *προβουλεῦον* prop. Meineke ‖ 14 *ἐπαναφέρον* M *ἐπανφέρον* S *ἐπ' ἀμφοτέρου* A *ἐπαφερον* (*να* superscr.) A[2]; *ἐπαμφέρον* Cobet ‖ 15 v. *τὸ ἤτοι ἄρχον—ἀρχοντικόν* vitio non immunia. *τὸ ἤθει ἄρχον ἢ γεγεναμένον* (*γεγενναμ-* Orelli) *ἀρχοντικόν* olim prop. Iacobs, frustra ‖ 16 *περιδεχόμενον* Tr. ‖ 17 *προσυνιδρευμένα* S M A[1] *προσυνεδρ-* Gesn.[1] | *ἐπικυροῦντα ἐπὶ* S M A: corr. A[2] Gesn.[1] ‖ 18 *εἰπεῖν* libri: corr. Meineke | *τοὺς μὲν προέδρους* libri: corr. Meineke ‖ 19 *ἀναφέρειν* A ‖ 20 *στραταγῶν* M A *στρατηγῶν* S | *ἐκκλασίαν* A

καὶ τῷ ἐπικούρῳ καὶ [τῷ] δυναμικῷ μέρεος τὸ μέν τι ἐστὶν ἀρχοντικόν, τὸ δὲ προμαχατικόν, τὸ δὲ λοιπὸν καὶ πλῆον μέρος ἀγελαῖον καὶ στρατιωτικόν· ἀρχοντικὸν μὲν ὦν ἐστιν, ἐξ ὧν στρατοπεδάρχαι καὶ ταξιάρχαι καὶ λοχαγοὶ καὶ πρόμαχοι καθίστανται καὶ καθόλω πάντες οἱ ἁγεμονίαν ἔχοντες· προμαχατικὸν δὲ τὸ τῶν ἀνδρικωτάτων καὶ θυμικωτάτων καὶ τολματικωτάτων πᾶν γένος· ἀγελαῖον δὲ καὶ στρατιωτικὸν τὸ λοιπὸν πλᾶθος. τῷ δὲ βαναύσῳ καὶ βιοπονατικῷ τὸ μέν ἐστι γεωπόνον καὶ περὶ τὰν κατεργασίαν τᾶς χώρας κατασχολούμενον, τὸ δὲ τεχνατικόν, ὄργανα καὶ ἐπιμαχανάματα τοῖς τῷ βίῳ πράγμασιν ἐκποριζόμενον· τὸ δὲ μεταβλατικὸν καὶ ἐμπορικόν, ὃ τὰ μὲν ἐν τᾷ πόλει περιουσιάζοντα ἐπὶ τὰν ξέναν διάγεται, τὰ δὲ ἀπὸ τᾶς ξένας ἐς τὰν πόλιν. τὰ μὲν ὦν συστάματα τᾶς πολιτικᾶς κοινωνίας διὰ τοσούτων καὶ τοιῶνδε μερέων συντέτακται· ἔπειτα δὲ καὶ περὶ ἁρμογᾶς καὶ ἑνώσιος αὐτῶν ῥητέον.

Ἐπεὶ δὲ πᾶσα πολιτικὰ κοινωνία λύρας παντελήᾳ ποτέοικεν, ⟨ποθεκτέον⟩ τῷ ἐξαρτύσιός τε δέεσθαι καὶ συναρμογᾶς καὶ τὸ τελευταῖον ἐπαφᾶς τινος καὶ προσχράσιος μωσικᾶς. περὶ μὲν ὦν ἐξαρτύσιος πολιτείας ἐκ τίνων καὶ πόσων

---

1 *καὶ τῷ* S, om. M A; seclusimus *τῷ*, Elter et ego | *τί* S *τὶ* M *τε* credit in A esse Mekler | *ἐστὶν* M *ἐντιν* Orelli ‖ 2 *πλεῖον* libri: corr. Meineke ‖ 3 *ὦν* S *ὧν* vel *ὦν* M *οὖν* A ‖ 4 *ἐξ ὧ* Spondanus | *στρατοπαιδ-* M ‖ 5 *καθόλου* libri: corr. Meineke ‖ 5. 6 *ἀγεμον-* M ‖ 7 *θερμικωτάτων* A ‖ 8 *πλῆθος* S ‖ 8. 9 *τοῦ δὲ βαναύσου* A ‖ 9 *βιοπονητικῷ* S *-ατικοῦ* A | *μέν ἐντι* Orelli ‖ 10 *ἐργασίαν* prop. Meineke | *τὰς* M | *κατασχολεύμενον* scr. Meineke ‖ 10. 11 *τεχναστικὸν* Tr. ‖ 11 *ἐπιμαχανάματα* M A *-ήματα* S ‖ 12 *μεταβατικὸν* libri: corr. Cobet n. l. p. 290 adn. ‖ 13 *ἐν τῇ πόλει* S ‖ 14 *ἐξάγεται* optavit Cobet | *οὖν* libri: corr. Orelli ‖ 15 *τῆς πολιτικῆς* S ‖ 16 *δὲ καὶ* M A *δὲ* S ‖ 17 *ἑνώσεως* (*ἐν-* M) MA *συνέσεως* S. cf. p. 31, 2 ‖ 18 *λύρας παντελῆαποτέοικεν* S *λύρασ παντελῆ ἀποτέοικεν* M *λύρας παντελῆ ἀπότέοικε* A[1] in *παντελεία ποτέοικε* corrigi voluit A[2] haud inepte. debuit tamen *λύρας παντελήιᾳ π.* idque commendat etiam Mekler. *λύρᾳ παντελῶς* (*παντελεῖ* Halm) *π.* prop. Gesn.[2] cf. Euryphamus ap. Stob. flor. 103, 27 vol. IV p. 11, 15 Mein. ‖ 19 *ποθεκτέον* addidi ‖ 20 malim *ποτιχράσιος* ‖ 21 *ὦν* cod. Paris. 1985 teste Gaisfordo *τῶν* Tr. *οὖν* SMA

συνέστακεν, εἴρηταί μοι καὶ ἐν τοῖς ἔμπροσθεν· περὶ δὲ συναρμογᾶς καὶ ἐνώσιος αὐτῶν πειρασοῦμαι νῦν λέγεν. φαμὶ δὲ ἔγωγε τρισὶ τούτοις συναρμόζεσθαι τὰν πολιτικὰν κοινωνίαν· λόγοις ἐπιταδεύμασιν ἐθῶν νόμοις, καὶ διὰ τριῶν τούτων παιδεύεσθαι τὸν ἄνθρωπον καὶ σπουδαιότερον γίνεσθαι. τοὶ μὲν γὰρ λόγοι διδάσκοντι καὶ ἐπιθυμίας ἐμποιεῦντι προτρεπόμενοι πρὸς ἀρετάν· τοὶ δὲ νόμοι τὰ μὲν φόβοις κατέχοντες ἀπερύκοντι, τὰ δὲ τιμαῖς τε καὶ δωρεαῖς δελεάζοντες ἐκκαλέονται· τὰ δὲ ἔθεα καὶ ἐπιταδεύματα πλάσσει καὶ κηροχυτεῖ τὰν ψυχάν, φυσίωσιν ἐμποιεῦντα διὰ τᾶς συνεχέος ἐνεργήας. δεῖ δὲ τὰ τρία ταῦτα συντετάχθαι ποτί τε τὸ καλὸν καὶ τὸ συμφέρον καὶ τὸ δίκαιον, καὶ ἐν ἑκάστῳ αὐτῶν εἰ μὲν δυνατὸν στοχάζεσθαι πάντων, εἰ δὲ μή γε, δυῶν ⟨ἢ⟩ ἑνός· ὥστ' εἶμεν καὶ τὸν λόγον καλὸν καὶ δίκαιον καὶ συμφέροντα καὶ τὸ ἔθος καὶ τὸν νόμον· προτιμῆσθαι δὲ πρᾶτον τὸ καλόν, δεύτερον δὲ τὸ δίκαιον, τρίτον δὲ τὸ συμφέρον. τὸ καθόλω δὲ πειρᾶσθαι διὰ τούτων ὡς ὅ τι μάλιστα ποιὲν τὰν πόλιν, ὅπως ὁμόλογος ᾖ καὶ σύμφωνος τοῖς αὐτᾶς μέρεσιν, ἀλλὰ μὴ στασιάζουσα καὶ διαμαχομένα. ἐσσεῖται δὲ τοῦτο, αἴκα τὰ πάθεα τᾶς ψυχᾶς παιδεύηται τῶν νέων καὶ ἐς τὸ μέτριον ἀγινῆται τοῖς ἁδέσι τε καὶ

---

1 *συνέστακεν* M *συνέστηκεν* S A sed sine acc. S ‖ 2 *λέγειν* libri: corr. Meineke ‖ 4 *ἐπιτηδεύμασιν* libri: corr. Meineke ‖ 6 *γίγν-* libri | *τοὶ μὲν* A, sine acc. M *οἱ μὲν* S ‖ 7 *προτραπ-* malim ‖ 9 *τε* om. M A | *ἔθεα* scripsi (ut libri infra passim): *ἔθη* S M A ‖ 10 *ἐπιτηδ-* S ‖ 11 *τᾶς* A *τὰς* M *τῆς* S | *συνεχέως* M | *ἐνεργήιας* S *ἐνεργείας* M A *ἐνεργίης* Tr. | *δεῖ* sed *εῖ* e corr. M[1] ‖ 12 *ταύτῃ* Tr. ‖ 14 *γε*] an *γα*? cf. Stob. flor. 103, 26 p. 6, 29 al. Mein. | *δυοῖν ἢ ἑνός* Gesn.[2]: *δυοιωνενος* S M ut prius *ν* correctum sit ex *μ* S *δϋοίων ἑνὸς* A[1] *δυοῖν ἑνός* A[2] mrg. *δυοιώμενος* Tr. Doricum *δυῶν* ‖ 15 *εἶμεν* M *εἶναι* S A ‖ 16 *προ τιμεῖσθαι* A | *πρᾶτον* S M sed *α* ex *ω* S[1] *πρῶτον* A ‖ 17 *δὲ* post *τρίτον* om. S ‖ 18 *καθόλου* S M A: corr. Meineke | *δὲ* Gesn.[2]: *τὲ* S *τε* M A ‖ 19 *ποιεῖν* S M A: corr. Meineke | *ὁμολογήσῃ καὶ* libri: corr. Spondanus. *ὁμολογήσῃ καὶ σύμφωνος ⟨ᾖ⟩* Gaisford ‖ 20 *αὐτᾶς* S M A -*ᾶς* ex *αῖς* M[1]: corr. Meineke | *μερέσιν* M ‖ 21 *ἐσσεῖται* scripsi: *ἐσεῖται* M A *ἑπεῖται* ('an *ἐσσεῖται* voluit?' Mekler) S | *αἰ κ*[τ] S *αἲ κατα* M *αἶκα τὰ* A *αἴκα τὰ* Tr. ‖ 22 *εἰς* A | *ἀγενεῖτε* A corr. A[2]

λυπαροῖς, καὶ αἴκα περὶ τὰς οὐσίας μέτρια καὶ ἀπὸ γεωπονίας ἔχοντα τὰν πρόσοδον· καὶ αἴκα τὰς ἀρχὰς ἄρχωντι τὰς μὲν ἀρετᾶς δεομένας τοὶ ἀγαθοί, τὰς δ' ἐμπειρίας τινὸς τοὶ ἔμπειροι, τὰς δὲ παροχᾶς τινος καὶ δαπάνας τοὶ εὔποροι, καὶ τούτοις πᾶσι κατὰ τρόπον ἄρξασι τὰς καταξίας [ἀρχὰς] διανέμωντι τιμάς. ἐπεὶ δὲ τᾶς ἀρετᾶς αἰτίαι τυγχάνοντι τρεῖς, φόβος ἐπιθυμία αἰδώς, δυνασεῖται τὸν μὲν φόβον ὁ νόμος ἐμπαρασκευάζεν, τὰν δὲ αἰδῶ τὰ ἔθεα (τοὶ γὰρ ἐθισθέντες καλῶς αἰδέονται τὰ αἰσχρὰ πράσσεν) ὁ δὲ λόγος τὰν ἐπιθυμίαν, ἀγωγὸν γὰρ τᾶς αἰτίας ἀπόδοσις ἅμα καὶ ἐφελκυστικὸν τᾶς ψυχᾶς, ἄλλως τε δὴ καὶ γινόμενον μετὰ προτροπᾶς. διὸ καὶ φρατρίας καὶ συσσίτια καὶ συσκανίας καὶ συναγελισμώς, τὰ μὲν στρατιωτικώς, τὰ δὲ καὶ πολιτικώς,

---

1 *λυπαροῖς* S *λιπ-* M A | *αἴκα* M *αἶκα* A. *καὶ αἴκα περὶ τὰς οὐσίας μέτρα ᾖ καὶ ἀπὸ γεωπ. ἔχωντι τὰν πρόσοδον* prop. Halm lect. Stob. p. 43, *καὶ αἴκα ⟨τὰ⟩ περὶ τὰς οὐσίας μέτρια καὶ ἀπὸ γεωπονίας ἔχοντα τὰν πρ.* Meineke. fort. *μετριάζωντι καὶ— ἔχωντι* ‖ 2 *ἔχοντα* S M A *ἔχοντι* A² marg. | *αἴκα* M *αἶκε* A ‖ 2. 3 *ἄρχωνται* A sed corr. in *ἄρχωντϊ* A² *ἄρχοντι* S M ‖ 3 *τᾶς μὲν* S A¹ | *τοι αγαθοῖ* M | *τᾶς* S ‖ 4 *τινοσ τοι* sine acc. M | *τοῦ ἐμπείρου* A¹ corr. A² | *τᾶς* S M A¹ | *παρωχᾶς τινας* S ‖ 5 *εὐπόροι* A ‖ 6 *τὰς* M *τὰ* S *τᾶς* A¹ | *καταξίας* M *κατ' ἀξίας* S A | *ἀρχὰς* secl. Cobet | *διανέμωντι* Gaisford: *διανέμοντι* S M A² *διανέμονται* A¹ | *τιμάς* M *τιμᾶς* A¹ *τὰς τιμας* S *τὰς τιμάς* A.² *καὶ τούτοις πᾶσι κατὰ τρόπον ἄρξασι τὰς ἀρχὰς κατ' ἀξίας διανέμωντι τὰς τιμάς* prop. Halm lect. Stob. p. 44, quod frustra recepit Meineke. ego Cobeto obsecutus sum qui verba sic ut supra scripsi constituit mnemos.² II p. 103. idem repperit Elter | *ἐπὶ δὲ* S M A: corr. Gaisford ‖ 6. 7 *τὰς ἀρετὰς* M ‖ 7 *τυγχάνονται* S | fort. *φόβος αἰδὼς ἐπιθυμία* ‖ 8 *δυνασεῖται* Orelli: *δυνασσεῖται* S *δυναισειται* M *δυνήσεται* A: *δυνασσεῖται δὲ* perperam Gesner¹ | *ἐμπαρασκευάζειν* S M A: corr. Orelli ‖ 9 *ἤθεα* A² | *τοιγαρ* sine acc. M ‖ 10 *πράσσεν* sed *ε* man. dubia in ras. M *πράσσειν* S A | *τὴν* A ‖ 11 *ἀγωγὸν* S M A¹ in *ἀγαγὼν* mutavit alia manus, fort. ea quae *ἀγωγὸν* superscripsit, in A | *τὰς* M ‖ 12 *τὰς* M | *ἄλλαις* A | *γιγν-* libri | *μετὰ τροπᾶς* A¹ ‖ 13 *διὸ καὶ* (quod posuit etiam Orelli) A: *διὸ* S M | *φρατρίας* S *φατρίας* M A Tr. ‖ 13 14 *συναγελισμοὺς* S M A: corr. Meineke ‖ 14 *στρατιωτικοὺς* S M A sed *ου* ex *α* S¹: corr. Meineke | *πολιτικοὺς* S M A: corr. Meineke

ἐγκατασκευάζεν δεῖ ταῖς τῶν νέων ψυχαῖς, συναρμόζεν δὲ καὶ τὸ τῶν πρεσβυτέρων γένος αὐτοῖς, ἐπειδήπερ τοὶ μὲν νέοι δέονται σωφρονισμῶ καὶ καταρτύσιος, τοὶ δὲ πρεσβύτεροι φιλοφροσύνας καὶ διαγωγᾶς ἀλύπω.

95 (94 Mein.) *Ἐν ταὐτῷ.*

Ἐπεὶ ὦν διὰ τριῶν ἐλέγομες σπουδαῖον ἀποτελέεσθαι τὸν ἄνθρωπον, διά τε τῶν ἐθέων καὶ τῶν νόμων καὶ τῶ λόγω, σκοπιάζεσθαι δεῖ πῶς τε διαφθείρεσθαι πέφυκε τὰ ἔθεα καὶ πῶς διαμένεν. εὑρήσομες δὴ τὰ ἔθεα φθειρόμενα κατὰ δύο τρόπως, ἢ γὰρ δι' αὐτὼς ἢ διὰ τὼς ἐκτός. καὶ διὰ μὲν αὐτώς, ἤτοι διὰ τὸ φεύγεν τὰς λύπας ἢ διὰ τὸ αἱρέεσθαι τὰς ἁδονάς· διὰ μὲν γὰρ τὸ φεύγεν τὰς λύπας τὼς πόνως οὐχ ὑπομένοντι, διὰ δὲ τὸ διώκεν τὰς ἁδονὰς τὰ ἀγαθὰ [τοῖς] ἀποβάλλοντι. ἐργατεύοντι δὲ τοὶ μὲν πόνοι τὰ ἀγαθὰ τοῖς ἀνθρώποις, ταὶ δὲ ἁδοναὶ τὰ κακά· ἀκρατέες ὦν καὶ μαλακοὶ γινόμενοι θηλύτεροι γίνονται ταῖς ψυχαῖς καὶ ποτὶ τὰς ἀναλώσιας πολυδαπανώτεροι. διὰ δὲ τὼς ἐκτός, αἴκα ξενικὸς ἐπίδαμος

---

1 *ἐγκατασκευάζειν* S A *ἐγκατεσκεύαζεν* M: corr. Meineke | *δεῖται* A *ται* delevit A² | post *ψυχαῖς* iterantur e prioribus *ἄλλως* (sic) *τε δὴ καὶ γιγν.*, dein deleta sunt in A | *συναρμόζεν* M *συναρμόζειν* S A ‖ 2 *αὐτοῖς* M A *αὐταῖς* S | *τοι μεν* sine acc. M ‖ 3 *σωφρονισμοῦ* A ‖ 4 *φιλοφροσύνας* S M A sed alterum *φ* ex corr., iam *σ* scribere instituerat S *φιλοσοφροσύνας* Tr. | *διαγωγὰς* M ‖ 5 ecl. cum lemm. hab. S M A ‖ 6 *ὦ* M *οὖν* S A: corr. Orelli | *ἐλέγομεν* libri: corr. Meineke ‖ 6. 7 *σπουδαῖον ἀποτελεῖσθαι τὸν ἄνθρωπον* M A *ἀποτελεῖσθαι τὸν ἄνθρωπον σπουδαῖον* S. *ἀποτελέεσθαι* Meineke ‖ 7 *τῶν νόμων* M A *τοῦ νόμου* S Tr. A² ‖ 7. 8 *τοῦ λόγου*: corr. Orelli ‖ 9 *ἤθεα* A² | *διαμένεν* M *-ειν* S A | *εὑρήσομεν* A | *ἤθεα* A² ‖ 10 *τρόπως* S M *τρόπους* A | *αὐτῶς* sed *ῶ* ex *οῦ* corr. M¹ ‖ 10. 11 *ἢ διὰ τὼς ἐκτός* S *ἐκτός* M A *ἢ διὰ τὼς* superscr. A² ‖ 11 *αὐτὼς* M | *φεύγειν* S M A: corr. Meineke ‖ 12 *ἡδονάς* libri: corr. Meineke | *φεύγεν* (*φεῦγεν* Tr.) S *φεύγειν* M A ‖ 13 *τοὺς πόνους οὐχ ὑπομένουσι* A | *διώκεν* M *διώκειν* S A ‖ 14 *ἁδονὰς* libri: corr. Meineke | *τοῖς* S M et sic scripsit, certe scribere voluit etiam A¹ *τοι* superscr. A². inde *αὐτοὶ* prop. Halm lect. Stob. p. 44, immo delendum fuit *τοῖς*, aberraverat primitivi codicis librarius ad v. *τὰ ἀγαθὰ τοῖς ἀνοις* | *ἀποβάλλουσι* A ‖ 15. 16 *ἡδοναὶ* A ‖ 16 *γιγν-* libri ‖ 17 *γίγν-* libri ‖ 18 *τὼς* M *τοὺς* S A¹ | *ξενικὸς ὄχλος ἐπίδ. γ.* coll. Elter

ὄχλος γένηται εἰαμερίαις ἐμπορικαῖς χαίρων, ἢ καὶ τοὶ ἀστυγείτονες φιλάδονοι καὶ τρύφακες ἐόντες μεταδιδῶντι τοῖς πλατιάζουσι τῶν παρ' αὐτοῖς ἐθέων. διὸ δεῖ τὼς νομοθέτας καὶ τὼς ἀγελάρχας ἐπιμελῶς παρατηρέν, εἰ ἐπιμελῶς συνασκεῖται τὰ ἔθεα καὶ ὁμαλῶς πορεύεται διὰ πάντων· ἔτι δ' εἰ τὸ γνάσιον καὶ τὸ αὐθιγενὲς πλᾶθος τᾶς πολιτείας διαμένει ἀκέραιον καὶ ἀπαράμικτον ὑπάρχον ἀπὸ τῶ ἄλλω γένεος· καὶ εἰ τὰ μεγέθεα τῶν βίων ἐν τοῖς αὐτοῖς διαμένει καὶ οὐ παρὰ πολὺ . . .· ἅμα γὰρ τῷ τὰ περισσὰ κτᾶσθαι καὶ τὰ περισσὰ μαστεύοντι.

Καὶ τὰ μὲν ἔθεα οὕτως ἀσφαλίζεσθαι χρή· τὼς δὲ λόγως, τὸ τῶν σοφιστᾶν γένος ἐπικρίνοντας καὶ δοκιμάζοντας εἰ ποτὶ τὼς νόμως καὶ τὰ πολιτικὰ δόγματα καὶ τὰς ἰδίας οἰκονομίας τῶν βίων ὠφέλιμα λέγοντι· οὐ γὰρ τὰν τυχοῦσαν ἀλλὰ τὰν μεγίσταν κακοδαιμοσύναν ἐντίκτοντι τοὶ τῶν σοφιστᾶν λόγοι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, αἴκα τι τολμῶντι κινῆν παρὰ τὰς κοινὰς ἐννοίας ἢ τῶν θείων ἢ τῶν ἀνθρωπίνων, ⟨ὃ⟩ οὐδὲ ποτὶ ἀλάθηαν οὐδὲ

1 *ὄχλος* inter lin. A² | *χαίρων* Gaisford: *καιρῶν* S M A ‖ 1. 2 *καί τοι ἀστυγεῖτονε* M ‖ 2 *φιλήδονοι* A | *μεταδίδοντι* SM *μεταδιδονται* (sine acc., corr. ni fallor in *-ντï*) A: emendavit Gaisford ‖ 3 *πλασιάζουσι* SM *πλησ-* A: *πλατιάζουσι* (vel potius *-ζοντι*) Meineke, cf. p. 37, 3 | *ἐθῶν* A¹ *ἠθῶν* A² | *τὼς* ex *τοὺς* corr. S¹ *τοὺς* A ‖ 4 *καὶ τοὺς* A | *ἐπιμελέως* Meineke | *παρατηρεῖν* S M A: corr. Meineke ‖ 5 *ἐπιμελῶς* secl. Iacobs, *ἐπιεικῶς* ci. Elter | *παρασκεῖται* Tr. | *ἤθεα* A² ‖ 6 *ἰθαγενὲς* Nauck ‖ 7. 8 *ὑπάρχει* Nauck *Zeitschr. f. d. alterth.* 1855 p. 272 ‖ 8 *τοῦ ἄλλου* A | *γένεος* A: *γένος* S M corr. ex *μέρως* fort. S¹; *γένευς* Tr.; *τῶ ἀλλογενεῦς* ci. Iacobs ‖ 9 *καὶ* (ante *οὐ*) om. A¹ add. A² | *παραπολὺ* S A¹ *παρὰ πολύ* M. *παραπόλλυται* corr. A². exspectes potius *καὶ οὐ παρὰ πολὺ ⟨ἀέξεται⟩* sim. ‖ 10 *κτᾶσθαι καὶ τὰ περισσὰ* S, om. M A¹, in marg. suppl. A² ‖ 11 *ἤθεα* A² ‖ 12 *σοφιστᾶν* M *-τῶν* S A ‖ 13 *εἰ ποτὶ* libri nisi quod *εἴποι τι* M | *τὼς νόμως* Tr.: *τοὺς νόμους* S M A | *πολυτικὰ* A¹ ‖ 15. 16 *ἐντίκτοντι τοι τῶν* A *ἐντίκτοντι τοῦ τῶν* M *ἐντίκτον τί τῶν* S *ἐντίκτοντι τῶν* Tr.: corr. Meineke ‖ 16 *σοφιστῶν* S M *σοφῶν* A¹: corr. Meineke | *λόγοι* an *λόγου* incertum M ‖ 17 *αἴκα τολμῶντι* coni. Gaisford, rectius *αἴκα τι τ.* Cobet mnemos.² II p. 104: *αικατατολμῶσι* S *αἱ* (*αἱ* ni fallor A) *κατα τολμῶντι* M A | *κινην* sine acc. M | *εὐνοίασ* M ‖ 17. 18 *ἢ τῶν θείων* S M *ἢ* τι *τῶν θ.* A *ἢ* eadem m. de-

ποτὶ ἀσφάληαν οὐδὲ ποτὶ δόξαν κύριόν ἐστι, ζόφωσιν δὲ καὶ σύγχυσιν ἐπιφέρει τῷ κοινῷ βίῳ τῶν ἀνθρώπων. τοιοῦτοι δὲ λόγοι τυγχάνοντι τοὶ φάντες, ἤτοι μὴ εἶμεν τὸ θεῖον ἢ καὶ ἐὸν μὴ ἔχεν οὕτως ποτὶ τὸ τῶν ἀνθρώπων γένος ὥστ' ἐπιβλέπεν αὐτὸ καὶ φροντίζεν, ἀλλ' ἐᾶν καὶ κατολιγωρέν. καὶ γὰρ ἁ τοιαύτα παραδοχὰ τοῖς ἀνθρώποις ἀφροσύναν καὶ ἀδικίαν ἐντίκτει ⟨ὅσσαν⟩ οὐδ' εἰπὲν δηλομένοις εὐμαρές ἐστι. πᾶς γὰρ ἄνθρωπος ἀναρχίας πλαρωθεὶς καὶ τὸν ὕποπτον ἀπωσάμενος φόβον σκιρτᾷ τε καὶ παρανομεῖ παντοδαπὸς γινόμενος. χρέεσθαι δὲ ⟨δεῖ⟩ τῷ λόγῳ πολιτικῷ καὶ σεμνῷ καὶ οἰκήῳ τᾶς διαθέσιος τῶ λέγοντος, ἀλλὰ μὴ προσποιητῷ· οὕτω γὰρ ἁ λέξις ἐσσεῖται τὸ τῶ λέγοντος ἦθος ἐμφαίνουσα.

Ἐκ δὲ τῶν νόμων δεῖ τὰν ἀσφάληαν οὕτως ἐπιφέρεν, αἴκα σύνθετος ἁ πολιτεία ἦ καὶ συντεταγμένα ἐκ πασᾶν τᾶν ἀλλᾶν, λέγω δὲ οὐ τᾶν παρὰ φύσιν, ἀλλὰ τᾶν κατὰ φύσιν. τυραννίδος γὰρ οὐδεμία χρήα ταῖς πόλισιν, εἰ μή ποκα τᾶς ὀλιγαρχίας ἐπὶ βραχύ. δεῖ τοίνυν βασιλήαν

levit quae τι scr. A ‖ 18 ὅ add. Gesn.[2] | οὐδὲ ποτὲ (ποτι M) MA οὐδέποτε. οὐδέποτε S | ἀλάθηιαν scripsi: ἀλήθηιαν S ἀλάθειαν M ἀλήθειαν A

(18) 1 οὐδέποτι SM ‖ 1 ἀσφάληιαν S ἀσφάλειαν M ἀσφαλείην A | οὐδέ ποτι M ‖ 3 οἱ (οὐ M) πάντες SMA: corr. Meineke | μη ειμεν sine acc. M εἶναι pro εἶμεν A ‖ 4 ἔχειν (ut mox ἐπιβλέπειν et φροντίζειν) A ‖ 5 ἐὰν M | κατολιγωρεῖν (κατωλ- A) SMA: corr. Meineke ‖ 6 ἁ S αν M αὖ in contextu A, in marg. corr. A[2] ‖ 7 ὅσαν (praetuli ὅσσ-) suppl. Orelli ‖ 8 εἰπεῖν libri: corr. Meineke | δηλουμ- S ‖ 9 v. καὶ τόν—10 παρανομεῖ om. Tr. ‖ 9 ὑποπτωτικὸν Spondanus, τῷ ὑπατω Orelli ‖ 10 γιν- SM γεν- A[1] sed γι superscr. A[2] ‖ 11 δὲ δεῖ scripsi: δὲ SMA om. Tr. δεῖ Gesn.[2] | οἰκείω (vel -ῳ) libri: corr. Meineke ‖ 12 τῶ SM τοῦ A ‖ 13 ἁ M | ἐσσεῖται S M ἐσεῖται A Tr. | τῶ M τοῦ SA | λέγεντος M | ἐμφανοῦσα A ‖ 14 δεῖ τὰν SA διττὰν M δὲ τὰν Tr. | ἀσφάλειαν libri | ἐπιφέρεν S ἐπίφερεν M ἐπιφέρειν A ‖ 15 αἴκα ci. Meineke: εἰ καὶ libri | ἦ Iacobs: ἢ SA εἰ M | πασᾶν S e corr. A[2] πασὰν M ‖ 16 τᾶν (τὰν M) ἄλλαν SMA[2] τῶν ἄλλων A[1]: corr. Orelli | τῶν libri: corr. Orelli ‖ 16. 17 v. ἀλλὰ τῶν κατὰ φύσιν habet inter lin. A[2] | τῶν libri: corr. Orelli ‖ 17 τυραννὶσ in τυραννίδος corr. M[1] | οὐδεμία S οὐδαμὴ M οὐδαμῇ A | χρεία libri: corr. Meineke | πόλεσιν libri: corr. Meineke | μή πωκαὶ libri: corr. Cobet v. l.[2] p. 145 ‖ 18 τας

πρᾶτον ἐντετάχθαι, καὶ δεύτερον ἀριστοκρατίαν. βασιλήα μὲν γὰρ θεομίματον πρᾶγμα καὶ δυσφύλακτον ὑπὸ ἀνθρωπίνας ψυχᾶς, ταχέως γὰρ ὑπὸ τρυφᾶς καὶ ὕβριος ἀλλάσσεται· διόπερ οὐ δεῖ κατὰ πᾶν αὐτᾷ χρέεσθαι, μέχρι δὲ τῶ δυνατῶ καὶ ποτὶ τὰν πολιτείαν χρησίμω· τὰν δ' ἀριστοκρατίαν ἐπιπλέον ἐμπλέκεν, τῷ πλήονας εἶμεν τὼς ἄρχοντας καὶ φιλοζάλως διατίθεσθαι ποτ' αὐτὼς καὶ πολλάκις ἀντιμεταλαμβάνεσθαι τὰς ἀρχάς. δαμοκρατίαν ⟨δ'⟩ ἀναγκαῖον μὲν εἶμεν πάντως· δεῖ γὰρ τὸν πολίταν μέρος ὑπάρχοντα τᾶς συμπάσας πολιτείας φέρεσθαί τι ἀπ' αὐτᾶς γέρας· ἐπέχεσθαι δ' ἱκανῶς αὐτὰν δεῖ, θρασὺ γὰρ καὶ προπετὲς τὸ πολὺ πλᾶθος.

96 (95 Mein.) *Διωτογένους Πυθαγορείου ἐκ τοῦ Περὶ ὁσιότητος.*

Τὼς δὲ νόμως οὐκ ἐν οἰκήμασι καὶ θυρώμασιν ἐνῆμεν δεῖ, ἀλλ' ἐν τοῖς ἠθέεσσι τῶν πολιτευομένων. τίς ὦν ἀρχὰ πολιτείας ἁπάσας; νέων τροφά. οὐ γὰρ μήποκα τὸν καρπὸν ὀνασιφόρον ἄμπελοι γεννάσωντι, μὴ

---

sine acc. S *τὰς* M A¹ Tr. | *δεῖ* prop. Gesn.¹: *ἀεὶ* S M A¹ | *βασιλείαν* libri: corr. Meineke

1 *πράταν* ex *πρᾶτον* corr. S¹, *πραταν* sine acc. M *πρώτην* A¹ *πρώτον* A² *πρᾶτον* scr. Meineke ‖ 1. 2 *βασιλεία* libri ‖ 4 *ἀλάσσεται* M | *καταπᾶν* M | *αὐτᾷ* ut videtur S *αὐτα* sine acc. M *αὐτῇ* A *αὐτῷ* Tr. ‖ 5 *ποτι* sine acc. M | *χρήσιμα* M ‖ 6 *ἐπὶ πλέον* M. fort. *ἐπὶ πλῆον* | *ἐκπλέκεν* S, sine acc. M *ἐκπλέκειν* ut videtur A¹: *malim ἐμπλέκεν* Gesn.¹ | *πλείονας* libri: corr. Meineke | *εἶμεν* Tr. *ἑιμεν* M *εἶναι* S A | *τῶσ* M ‖ 7 *φιλοζήλως* libri: corr. Meineke | *ποτ' αὐτὼς* Orelli: *ποτ' αὐτοὺς* (*ποταυτοίσ* M) libri. *ποθ' αὐτώς* Meineke ‖ 8 *ἀντιμεταλαμβάνεσθαι* S M *ἀντιμεταβάλλεσθαι* A ‖ 9 *δὲ* (praetuli *δ'*) tacite inseruit Gesn.¹, om. S M A | *μὲν ἀναγκαῖον* primo M corr. M¹ | *ἀναγκαίαν* A *ον* superscr. A¹ | *ἦμεν* inutiliter Gesn.² ‖ 10 *τὰσ* M ‖ 11 *ἐπέχεσθαι* (ut coniecerat Gesn.¹) M A *ἐπεύχεσθαι* S | *αὐτὰν* M *αὐτῶν* S et fortasse A¹ ‖ 12 *καὶ τὸ προπετὲς τὸ* A | *πλᾶθος* Tr.: *πλῆθος* S M A ‖ 13 ecl. cum lemm. hab. S M A; *διωτογένους* A *διωτογενέως* S *διοτογενέους* M *πυθαγορίου* S M A¹ ‖ 15 cf. Archytas Stob. flor. 43, 134 Mein. ‖ 15. 16 *ἐνῆμεν* infra Archytas: *ἐπῆμεν* M, sine acc. S *ἐπεῖναι* A | *ἠθέεσσι* M idque ex pr. m. corr. S *ἐθέεσσι* A¹ *ηθέεσι* Tr. ‖ 17 *οὖν* libri: corr. Meineke | *ἁπάσας* S M A, om. Tr. ‖ 18 *ὀνασιφόρον* M A *ὀνασηφόρον* S | *γεννάσωντι* scripsi: *γεν-*

φυτοτροφηθεῖσαι καλῶς· οὐδ' ἵπποι μήποκα γένωνται καλοὶ πωλοτροφίαν παρέντεσι. τὰ γὰρ νεόθρεπτα τῶν σητείων μάλιστα τῷ ἁψαμένῳ καὶ πλατιάζοντι ὅμοιον τὸ σχῆμα λαμβάνει. τοῖς ⟨δ'⟩ ἀνθρώποις περὶ μὲν ἀμπέλων πῶς χρὴ τμηθῆμέν τε καὶ ἐποφθῆμεν πεφρονημένως ἔχει, τὰ δ' ἐπὶ τῶν ἀνθρώπων ἀμελέως τε καὶ εἰκαίως· καί τοι οὐχ ἁ ἄμπελος οὐδ' ὁ οἶνος τᾶς πολιτείας ἁγεμών, ἀλλ' ὁ ἄνθρωπος καὶ ἁ ψυχὰ τῶ ἀνθρώπω. καὶ τῷ μὲν φυτῷ πλήονος εἰώθαμες ἄξιον παρακαθιστάμεν καὶ τὸν ἐπιμελησόμενον οὐ μῆον ἢ δύο μνᾶν ἄξιον, τοῖς δὲ νέοις Ἰλλυριὸν ἢ Θρᾷκα οὐδενὸς ἄξιον. οἱ δ' ἐξ ἀρχᾶς νομοθέται τὸ μέσον τῶν ἀνθρώπων στάσιμον οὔ κα ἐδύναντο ποιῆσαι, κινάσι δὲ μονᾶς καὶ τάξιος κεκοινωνηκυῖαν παρακατέζευξαν ὄρχησιν καὶ ῥυθμόν, ἔτι δὲ παιγνιὰς τὰς μὲν ἐς κοινωνίαν προτραπομένας, τὰς δ' ἐς ἀλά-

---

νήσωντι S A *γεννήσωντι* sed *σ* ex *ω* (ut videtur) corr. M[1] *αι* supra *ι* M m. rec. *γεννήσωνται* Tr. *γεννήσοντι* (*γεννά-* Meineke) non recte Gaisford

1 *γένωνται* M A *γέννῶνται* (sic) S ‖ 2 *παρέντες* S M A: corr. Meineke | *νεόθρεπτα* scripsi: *νεόχρηστα* libri ‖ 3 *σητείων* (vel *σατήων*) scripsi: *σιτίων* libri. *τὰ σήτεια* i. *hornotina* velut *πῶλla* vel *φυτά*. cf. Hesych. | *πλασιάζοντι* Tr. ‖ 4 post *τοῖς ἀνθρώποις* distinguitur in S M A: corr. Gesn.[2] | *τοῖς οὖν* (debuit *ὦν*) *ἀνθρ.* prop. Iacobs, *τοῖς δ' ἀνθρ.* Meineke idque etiam Iacobs in ora exemplaris quod possedit editionis Gesnerianae ‖ 4. 5 *ἀμπέλων* S M A. *ἀμπέλως* Meineke. poterat *ἄμπελον* coll. 7 ‖ 5 *τμηθῆναι* et *ἐποφθῆναι* A ‖ 6 *τὰ δ' ἐπὶ τῶν ἀνθρώπων* libri. *περὶ δὲ τὰ τῶν ἀνθρώπων* prop. Meineke. si quid mutandum est, malo *τὰ δὲ περὶ τὸν ἄνθρωπον* | *ἤθη* post *ἀνθρώπων* add. A, unde *ἤθεα* posuit Meineke frustra | *εἰκαίως* S *εἰκέως* M A[1] ‖ 7 *οὐδ' ὁ* Meineke: *οὐδὲ* libri | *πολιτελας* sed accentus e corr. M ‖ 9 *πλέονος* S M A: corr. Meineke | *εἰώθαμεν* A ‖ 10 *καὶ* seclusit Meineke sed fortasse altius latere vitium sentiens ipse ‖ 11 *οἱ δ'* S A *οὐδ'* M ‖ 12 *οὔ κα* Hirschig: *οὐκ ἂν* S M A ‖ 13 *δύναντο* M A[1] *δύναιντο* S: corr. Hirschig | *κινάσιος δὲ μόνας* S M A: corr. Meineke | *τάξεως* S ‖ 13. 14 *κεκοινωνηκυίας* Tr. ‖ 14 *παρακαταζεῦξαν* A[1] | *ἔτι* S: *ἔστι* M A ‖ 14. 15 *παιγνιᾶς τᾶς* S M A[1] *παιδιὰς* A[2]: corr. Gesn.[1] ‖ 15 *προτραπομένας* S M: *προτραπ-* et *προτρεπομένας* A ut non satis clarum sit utrum voluerit A[1] *προτρεπ-* Tr. Doricum *τράπω* | *τὰς* M *τᾶς* S A ex *τῆς* corr. S[1]

θηαν καὶ ὀξύτατα ψυχᾶς· ὁμοίως δὲ καὶ τοῖς ὑπὸ μέθας ἢ πλασμονᾶς φαῦλόν τι καταπράξασιν τὸν αὐλὸν καὶ τὰν ἁρμονίαν ἐς τὰς συνωσίας κατέταξαν, ὅπως πεπαινόμενον τὸ ἦθος δύναιτο καὶ κατακοσμεῖσθαι.

97 (96 Mein.) *Πλάτωνος Πολιτείας δ'* (p. 425 A).

Ὅταν δὴ ἄρα καλῶς ἀρξάμενοι παῖδες παίζειν εὐνομίαν διὰ τῆς μουσικῆς εἰσδέξωνται, πάλιν τοὐναντίον ἢ 'κείνοις εἰς πάντα συνέπεταί τε καὶ αὔξει, ἐπανορθοῦσα εἴ τι καὶ πρότερον τῆς πόλεως ἔκειτο. Ἀληθῆ μέντοι, ἔφη. Καὶ τὰ σμικρὰ ἄρα, εἶπον, δοκοῦντα εἶναι νόμιμα ἐξευρίσκουσιν οὗτοι, ἃ οἱ πρότερον ἀπώλλυσαν ἅπαντα. Ποῖα; Τὰ τοιάδε· σιγάς τε τῶν νεωτέρων παρὰ πρεσβυτέροις ἃς πρέπει, καὶ κατακλίσεις καὶ ὑπαναστάσεις καὶ γονέων θεραπείας, καὶ κουράς τε καὶ ἀμπεχόνας καὶ ὑποδέσεις καὶ ὅλον τὸν τοῦ σώματος σχηματισμὸν καὶ τἄλλα ὅσα τοιαῦτα. ἢ οὐκ οἴει; Ἔγωγε. Νομοθετεῖν δ' αὐτὰ οἶμαι εὔηθες· οὔτε γάρ που γίγνεται οὔτ' ἂν μείνειεν λόγῳ τε καὶ γράμμασιν νομοθετηθέντα. Πῶς γάρ; Κινδυνεύει γοῦν, ἦν δ' ἐγώ, ὦ Ἀδείμαντε, ἐκ τῆς παιδείας ὅποι ἄν τις ὁρμήσῃ, τοιαῦτα καὶ τὰ ἑπόμενα εἶναι. ἢ οὐκ ἀεὶ τὸ ὅμοιον ⟨ὂν⟩ ὅμοιον παρακαλεῖ; Τί μήν; Καὶ τελευτῶν δὴ οἶμαι φαῖμεν ἂν εἰς ἕν τι τέλεον καὶ νεανικὸν ἀποβαίνειν αὐτὸ ἢ ἀγαθὸν ἢ καὶ τοὐναντίον.

---

(15) 1 *ἀλάθηιαν* scripsi: *ἀλήθηαν* M *ἀλήθειαν* S A ‖ 2 *πλασμονᾶς* (ut scripsit Meineke) M A *πλησμονᾶς* S | *τὴν* A ‖ 3 *ἐς* A: *ἐσὸ* M *ἐς ὃ* S | *τασ* M | *συνωσίας* Meineke: *συνέσιας* S M A | *κατέταξαν* A: *κατέταξεν* M *κατέταταξαν* (sic) S ‖ 4 *καὶ* om. S ‖ 5 ecl. cum lemm. hab. S M A ‖ 7 *τοὐναντίον* S, Plat.: *τίον* M A[1] | *ἢ 'κείνοις* Plat.: *ἥκειν ὡς* S A *ἥκειν. ὡσ* M ‖ 11 *ἀπόλλυσαν* S | *πάντα* Plat. ‖ 12 ⟨*τὰ*⟩ *ποῖα* Hartman ‖ 13 *ἃς* S *ἃ* M A[1]. inter *ἃς* et *ὡς* fluctuantur libri Platonis. *οἷς* ci. H. Richards | *κατακλύσεις* M ‖ 14 *καὶ κουράς γε καὶ* Plat. ‖ 16 *δὲ* S A ‖ 17 *οὔτ' ἂν* S, Plat. *ὅτ' ἂν* M *ὅταν* A ‖ 19 *κινδυνεύειν* A ‖ 20 *ὅτοι ἄν τις* M, libri Plat.: *ὁποῖαν τις* S *ὅποι ἂν* (ex *ὁποίαν* corr.) *τις* A; *ὁποίας ἄν τις* Dobree | *ὁρμήσῃ* ex Plat. Gaisford: *ὁρμηθῇ* (sine acc. M) S M A ‖ 21 *ὂν* ex Plat. supplevit Gesn.[1], inter lin. add. A[2]: om. S M A ‖ 22 *φαῖμεν* ex Plat. Gesn.[1]: *φαμὲν* S M A[1] | *τέλειον* A

98 (97 Mein.) *Ἐν ταὐτῷ* (p. 429 C—430 B).

Σωτηρίαν ἔγωγε, εἶπον, λέγω τινὰ εἶναι τὴν ἀνδρείαν. Ποίαν δὴ σωτηρίαν; Τὴν τῆς δόξης τῆς ὑπὸ νόμου διὰ τῆς παιδείας γεγονυῖαν περὶ τῶν δεινῶν, ἅ τέ ἐστι καὶ οἷα· διὰ παντὸς δὲ ἔλεγον αὐτὴν σωτηρίαν τὸ ἔν τε λύπαις ὄντα διασῴζεσθαι αὐτὴν καὶ ἐν ἡδοναῖς καὶ ἐν ἐπιθυμίαις καὶ ἐν φόβοις καὶ μὴ ἐκβάλλειν. ᾧ δέ μοι δοκεῖ ὅμοιον εἶναι ἐθέλω ἀπεικάσαι, εἰ βούλει. Ἀλλὰ βούλομαι. Οὐκοῦν οἶσθα, ἦν δ' ἐγώ, ὅτι οἱ βαφεῖς, ἐπειδὰν βουληθῶσι βάψαι ἔρια ὥστ' εἶναι ἁλουργά, πρῶτον μὲν ἐκλέγονται ἐκ τοσούτων χρωμάτων μίαν φύσιν ⟨τὴν⟩ τῶν λευκῶν, ἔπειτα προπαρασκευάζουσιν οὐκ ὀλίγῃ παρασκευῇ θεραπεύσαντες, ὅπως δέξεται ὅ τι μάλιστα τὸ ἄνθος, καὶ οὕτω δὴ βάπτουσιν. καὶ ὃ μὲν ἂν τούτῳ τῷ τρόπῳ ⟨βαφῇ⟩, δευσοποιὸν γίγνεται τὸ βαφέν, καὶ ἡ πλύσις οὔτ' ἄν⟨ευ ῥυμμάτων οὔτε⟩ μετὰ ῥυμμάτων δύναται αὐτῶν τὸ ἄνθος ἀφαιρεῖσθαι· ἃ δ' ἂν μή, οἶσθα οἷα δὴ γίγνεται, ἐάν τέ τις ἄλλα χρώματα βάπτῃ ἐάν τε καὶ ταῦτα μὴ προθεραπεύσας. Οἶδα, ἔφη, ὅτι καὶ ἔκπλυτα καὶ γελοῖα. Τοιοῦτον τοίνυν, ἦν δ' ἐγώ, φρονῶ κατὰ δύναμιν ἐργάζεσθαι καὶ ἡμᾶς, ὅτε ἐξελεγόμεθα τοὺς στρατιώτας καὶ ἐπαιδεύομεν ἐν μουσικῇ χαὶ γυμναστικῇ· καὶ

ecl. cum lemm. hab. S M A. cf. Theo Smyrnaeus de util. math. p. 13 ed. Hiller ‖ 2 *λέγων* primo A | *εἶναι* om. S ‖ 4 *γεγονυῖαν* (*-ῦαν* S *-ύιαν* in *-υῖαν* corr. M[1]) S M A, Platonis libri meliores, *γεγονυίας* recte Platonis recc. ‖ 4. 5 *ἅ τέ ἐστιν καὶ οἷα* (ex *οἵα* corr. M[1]) M ‖ 5 *ἔλεγον* M A, Plat. *ἔλ*[ε] S *ἔλεγεν* Tr. | *αὐτῆς* Adam, *αὖ τὴν* Jackson | *τῷ* Gaisford ‖ 6. 7 *καὶ ἐν ἐπιθ.* A, Plat. *καὶ ἐπιθυμίαις* S M ‖ 7 *καὶ φόβοις* S | *ὧ* A, *ᾧ* Plat., *ὃ* S M ‖ 11 *τὴν* Plat., A[2], om. S M A[1] ‖ 12 *τοῦ λευκοῦ* Tr. ‖ 13 *δέξηται* A ‖ 15 *βαφῇ* e Plat. Gesn.[1], inter lin. add. A[2]: om. S M A[1] | *γίγνεσθαι* M ‖ 15. 16 *οὔτ' ἄνευ ῥυμμάτων οὔτε μετὰ ῥυμμάτων* e Platone Gesn.[1]: *οὔτ' ἂν μετὰ ῥυμμάτων* S M A *τριμμάτων οὔτε μετὰ* superscr. A[2] ‖ 17 *ἀφαιρεῖσθαι* S M *ἀποπλῦναι* sed superscr. *γρ. ἀφαιρεῖσθαι* A[1] ‖ 18 *ἀν τέ* S *ἄν τε* M *ἐάντε* A sed ut *ἐ* scripserit A[2] ‖ 19 *καὶ* S M, om. Platonis plurimi, expunxit A ‖ 20 *ἦν* M | *φρονῶ* S M A *γρ. ὑπόλαβε* A[2] *ὑπόλαβε* Plat.; *φρονῶ* vetus videtur glossema (verbis *ἦν δ' ἐγὼ* olim adscriptum male intellectis) quo expulsum est *ὑπόλαβε* ‖ 22 *ἐν* om. Plat.

μηδὲν οἷον ἄλλο μηχανᾶσθαι, ἢ ὅπως ἡμῖν ὅ τι κάλλιστα τοὺς νόμους πεισθέντες δέξοιντο ὥσπερ βαφήν, ἵνα δευσοποιὸς αὐτῶν ἡ δόξα γίγνοιτο καὶ περὶ δεινῶν καὶ περὶ τῶν ἄλλων διὰ τὸ τήν τε φύσιν καὶ τὴν τροφὴν ἐπιτηδείαν ἐσχηκέναι, καὶ μὴ αὐτῶν ἐκπλύναι τὴν βαφὴν τὰ ῥύμματα ταῦτα, δεινὰ ὄντα ἐκκλύζειν, ἥ τε ἡδονή, παντὸς χαλαστραίου δεινοτέρα οὖσα τοῦτο δρᾶν καὶ κονίας, λύπη τε καὶ φόβος καὶ ἐπιθυμία, παντὸς ἄλλου ῥύμματος. τὴν δὴ τοιαύτην δύναμιν καὶ σωτηρίαν διὰ παντὸς δόξης ὀρθῆς τε καὶ νομίμου δεινῶν τε πέρι καὶ μὴ ἀνδρείαν ἔγωγε καλῶ καὶ τίθεμαι, εἰ μή τι σὺ ἄλλο λέγεις. Ἀλλ' οὐδέν, ἦ δ' ὅς, λέγω· δοκεῖς γάρ μοι τὴν ὀρθὴν δόξαν περὶ τῶν αὐτῶν τούτων ἄνευ παιδείας γεγονυῖαν, τήν τε θηριώδη καὶ ἀνδραποδώδη, οὔτε πάνυ νόμιμον ἡγεῖσθαι, ἄλλο τέ τι ἢ ἀνδρείαν καλεῖν.

99 (contin. 97 Mein.) *Ἐν ταὐτῷ* (p. 430 E—432 B).

Κόσμος πού τις, ἦν δ' ἐγώ, ἡ σωφροσύνη ἐστὶν καὶ ἡδονῶν τινων καὶ ἐπιθυμιῶν ἐγκράτεια, ὥς φασι κρείττω δὴ αὑτοῦ λέγοντες οὐκ οἶδα ὅντινα τρόπον, καὶ ἄλλα τινὰ τοιαῦτα ὥσπερ ἴχνη αὐτῆς λέγεται. ἦ γάρ; Πάντων μάλιστα, ἔφη. Οὐκοῦν τὸ μὲν κρείττω αὑτοῦ γελοῖον; ὁ γὰρ ἑαυτοῦ κρείττων καὶ ἥττων δήπου ἂν αὑτοῦ εἴη καὶ

1 *μηδὲν* (om. *καὶ*) Platonis nonnulli | *κάλλιστα τοὺς* e Plat. Gesn.[1]: *καλλίστους* S M A *κάλλιστα* A[2] ‖ 4 *φυσιν* sine acc. S ‖ 5 *ἐκπλύνοι* (ut in Platone scribi voluit Herwerden) M ‖ 7 *δεινοτέρα οὖσα παντὸς χαλ.* coll. A | *χαλαστραίου* A, Platonis cod. Malatestianus, Timaeus lex s. v., *χαλαστρέου* S *χαλα.στρέου* una litt. rasa M: *χαλεστραίου* Platonis plurimi ‖ 9 *δὲ* A *γρ. δὴ* superscr. A[2] ‖ 10 *δόξης τε ὀρθῆς καὶ* A | *μονίμου* Tr. | *δεινῶν πέρι* Plat. ‖ 10. 11 *ἀνδρίαν* A ‖ 14 *νόμιμον* dedi e Plat.: *μόνιμον* SMA ‖ 15 *ἀνδρίαν* A ‖ 16 ecl. cum lemm. hab. SMA; priori eclogae perperam continuant detracto lemmate Gaisford et Meineke ‖ 17 *δὴ* S M *δι'* A ‖ 19 *αὑτοῦ* Plat. *αὐτοῦ* libri Stobaei | *λέγοντες* SMA, Platonis aliquot: *φαίνονται* Platonis alii, *γρ. φαίνονται* A[2]. *ἀποφαίνοντες* prop. H. Richards | *ὃν* lineola subducta deletur ni fallor in A ‖ 19. 20 *ἄλλα ἄττα τοιαῦτα* Plat. ‖ 21 *κρείττω* M A, Plat. *κρεῖττον* S | *αὐτοῦ* M ‖ 22 *δήπου* ex Platone Gesn.[1]: *αὑτοῦ* S *αὐτοῦ* M A[1]; *αὐτοῦ ἂν αὐτοῦ εἴη* quod habet A[1] in *δήπου αὐτοῦ ἂν* corr. A[2] deletis sc. *αὐτοῦ εἴη*

ὁ ἥττων κρείττων· ὁ αὐτὸς γὰρ ἐν ἅπασι τούτοις προσαγορεύεται. Τί δ' οὔ; Ἀλλ', ἦν δ' ἐγώ, φαίνεταί μοι βούλεσθαι λέγειν οὗτος ὁ λόγος ὥς τι ἐν αὐτῷ τῷ ἀνθρώπῳ περὶ τὴν ψυχὴν τὸ μὲν βέλτιον ἔνι, τὸ δὲ χεῖρον· καὶ ὅταν μὲν τὸ βέλτιον φύσει τοῦ χείρονος ἐγκρατέστερον ᾖ, τοῦτο λέγειν τὸ κρείττω αὑτοῦ· ἐπαινεῖ γοῦν· ὅταν δὲ ὑπὸ τροφῆς κακῆς ἤ τινος ὁμιλίας κρατηθῇ ὑπὸ πλήθους τοῦ χείρονος σμικρότερον τὸ βέλτιον ὄν, τοῦτο δὲ ὡς ἐν ὀνείδει ψέγειν τε καὶ καλεῖν ἥττω ἑαυτοῦ καὶ ἀκόλαστον τὸν οὕτω διακείμενον. Καὶ γὰρ ἔοικεν, ἔφη. Ἀπόβλεπε τοίνυν, ἦν δ' ἐγώ, πρὸς τὴν νέαν ἡμῖν πόλιν, καὶ εὑρήσεις ἐν αὐτῇ τὸ ἕτερον τούτων ἐνόν· κρείττω γὰρ αὐτὴν αὑτῆς δικαίως φήσεις προσαγορεύειν, εἴπερ οὖν τὸ ἄμεινον τοῦ χείρονος ἄρχει, σῶφρον κλητέον καὶ κρεῖττον αὑτοῦ. Ἀλλ' ἀποβλέπω, ἔφη, καὶ ἀληθῆ λέγεις. Καὶ μὴν καὶ τάς τε πολλὰς καὶ παντοδαπὰς ἐπιθυμίας καὶ ἡδονάς τε καὶ λύπας ἐν πᾶσι μάλιστ' ἄν τις εὕροι καὶ γυναιξὶ καὶ οἰκέταις καὶ τῶν ἐλευθέρων λεγομένων ἐν τοῖς πολλοῖς τε καὶ φαύλοις. Πάνυ μὲν οὖν. Τὰς δέ γε ἁπλᾶς τε καὶ μετρίας, αἳ δὴ μετὰ νοῦ τε καὶ δόξης ὀρθῆς λογισμῷ ἄγονται, ἐν ὀλίγοις τε ἐπιτεύξῃ καὶ τοῖς βέλτιστα μὲν τραφεῖσιν βέλτιστα δὲ παιδευθεῖσιν; Ἀληθῆ, ἔφη. Οὐκοῦν καὶ ταῦτα ὁρᾷς ἐνόντα σοι ἐν τῇ πόλει καὶ κρατουμένας αὐτόθι τὰς ἐπιθυμίας τὰς ἐν τοῖς πολλοῖς τε καὶ φαύλοις ὑπό τε τῶν ἐπιθυμιῶν καὶ τῆς

---

4 *ἔνι* etiam A sine ulla correctione, errat Gaisford ‖ 5 *ἐγκρατέστερον* SMA *γρ. ἐγκρατοίη* A[2] *ἐγκρατὲς* Plat. ‖ 6 *τὸ* SMA *τὸν* A[2] | *αὐτοῦ* M ‖ 8 *σμικρότερον* Plat., ex corr. A, *μικρότερον* SM, primo A | *βέλτιον ὄν* A, Plat.: *βέλτι ὄν* M *βέλτιον* S ‖ 12 *μένον* A[1] ‖ 13 *αὐτῆς* MA[1] | *προσαγορεύεσθαι, εἴπερ, οὗ τὸ ἄμεινον* Plat., ubi *οὖν* libri meliores, *οὗ* recc.: quod supra dedi, in libris Stob. est, nisi quod *προσαγορεύειν* in *προσαγορεύεσθαι* e Plat. corr. A[2] ‖ 14 *σῶφρον* (*σωφρον* sine acc. M) *κλητέον* SM, Plat. *σωφρονητέον* A ‖ 15 *κρείττων* M ‖ 16 *καὶ* post *μὴν* om. A | *τάς γε πολλὰς* Plat. | *παντοδαπᾶσ* M ‖ 17 *πᾶσι* ut Platonis sic etiam Stobaei libri, *παισὶ* recte H. Wolf ‖ 20 *αἳ* SA *ἃ* M ‖ 21 *ὀλίγοις* SM, Plat., *ὅλοις* A ‖ 22 *τραφεῖσι* (*-σιν* M) SMA *φῦσιν* Plat.

φρονήσεως τῆς ἐν τοῖς ἐλάττοσί τε καὶ ἐπιεικεστέροις; Ἔγωγε, ἔφη. Εἰ ἄρα δεῖ τινα πόλιν προσαγορεύειν κρείττω ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ αὐτὴν ⟨αὑτῆς, καὶ ταύτην⟩ προσρητέον. Παντάπασι μὲν οὖν, ἔφη. Ἆρ' οὖν οὐ καὶ σώφρονα κατὰ πάντα ταῦτα; Καὶ μάλα, ἔφη. Καὶ μὴν αὖ εἴπερ ἐν ἄλλῃ πόλει ἡ αὐτὴ δόξα ἔνεστι τοῖς τε ἄρχουσι καὶ ἀρχομένοις περὶ τοῦ οὕς τινας δεῖ ἄρχειν, καὶ ἐν ταύτῃ ἂν εἴη τοῦτο ἐνόν. ἢ οὐ δοκεῖ; Καὶ μάλα, ἔφη, σφόδρα. Ἐν ποτέροις οὖν φήσεις τῶν πολιτῶν τὸ σωφρονεῖν ἐνεῖναι, ὅταν οὕτως ἔχωσιν; ἐν τοῖς ἄρχουσιν ἢ ἐν τοῖς ἀρχομένοις; Ἐν ἀμφοτέροις που, ἔφη. Ὁρᾷς οὖν, ἦν δ' ἐγώ, ὅτι ἐπιεικῶς ἐμαντευόμεθα ἀρτίως ὡς ἁρμονίᾳ τινὶ ⟨ἡ⟩ σωφροσύνη ὡμοίωται; Τί δή; Ὅτι οὐχ ὥσπερ ἡ ἀνδρεία καὶ ἡ σοφία ἐν μέρει τινὶ ἑκατέρα ἐνοῦσα ἡ μὲν σοφήν, ἡ δὲ ἀνδρείαν τὴν πόλιν παρείχετο, οὐχ οὕτω ποιεῖ αὕτη, ἀλλὰ δι' ὅλης ἀτεχνῶς τέταται διὰ πασῶν παρεχομένη ξυνᾴδοντας τούς τε ἀσθενεστάτους ταὐτὸν καὶ τοὺς ἰσχυροτάτους καὶ τοὺς μέσους, εἰ μὲν βούλει, φρονήσει, εἰ δὲ βούλει, ἰσχύι, εἰ δέ, καὶ πλήθει ἢ χρήμασιν ἢ ἄλλῳ ὁτῳοῦν τῶν τοιούτων· ὥστε ὀρθότατα ἂν φαῖμεν ταύτην τὴν ὁμόνοιαν σωφροσύνην εἶναι, χείρονός τε καὶ ἀμείνονος κατὰ φύσιν ξυμφωνίαν ὁπότε-

---

(25) **1** *τῆς φρ.* S M *τοῖς φρ.* A ‖ **1** *τῆσ* (ante *ἐν*) ex *τᾶσ* vel *τοῖσ* corr. M[1] | *ἐλλάττοσι* A ‖ **2** *δεῖ* ex *δὴ* corr. M[1] *δὴ* A ‖ **3** *αὑτῆς, καὶ ταύτην* inserui ex Plat., om. S M A; *αὑτῆς, ταύτην* suppleverat Gesn.[1] ‖ **6** *αὖ εἴπερ* S M A *εἴπερ αὖ* Plat. ‖ **7** *καὶ ἀρχομένοις* S M, Plat. *καὶ τοῖς ἀρχ.* A | *οὕς*] *ὅσ* M ‖ **11** *ποῦ* M ‖ **12** *ἄρτι, ὡς ἁρμονίᾳ* Plat. ipse Ioannes an librarius archetypi deceptus sit dittographia hic ut sexcentis locis similibus aegre dignoscas ‖ **13** *ἡ* ex Platone Gesn.[1], om. S M A | *σωφροσύνηι* S | *ὡμοίωται* ex corr. A[1] | *οὐχ* Plat.: *οὐδ'* SMA ‖ **14** *ἀνδρία* (ut mox *ἀνδρίαν*) A ‖ **15** *ἐνοῦσα*] non recte de Stobaeo nuper rettulit I. Burnet (Oxon.a. 1905) ut saepius. moneo semel ‖ **16** *οὐχ οὕτω ποιεῖ* SMA, Plat.; *οὐχ οὕτω τὴν πόλιν ποιεῖ* e Platonis Aldina Gesn.[1], inde vulg. ‖ **16. 17** *δι' ἁπασῶν* A ‖ **18** *ἰσχυρωτάτους* M ‖ **19** *καὶ* om. A ‖ **20** *χρώμασιν* M ‖ **20. 21** *ὀρθέ τατα* una littera post *ε* (?) rasa M[1] ‖ **21** *φαῖμεν* e Platone Gaisford: *φαμὲν* S M A ‖ **22** *ἄμεινοσ* quod scripserat in *ἀμείνονοσ* corr. M[1] accentu qui supra *α* erat eraso

ρον δεῖ ἄρχειν καὶ ἐν πόλει καὶ ἐν ἑνὶ ἑκάστῳ. Πάνυ μοι, ἔφη, ξυνδοκεῖ.

100 (98 Mein.) *Ἐν ταὐτῷ* (p. 433 A—434 A).

Ἀλλ', ἦν δ' ἐγώ, ἄκουε εἴ τι ἄρα λέγω. ὃ γὰρ ἐξ ἀρχῆς ἐθέμεθα ⟨δεῖν⟩ ποιεῖν διὰ παντός, ὅτε τὴν πόλιν κατῳκίζομεν, τοῦτό ἐστιν, ὡς ἐμοὶ δοκεῖ, ἤτοι τούτου εἶδος ⟨ἡ⟩ δικαιοσύνη. ἐθέμεθα δὲ δήπου καὶ πολλάκις ἐλέγομεν, εἰ μέμνησαι, ὅτι ἕνα ἕκαστον ἓν δέοι ἐπιτηδεύειν τῶν περὶ τὴν πόλιν, εἰς ὃ αὐτοῦ ἡ φύσις ἐπιτηδειοτάτη πεφυκυῖα εἴη. Ἐλέγομεν γάρ. Καὶ μὴν ὅτι γε ⟨τὸ⟩ τὰ αὑτοῦ πράττειν καὶ μὴ πολυπραγμονεῖν δικαιοσύνη ἐστί, καὶ τοῦτο ἄλλων τε πολλῶν ἀκηκόαμεν καὶ αὐτοὶ πολλάκις ⟨εἰρήκαμεν⟩. Εἰρήκαμεν γάρ. Τοῦτο τοίνυν, ἦν δ' ἐγώ, ὦ φίλε, κινδυνεύει τρόπον τινὰ γιγνόμενον ⟨ἡ⟩ δικαιοσύνη εἶναι, τὸ τὰ αὑτοῦ πράττειν· οἶσθα ὅθεν τεκμαίρομαι; Οὔκ, ἀλλὰ λέγε, ἔφη. Δοκεῖ μοι, ἦν δ' ἐγώ, τὸ ὑπόλοιπον ἐν τῇ πόλει ὧν ἐσκέμμεθα, σωφροσύνης καὶ ἀνδρείας καὶ φρονήσεως, τοῦτο εἶναι τὸ πᾶσιν ἐκείνοις τὴν δύναμιν παρέχον, ὥστε ἐγγενέσθαι, καὶ ἐγγενομένοις σωτηρίαν παρέχειν, ἕως περ ἂν ⟨ἐν⟩ῇ. καίτοι ἔφαμεν δικαιοσύνην ἔσεσθαι τὸ ὑπολειφθὲν ἐκείνων, εἰ τὰ τρία εὕροιμεν. Καὶ γὰρ ἀνάγκη, ἔφη. Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, εἰ δέοι κρῖναι, [τινα] τὴν πόλιν ἡμῖν τί τούτων μάλιστα ἀγαθὴν ἀπεργάσεται ἐγγενόμενον,

1 *ἐν τῇ πόλει* Tr. ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 5 *δεῖν* inseruit ex Plat. Gesn.[1], om. S M A. Stobaeus fortasse *ποιεῖν ⟨δεῖν⟩ διὰ π.* ‖ 6 *τούτου τι εἶδος* ex Plat. Gesn.[1] ‖ 7 *ἡ* ex Plat. supplevit Gesn.[1] | *δίπου* A ‖ 10 *εἴη πεφυκυῖα* A ‖ 11 *τὸ* ex Plat. addidit Gesn.[1] | *αὐτοῦ* M ‖ 12 *ἐστὶν* M ‖ 13 *εἰρήκαμεν* ex Plat. addidit Gesn.[1] ‖ 15 *ἡ* ex Plat. addidit Gesn.[1] | *αὐτοῦ* M ‖ 17 *πόλει ὧν* ex Plat. Gesn.[1]: *πόλει τῶν* S M *πόλει τῶν πολιτῶν* A ‖ 18 *ἀνδρίας* A ‖ 18. 19 *τὸ πᾶσιν—παρέχον* S M A: *ὃ πᾶσιν—παρέσχεν* Plat. ‖ 20 *ἐγγενομένοις* S M A, *ἐγγενόμενά γε* (sic Platonis cod. Ven. 184) quod Gaisfordi adnotatione deceptus ipsi Stobaeo tribuit Adam, ex Platonis Aldina etsi in *ἐγγενομένα γε* depravatum dedit Gesn.[1] *ἐγγενομένοις γε* Plat. | *παρέχει* aliquot libri Platonis | *ἂν ἐνῇ* scripsi ex Plat.: *ἂν ἦ* (*ἀνῇ* M) vel *ἂν ᾖ* libri Stob. ‖ 22 *εἶτα* A ‖ 23 *δέοι. γε κρ.* (Plat. *κρῖναί* (*κριναί* S) *τινα* S M A *κρῖναι τί* Plat. ‖ 24 *τί του-*

δύσκριτον ἂν εἴη πότερον ἡ ὁμοδοξία τῶν ἀρχόντων τε καὶ ἀρχομένων, ἢ ἡ περὶ δεινῶν τε καὶ μή, ἅττα ἐστί, δόξης ἐννόμου σωτηρία ἐν τοῖς στρατιώταις ἐγγενομένη, ἢ ἡ ἐν τοῖς ἄρχουσι φρόνησίς τε καὶ φυλακὴ ἐνοῦσα, ἢ τοῦτο μάλιστα ἀγαθὴν αὐτὴν ποιεῖ ἐνὸν καὶ ἐν παιδὶ καὶ ἐν γυναικὶ καὶ δούλῳ καὶ ἐλευθέρῳ καὶ δημιουργῷ καὶ ἄρχοντι καὶ ἀρχομένῳ, ὅτι τὸ αὑτοῦ ἕκαστος εἷς ὢν ἓν ἔπραττεν καὶ οὐκ ἐπολυπραγμόνει. Δύσκριτον, ἔφη· πῶς δ' οὔ; Ἐνάμιλλον ἄρα, ὡς ἔοικε, [τι] πρὸς ἀρετὴν πόλεως τῇ τε σοφίᾳ αὐτῆς καὶ τῇ σωφροσύνῃ καὶ τῇ ἀνδρείᾳ ἡ τοῦ ἕκαστον ἐν αὐτῇ τὰ αὑτοῦ πράττειν δύναμις. Καὶ μάλα, ἔφη. Οὐκοῦν δικαιοσύνην τό γε τούτοις ἐνάμιλλον ἂν εἰς ἀρετὴν πόλεως θείης; Παντάπασι μὲν οὖν. Σκόπει δὴ καὶ τῇδε, εἰ οὕτω δόξει· ἆρα τοῖς ἄρχουσιν ἐν τῇ πόλει τὰς δίκας προστάξεις δικάζειν; Τί μήν; Ἦ ἄλλου τινὸς οὖν μᾶλλον ἐφιέμενοι δικάσουσιν ἢ τούτου, ὅπως ἂν ἕκαστοι μήτ' ἔχωσι τἀλλότρια μήτε τῶν αὑτῶν στέρωνται; Οὔκ, ἀλλὰ τούτου. Ὡς δικαίου ὄντος; Ναί. Καὶ ταύτῃ ἄρα πῃ ἡ τοῦ οἰκείου τε καὶ ἑαυτοῦ ἕξις τε καὶ πρᾶξις δικαιοσύνη ἂν ὁμολογοῖτο. Ἔστι ταῦτα.

101 (99 Mein.) *Ἐν ταὐτῷ* (p. 445 C—E).

Δεῦρο νῦν, ἦν δ' ἐγώ, ἵνα καὶ εἰδῇς, ὅσα εἴδη ἔχει ἡ κακία, ὡς ἐμοὶ δοκεῖ, ἅ γε δὴ καὶ ἄξια θέας. Ἑπο-

---

τι
των S *τι τούτων* M *τούτων* A: *τούτων* Plat. | *ἀπείργασται* (sine acc. M) S M A; *ἀπεργάσεται* Plat., ex Plat. Gesn.[1]

2 *ἡ η περι* M | *ἄττοί* (vel *ἅττοί*) *ἐστιν* M ‖ 6 *καὶ ἐν ἐλ.* A ‖ 7 *αὐτοῦ* M ‖ 8 *ἓν* S M: om. A, Plat. ‖ 9 *πρὸς* ex Plat. Gesn.[1]: *τι* (*τὶ* A) *πρὸς* S M A ‖ 10. 11 *ἀνδρίᾳ* A ‖ 11 post *ἕκαστον* iterantur verba *σοφίᾳ* (*σοφία* M) *αὐτῆς—τοῦ ἕκαστον* in M A | *αὑτοῦ* Plat.: *αὐτοῦ* S M A ‖ 14 *δὲ* pro *δὴ* S ‖ 15 *δικάζειν* S M, Plat. *εἰπεῖν καὶ δικάζειν* A ‖ 16 *τινὸς οὖν* Platonis plerique: *τινος οὐ* (*τινὸσ ου* M) S M A; *οὑτινοσοῦν* Platonis cod. Vindob. 55, e Platonis Ald. Gesn.[1] | *ἢ* e Plat. Gesn.[1]: *καὶ* S M A ‖ 17 *τ' ἀλλότρια* M *τὰ ἀλλότρια* S A ‖ 18 *αὑτῶν* Plat.: *αὐτῶν* S M A ‖ 19 *ταύτῃ ἄρα πῃ* Plat.: *ταῦτα ἄρα πῆ* S M A ‖ 22 ecl. cum lemm. hab. S M A ‖ 23 *ἵνα καὶ ἴδῃς, ὅσα καὶ εἴδη* Platonis plerique ‖ 24 *ἅ γε* Plat.: *ἅ τε* S M A

μαι, ἔφη· μόνον λέγε. Καὶ μήν, ἦν δ' ἐγώ, ὥσπερ ἀπὸ σκοπιᾶς μοι φαίνεται, ἐπειδὴ ἐνταῦθα ἀναβεβήκαμεν τοῦ λόγου, ἓν μὲν εἶναι εἶδος τῆς ἀρετῆς, ἄπειρα δὲ τῆς κακίας, τέτταρα δὲ ἐν αὐτῇ ὄντα, ὧν καὶ ἄξιον ἐπιμνησθῆναι. Πῶς λέγεις; ἔφη. Ὅσοι, ἦν δ' ἐγώ, πολιτειῶν τρόποι εἰσὶν ⟨εἴδη ἔχοντες, τοσοῦτοι κινδυνεύουσι καὶ ψυχῆς τρόποι εἶναι⟩. Πόσοι δή; Πέντε μέν, ἦν δ' ἐγώ, πολιτειῶν, πέντε δὲ ψυχῆς. Λέγ', ἔφη, τίνες. Λέγω, εἶπον, ὅτι εἷς μὲν οὗτος ὃν ἡμεῖς διεληλύθαμεν πολιτείας εἴη ἂν τρόπος, ἐπονομασθείη δ' ἂν καὶ διχῇ· ἐγγενομένου γὰρ ἀνδρὸς ἑνὸς ἐν τοῖς ἄρχουσι διαφέροντος βασιλεία ἂν κληθείη, πλειόνων δὲ ἀριστοκρατία. Ἀληθῆ, ἔφη. Τοῦτο μὲν τοίνυν, ἦν δ' ἐγώ, ἓν εἶδος λέγω· οὔτε γὰρ ἂν πλείους οὔτε εἷς ἐγγενόμενος κινήσειεν ἄν τινα τῶν ἀξίων λόγου νόμων τῆς πόλεως, τροφῇ τε καὶ παιδείᾳ χρησάμενος ᾗ διεληλύθαμεν.

102 (100 Mein.) *Πλάτωνος Πολιτείας ε'* (p. 457 A—B).

Ἀποδυτέον δὴ ταῖς τῶν φυλάκων γυναιξίν, ἐπείπερ ἀρετὴν ἀντὶ ἱματίων ἀμφιέσονται, καὶ κοινωνητέον πολέμου τε καὶ τῆς ἄλλης φυλακῆς τῆς περὶ τὴν πόλιν, καὶ οὐκ ἄλλο πρακτέον· τούτων δὲ αὐτῶν τὰ ἐλαφρότερα ταῖς γυναιξὶν ἢ τοῖς ἀνδράσιν ἀποδοτέον διὰ τὴν τοῦ γένους ἀσθένειαν. ὁ δὲ γελῶν ἀνὴρ ἐπὶ γυμναῖς γυναιξί, τοῦ βελτίστου ἕνεκα γυμναζομέναις, ἀτελῆ τοῦ γελοίου σοφίας δρέπων καρπόν, οὐδὲν οἶδεν, ὡς ἔοικεν, ἐφ' ᾧ γελᾷ, οὐδὲ τί πράττει· κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέ-

---

1 *μὴν* S ex *μῆν* corr. M[1] *νῦν* A ‖ 4 *τέτταρα δ' ἐν αὐτοῖς ἄττα, ὧν* Plat. ‖ 6 v. *εἴδη ἔχοντες, τοιοῦτοι*—7 *τρόποι εἶναι* ex Plat. Ald. inseruit Gesn.[1], debuit *τοσ-* e Plat. ‖ 8 *δὲ ψυχῆς* M A, Plat. *δὲ καὶ ψυχῆς* S ‖ 9 *ἡμεῖς* om. A ‖ 10 *δ'* om. A ‖ 11 *ἐγγενομένου μὲν γὰρ* Plat. ‖ 12 *δὲ* om. M A ‖ 14 *ἐγγενόμενος* (*ἐγεν-* M) S M A, Platonis recc.: *ἐγγενόμενοι* Platonis meliores, e Platonis Ald. Gesn.[1] ‖ 14. 15 *κινήσειεν ἄν τινα* S(?) M A *κινήσειέν τινα* Tr. *κινήσειεν ἄν* Plat. ‖ 16 *ἥ* M *ᾗ* A | *διήλθομεν* Plat. ‖ 17 ecl. cum lemm. hab. S M A ‖ 19 *ἀμφέσονται* M ‖ 21 *ἄλλα* Plat. ‖ 22 *δοτέον* Plat. ‖ 23 v. *ὁ δὲ γελῶν*—25. 26 *ἐφ' ᾧ γελᾷ* Eusebius praep. ev. XIII 19 p. 706: cf. Theodoretus Graec. affect. cur. IX 38 p. 231, 10 Raeder ‖ 23 *γυμναῖς ταῖς γυναιξὶ* Euseb.

γεται καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν.

103 (101 Mein.) *Ἐν ταὐτῷ* (p. 457 C—D).

Τούτῳ, ἦν δ' ἐγώ, ἕπεται νόμος καὶ τοῖς ἔμπροσθεν τοῖς ἄλλοις, ὡς ἐγῷμαι, ὅδε. Τίς; Τὰς γυναῖκας ταύτας τῶν ἀνδρῶν τούτων ⟨πάντων⟩ πάσας εἶναι κοινάς, ἰδίᾳ δὲ μηδενὶ μηδεμίαν συνοικεῖν, καὶ τοὺς παῖδας αὖ κοινούς, καὶ μήτε γονέα εἰδέναι ἔκγονον τὸν αὑτοῦ μήτε παῖδα γονέα. Πολύ, ἔφη, τοῦτο ἐκείνου μεῖζον πρὸς ἀπιστίαν καὶ τοῦ δυνατοῦ πέρι καὶ ὠφελίμου· Οὐκ οἶμαι, ἦν δ' ἐγώ, περί γε τοῦ ὠφελίμου ἀμφισβητεῖσθαι ἄν, ὡς οὐ μέγιστον ἀγαθὸν κοινὰς μὲν τὰς γυναῖκας εἶναι, κοινοὺς δὲ τοὺς παῖδας.

104 (102 Mein.) *Ἐν ταὐτῷ* (p. 461 E—465 E).

Ἡ μὲν δὴ κοινωνία, ὦ Γλαύκων, αὕτη τε καὶ τοιαύτη γυναικῶν τε καὶ παίδων τοῖς φύλαξί σοι τῆς πόλεως· ὧδε ἑπομένη τε τῇ ἄλλῃ πολιτείᾳ καὶ μακρῷ βελτίστη, δεῖ δὴ τὸ μετὰ τοῦτο βεβαιώσασθαι παρὰ τοῦ λόγου· ἢ πῶς ποιῶμεν; Οὕτω νὴ Δία, ἦ δ' ὅς. Ἆρ' οὖν οὐχ ἥδε ἀρχὴ τῆς ὁμολογίας, ἐρέσθαι ἡμᾶς τί ποτε τὸ μέγιστον ἀγαθὸν ἔχομεν εἰπεῖν εἰς πόλεως κατασκευήν, οὗ δεῖ στοχαζόμενον τὸν νομοθέτην τιθέναι τοὺς νόμους, καὶ τί μέγιστον κακόν, εἶτα ἐπισκέψασθαι, ἆρα ἃ νῦν

Theodor. ‖ 24 *ἀτελῆ* e. q. s.] Pindari verbum (fr. 209 Schr.), quo Plato usus est, legitur supra Stob. II 1, 21 W. ‖ 25 *οὐδὲ οἶδεν* Euseb. ‖ 26 *οὐδ' ὅ τι πράττει* Plat. | *κάλλιστα*] *κάλλιον* A

3 ecl. cum lemm. hab. S M A ‖ 4 *τούτῳ*—9 *παῖδα γονέα* Eusebius praep. ev. XIII 19 p. 708 ‖ 4 *ἐγὼ οἶμαι* M A ‖ 5 *ὅδε* e Plat. Gaisford: *ὧδε* (*ὦδε* M) S M A. cf. Theodoret. Gr. affect. cur. IX, 44 p. 233, 4 Raed.: *ἀνδρῶν τούτων ἁπάντων πάσας εἶναι γυναῖκας κοινάς, ἰδίᾳ δὲ μηδεμίαν μηδενὶ ξυνοικεῖν· καὶ τοὺς παῖδας αὖ κοινούς, καὶ μήτε γονέα ἔκγονον εἰδέναι τὸν αὑτοῦ, μήτε παῖδα γονέα* ‖ 6 *πάντων* e Plat. Gesn.[1] ‖ 8 *γονέα* e Plat. Gesn.[1]: *γονέας* S M A | *ἔκγονον εἰδέναι* Plat. Eus. | *αὐτοῦ* M ‖ 10 *καὶ τοῦ ὠφελίμου* Plat. ‖ 13 *κοινοὺς*] *ους* ex *ας* corr. S[1] | *τοὺς παῖδας, εἴπερ οἷόν τε* Plat. ‖ 14 ecl. cum lemm. hab. S M A ‖ 15 v. *Ἡ μὲν δὴ κοινωνία*— p. 47, 2 *μάλιστα, ἔφη* om. M A ‖ 17 *ὧδε* S cum Platonis libris nonnullis: *ὡς δὲ* recte Platonis alii

διήλθομεν εἰς μὲν τὸ τοῦ ἀγαθοῦ ἴχνος ἡμῖν ἁρμόττει, τῷ δὲ τοῦ κακοῦ ἀναρμοστεῖ; Πάντων μάλιστα, ἔφη. Ἔχομεν οὖν τι μεῖζον κακὸν πόλει ἢ ἐκεῖνο ὃ ἂν αὐτὴν διασπᾷ καὶ ποιῇ πολλὰς ἀντὶ μιᾶς; ἢ μεῖζον ἀγαθὸν τοῦ ὃ δὴ ξυνδεῖ τε καὶ ποιεῖ μίαν; Οὐκ ἔχομεν. Οὐκοῦν ἡ μὲν ἡδονῆς τε καὶ λύπης κοινωνία ξυνδεῖ, ὅταν ὅ τι μάλιστα πάντες οἱ πολῖται τῶν αὐτῶν γιγνομένων τε καὶ ἀπολλυμένων παραπλησίως χαίρωσι καὶ λυπῶνται; Παντάπασι μὲν οὖν, ἔφη. Ἡ δέ γε τῶν τοιούτων ἰδίωσις διαλύει, ὅταν οἱ μὲν περιαλγεῖς, οἱ δὲ περιχαρεῖς γίγνωνται ἐπὶ τοῖς αὐτοῖς παθήμασι τῆς πόλεώς τε καὶ τῶν ἐν τῇ πόλει; Τί δ᾽ οὔ; Ἆρ᾽ οὖν ἐκ τοῦδε τὸ τοιόνδε γίγνεται, ὅταν μὴ ἅμα φθέγγωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα, τό τε ἐμὸν καὶ τὸ οὐκ ἐμόν; καὶ περὶ τοῦ ἀλλοτρίου κατὰ ταὐτά; Κομιδῇ μὲν οὖν. Ἐν ᾗ τινι δὴ πόλει πλεῖστοί σοι τὸ αὐτὸ κατὰ ταὐτὰ τοῦτο λέγουσι τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμόν, αὕτη ἄριστα διοικεῖται; Πολύ γε. Καὶ ἥ τις δὴ ἐγγύτατα ἑνὸς ἀνθρώπου ἔχει; οἷον ὅταν που ἡμῶν δάκτυλός του πληγῇ, πᾶσα ἡ κοινωνία ἡ κατὰ τὸ σῶμα πρὸς τὴν ψυχὴν τεταμένη εἰς μίαν σύνταξιν τὴν τοῦ ἄρχοντος ἐν αὐτῇ ᾔσθετό τε καὶ πᾶσα ἅμα συνήλγησε μέρους πονήσαντος ὅλη, καὶ οὕτω δὴ λέγομεν ὅτι ὁ ἄνθρωπος τὸν δάκτυλον ἀλγεῖ· καὶ περὶ ἄλλου ὁτουοῦν τῶν τοῦ ἀνθρώπου ὁ αὐτὸς λόγος, περί τε λύπης πο-

(23) **1** *νῦν δὴ διήλθομεν* Plat. ‖ **2** *τῷ δὲ* Plat.: *τὸ δὲ* S ‖ **3** *οὖν τὸ μεῖζον* A ‖ **4** *ποιῇ* e Plat. Gaisford: *ποιεῖ* S M A sicut Platonis nonnulli ‖ **5** *ὁ δεῖ* A | *ὃ ἂν ξυνδῇ* recte libri Platonis, quorum nonnulli tamen *ξυνδεῖ* | *ξυνδεῖσ τε* (*σ* et *τε* in ras.) M | *ποιῇ* Platonis non nulli ‖ **12** *τὸ τοιοῦτον γίγνεται* A ‖ **13** *φθέγγονται* A ‖ **14** respiciunt Aristoteles pol. III p. 1261 b 18 Plutarchus mor. p. 140 D 484 B 767 D ‖ **15** *ταὐτά* Plat. *ταῦτα* S M A | *δὴ* (sine acc. A) M A, Plat.: *δὲ* S ‖ **16** *πλεῖστοι*] *στοί* (sic) A | *σοι* S M A: *ἐπὶ* Plat. Iamblichus de vita Pyth. 167 p. 123, 2 N. | *τὸ αὐτὸ* S M A sicut libri Platonis, Iambl.; *ἐπὶ τοῦ αὐτοῦ* coni. Kuster, *ἐπὶ τῷ αὐτῷ* Wyttenbach | *ταὐτὰ* Plat.: *ταῦτα* S M A ‖ **18** *ἥ τις* S, Plat.: *εἴ τις* M A | *ἐγγυτάτω* Iambl. l. c. p. 123, 1 ‖ **19** *δάκτυλός που* A ‖ **21** *ᾕσθετο* M ‖ **23** *ἀλγῇ* M ‖ **24** *ἀπόλογος* pro *αὐτὸς λόγος* A

νοῦντος μέρους καὶ περὶ ἡδονῆς ῥαΐζοντος. Ὁ αὐτὸς γάρ, ἔφη· καὶ τοῦτο ὃ ἐρωτᾷς, τοῦ τοιούτου ἐγγύτατα ἡ ἄριστα πολιτευομένη πόλις οἰκεῖ. Ἑνὸς δή, οἶμαι, πάσχοντος τῶν πολιτῶν ὁτιοῦν ἢ ἀγαθὸν ἢ κακὸν ἡ τοιαύτη πόλις μάλιστά τε φήσει ἑαυτῆς εἶναι τὸ πάσχον καὶ ἢ ξυνησθήσεται ἅπασα ἢ ξυλλυπήσεται. Ἀνάγκη, ἔφη, τήν γε εὔνομον. Ὥρα ἂν εἴη, ἦν δ᾽ ἐγώ, ἐπανιέναι ἡμῖν ἐπὶ τὴν ἡμετέραν πόλιν, καὶ τὰ τοῦ λόγου ὁμολογήματα σκοπεῖν ἐν αὐτῇ, εἰ αὐτὴ μάλιστα ἔχει εἴτε καὶ ἄλλη τις μᾶλλον. Οὐκοῦν χρή, ἔφη. Τί οὖν; ἔστι μέν που καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ἄρχοντές τε καὶ δῆμος, ἔστι δὲ καὶ ἐν ταύτῃ; Ἔστι. Πολίτας μὲν δὴ πάντες οὗτοι ἀλλήλους προσεροῦσι; Πῶς δ᾽ οὔ; Ἀλλὰ πρὸς τῷ πολίτας τί ὁ ἐν ταῖς ἄλλαις δῆμος τοὺς ἄρχοντας προσαγορεύει; Ἐν μὲν ταῖς πολλαῖς δεσπότας, ἐν δὲ ταῖς δημοκρατουμέναις αὐτὸ τοῦτο τοὔνομα, ἄρχοντας. Τί δ᾽ ὁ ἐν τῇ ἡμετέρᾳ δῆμος; πρὸς τῷ πολίτας τί τοὺς ἄρχοντάς φησιν εἶναι; Σωτῆράς τε καὶ ἐπικούρους, ἔφη. Τί δ᾽ οὗτοι τὸν δῆμον; Μισθοδότας τε καὶ τροφέας. Οἱ δὲ ἐν ταῖς ἄλλαις ἄρχοντες τοὺς δήμους; Δούλους, ἔφη. Τί δ᾽ οἱ ἄρχοντες ἀλλήλους; Ξυνάρχοντας, ἔφη. Ἔχεις οὖν εἰπεῖν τῶν ἀρχόντων ἐν ταῖς ἄλλαις πόλεσιν, εἴ τίς τινα ἔχει προσειπεῖν τῶν ξυναρχόντων τὸν μὲν ὡς οἰκεῖον, τὸν δ᾽ ὡς ἀλλότριον; Καὶ πολλούς γε. Οὐκοῦν τὸν μὲν οἰκεῖον ὡς

6 ξυλλυπηθήσεται A | v. Ἀνάγκη, ἔφη,—10 χρή, ἔφη om. M A ‖ 9 αὐτὴ Platonis libri plurimi, e Platonis Ald. Gesn.[1]: αὕτη S ‖ 10 inde a verbis Τί οὖν; nova quasi ecloga exordium sumit lemmate ἐν ταυτῶ (-ῷ A) praefixo in M A. consulto igitur in codicum M A archetypo abiecta sunt quae modo adnotavi omissa esse | ἔστιν ut etiam in proximis M ‖ 11. 12 ἐν αὐτῇ Platonis libri plurimi ‖ 13 τί καὶ ὃ A ‖ 15 δημοκρατομέναις A ‖ 16 αὐτὸ τοὔνομα τοῦτο Plat. τοὔνομα fort. secludendum esse monet Burnet | τί δ᾽ ὁ A, Plat.: τί δαὶ (δαι S) ὁ S M ‖ 17 πρὸς τῷ A, Plat. προς τω M πρὸς τὸ S ‖ 19 οὐ pro οἱ M ‖ 21 post Ξυνάρχοντας, ἔφη habet Τί δ᾽ οἱ ἡμέτεροι; Ξυμφύλακας Plato: om. S M A ‖ 21. 22 τῶν ἀρχόντων τῶν ἐν ταῖς ἄ. π. recte Platonis nonnulli ‖ 22 εἴ τι τινὰ M ‖ 23 τὸν δὲ ὡς M

ἑαυτοῦ νομίζει τε καὶ λέγει, τὸν δ' ἀλλότριον ὡς οὐχ ἑαυτοῦ; Οὕτω. Τί δ' οἱ παρὰ σοὶ φύλακες; ἔσθ' ὅστις αὐτῶν ἔχοι ἂν τῶν ξυμφυλάκων νομίσαι τινὰ ἢ προσειπεῖν ὡς ἀλλότριον; Οὐδαμῶς, ἔφη. παντὶ γὰρ ᾧ ἂν ἐντυγχάνῃ, ἢ ὡς ἀδελφῷ ἢ ὡς ἀδελφῇ ἢ ὡς πατρὶ ἢ ὡς μητρὶ ἢ ὡς υἱεῖ ἢ θυγατρὶ ἢ τούτων ἐγγόνοις ἢ προγόνοις νομιεῖ ἐντυγχάνειν. Κάλλιστα, ἦν δ' ἐγώ, λέγεις· ἀλλ' ἔτι καὶ τόδε εἰπέ· πότερον αὐτοῖς τὰ ὀνόματα μόνον οἰκεῖα νομοθετήσεις, ἢ καὶ τὰς πράξεις πάσας κατὰ τὰ ὀνόματα πράττειν, περί τε τοὺς πατέρας, ὅσα νόμος περὶ πατέρας αἰδοῦς τε πέρι καὶ κηδεμονίας καὶ τοῦ ὑπήκοον δεῖν εἶναι τῶν γονέων, ἢ μήτε πρὸς θεῶν μήτε πρὸς ἀνθρώπων αὐτῷ ἄμεινον ἔσεσθαι, ὡς οὔτε δίκαια οὔτε ὅσια πράττοντος ἄν, εἰ ἄλλα πράττοι ἢ ταῦτα; αὗταί σοι ἢ ἄλλαι φῆμαι ἐξ ἁπάντων τῶν πολιτῶν ὑμνήσουσιν εὐθὺς περὶ τὰ τῶν παίδων ὦτα καὶ περὶ πατέρων, οὓς ἂν αὐτοῖς τις ἀποφήνῃ καὶ περὶ τῶν ἄλλων ξυγγενῶν; Αὗται, ἔφη· γελοῖον γὰρ ἂν εἴη, εἰ ἄνευ ἔργων ὀνόματα οἰκεῖα διὰ τῶν στομάτων μόνον φθέγγοιντο. Πασῶν ἄρα πόλεων μάλιστα ἐν αὐτῇ ξυμφωνήσουσιν ἑνός τινος ἢ εὖ ἢ κακῶς πράττοντος ὃ νῦν δὴ ἐλέγομεν τὸ ῥῆμα, ⟨τὸ⟩ ὅτι τὸ ἐμὸν εὖ πράττει ἢ ὅτι τὸ ἐμὸν κακῶς. Ἀληθέστατα αὖ, ἦ δ' ὅς. Οὐκοῦν μετὰ τούτου

ἂν
4. 5 ὧ ἐντυγχάνει S¹ | ἐντυγχάνῃ τίς libri Platonis sed ἐντυγχάνῃ sicut Stob. Platonis liber Vindob. 55, suppl. phil. gr. 39 ‖ 6 ἢ ὑεῖ Plat. | υεῖ M | ἐκγ- Plat. ‖ 8 verba ἀλλ' ἔτι καὶ τόδε—p. 50, 8 μάλιστα, ἔφη om. M A, quibus exclusis iterum nova quasi ecloga constituitur inde a verbis p. 50, 8 Ἀλλὰ μὴν μέγιστον lemmate ἐν ταυτῷ (-τῷ A) praefixo in M A ‖ 11 περὶ πατέρας ex Platone Gesn.¹: περὶ πρα S ‖ 13 αὐτῶν Tr. | ἄμεινον ἔσεσθαι ex Platone Gaisford: ἀμείνονες ἔσεσθαι S ‖ 13. 14 οὔτε ὅσια οὔτε δίκαια πρ. Plat. ‖ 14 πράττοντες typothetae error ed. Gaisfordianae Lips., quem iteravit Meineke ‖ 17 αὐτοῖς τις (τις subducta lineola S) S, Plat.: om. Tr., inde vulg. ‖ 19 οἰκεῖα ὀνόματα Plat. ‖ 22 τὸ e Platone addidit Gaisfordi ed. Lips., unde etiam Meineke ‖ 23 αὖ om. Platonis libri, nisi quod ἂν cod. Vindob. 55. delevit Gesn.¹ Platonis Aldinae obsecutus

τοῦ δόγματός τε καὶ ῥήματος ἔφαμεν ξυνακολουθεῖν τός τε ἡδονὰς καὶ λύπας κοινῇ; Καὶ ὀρθῶς γε ἔφαμεν. Οὐκοῦν μάλιστα τοῦ αὐτοῦ κοινωνήσουσιν οἱ πολῖται ἡμῖν, ὃ δὴ ἐμὸν ὀνομάσουσι; τούτου δὲ κοινωνοῦντες οὕτω δὴ λύπης τε καὶ ἡδονῆς μάλιστα κοινωνίαν ἕξουσι; Πολύ γε. Ἆρ' οὖν τούτων αἰτία πρὸς τῇ ἄλλῃ καταστάσει ἡ τῶν γυναικῶν τε καὶ παίδων κοινωνία τοῖς φύλαξι; Πάνυ μὲν οὖν μάλιστα, ἔφη. Ἀλλὰ μὴν μέγιστόν γε πόλει αὐτὸ ὡμολογήσαμεν ἀγαθόν, ἀπεικάζοντες εὖ οἰκουμένην πόλιν σώματι πρὸς μέρος αὐτοῦ λύπης τε πέρι καὶ ἡδονῆς ὡς ἔχει. Καὶ ὀρθῶς γε, ἔφη, ὡμολογήσαμεν. Τοῦ μεγίστου ἄρα ἀγαθοῦ τῇ πόλει αἰτία ἡμῖν πέφανται ἡ κοινωνία τοῖς ἐπικούροις τῶν τε παίδων καὶ τῶν γυναικῶν. Καὶ μάλα, ἔφη. Καὶ μὲν δὴ καὶ τοῖς πρόσθεν γε ὡμολογοῦμεν· ἔφαμεν γάρ που οὔτε οἰκίας τούτοις ἰδίας δεῖν εἶναι οὔτε γῆν οὔτε κτῆμα, ἀλλὰ παρὰ τῶν ἄλλων τροφὴν λαμβάνοντας, μισθὸν τῆς φυλακῆς, κοινῇ πάντας ἀναλίσκειν, εἰ μέλλοιεν ὄντως φύλακες εἶναι. Ὀρθῶς, ἔφη. Ἆρ' οὖν οὐχ, ὅπερ λέγω, τά τε πρόσθεν εἰρημένα καὶ τὰ νῦν λεγόμενα ἔτι μᾶλλον ἀπεργάζεται αὐτοὺς ἀληθινοὺς φύλακας, καὶ ποιεῖ μὴ διασπᾶν τὴν πόλιν τὸ ἐμὸν ὀνομάζοντας μὴ τὸ αὐτὸ ἀλλ' ἄλλον ἄλλο,

---

3 *ἡμῖν οἱ πολῖται* Plat. ‖ 4 *ὀνομάσουσι* Tr., fort. etiam S quamquam silet Mekler, Plat.: *ὀνομάζουσι* e Platonis Ald. Gesn.[1] ‖ 7. 8 *Πολὺ μὲν οὖν μ.* Plat. ‖ 8 *Ἀλλὰ μὴν κτέ.*] hinc rursus incipiunt M A, vide quae monui ad p. 49, 8 | *με* pro *γε* A ‖ 10 *αὑτοῦ* Plat.: *αὐτοῦ* S M A ‖ 12 *πέφανται* M A, Plat., *πέφυκεν* S. hinc usque ad calcem in S ea manus quae proxima scripsit folia evanidam primae scripturam passim restituere enisa non pauca pessumdedit deteriorem librorum familiam secuta ‖ 13 *τε* om. A ‖ 14 *μὲν* M A Plat. *μὴν* S ‖ 15 *ὡμολογοῦμεν* S M, Platonis plerique: *ὁμολογοῦμεν* A ut non nulli Platonis | *οἰκίας* ex *οἰκείας* nescio an sec. man. S | *ἰδίας* M A *ἰδίως* S[2] Tr. quid praebuerit S[1] non perspicio ‖ 16 *γῆσ* M | *οὔτε τι κτῆμα* Plat. sed *τι* (ut Stobaei libri) om. cod. Vindob. 55 ‖ 19 *οὐχ' ὅπερ* ut videtur M ‖ 20 *λεγόμενα* M A, Plat., etiam in S olim *λεγόμενα,* certe accentus et litterarum *εγο* paene exstinctarum vestigia adgnovisse sibi visus est Mekler: *λελεγμένα* ut Tr. nunc S ‖ 22 *τὸ*

τὸν μὲν εἰς τὴν αὑτοῦ οἰκίαν ἕλκοντα ὅ τι ἂν δύνηται χωρὶς τῶν ἄλλων κτήσασθαι, τὸν δὲ εἰς τὴν ἑαυτοῦ ἑτέραν οὖσαν, καὶ γυναῖκά τε καὶ παῖδας ἑτέρους, ἡδονάς τε καὶ ἀλγηδόνας ἐμποιοῦντας ἰδίων ὄντων ἰδίας, ἀλλ᾽ ἑνὶ δόγματι, [οὐ] τοῦ οἰκείου πέρι ἐπὶ τὸ αὐτὸ τείνοντας πάντας εἰς τὸ δυνατὸν ὁμοιοπαθεῖς λύπης τε καὶ ἡδονῆς εἶναι; Κομιδῇ μὲν οὖν, ἔφη. Τί δέ; δίκαι τε καὶ ἐγκλήματα πρὸς ἀλλήλους οὐκ οἰχήσεται ἐξ αὐτῶν ὡς ἔπος εἰπεῖν διὰ τὸ μηδὲν ἴδιον κεκτῆσθαι πλὴν τὸ σῶμα, τὰ δὲ ἄλλα κοινά; ὅθεν δὴ ὑπάρχει τούτοις ἀστασιάστοις εἶναι, ὅσα γε διὰ χρημάτων ἢ παίδων ἢ ξυγγενῶν κτῆσιν ἄνθρωποι στασιάζουσι. Πολλή, ἔφη, ἀνάγκη ἀπηλλάχθαι. Καὶ μὴν οὐδὲ βιαίων γε οὐδὲ αἰκίας δίκαι δικαίως ἂν εἶεν ἐν αὐτοῖς· ἥλιξι μὲν γὰρ ἥλικας ἀμύνεσθαι καλὸν καὶ δίκαιόν που φήσομεν, ἀνάγκην σωμάτων ἐπιμελείᾳ τιθέντες. Ὀρθῶς, ἔφη. Καὶ γὰρ καὶ τόδε ὀρθὸν ἔχει, ἦν δ᾽ ἐγώ, οὗτος ὁ νόμος· εἴ πού τις τῳ θυμοῖτο, ἐν τῷ τοιούτῳ πληρῶν τὸν θυμὸν ἧττον ἐπὶ μείζους ἂν ἴοι στάσεις. Πάνυ μὲν οὖν. Πρεσβυτέρῳ μὴν νεωτέρων πάντῃ ἄρχειν τε καὶ κολάζειν προστετάξεται.

ἐμὸν M A, Plat. ταύτην e corr. S², Tr. videtur primo tamen τὸ ἐμὸν fuisse in S, certe μὸν litteras agnovit Mekler | ἀλλὰ ἄλλον ἄλλο M

1 αὑτοῦ scripsi: αὐτοῦ libri Stob., ἑαυτοῦ Plat. | ἂν e Platone Gesn.¹: ὧν S¹ Tr., M sed ut spiritus non satis clarus sit, ὢν A | δύναται A ‖ 3 οὖσαν καὶ S¹ M A, Plat. οὖσαν ὅτι S² Tr. | ἑτέρουσ ex ἑτέρασ ut videtur corr. M¹ ‖ 5 οὐ Platonem secutus damnavit Gesn.¹ ‖ 6 ὁμοπαθεῖς Plat. ‖ 7 δέ ex Platone Gesn.¹: δαὶ S M δ᾽ αἵ A ‖ 10 δὲ pro δὴ Tr. ‖ 11 καὶ (pro ἢ ante ξυγγ.) Platonis libri plurimi ‖ 12 ἀνθρώποις A | ἔφη ἀνάγκη libri ut Platonis cod. Vindob. 55: ἀνάγκη ἔφη Platonis reliqui ‖ 13 v. καὶ μὴν—p. 52, 4 ἄλλως ἀτιμάσει omittunt et novum lemma ἐν ταυτῶ (-τῷ A) ante ἱκανῷ γὰρ (p. 52, 4) addunt M A ‖ 15 φήσομεν dedi ex Plat.: θήσομεν S ‖ 16 ἐπιμελείᾳ Platonis libri meliores: ἐπιμελείας S, Platonis recc. | καὶ γὰρ τόδε Plat. ‖ 18 τῷ S si merito silet Mekler, Plat. γὰρ Tr. | a verbis τὸν θυμὸν incipit fol. 62ʳ in S ubi folia 62—67 papyracea sunt eademque manu scripta qua fol. 1—5 ‖ 19 ἴοι ex Plat. Gesn.¹: εἴη S | στάσεις Plat.: στάσις Tr. dubito de S | μὴν S, Plat.; μὲν e Platonis Ald. Gesn.¹ ‖ 20 πάντῃ S πάντων e Plat. Gesn.¹

Δῆλον. Καὶ μὴν ὅτι γε νεώτερος πρεσβύτερον, ἂν μὴ ἄρχοντες προστάττωσιν, οὔτε ἄλλο βιάζεσθαι ἐπιχειρήσει ποτὲ οὔτε τύπτειν, ὡς τὸ εἰκός. οἶμαι δὲ οὐδ᾽ ἄλλως ἀτιμάσει· ἱκανὼ γὰρ τὼ φύλακε κωλύοντε, δέος τε καὶ αἰδώς· αἰδὼς μὲν ὡς γονέων μὴ ἅπτεσθαι εἴργουσα, δέος δὲ τὸ τῷ πάσχοντι τοὺς ἄλλους βοηθεῖν, τοὺς μὲν ὡς υἱεῖς, τοὺς δὲ ὡς ἀδελφούς, τοὺς δὲ ὡς πατέρας. Ξυμβαίνει γὰρ οὕτως, ἔφη. Πανταχῇ δὴ ἐκ τῶν νόμων εἰρήνην πρὸς ἀλλήλους οἱ ἄνδρες ἄξουσι. Πολλήν γε. Τούτων μὴν ἐν ἑαυτοῖς μὴ στασιαζόντων οὐδὲν δεινὸν μή ποτε ἡ ἄλλη πόλις πρὸς τούτους ἢ πρὸς ἀλλήλους διχοστατήσῃ. Οὐ γὰρ οὖν. Τά γε μὴν σμικρότατα τῶν κακῶν δι᾽ ἀπρέπειαν ὀκνῶ καὶ λέγειν, ὧν ἀπηλλαγμένοι ἂν εἶεν, κολακείας τε πλουσίων πένητες ἀπορίας τε καὶ αλγηδόνας ὅσας ἐν παιδοτροφίᾳ καὶ χρηματισμοῖς διὰ τροφὴν οἰκετῶν ἀναγκαίαν ἴσχουσι, τὰ μὲν δανειζόμενοι, τὰ δ᾽ ἐξαρνούμενοι, τὰ δὲ πάντως πορισάμενοι θέμενοι παρὰ γυναῖκάς τε καὶ οἰκέτας, ταμιεύειν παραδόντες, ὅσα τε, ὦ φίλε, περὶ αὐτὰ καὶ οἷα πάσχουσι, δῆλά τε καὶ ἀγεννῆ καὶ οὐκ ἄξια λέγειν. Δῆλα γάρ, ἔφη, καὶ τυφλῷ. Πάντων τε δὴ τούτων ἀπαλλάξονται, ζήσουσί τε τοῦ μακαριστοῦ βίου ὃν οἱ ὀλυμπιονῖκαι ζῶσι μακαριώτερον. Πῇ; Διὰ σμικρόν που μέρος εὐδαιμονίζονται ἐκεῖνοι ὧν τούτοις ὑπάρχει. ἥ τε γὰρ τῶνδε νίκη καλλίων, ἥ τ᾽ ἐκ τοῦ δημοσίου τροφὴ τελεωτέρα. νίκην τε γὰρ νικῶσι

---

2 *ἄλλο* reposui e Plat.: *ἄλλον* S *ἄλλως* e Platonis Ald. Gesn.[1] ‖ 4 a verbis *ἱκανὼ* (*-νῶ* M) *γὰρ* denuo incipiunt M A, vide ad p. 51, 13 | *κωλύονται* A ‖ 6 *δέος δὲ τοῦ τῷ π.* prop. Madvig ‖ 9 *ἄξουσι* S M, Plat.: *ἄρξουσι* A *αὔξουσι* Tr. ‖ 12 *τὰ γαρ δὴ σμικρότατα* A ‖ 14 *τε* post *ἀπορίας* om. Tr. ‖ 15 *παιδοτροφία* (*-φίᾳ* Plat.) S M A; *παιδοτροφίαις* e Platonis Ald. Gesn.[1] | *χρηματισμοῖσ* ex *-μοὺσ* corr. M[1] ‖ 17 *ἐξαρνούμενοι* ex Plat. Gesn.[1]: *ἐξαρκούμενοι* S M A | *θέμενοι* om. A ‖ 18 *παραδιδόντες ταμιεύειν* A ‖ 19 *δῆλά τε δὴ καὶ* Platonis non nulli ‖ 21 *πάντων τε δὴ* A, Plat.: *πάντοτε δὴ* S *πάντων δὲ δὴ* M | *ἀπηλλάξονται* ci. Cobet | *ζητοῦσι* A ‖ 22 *ὀλυμπιονίκαὶ* M ‖ 25 *τρῦφὴ* A | *νίκην τε* e. q. s. om. S

ξυναπάσης τῆς πόλεως σωτηρίαν, τροφῇ τε καὶ τοῖς ἄλλοις πᾶσιν, ὅσων βίος δεῖται, αὐτοί τε καὶ παῖδες ἀναδοῦνται καὶ γέρα δέχονται παρὰ τῆς αὑτῶν πόλεως ζῶντές τε καὶ τελευτήσαντες ταφῆς ἀξίας μετέχουσι. Καὶ μάλα, ἔφη, καλά.

105 (103 Mein.) *Ἐν ταὐτῷ* (p. 470 B).

Φαίνεταί μοι, ὥσπερ καὶ ὀνομάζεται δύο ταῦτα τὰ ὀνόματα, πόλεμός τε καὶ στάσις, οὕτω καὶ εἶναι δύο, ὄντα ἐπὶ δυοῖν τινοιν διαφοραῖν. λέγω δὲ τὰ δύο τὸ μὲν οἰκεῖον καὶ ξυγγενές, τὸ δὲ ἀλλότριον καὶ ὀθνεῖον. ἐπὶ μὲν οὖν τῇ τοῦ οἰκείου ἔχθρᾳ στάσις κέκληται, ἐπὶ δὲ τῇ τοῦ ἀλλοτρίου πόλεμος.

106 (104 Mein.) *Ἐν ταὐτῷ* (p. 471 C—D).

Τιθῶμεν δὴ καὶ τοῦτον τὸν νόμον τοῖς φύλαξι, μήτε γῆν τέμνειν μήτε οἰκίας ἐμπιμπράναι; Θῶμεν, ἔφη, καὶ ἔχειν γε καλῶς ταῦτά τε καὶ τὰ πρόσθεν. Ἀλλὰ γάρ μοι δοκεῖς, ὦ Σώκρατες, ἐάν τίς σοι τὰ τοιαῦτα ἐπιτρέπῃ λέγειν, οὐδέποτε μνησθήσεσθαι ὃ ἐν τῷ πρόσθεν παρωσάμενος πάντα ταῦτα εἴρηκας, τὸ ὡς δυνατὴ αὕτη ἡ πολιτεία γενέσθαι καὶ τίνα τρόπον ποτὲ δυνατή· ἐπεὶ ὅτι γε, εἰ γένοιτο, πάντ' ἂν εἴη ἀγαθὰ πόλει ⟨ᾗ γένοιτο⟩, καὶ ἃ σὺ παραλείπεις ἐγὼ λέγω, ὅτι καὶ τοῖς πολεμίοις ἄριστ' ἂν μάχοιντο τῷ ἥκιστα ἀπολείπειν ἀλλήλους, γι-

---

1 *ξυναπάσης* MA; *ξυμπάσης* ex Plat. Gesn.[2] | *σωτηρίαν* ex Plat. Gesn.[2]: *σώτειραν* (α superscr.) M A ‖ 2 *βίος* M, Plat. *βl* A ‖ 2. 3 *ἀναδοῦνται* M, Plat. *ἀναιδοῦνται* A ‖ 3 *αὑτῶν* Plat.: *αὐτῶν* MA ‖ 3. 4 *ζῶντές τε καὶ* MA, Plat. *ζῶντες καὶ* e Platonis Ald. Gesn.[2] ‖ 5 *καλά* M, Plat. *καλῶς* A ‖ 6 ecl. cum lemm. hab. MA, om. S ‖ 7. 8 inter *ταῦτα τὰ ὀν.* et *ταῦτα ὀν.* fluctuantur libri Platonis ‖ 10 *δ' ἀλλότριον* M ‖ 13 ecl. cum lemm. hab. MA, om. S ‖ 15 *ἐμπιμπρᾶναι* M | ab *θῶμεν* incipit codicis A fol. 75[v], in quo ipso quoque praeter unum locum nulla manus correctrix ‖ 16 *ταῦτά γε* M sed *γ* in ras. corr. M[2] | *γάρ* om. A ‖ 17. 18 *ἐπιτρέπῃ* A, Plat. *τρέπῃ* M ‖ 18 *μνήσεσθαι* A ‖ 21 *πάντα ἂν* M | *ᾗ γένοιτο* tacite e Platone inseruit Gesn.[2], om. MA ‖ 23 *μάχοιτο* primo M *ν* superscr. M[1] | *ἥκιστα* sed *ἥ* in ras. M prima ut videtur manu

γνώσκοντές τε καὶ ἀνακαλοῦντες ταῦτα τὰ ὀνόματα ἑαυτούς, ἀδελφούς, πατέρας, υἱεῖς.

107 (105 Mein.) *Ἐν ταὐτῷ* (p. 473 C—E).

Σκόπει δὲ ὃ μέλλω λέγειν. Λέγε, ἔφη. Ἐὰν μή, ἦν δ᾽ ἐγώ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ᾽ ἑκάτερον αἱ πολλαὶ φύσεις ἀποκλεισθῶσιν, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσιν ἀλλὰ μή, δοκῶ δὲ οὐδὲ τῷ ἀνθρωπίνῳ γένει, οὐδὲ αὕτη ἡ πολιτεία μή ποτε πρότερον φυῇ τε εἰς τὸ δυνατὸν καὶ φῶς ἡλίου ἴδῃ, ἣν νῦν λόγῳ διεληλύθαμεν. ἀλλὰ τοῦτό ἐστιν ὃ ἐμοὶ πάλαι ὄκνον ἐντίθησι λέγειν ὁρῶντι ὡς πολὺ παρὰ δόξαν ῥηθήσεται. χαλεπὸν γὰρ ἰδεῖν, ὅτι οὐκ ἂν ἄλλη τις εὐδαιμονήσειεν οὔτε ἰδίᾳ οὔτε δημοσίᾳ.

108 (106 Mein.) *Πλάτωνος Πολιτείας ς′* (p. 497 B—C).

Ἀλλὰ τοῦτο καὶ ἐπαιτιῶμαι, μηδεμίαν ἀξίαν εἶναι τῶν νῦν κατάστασιν πόλεως φιλοσόφου φύσεως· διὸ καὶ στρέφεσθαί τε καὶ ἀλλοιοῦσθαι αὐτήν· ὥσπερ ξενικὸν σπέρμα ἐν γῇ ἄλλῃ σπειρόμενον ἐξίτηλον εἰς τὸ ἐπιχώ-

---

1. 2 *ἑαυτοὺς* A *ἑαυτοῖς* M. eadem discrepantia in libris Platonis ‖ 3 ecl. cum lemm. hab. M A, om. S. sed v. *σκόπει δὲ*—6 *φιλοσοφήσωσιν* comparent infra ecl. 111 p. 56, 23 quae in solis conservata est S Tr. ut suspicio suboriatur non nisi semel lecta esse verba Platonis in hoc capite. sed ad solvendam hanc quaestionem nostra hodie subsidia non sufficiunt. ceterum praetervidit ecl. 107 in M Gesn.[2], ex A primus edidit Gaisford ‖ 4 *λέγε*] *ε* finale radendo corr. ex *ει* M ‖ 5 *βασιλεύσωσιν* M A (moneo propter Gaisfordum), etiam S infra ‖ 7 *ταὐτὸ* A ‖ 9 *φύσεις ἐξ ἀνάγκης ἀποκλ.* Plat. | *ἀποκλεισθῶσιν* scripsi cum Platone: *ἀποκαθιστῶσιν* M A ‖ 10 *ἔστιν* (ut supra *φιλοσοφήσωσιν*) M ‖ 11 *ἀλλὰ μὴ* M A, om. libri Platonis. subest opinor *ἀλλαχῇ* vel *ἄλλῃ πῃ* ‖ 12 *αὕτη* ex Platone Gaisford: *αὐτὴ* M A | *μή ποτε* M, Plat.: *μήτε* A | *φυη* M | *εἰς* M, Plat.: *ἐς* A ‖ 13 *ἰλίου* M | *ἣν* dedi ex Plat.: *ἣν* M *καὶ* A ‖ 15 *ὁρῶντι* M, Plat. *ὁρῶν τε* A | *παρὰ δόξαν* Plat.: *παραδόξαν* M *παραδόξων* A ‖ 16 *ἄλλῃ* Platonis Monacensis ‖ 18 ecl. cum lemm. hab. M A, om. S

ριον φιλεῖ κρατούμενον ἰέναι, οὕτω καὶ τοῦτο τὸ γένος νῦν μὲν οὐκ ἴσχειν τὴν αὑτοῦ δύναμιν, ἀλλ' εἰς ἀλλότριον ἦθος ἐκπίπτειν· εἰ δὲ λήψεται τὴν ἀρίστην πολιτείαν, ὥσπερ καὶ αὐτὸ ἄριστόν ἐστιν, τότε δηλώσει, ὅτι τοῦτο μὲν τῷ ὄντι θεῖον ἦν, τὰ δὲ ἄλλα ἀνθρώπινα, τά τε τῶν φύσεων καὶ τῶν ἐπιτηδευμάτων.

109 (107 Mein.) *Πλάτωνος Πολιτείας ζ'* (p. 520D).

Τὸ δέ που ἀληθὲς ὧδ' ἔχει· ἐν πόλει ᾗ ἥκιστα πρόθυμοι ἄρχειν οἱ μέλλοντες ἄρξειν, ταύτην ἄριστα καὶ ἀστασιαστότατα ἀνάγκη οἰκεῖσθαι.

110 (108 Mein.) *Ἐν ταὐτῷ* (p. 521A).

Ἐν μόνῃ γὰρ αὐτῇ ἄρξουσιν οἱ τῷ ὄντι πλούσιοι, οὐ χρυσίου, ἀλλ' οὗ δεῖ τὸν εὐδαίμονα πλουτεῖν, ζωῆς ἀγαθῆς τε καὶ ἔμφρονος. εἰ δὲ πτωχοὶ καὶ πεινῶντες ἀγαθῶν ἰδίων ἐπὶ τὰ δημόσια ἴασιν, ἐντεῦθεν οἰόμενοι τἀγαθὸν δεῖν ἁρπάζειν, οὐκ ἔστι· περιμάχητον γὰρ τὸ ἄρχειν γιγνόμενον, οἰκεῖος ὢν καὶ ἔνδον ὁ τοιοῦτος πόλεμος αὐτούς τε ἀπόλλυσι καὶ τὴν ἄλλην πόλιν.

111 (109 Mein.: Platonis de re publ. V p. 472E—473D).

⟨Τὸ μὲν⟩ τοίνυν ἀληθές, ἦν δ' ἐγώ, οὕτω· εἰ δὲ καὶ τοῦτο προθυμηθῆναι χρὴ σὴν χάριν, ἀποδεῖξαι πῇ μάλιστα καὶ κατὰ τί δυνατώτατα ἂν εἴη, πάλιν μοι πρὸς

---

2 ἴσχειν M, Plat. ἴσχυν A ἴσχον Gesn.² e Platonis Ald. | αὑτοῦ Plat. αὐτοῦ certe M ‖ 2. 3 ἀλλ' εἰς ἀλλότριον ἦθος revocavi ex M A, et sic Plat.: εἰς ἀλλότριον εἶδος Gesn.² ex Platonis Aldina, quod imposuit etiam Gaisfordo et Meinekio ‖ 4 τότε etiam A sed ut prius τ factum sit ex ν verbi praecedentis ‖ 7 ecl. cum lemm. hab. M A, om. S ‖ 8 ὧδε M | ἐν πόλει superscr. A | ᾗ e Plat. Gesn.²: ἡ M ἢ A ‖ 10 ἀστασιαστότατα M, Plat. ἀστασίαστα A | post οἰκεῖσθαι e Platone addidit τὴν δ' ἐναντίους ἄρχοντας σχοῦσαν ἐναντίως Gesn.² idque immerito retinuerunt Gaisford et Meineke ‖ 11 ecl. cum lemm. hab. M A, om. S ‖ 13 οὐ A ‖ 15 ἴασιν M, Plat. ζῶσιν A ‖ 15. 16 ταγαθὸν M τὸ ἀγαθὸν A ‖ 19 ecl. sine lemm. (post eclogae 104 verba τροφὴ τελεωτέρα p. 52, 25) hab. S, om. M A. vide quae adnotavimus ad ecl. 107 ‖ 21 Τὸ μὲν τοίνυν Plat.: τὸ μὲν om. Tr. τὸ μὲν τοίνυν om. S | εἰ δὲ δὴ καὶ Plato, olim fort. etiam Stobaeus ‖ 22 δεῖ pro χρὴ Plat.

τὴν τοιαύτην ἀπόδειξιν τὰ αὐτὰ διομολόγησαι. Τὰ ποῖα; Ἆρ' οἷόν τέ τι πραχθῆναι ὡς λέγεται, ἢ φύσιν ἔχει πρᾶξιν λέξεως ἧττον ἀληθείας ἐφάπτεσθαι, κἂν εἰ μή τῳ δοκεῖ; ἀλλὰ σὺ πότερον ὁμολογεῖς οὕτως ἢ οὔ; Ὁμολογῶ, ἔφη. Τοῦτο μὲν δὴ μὴ ἀνάγκαζέ με, οἷα τῷ λόγῳ διήλθομεν, τοιαῦτα παντάπασι καὶ τῷ ἔργῳ δεῖν γιγνόμενα ἀποφαίνειν· ἀλλ' ἐὰν οἷοί τε γενώμεθα εὑρεῖν ὡς ἂν ἐγγύτατα τῶν εἰρημένων πόλις οἰκήσειε, φάναι ἡμᾶς ἐξευρηκέναι ὡς δυνατὰ ταῦτα γίγνεσθαι, ἃ σὺ ἐπιτάττεις. ἢ οὐκ ἀγαπήσεις τούτων τυγχάνων; ἐγὼ μὲν γὰρ ⟨ἂν⟩ ἀγαπῴην. Καὶ γὰρ ἔγωγε, ἔφη. Τὸ δὲ δὴ μετὰ τοῦτο, ὡς ἔοικε, πειρώμεθα ζητεῖν τε καὶ ἀποδεικνύναι τί ποτε νῦν κακῶς ἐν ταῖς πόλεσι πράττεται δι' ὃ οὐχ οὕτως οἰκοῦνται, καὶ τίνος ἂν σμικροτάτου μεταβαλόντος ἔλθοι εἰς τοῦτον τὸν τρόπον τῆς πολιτείας πόλις, μάλιστα μὲν ἑνός, εἰ δὲ μή, δυοῖν, εἰ δὲ μή, ὅ τι ὀλιγίστων τὸν ἀριθμὸν καὶ σμικροτάτων τὴν δύναμιν. Παντάπασι μὲν οὖν, ἔφη. Ἑνὸς μὲν τοίνυν, ἦν δ' ἐγώ, μεταβαλόντος δοκοῦμέν μοι ἔχειν δεῖξαι ὅτι μεταπέσοι ἄν, οὐ μέντοι μικροῦ γε οὐδὲ ῥᾳδίου, δυνατοῦ δέ. Τίνος; ἔφη. Ἐπ' αὐτῷ δή, ἦν δ' ἐγώ, εἶμι ὃ τῷ μεγίστῳ προσεικάζομεν σχήματι. εἰρήσεται δ' οὖν, εἰ καὶ μέλλει γέλωτί τε ἀτεχνῶς ὥσπερ κῦμα ἐκγελῶν καὶ ἀδοξίᾳ κατακλύσειν· σκόπει δὲ ὃ μέλλω λέγειν. Λέγε, ἔφη. Ἐὰν μή, ἦν δ' ἐγώ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι . . φιλοσοφήσωσιν . . . .

1 *διομολόγησαι* S Plat.: *διωμολόγησαι* Tr. ‖ 2 *ἢ* Plat.: *ἥ* S *ἦ* Tr. ‖ 4 *δοκεῖ* Plat.: *δοκῆ* vel *δοκῇ* S | *πότερον* ex Plat. Gesn.[1]: *πρότερον* S ‖ 5 *τοῦτο* Plat.: *τούτῳ* S ‖ 6 *δεῖν* S Tr., Plat. *δεῖ* Gesn.[1] e Platonis Ald. ‖ 6. 7 *γιγνόμενα ⟨ἂν⟩ ἀποφαίνειν* recte Bywater ‖ 7 *εὑρῶν* Tr. ‖ 9 *ἐξηυρηκέναι* Plat. ‖ 10 *ἂν* inserui ex Plat. ‖ 11 *ἐγώ, ἔφη* Plat. ‖ 14 *ἔλθοι* e Plat. Gesn.[1]: *ἔλθη* S ‖ 19 *σμικροῦ* Plat. ‖ 20 *αὐτῶ* S sic ut *αὐτῷ* Platonis cod. Vindob. 55: *αὐτὸ* Platonis plurimi, e Platonis Ald. Gesn.[1] ‖ 21 *εἰμι* Plat. cod. Vind. 55 | *προσεικάζομεν* S *προεικάζομεν* fere libri Platonis sed *προσῃκάζομεν* Plat. cod. Vind. 55 | *σχήματι* S *κύματι* Plat., e Platonis Aldina Gesn.[1] mrg. ‖ 23 *ἀδοξίᾳ κακακλύσειν* reposui ex Plat.: *ἀταξίαν κατακλύσειν* S | verba *σκόπει δὲ κτέ.* magis integra supra leguntur ecl. 107 ubi vide quae monuimus in adn. ‖ 26 *λεγόμενοι καὶ δυνάσται φ.* Plat., ecl. 107

112 (110 Mein.: Platonis de re p. II p. 376 B—C)

Ἀλλὰ μέντοι, εἶπον, τό γε φιλομαθὲς καὶ φιλόσοφον ταὐτόν ἐστι; Ταὐτὸν γάρ, ἔφη. Οὐκοῦν θαρροῦντες τιθῶμεν καὶ ἐν τῷ ἀνθρώπῳ, εἰ μέλλει πρὸς τοὺς οἰκείους γε καὶ γνωρίμους πρᾶός τις ἔσεσθαι, φύσει καὶ φιλόσοφον καὶ φιλομαθῆ αὐτὸν δεῖν εἶναι; Τιθῶμεν, ἔφη. Φιλόσοφος δὴ καὶ θυμοειδὴς καὶ ἰσχυρὸς καὶ ταχὺς ἡμῖν τὴν φύσιν ἔσται ὁ μέλλων καλὸς κἀγαθὸς φύλαξ ἔσεσθαι πόλεως; Παντάπασι μὲν οὖν, ἔφη.

113 (111 Mein.: Platonis de re p. VII p. 540 D—E)

Χαλεπὸν μὲν οὖν πόλεώς τε καὶ πολιτείας μὴ παντάπασιν εὐχὰς εἰρηκέναι, ἀλλὰ χαλεπὸν μέν, δυνατὸν δέ πη, καὶ οὐκ ἄλλῃ ἢ εἴρηται, ὅταν οἱ ἀληθῶς φιλόσοφοι δυνάσται, ἢ πλείους ἢ εἷς, ἐν πόλει γενόμενοι τῶν μὲν νῦν τιμῶν καταφρονήσωσιν, ἡγησάμενοι ἀνελευθέρους εἶναι καὶ οὐδενὸς ἀξίας, τὸ δὲ ὀρθὸν περὶ πλείστου ποιησάμενοι καὶ τὰς ἀπὸ τούτου τιμάς, μέγιστον δὲ καὶ ἀναγκαιότατον τὸ δίκαιον, καὶ τούτῳ δὴ ὑπηρετοῦντές τε καὶ αὔξοντες αὐτὸ διασκευωρήσωνται τὴν ἑαυτῶν πόλιν. Πῶς; ἔφη. Ὅσοι μὲν ἄν, ἦν δ' ἐγώ, πρεσβύτεροι τυγχάνωσι δεκετῶν ἐν τῇ πόλει, πάντας ἐκπέμψωσιν εἰς τοὺς ἀγρούς, τοὺς δὲ παῖδας αὐτῶν παραλαβόντες ἐκτὸς τῶν νῦν ἠθῶν, ἃ καὶ οἱ γονεῖς ἔχουσι, θρέψωνται ἐν τοῖς

---

1 ecl. cum priore sine lemmate cohaerentem exhibet S, om. M A ‖ 2 *εἶπον ἐγώ, τό γε* Plat. sed in aperto quam facile intercidere potuerit illud *ἐγώ* ‖ 3 *ἐστι* om. Plat. ‖ 4 *ἐν ἀνθρώπῳ* Plat. ‖ 5 *γε* om. Plat. | *καὶ* (ante *φιλοσ.*) om. Plat. ‖ 7 *καὶ ταχὺς καὶ ἰσχυρὸς ἡμῖν* Plat. ‖ 8 *ἔσεσθαι φύλαξ* Plat. ‖ 10 ecl. sine lemmate cum prioribus coniunctam hab. S, om. M A ‖ 11 *χαλεπὸν μὲν οὖν πόλεως* S: *τί οὖν; ἔφην· συγχωρεῖτε περὶ τῆς πόλεως* Plat. ‖ 11. 12 *παντάπασιν ἡμᾶς εὐχὰς* Plat. ‖ 12. 13 *χαλεπὰ μέν, δυνατὰ δέ πῃ* Plat. ‖ 13 *οὐκ ἄλλῃ ἢ εἴρηται* reposui ex Plat.: *οὐκ ἄλλη πη εἴρηται* S; *οὐκ ἄλλη πη εἴρηται ἢ* Gesn.[1] | *οἱ ὡς ἀληθῶς φ.* Plat. ‖ 16 *ἀξίας* Plat.: *ἀξίους* S ‖ 20 *ἂν* dedi ex Plat.: *οὖν* S ‖ 21 *δεκετῶν* Plat.: *δέκα ἐτῶν* S ut *δέκ'* (vel *δὲ καὶ*) *ἐτῶν* fere libri Platonis, *δέκα* Tr. ‖ 22. 23 *τῶν νῦν ἠθῶν* Plat.: *τῶν συνήθων* S ‖ 23 *γονῆς* Plat. | *θρέψωνται* Plat.: *θρέψονται* S

σφετέροις τρόποις καὶ νόμοις, οὖσιν οἵοις διεληλύθαμεν τότε, καὶ οὕτω τάχιστά τε καὶ ῥᾷστα πόλιν τε καὶ πολιτείαν, ἣν ἐλέγομεν, καταστᾶσαν αὐτήν τε εὐδαιμονήσειν καὶ τὸ ἔθνος, ἐν ᾧ ἂν ἐγγένηται, πλεῖστα ὀνήσειν.

114 (112 Mein.) *Τοῦ αὐτοῦ* (Men. p. 80 E—82 A).

Ὁρᾷς τοῦτον ὡς ἐριστικὸν λόγον κατάγεις, ὡς οὐκ ἄρα ἐστὶ ζητεῖν ἀνθρώπῳ, οὔτε ὃ οἶδεν, οὔτε ὃ μὴ οἶδεν; οὔτε γὰρ ἂν ὅ γε οἶδε ζητοῖ· οἶδε γάρ, καὶ οὐδὲν δεῖ τῷ γε τοιούτῳ ζητήσεως· οὔτε ὃ μὴ οἶδεν· οὐδὲ γὰρ οἶδεν ὅ τι ζητήσει. — Οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι ὁ λόγος οὗτος, ὦ Σώκρατες; — Οὐκ ἔμοιγε. — Ἔχεις λέγειν ὅπῃ; — Ἔγωγε· ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σοφῶν περὶ τὰ θεῖα πράγματα — Τίνα λόγον λεγόντων; — Ἀληθῆ, ἔμοιγε δοκεῖν, καὶ καλόν. — Τίνα τοῦτον, καὶ τίνες οἱ λέγοντες; — Οἱ μὲν λέγοντές εἰσι τῶν ἱερέων τε καὶ τῶν ἱερειῶν, ὅσοις μεμέληκε περὶ ὧν μεταχειρίζονται λόγον οἵοις τε εἶναι διδόναι· λέγει δὲ καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν. ἃ δὲ λέγουσι, ταυτί ἐστιν· ἀλλὰ σκόπει, εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν. φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον, καὶ τοτὲ μὲν τελευτᾶν, ὃ δὴ ἀποθνῄσκειν, τοτὲ δὲ πάλιν γίγνεσθαι, ἀπόλλυσθαι δὲ οὐδέποτε· δεῖν δὴ διὰ ταῦτα ⟨ὡς⟩ ὁσιώτατα διαβιῶναι τὸν βίον·

---

1 *οἵοις* Plat.: *οὓς* S ‖ 2 *καὶ οὕτω κτἑ.*] infinitivos pendere voluit Plato a *ξυγχωρεῖτε*, quod in *χαλεπὸν μὲν οὖν* (p. 57, 11) mutavit interpolator gnomologus ‖ 5 ecl. hab. S, om. M A; lemma dedi ex S. haec excerpta si quis capiti *περὶ πολιτείας* non nimis apte inserta esse iudicarit non mirabimur ‖ 6 *ἐριστικὸν* Plat. *ἐρειστικὸν* S ‖ 8 *γὰρ ἂν ὅ γε οἶδε* S, *γὰρ ἄν γε ὃ οἶδεν* Plat. | *ζητοῖ* Plat.: *ζητεῖ* S ‖ 9 *ζητήσεως* ex Plat. Gesn.[1] p. 272: *ζητῆσαι* S | *οὐδὲ* Plat., *οὔτε* S ‖ 11 *ὁ λόγος οὗτος* ex Plat. Gesn.[1]: *ὅλον οὗτος* S ‖ 15 *Οἱ μὲν* ex Plat. Gesn.[1]: *ἃ μὲν* S ‖ 16 *ἱερέων* ex Plat. Gesn.[1]: *ἱερῶν* S | *μεμέληκε* Plat., *μεμελέτηκε* (ex *μεμελετήκατε* corr. S al. m.) S Tr. p. 224 ‖ 17 *λόγον* ex Plat. Gesn.[1]: *λόγων* S | *οἵοις τ'* Plat. B, *οἷός τ'* Plat. T, *οἵους τε* S ‖ 18 *θεῖοι* ex Plat. Gesn.[1]: *θεοί* S ‖ 22 *ἀποθνῄσκειν καλοῦσι, τοτὲ* Plat. ‖ 23 *ὡς* addidi ex Plat. | *ὁσιώτατα* Tr.: *ὁσιότατα* S

Οἷσι γὰρ ἂν Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος
δέξηται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτεϊ
ἀνδιδοῖ ψυχὰν πάλιν,
ἐκ τῶν βασιλῆες ἀγανοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ
τε μέγιστοι
ἄνδρες αὔξονται· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες
ἁγνοὶ πρὸς ἀνθρώπων καλεῦνται.

Ἅτε οὖν ἡ ψυχὴ ἀθάνατος οὖσα καὶ πολλάκις γεγονυῖα, καὶ ἑωρακυῖα καὶ τὰ ἐνθάδε καὶ τὰ ἐν Ἅιδου καὶ πάντα πράγματα, οὐκ ἔστιν ὅ τι οὐ μεμάθηκεν· ὥστε οὐδὲν θαυμαστὸν καὶ περὶ ἀρετῆς καὶ περὶ ἄλλων οἷόν τε εἶναι αὐτὴν ἀναμνησθῆναι, ἅ γε καὶ πρότερον ἠπίστατο. ἅτε γὰρ τῆς φύσεως ἁπάσης συγγενοῦς οὔσης, καὶ μεμαθηκυίας ἅπαντα τῆς ψυχῆς, οὐδὲν κωλύει ἓν μόνον ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι, τἄλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐάν τις ἀνδρεῖος ᾖ καὶ μὴ ἀποκάμῃ ζητῶν· τὸ γὰρ ζητεῖν ἄρα καὶ τὸ μανθάνειν ἀνάμνησις ὅλον ἐστίν. Οὔκουν [οὐ] δεῖ πείθεσθαι τούτῳ ⟨τῷ⟩ ἐριστικῷ λόγῳ· οὗτος μὲν γὰρ ⟨ἂν⟩ ἡμᾶς ἀργοὺς ποιήσειε καὶ ἔστι τοῖς μαλακοῖς τῶν ἀνθρώπων ἡδὺς ἀκοῦσαι, ὅδε δὲ ἐργαστικούς τε καὶ ζητητικοὺς ποιεῖ· ᾧ ἐγὼ πιστεύων ἀληθεῖ εἶναι ἐθέλω † διὰ τὸ ζητεῖν ὅ τι ἀρετή ἐστι. — Ναί, ὦ Σώκρατες. ⟨Ἀλλὰ⟩ πῶς λέγεις

1 Pind. fr. 133 Schr. | *οἷσι γὰρ ἂν* Gesn.[1]: *οἴσει* (*οἴσει* Tr.) *γὰρ ἂν* S *οἷσιν γὰρ ἂν* Platonis B T; *οἷσι δὲ* Boeckh ‖ 2 *δέξεται* Platonis B T | *ἐς* S *εἰς* Platonis B T | *κείνων* ex Plat. (*κεινων* Plat. B T) Gesn.[1]: *κείνω* S ‖ 3 *ἀνδιδοῖ* Plat., *ἂν διδοῖ* S | *ψυχὰν* S et Plat. B T, *ψυχὰ* operarum error in Gaisfordi ed. Lips.; *ψυχὰς* Boeckh ‖ 4 *τῶν*] *τᾶν* Plat. ‖ 6 *αὔξονται* S, Plat.: *αὔξοντ'* Boeckh ‖ 8 *ἀθάνατός τε οὖσα* Plat. ‖ 9 *ἐνθάδε* ex Plat. Gesn.[1]: *ἐνθένδε* S | *καὶ* ante *πάντα* del. Struve ‖ 10 *χρήματα* Plat. | *ὅ τι οὐ* ex Plat. Gesn.[1]: *ὅτ' οὐ* S ‖ 14 *τῆς ψυχῆς ἅπαντα* Plat. ‖ 16. 17 *ἀποκάμῃ* S ut Platonis T (sed *ν* supra versum T): *ἀποκάμνῃ* Plat. B ‖ 18 *οὔκουν οὐ* S, *οὔκουν* Plat. T et B alt. m., *οὐκοῦν* Plat. B; *οὐκ οὖν οὐ* Gaisford ‖ 19 *τῷ* ex Plat. add. Gesn.[1] | *ἂν* ex Plat. add. Gesn.[1] ‖ 21 *ἐργαστικοὺς* S et Plat. B: *ἐργατικοὺς* Plat. T ‖ 22 *ἀληθῆ εἶναι ἐθέλω διὰ τὸ* S, *ἀληθεῖ εἶναι ἐθέλω μετὰ σοῦ* Plat. ‖ 22. 23 *ὅ τι ἀρετή ἐστι* S, *ἀρετὴ ὅ τι ἔστιν* Plat. ‖ 23 *ἀλλὰ πῶς* Gesn.[1]: *πῶς* S, *ἀλλ' ἁπλῶς* Plat. BT

τοῦτο, ὅτι οὐ μανθάνομεν, ἀλλὰ ἣν καλοῦμεν μάθησιν ἀνάμνησίς ἐστιν; ἔχεις με τοῦτο διδάξαι ὡς οὕτως ἔχει; — Καὶ ἄρτι εἶπον, ὦ Μένων, ὅτι πανοῦργος εἶ, καὶ νῦν ἐρωτᾷς εἰ ἔχω σε διδάξαι, ὃς οὔ φημι διδαχὴν εἶναι ἀλλ' ἀνάμνησιν, ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐμαυτῷ τἀναντία λέγων. — Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ πρὸς τοῦτο βλέψας . . . .

115 (113 Mein.) *Πλάτωνος* (De leg. V p. 726—731 A).

Ἀκούοι δὴ πᾶς ὅσπερ νῦν τὰ περὶ θεῶν τε ἤκουε καὶ τῶν φίλων προπατόρων· πάντων γὰρ τῶν ἐν τῷ βίῳ κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον, οἰκειότατον ὄν. τὰ δ' αὐτοῦ διττὰ παρὰ πᾶσι, τὰ μὲν οὖν κρείττω καὶ ἀμείνω δεσπόζοντα, τὰ δ' ἥττω καὶ χείρω δοῦλα· τῶν οὖν δύο τὰ δεσπόζοντα προτιμητέον τῶν δουλευόντων. οὕτω δὴ τὴν αὐτοῦ ψυχὴν μετὰ θεοὺς ὄντας δεσπότας καὶ τοὺς τούτοις ἑπομένους τιμᾶν δεῖν λέγων δευτέραν ὀρθῶς παρακελεύομαι. τιμᾷ δ' ὡς ἔπος εἰπεῖν ἡμῶν οὐδεὶς ὀρθῶς, δοκεῖ δέ· θεῖον γὰρ ἀγαθόν που τιμή, τῶν δὲ κακῶν οὐδὲν τίμιον, ὁ δ' ἡγούμενος ἤ τισι λόγοις ἢ δώροις αὐτὴν αὔξειν ἤ τισιν ὑπείξεσι, ⟨μηδὲν⟩ βελτίω δ' ἐκ χείρονος αὐτὴν ἀπεργαζόμενος τιμᾶν μὲν δοκεῖ, δρᾷ δὲ τοῦτο οὐδαμῶς. αὐτίκα παῖς γενόμενος εὐθὺς ἄνθρωπος πᾶς ἡγεῖται πάντα ἱκανὸς εἶναι γιγνώσκειν, καὶ τιμᾶν οἴεται ἐπαινῶν τὴν αὐτοῦ ψυχήν, καὶ προθυμούμενος ἐπι-

---

2 *με* S et Platonis plurimi, *μετὰ* Plat. B ‖ 7 post *βλέψας* inseruit *εἶπον* e Plat. Gesn.[1] incerta coniectura. signavi lacunam ‖ 8 ecl. cum lemm. hab. S, om. M A ‖ 9 *ὅσπερ* Plat.: *ὥσπερ* S | *νυνδὴ τὰ π. θ.* Plat. ‖ 10 *ἐν τῷ βίῳ* Stob.: *αὐτοῦ* Plat. ‖ 12 *παρὰ πᾶσι* S: *πάντ' ἐστὶ πᾶσιν* Plat. ‖ 14 *δύο* S: *αὐτοῦ* Plat. | *τὰ δεσπόζοντα ἀεὶ προτ.* Plat. ‖ 16 *δευτέραν* ex Plat. Gesn.[1]: *δεύτερ ἀρ' ἂν* (*ν* eadem m. superscr.) S *δεύτερ' ἄρ' ἂν* Tr. ‖ 17 *παρακελεύομαι* e Plat. Gaisford: *-ωμαι* S Tr. sed corr. ni fallor S | *τιμᾷ* e Plat. Gaisford: *τιμᾶν* S ‖ 18 *θείων γὰρ ἀγαθῶν* Stallbaum | *ψυχή* pro *τιμή* scr. Schanz ‖ 19 *αὐτὴν* Plat.: *αὐτοῖς* S ‖ 20 *αὔξειν* e Plat. Gesn.[1]: *ἄξειν* S | *ὑπείξεσι* e Plat. Gaisford: *ὑπεῖξαι* S | *μηδὲν* inserui e Plat. ‖ 21 *ἐκ χείρονος* e Plat. Gesn.[1]: *ἐγχειρόμενος* S | *δρᾷ* e Plat. Gesn.[1]: *ἄρα* S *ἄρα* Tr. ‖ 22 *παῖς εὐθὺς γενόμενος ἄ.* Plat.

τρέπει πράττειν ὅ τι ἂν ἐθέλῃ· τὸ δὲ νῦν λεγόμενόν ἐστιν, ὡς δρῶν ταῦτα βλάπτει καὶ οὐ τιμᾷ· δεῖ δέ, ὥς φαμεν, μετά γε θεοὺς δευτέραν. οὐδέ γε ὅταν ἄνθρωπος τῶν αὑτοῦ ἑκάστοθ' ἁμαρτημάτων μὴ ἑαυτὸν αἴτιον ἡγῆται καὶ τῶν πλείστων κακῶν καὶ μεγίστων, ἀλλὰ ἄλλους, ἑαυτὸν δὲ αἰεὶ ἀναίτιον ἐξαιρῇ τιμῶν τὴν αὑτοῦ ψυχήν, ὡς δὴ δοκεῖ· ὁ δὲ πολλοῦ δεῖ δρᾶν τοῦτο, βλάπτει γάρ. οὐδὲ ὁπόταν ἡδοναῖς παρὰ λόγον τὸν τοῦ νομοθέτου καὶ ἔπαινον χαρίζηται, τότε οὐδαμῶς τιμᾷ, ἀτιμάζει δὲ κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν. οὐδέ γε ὁπόταν αὖ τἀναντία τοὺς ἐπαινουμένους φόβους καὶ ἀλγηδόνας καὶ λύπας μὴ διαπονῇ καρτερῶν ἀλλ' ὑπείκῃ, τότε οὐ τιμᾷ ἀτιμάζων· ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται δρῶν τὰ τοιαῦτα σύμπαντα. οὐδ' ὁπόταν ἡγῆται ζῆν τοῦτο ἀγαθὸν εἶναι, τιμᾷ, ἀτιμάζει δ' αὐτὴν καὶ τότε· τὰ γὰρ ἐν Ἅιδου πράγματα πάντα κακὰ ἡγούμενος τῆς ψυχῆς εἶναι ὑπείκει τε καὶ οὐκ ἀντιτείνει διδάσκων τε καὶ ἐλέγχων, ὡς οὐκ οἶδεν οὐδ' εἰ τἀναντία πέφυκε μέγιστα εἶναι πάντων ἀγαθῶν ἡμῖν τὰ περὶ τοὺς θεοὺς ⟨τοὺς⟩ ἐκεῖ. οὐδὲ μὴν πρὸ ἀρετῆς ὁπόταν αὖ προτιμᾷ τις κάλλος, τοῦτ' ἔστιν οὐχ ἕτερον ἢ ⟨ἡ⟩ τῆς ψυχῆς ὄντως ἀτιμία· ψυχῆς γὰρ σῶμα ἐντιμότερον οὗτος ὁ λόγος

---

1 *ὅ τι ἂν* e Plat. Gesn.¹: *ὅταν* S ‖ 4 *ἑκάστοθ'* scripsi: *ἕκαστος* S *ἑκάστοτε* Plat. ‖ 4. 5 *ἡγῆται* e Plat. Gaisford: *ἡγεῖται* S ‖ 6 *ἀεὶ* Plat. | *ἐξαίρῃ* Platonis cod. Paris. 1807 | *ἑαυτοῦ* Tr. ‖ 7 *ὡς δὴ* e Plat. Gesn.¹: *ὧ ὃ δὴ* S | *ὁ δὲ* Plat.: *ὧδε* S | *βλάπτει* e Plat. Gesn.¹: *πράττει* S ‖ 10 *ἐμπιμπλὰς* Plat. ‖ 11 *τοὺς ἐπαινουμένους πόνους καὶ φόβους* e Plat. Gesn.¹ fortasse recte ‖ 12 *ὑπείκῃ* e Plat. Gesn.¹: *ὑπείκει* S ‖ 13 *ἀτιμάζων* S: *ὑπείκων* Plat. ‖ 14 *ἡγῆται* e Plat. Gaisford: *ἡγεῖται* S ‖ 14. 15 *ζῆν τοῦτο* S: *τὸ ζῆν πάντως* Plat. ‖ 16 *ἡγούμενος* S: *ἡγουμένης* Plat. ‖ 17 *ὑπείκει καὶ* Plat. ‖ 18 *οἶδεν* e Plat. Gesn.¹: *οἶδ' ἂν* S | *τἀναντία* e Plat. Gesn.¹: *τα οὐνία* S *τὰ οὐράνια* Tr. ‖ 20 *τοὺς* e Plat. addidit Gesn.¹ | *πρὸ ἀρετῆς ὁπόταν αὖ* e Plat. Gesn.¹: *προᾶραι ταῦτ' ἂν αὖ* S sicut Tr., si recte intellego Meklerum ‖ 21 *ἡ* e Plat. inseruit Gesn.¹ ‖ 21. 22 *ὄντως καὶ πάντως ἀτιμία* Plat. ‖ 22 *ἐντιμότερον οὗτος ὁ λόγος* e Plat. Gesn.¹: *ἀτιμότερον αὐτὸς* (*αὐτῆς* Tr.) *ὅλον* S Tr.

φησὶν εἶναι, ψευδόμενος· οὐδὲν γὰρ γηγενὲς Ὀλυμπίων ἐντιμότερον, ἀλλ᾽ ὁ περὶ ψυχῆς ἄλλως δοξάζων ἀγνοεῖ, ὡς θαυμαστοῦ τούτου κτήματος ἀμελεῖ. οὐδέ γε ὁπόταν χρήματά τις ⟨ἐρᾷ⟩ κτᾶσθαι μὴ καλῶς ἢ μὴ δυσχερῶς φέρῃ κτώμενος, δώροις ἄρα τιμᾷ τότε τὴν αὑτοῦ ψυχήν· παντὸς μὲν οὖν λείπει· τὸ γὰρ αὐτῆς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται τοῦ χρυσοῦ. πᾶς γὰρ ὅ τ᾽ ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος, οὐδ᾽, ὡς εἰπεῖν ξυλλήβδην, † ὅσα περ νομοθέτης αἰσχρὰ εἶναι καὶ κακὰ διαριθμούμενος τάττῃ καὶ τοὐναντίον ἀγαθὰ καὶ καλά, τῶν μὲν ἀπέχεσθαι μὴ ἐθέλῃ πάσῃ μηχανῇ, τὰ δ᾽ ἐπιτηδεύειν ξύμπασαν κατὰ δύναμιν, οὐκ οἶδεν ἐν τούτοις πᾶσι πᾶς ἄνθρωπος ψυχὴν θειότατον ὂν ἀτιμότατα καὶ κακοσχημονέστατα διατιθείς. τὴν γὰρ λεγομένην δίκην τῆς κακουργίας τὴν μεγίστην οὐδεὶς ὡς ἔπος εἰπεῖν λογίζεται, ἔστι δὲ ἡ μεγίστη τὸ ὁμοιοῦσθαι τοῖς οὖσι κακοῖς ἀνδράσιν, ὁμοιούμενον δὲ τοὺς μὲν ἀγαθοὺς φεύγειν ἄνδρας καὶ λόγους, καὶ τῶν μὲν ἀποσχίζεσθαι, τοῖς δὲ προσκολλᾶσθαι διώκοντα κατὰ τὰς ξυνουσίας· προσπεφυκότα δὲ τοῖς τοιούτοις ἀνάγκη ποιεῖν καὶ πάσχειν ἃ πεφύκασιν ἀλλήλους οἱ τοιοῦτοι ποιεῖν καὶ λέγειν. τοῦτο οὖν δὴ τὸ πάθος δίκη μὲν οὐκ ἔστι, καλὸν γάρ τό γε δίκαιον καὶ ἡ δίκη, τιμωρία δέ, ἀδικίας ἀκόλουθος πάθη,

1 *γηγενὲς* e Plat. Gesn.[1]: *τι γένος* S ‖ 2 *ἄλλως* e Plat. Gesn.[1]: *καλῶς* S ‖ 3 *τούτου κτήματος ἀμελεῖ* e Plat. Gesn.[1]: *τοῦ κτήματος ἀεὶ* S | v. *οὐδέ γε ὁπόταν—*8 *οὐκ ἀντάξιος* leguntur Stob. III 1, 201 H. lemmate *Πλάτωνος Νόμων ε΄* praemisso ‖ 4 *ἐρᾷ κτᾶσθαι* Plat., Stob. III 1: *κτᾶσθαι* S ‖ 5 *αὑτοῦ* e Plat. Gesn.[1]: *αὐτοῦ* libri utrobique ‖ 6 *παντὸς μὲν οὖν λείπει* Stob. utrobique, Platonis Paris. 1807: *πάντως μὲν οὖν λυπεῖ* Cornarius ‖ 7 *τοῦ χρυσοῦ* S *σμικροῦ χρυσοῦ* Stob. III 1, Plat. *σμικροῦ χρυσίου* ex Platonis Ald. Gesn.[1] ‖ 8 *οὐδ᾽ ὡς εἰπεῖν* S: *ὡς δὲ εἰπεῖν* Plat. | *ξυλήβδην* S ‖ 9 *ὅσα περ* S: *ὃς ἅπερ ἂν* Plat. cod. Par. 1807 *ὅταν ὅσαπερ ἂν* Ast *ὃς ἄν, ὅσαπερ* et 10 *τάττει* Heindorf ‖ 10 *τάττῃ* e Plat. Gesn.[1]: *ταύτῃ* S ‖ 11 *ἐθέλῃ* (si iure silet Mekler) S, Plat. *ἐθέλειν* Tr.: *ἐθέλει* Peipers ‖ 14 *τινομένην* prop. H. Mueller ‖ 18 *τῶν μὲν* om. Plat. ‖ 19 *κατα τὰς* e Plat. Gesn.[1]: *καὶ τὰς* S ‖ 21 *καὶ λέγειν* delevit Schanz ‖ 22 *οὖν δὴ* S, Plat.: *δὴ οὖν* Tr.

ἧς ὅ τε τυχὼν καὶ μὴ τυγχάνων ἄθλιος, ὁ μὲν οὐκ ἰατρευόμενος, ὁ δ᾽, ἵνα ἕτεροι πολλοὶ σῴζωνται, ἀπολλύμενος. τιμὴ δ᾽ ἐστὶν ἡμῖν, ὡς τὸ ὅλον εἰπεῖν, τοῖς μὲν ἀμείνοσιν ἕπεσθαι, τὰ δὲ χείρονα, γενέσθαι ⟨δὲ⟩ βελτίω δυνατά, τοῦτ᾽ αὐτὸ ὡς ἄριστα ἀποτελεῖν. Ψυχῆς οὖν ἀνθρώπῳ κτῆμα οὐκ ἔστιν εὐφυέστερον εἰς τὸ φυγεῖν μὲν τὸ κακόν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὸ πάντων ἄριστον, καὶ ἑλόντα αὖ ξυνοικεῖν κοινῇ τὸν ἐπίλοιπον βίον· διὸ δεύτερον ἐτάχθη ⟨τιμῇ⟩. τὸ δὲ τρίτον, πᾶς ἂν τοῦτό γε νοήσειε τὴν τοῦ σώματος εἶναι κατὰ φύσιν τιμήν· τὰς δ᾽ αὖ τιμὰς δεῖ σκοπεῖν, καὶ τούτων τίνες ἀληθεῖς καὶ ὅσαι κίβδηλοι· τοῦτο δὲ νομοθέτου. μηνύειν δὴ φαίνεται τάσδε καὶ τοιάσδε τινὰς αὐτὰς εἶναι, τίμιον εἶναι σῶμα οὐ τὸ καλὸν οὐδὲ τὸ ἰσχυρὸν οὐδὲ τὸ τάχος ἔχον οὐδὲ μέγα οὐδὲ τὸ ὑγιεινόν (καί τοί γε πολλοῖς ἂν τοῦτο δοκοῖ), καὶ μὴν οὐδὲ τὰ τούτων γε ἐναντία, τὰ δ᾽ ἐν τῷ μέσῳ ἁπάσης ταύτης τῆς ἕξεως ἐφαπτόμενα σωφρονέστατα ἅμα τε ἀσφαλέστατα εἶναι μακρῷ· τὰ μὲν γὰρ χαύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ, τὰ δὲ ταπεινάς τε καὶ ἀνελευθέρους· ὡς δ᾽ αὔτως ἡ τῶν χρημάτων κτῆσις καὶ τιμήσεων κατὰ τὸν αὐτὸν ῥυθμὸν ἔχει. τὰ μὲν ὑπέρογκα

---

4 *χείρονα* S, Plat.: *χείρω* Tr. | *δὲ* addidi e Plat. ‖ **5. 6** v. *ψυχῆς ἀνθρώπῳ*—**8** *τὸν ἐπίλοιπον βίον* Stobaeus supra II 31, 36 p. 207, 26 W. (*Πλάτωνος*) ‖ **5** *οὖν* om. Stob. II ‖ **6** *εὐφυέστερον* Stob. II, e Plat. Gesn.[1]: *ἐμφυέστερον* S ‖ **7** *τὰ πάντων ἄριστα* Stob. II ‖ 8 *ἑλόντα* Stob. II, e Plat. hic Gesn.[1]: *ἐλθόντα* S | *αὖ κοινῇ ξυνοικεῖν* Stob. II, Plat. ‖ **9** *τιμή* (debuit *τιμῇ*) e Platone inseruit Gesn.[1] | *πᾶς ἂν τοῦτό γε νοήσειε* e Plat. Gesn.[1]: *πᾶσαν τοῦτο γε νοήσει* S *πᾶσαν τοῦτό γε ὀνήσει, εἰ* Tr. ‖ **11** *τούτων* e Plat. Gesn.[1]: *τοῦτον* S ‖ **12** *τοῦτο* e Plat. Gesn.[1]: *τοῦτον* S | *δή μοι φαίνεται* Plat. ‖ **13** v. *τίμιον εἶναι*—p. 64, 19 *δρῶντα διὰ βίου* supra leguntur Stob. III 1, 202 H. lemmate non iterato ‖ **14** *οὐδὲ ἰσχυρὸν* Plat. | *οὐδὲ τὸ τάχος ἔχον* S: *οὐδὲ τάχος ἔχον* Stob. III 1, Plat. ‖ **14. 15** *οὐδέ γε τὸ ὑγιεινόν* Plat. | *καί τοι πολλοῖς ἂν τοῦτό γε δοκοῖ* Plat. Stob. III 1 ‖ **17** *ἅμα τε* S, Plat., Stob. III 1; *ἅμα τε καὶ* e Stobaei cod. Par. 1985 inutiliter Gaisford | *σωφρονέστερα*— **18** *ἀσφαλέστερα* recte Stephanus ‖ **20** *ἡ τῶν χρημάτων κτῆσις* S, Stob. III 1: *ἡ τῶν χρημάτων καὶ κτημάτων κτῆσις* Plat. ‖ **20. 21** *τιμήσεων* S, Stob. III 1: *τιμήσεως* Plat.

γὰρ ἑκάστων τούτων ἔχθρας καὶ στάσεις ἀπεργάζεται ἐν ταῖς πόλεσι καὶ ἰδίᾳ, τὰ δ' ἐλλείποντα δοῦλον. μὴ δή τις φιλοχρηματείτω παίδων γε ἕνεκα, † ὅ τι πλουσιωτάτους καταλείπει· οὔτε γὰρ ⟨ἐκείνοις⟩ [καλὸν] οὔτε αὖ τῇ πόλει ἄμεινον. ἡ γὰρ τῶν νέων ἀκολάκευτος οὐσία, τῶν δὲ ἀναγκαίων μὴ ἐνδεχομένη † μουσικωτάτη τε καὶ ἀρίστη· ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ ξυναρμόττουσα εἰς πάντα ἄλυπον ⟨τὸν βίον⟩ ἀπεργάζεται. παισὶ δὲ αἰδῶ χρὴ πολλήν, οὐ χρυσὸν καταλείπειν. οἰόμεθα δὲ ἐπιπλήττοντες ⟨τοῖς νέοις⟩ ἀναισχυντοῦσι τοῦτο καταλείψειν· τὸ δ' ἐστὶν οὐκ ἐκ τοῦ νῦν παρακελεύσματος τοῖς νέοις γιγνόμενον, ὃ παρακελεύονται λέγοντες ὡς δεῖ πάντα αἰσχύνεσθαι † τοὺς νέους, καὶ πάντων μάλιστα εὐλαβεῖσθαι, μή ποτέ τις ἴδῃ τῶν νέων ἢ καὶ ἐπακούσῃ δρῶντα ἢ λέγοντά τι τῶν αἰσχρῶν, ὡς ὅπου ἀναισχυντοῦσι γέροντες, ἀνάγκη καὶ νέους ἐνταῦθα εἶναι ἀναιδεστάτους· παιδεία γὰρ νέων διαφέρουσά ἐστιν ἅμα καὶ αὐ⟨τῶν οὐ⟩ τὸ νουθετεῖν, ἀλλ' ἅπερ ἂν ἄλλον νουθετῶν εἴποι τις, φαίνεσθαι ταῦτα αὐτὸν δρῶντα διὰ βίου. ξυγγένειαν δὲ καὶ ὁμογνίων θεῶν κοινωνίαν πᾶσαν ταὐτοῦ φύσιν αἵματος ἔχουσαν τιμῶν τις καὶ σεβόμενος εὔνους ἂν γενε-

---

1 *ἐν* om. Plat., Stob. III 1 ‖ 2 *δοῦλον* Gaisford: *δῆλον* S *δουλείας ὡς τὸ πολύ* Stob. III 1, Plat. ‖ 3 *φιλοχρημονείτω* Plat. | *ἕνεκα, ἵνα ὅ τι πλουσιωτάτους καταλίπῃ* Plat., cf. quae adnotavimus Stob. III 1 p. 154, 2 ‖ 4 *ἐκείνοις* Stob. III 1, Plat., putaverim igitur glossemate *καλὸν* expulsum esse *ἐκείνοις* ‖ 4. 5 *αὖ τῇ* e Plat. Gesn.[1]: *αὐτῇ* S, Stob. III 1. non praestat *αὐτῇ τῇ* ‖ 6 *ἐνδεχομένη* S: *ἐνδεής, αὕτη πασῶν* Stob. III 1, Plat. fuerit igitur adscriptum *ἐνδεομένη*, quo interpretamento nescio an exturbatum sit etiam *αὕτη* vel *αὕτη πασῶν* ‖ 7. 8 *εἰς ἅπαντα* Plat. ‖ 8 *τὸν βίον* Stob. III 1, Plat.: om. S ‖ 10 *τοῖς νέοις* Stob. III 1, Plat.: om. S ‖ 12 post *αἰσχύνεσθαι* quae leguntur in Platone *τὸν νέον. ὁ δὲ ἔμφρων νομοθέτης τοῖς πρεσβυτέροις ἂν μᾶλλον παρακελεύοιτο αἰσχύνεσθαι* homoeoteleuto periere in S, item Stob. III 1, ubi vide ‖ 14 *μή ποτέ τις αὐτὸν ἴδῃ* Stob. III 1, Plat. ‖ 17 *αὐτῶν* (*ἑαυτῶν* Stob. III 1) *οὐ τὸ* Plat., Stob. III 1: *αὐτὸ* S ‖ 19. 20 *δὲ καὶ* Plat.: *τε* S *καὶ* Tr.

θλίους θεοὺς εἰς παίδων αὐτοῦ σπορὰν ἴσχοι κατὰ λόγον· καί μὴν ⟨τό γε⟩ φίλων καὶ ἑταίρων πρὸς τὰς ἐν βίῳ ὁμιλίας ⟨εὐμενεῖς⟩ ἄν τις κτῷτο μείζους μὲν καὶ σεμνοτέρας τὰς ἐκείνων ὑπηρεσίας εἰς αὑτὸν ἡγούμενος ἢ 'κεῖνοι, ἐλάττους δ' αὖ τὰς αὑτοῦ διανοούμενος εἰς τοὺς φίλους χάριτας † ὑπὲρ αὐτῶν τῶν φίλων καὶ ἑταίρων· εἴς γε μὴν πόλιν καὶ πολίτας μακρῷ ἄριστος, ὅστις πρὸ τοῦ [νικῆσαι] Ὀλυμπίασι καὶ ἁπάντων ἀγώνων πολεμικῶν τε καὶ εἰρηνικῶν νικᾶν δέξαιτ' ἂν δόξῃ ὑπηρεσίας τῶν οἴκοι νόμων, ὡς ὑπηρετηκὼς πάντων μάλιστ' ἀνθρώπων αὐτοῖς ἐν τῷ βίῳ. πρὸς δ' αὖ τοὺς ξένους διανοητέον ὡς ἁγιώτατα ξυμβόλαια ὄντα· σχεδὸν γὰρ πάντα ἐστὶ τὰ τῶν ξένων καὶ εἰς τοὺς ξένους ἁμαρτήματα παρὰ τῶν πολιτῶν εἰς θεὸν ἀνηρτημένα τιμωρὸν μᾶλλον· ἔρημος γὰρ ἂν ὁ ξένος ἑταίρων τε καὶ ξυγγενῶν ἐλεεινότερος ἀνθρώποις καὶ θεοῖς. ὁ δυνάμενος οὖν τιμωρεῖν μᾶλλον βοηθεῖ προθυμότερον· δύναται δὲ διαφερόντως ὁ ξένιος ἑκάστων δαίμων καὶ θεὸς τῷ ξενίῳ συνεπόμενοι Διί· πολλῆς οὖν εὐλαβείας, ᾧ καὶ σμικρὸν προμηθείας ἔνι, μηδὲν ἁμάρτημα περὶ ξένους ἁμαρτόντα ἐν τῷ βίῳ πρὸς τὸ τέλος αὑτοῦ πορευθῆναι. ξενικῶν δ' αὖ καὶ ἐπιχωρίων ἁμαρτημάτων τὸ περὶ τοὺς ἱκέτας μέγιστον γίνεται ἁμάρτημα ἑκάστοις· μεθ' οὗ γὰρ ἱκετεύσας μάρτυρος ὁ ἱκέτης θεοῦ ἔτυχεν ὁμολογιῶν, φύλαξ διαφέρων

(21) 1 *γενεθλίους* S: *γενέσθαι οὓς* Platonis cod. Paris. 1807 ‖ 1 *αὑτοῦ* Plat.: *αὖ τούτου* S ‖ 2 *τί γε* e Plat. add. Gesn.[1] ‖ 3 *εὐμενεῖς* e Plat. addidi ‖ 4 *ὑπηρεσίας εἰς αὑτὸν* (debuit *αὑ-*) e Plat. Gesn.[1]: *ὑπὲρ αὐτῶν εἰς αὑτὸν* S ‖ 5 *κεῖνοι* S, Plat. *ἐκεῖνοι* Tr. ‖ 6 *χάριτας αὐτῶν τῶν φίλων τε καὶ ἑταίρων* Plat. cf. 4 adn. ‖ 7 *γε* om. Plat. ‖ 8 *νικῆσαι* S, om. Plat. | *ὀλυμπιᾶσι* S ‖ 9 *δόξῃ* e Plat. Gesn.[1]: *δόξης* S ‖ 10 *οἴκοι νόμων* e Plat. Gaisford: *οἰκονόμων* S | *ὑπηρετηκὼς* Plat.: *ὑπηρετικῶς* S | *μάλιστ'* S *μάλισθ'* Tr. *κάλλιστ'* Plat. ‖ 12 *ξυμβόλαια ὄντα* e Plat. Gesn.[1]: *ξύμβολα ὄντας* S ‖ 13. 14 *παρὰ τὰ τῶν π.* Plat. sed *τὰ* supra versum cod. Paris. 1807 ‖ 16 *ὁ δυν.* e Plat. Gesn.[1]: *οὐ δυν.* S ‖ 18 *τῷ ξενίῳ* e Plat. Gesn.[1]: *τὰ ξένια* S ‖ 19 *Διί* e Plat. Gesn.[1]: *δή* S ‖ 20 *ἁμαρτήματα* Tr. ‖ 21 *αὑτοῦ* e Plat. Gesn.[1]: *αὐτὸν* S ‖ 22 *τὸ περὶ τοὺς* e Plat. Gesn.[1]: *τοὺς περὶ τοὺς* S ‖ 24 *θεοῦ ἔτυχεν* S *θεοῦ* * *

οὗτος τοῦ παθόντος γίνεται, ὥστ' οὐκ ἄν ποτε ἀτιμώρητος πάθοι ὁ τυχὼν ὧν ἔπαθε. τὰ μὲν οὖν περὶ γονέας τε καὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ, περὶ πόλιν τε καὶ φίλους καὶ ξυγγένειαν ξενικά τε καὶ ἐπιχώρια διεληλύθαμεν σχεδὸν ὁμιλήματα· τὸ δὲ ποῖός τις ἂν ⟨αὐτὸς⟩ ἂν κάλλιστα διαγάγοι τὸν βίον, ἑπόμενον τούτῳ διεξελθεῖν· ὅσ' οὖν μὴ νόμος ἀλλ' ἔπαινος παιδεύων καὶ ψόγος ἑκάστους εὐηνίους μᾶλλον τοῖς τεθήσεσθαι μέλλουσι νόμοις ἀπεργάζεται, ταῦτ' ἐστὶ μετὰ τοῦτο ἡμῖν ῥητέον. ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς ὅ τι πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ· καὶ ⟨πιστὸς γάρ· ὁ δὲ⟩ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον· ὅτῳ δὲ ἀκούσιον, ἄνους. ὧν οὐδέτερον ζηλωτόν· ἀλλὰ πᾶς ὅ γε ἄπιστος καὶ ἀμαθής, χρόνου δὲ προϊόντος γνωσθεὶς εἰς τὸ χαλεπὸν γῆρας † κατὰ πᾶσαν κατεσκευάσατο ἐπὶ τέλει τοῦ βίου, ὥστε ζώντων καὶ μὴ ἑταίρων καὶ παίδων σχεδὸν ὀρφανὸν αὐτῷ γενέσθαι τὸν βίον. τίμιος μὲν δὴ καὶ ὁ μηδὲν

ἔτυχεν (cum duobus signis) Platonis cod. Paris. 1807: *θεοῦ ἀπέτυχεν* Badham | *ὁμολογιῶν* e Plat. Gesn.[1]: *ὁμολογεῖ ὧν* S

2 *πάθοι* Plat.: *πάθη* S *πάθῃ* Tr. | *ἔπαθες* Tr. ‖ **3** *ἑαυτὸν* e Plat. Gesn.[1]: *ἑαυτῶν* S ‖ **5** *αὐτὸς* e Plat. inseruit Gesn.[1], om. S ‖ **6. 7** *ὅσ' οὖν* Gaisford: *ὅσον* S *ὅσ' ἂν* Platonis cod. Paris. 1807 *ὅσα* Ast; *ὅσ' ἂν οὖν* e Platonis Ald. Gesn.[1] ‖ **8** *εὐηνίους μᾶλλον καὶ εὐμενεῖς τοῖς τ. μ.* Plat. ‖ **9** v. *ἀλήθεια δὴ*—p. 67, 14 *κατὰ δύναμιν* leguntur supra Stob. III 1, 202 p. 155, 3 ss. H., ubi vide aliorum scriptorum testimonia collata, v. *ἀλήθεια*—**15. 16** *καὶ ἀμαθής* etiam Stob. III 11, 26 p. 434, 15 ss. ‖ **11** *γεννήσεσθαι* S ‖ **12** *ὡς ὅτι* S, Stob. III 1: *ὅτι* Stob. III 11 *ὡς* Plat. ‖ **13** *διαβιοῖ* S, vide Stob. III p. 155, 6 adn. | *καὶ* om. Stob. III 1, III 11, Plat. ‖ **13. 14** *πιστὸς γάρ· ὁ δὲ ἄπιστος* Stob. III 1, Stob. III 11, Plat.: *ἄπιστος* S ‖ **14** *ἑκούσιος* Tr. | *ἀκούσιον* Stob. III 11, Plat.: *ἑκούσιον* S et libri Stobaei III 1 ‖ **15** *ἀλλὰ πᾶς* S: *ἄφιλος γὰρ δὴ πᾶς* Stob. III 1, Stob. III 11, Plat. | *ὅ τε* Hermann ‖ **17** *κατὰ πᾶσαν* S: *ἐρημίαν αὐτῷ πᾶσαν* Stob. III 1, Plat. | *κατεσκευάσατο* Stob. III 1, Plat.: *κατεσκεύαστο* S ‖ **18. 19** s. *σχεδὸν ἱκανὸν* (supra *ὀρφ*), corr. eadem m. S: *σχεδὸν*

ἀδικῶν· ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς θέλουσιν ἀδικεῖν πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν· ὁ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος, οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ. τὸν αὐτὸν δὴ τοῦτον ἔπαινον καὶ περὶ σωφροσύνης χρὴ λέγειν καὶ περὶ φρονήσεως, καὶ ὅσα ἄλλα ἀγαθά τις κέκτηται καλὰ μὴ μόνον αὐτὸν ἔχειν ἀλλὰ καὶ ἄλλοις μεταδιδόναι· ⟨καὶ⟩ τὸν μὲν μεταδιδόντα ὡς ἀκρότατον χρὴ τιμᾶν, τὸν δὲ αὖ μὴ δυνάμενον, ἐθέλοντα δέ, ἐᾶν δεύτερον, τὸν δὲ φθονοῦντα καὶ θέλοντα μηδενὶ κοινωνὸν διὰ φιλίας γιγνόμενον ἀγαθῶν τινῶν αὐτὸν μὲν ψέγειν, τὸ δὲ κτῆμα μηδὲν μᾶλλον διὰ τὸν κεκτημένον ἀτιμάζειν, ἀλλὰ κτᾶσθαι κατὰ δύναμιν.

116 (114 Mein.) *Πλάτωνος Πολιτείας η'* (p. 543A—B).

Εἶεν· ταῦτα μὲν δὴ ὡμολόγηται, ὦ Γλαύκων, τῇ μελλούσῃ ἄκρως οἰκεῖν πόλει κοινὰς μὲν γυναῖκας, κοινοὺς δὲ παῖδας εἶναι καὶ πᾶσαν παιδείαν, ὡσαύτως δὲ τὰ ἐπιτηδεύματα κοινὰ ἐν πολέμῳ τε καὶ εἰρήνῃ, βασιλέας δὲ αὐτῶν εἶναι τοὺς ἐν φιλοσοφίᾳ τε καὶ πρὸς τὸν πόλεμον γεγονότας ἀρίστους. Ὡμολόγηται, ἔφη. Καὶ μὴν καὶ τάδε ξυνεχωρήσαμεν, ὡς, ὅταν δὴ καταστῶσιν οἱ ἄρχοντες, ἄγοντες τοὺς στρατιώτας κατοικιοῦσιν εἰς οἰκήσεις

ομοίως ὀρφανὸν Stob. III 1, Plat. ‖ 19 v. *τίμιος μὲν*—p. 67, 6 *νικηφόρος ἀρετῇ* comparent supra Stob. III 9, 52 p. 363, 12 H. addito lemmate *Πλάτωνος νόμων ε'*

1 *τοῖς θέλουσιν* S: *τοῖς ἀδικοῦσιν* Stob. III 1, Stob. III 9, Plat. ‖ **3** *ἀντάξιος* S: *πολλῶν ἀντάξιος* Stob. III 1, Stob. III 9, Plat. ‖ **4. 5** *τοῖς ἄρχουσιν* Stob. III 1, Stob. III 9, Plat.: *τοῖς ἔχουσιν* S ‖ **5** *ὁ* ante *μέγας* delevit Cobet ‖ **6** *ἀρετῆς* recte Iulianus Misopog. p. 456 Hertlein | *αὐτὸν* om. Tr. ‖ **8** *καλὰ—αὐτὸν* S: *δυνατὰ—αὐτὸν* Stob. III 1, Plat. *καὶ δύναται—αὐτὸς* Petavius, *δύναται—αὐτὸς* Schanz ‖ **9** *μεταδιδόναι* Stob. III 1, Plat.: *εἶναι διδόναι* S | *καὶ* addidi ex Stob. III 1, Plat.: om. S ‖ **12** *θέλοντα* S: *ἑκόντα* Stob. III 1, Plat. ‖ **14** *ἐκτημένον* ut supra (8) *ἔκτηται* Schanz ‖ **15** ecl. cum lemmate hab. S (post ecl. 43, 113 Mein.) M A (post ecl. 43, 108 Mein.) ‖ **19** *καὶ ἐν εἰρήνῃ* A | *βασιλέας δὲ* M A, Plat.: *βασιλέας τε* S

οἵας προείπομεν, ἴδιον μὲν οὐδὲν οὐδενὶ ἐχούσας, κοινὰς δὲ πᾶσι.

117 (115 Mein.) *Ἐν ταὐτῷ* (p. 543 C—544 E).

Σχεδὸν γάρ, καθάπερ νῦν, ὡς διεληλυθὼς περὶ τῆς πόλεως τοὺς λόγους ἐποιοῦ, λέγων ὡς ἀγαθὴν μὲν τὴν τοιαύτην, οἵαν τότε διῆλθες, τιθείης πόλιν, καὶ ἄνδρα τὸν ἐκείνῃ ὅμοιον. ἀλλ᾽ οὖν δὴ τὰς ἄλλας ἡμαρτημένας ἔλεγες, εἰ αὕτη ὀρθή. τῶν δὲ λοιπῶν πολιτειῶν ἔφησθα, ὡς μνημονεύω, τέτταρα εἴδη εἶναι. Καὶ μήν, ἦ δ᾽ ὅς, ἐπιθυμῶ γε καὶ αὐτὸς ἀκοῦσαι, τίνας λέγεις τὰς τέτταρας πολιτείας. Οὐ χαλεπῶς, ἦν δ᾽ ἐγώ, ἀκούσῃ. εἰσὶ γὰρ ἃς λέγω, αἵπερ καὶ ὀνόματ᾽ ἔχουσιν, ἥ τε ὑπὸ τῶν πολλῶν ἐπαινουμένη, ἡ Κρητική τε καὶ Λακωνικὴ αὕτη· καὶ δευτέρα καὶ δευτέρως ἐπαινουμένη, καλουμένη δὲ ὀλιγαρχία, συχνῶν γέμουσα κακῶν πολιτεία· ἥ τε ταύτῃ διάφορος καὶ ἐφεξῆς γιγνομένη δημοκρατία, καὶ ἡ γενναία δὴ τυραννὶς καὶ πασῶν τούτων διαφέρουσα, τέταρτόν τε καὶ ἔσχατον πόλεως νόσημα. ἤ τινα ἄλλην ἔχεις ἰδέαν πολιτείας, ἥτις καὶ ἐν εἴδει διαφανεῖ τινι κεῖται; δυναστεῖαι γὰρ καὶ ὠνηταὶ βασιλεῖαι καὶ τοιαῦταί τινες πολιτεῖαι μεταξύ τι τούτων πού εἰσιν, εὕροι δ᾽ ἄν τις αὐτὰς οὐκ

---

1 *οὐδενὶ* om. A ‖ 3 ecl. cum lemm. hab. M A, om. S ‖ 4 *νῦν ὡς διεληλυθὼς* M A, Platonis cod. Paris. 1807 aliique: *νῦν διελήλυθας* temere e Platonis Ald. Gesn.² ‖ 5 *ἐποιοῦ* e Plat. Gesn.²: *ἐποίου* M *ἐποίουν* A ‖ 7 post *ὅμοιον* quae habet Plato *καὶ ταῦτα, ὡς ἔοικας, καλλίω ἔτι ἔχων εἰπεῖν πόλιν τε καὶ ἄνδρα* om. M A. e Platonis Ald. (ubi *ὡς ἔοικε*) inseruit Gesn.² frustra retinebant etiam Gaisford et Meineke ‖ 8 *εἰ* e Plat. Gesn.²: *ἡ* M A | *αὕτη* M, Plat.: *αὐτὴ* A ‖ 9 post v. *εἴδη εἶναι* quae leguntur apud Platonem *ὧν καὶ περὶ λόγον*—p. 544 B *Ἐάνπερ, ἦν δ᾽ ἐγώ, δύνωμαι* ea ut pote suo consilio minus idonea om. gnomologus ‖ 9. 10 *Καὶ μήν, ἦ δ᾽* (*ἦδ᾽* M) *ὅς, ἐπιθυμῶ γε* e. q. s. ex M edere non tanti fuerat Gesnero, primus igitur ex A edidit Gaisford ‖ 10 *γε* M A: om. Platonis plurimi | *λέγεις* M A: *ἔλεγες* Plat. ‖ 11 *ἢν* M ‖ 16 *γενναῖα* M ‖ 17 *τέταρτόν τε* dedi ex M, a quo non differt Plat.: om. A ‖ 18 *ἤ τινα* ut videtur A *ἢ τινὰ* M; *ἢ τίνα* aliquot libri Plat. | *ἰδέαν* (*εἰδέαν* M) *πολιτείας* M A, Plat.: *ἰδίαν πολιτείαν* temere Gaisford ‖ 19 *δυναστείαι* in *-εῖαι* corr. M¹ ‖ 20 *πολιτείαι* primo M | *εὕρῃ* A²

ἐλάττους περὶ τοὺς βαρβάρους ἢ τοὺς Ἕλληνας. Πολλαὶ γοῦν καὶ ἄτοποι, ἔφη, λέγονται. Οἶσθ᾽ οὖν, ἦν δ᾽ ἐγώ, ὅτι καὶ ἀνθρώπων εἴδη τοσαῦτα ἀνάγκη τρόπων εἶναι, ὅσαπερ καὶ πολιτειῶν; ἢ οἴει ἐκ δρυός ποθεν ἢ ἐκ πέτρας τὰς πολιτείας γίγνεσθαι, ἀλλ᾽ οὐχὶ ἐκ τῶν ἠθῶν τῶν ἐν ταῖς πόλεσιν, ἃ ἂν ὥσπερ ῥέψαντα τὰ ἄλλα ἐφελκύσηται; Οὐδαμῶς ἔγωγ᾽, ἔφη, ἄλλοθεν ἢ ἐντεῦθεν. Οὐκοῦν εἰ τὰ τῶν πόλεων πέντε, καὶ αἱ τῶν ἰδιωτῶν κατασκευαὶ τῆς ψυχῆς πέντε ἂν εἶεν. Τί μήν;

118 (116 Mein.) *Ἐν ταὐτῷ* (p. 564 A).

Ἡ γὰρ ἄγαν ἐλευθερία ἔοικεν οὐκ εἰς ἄλλο τι ἢ εἰς ἄγαν δουλείαν μεταβάλλειν καὶ ἰδιώτῃ καὶ πόλει. Εἰκὸς γάρ. Εἰκότως τοίνυν, εἶπον, οὐκ ἐξ ἄλλης πολιτείας τυραννὶς καθίσταται ἢ ἐκ δημοκρατίας.

119 (117 Mein.) *Τοῦ αὐτοῦ Πολιτείας θ′* (p. 576 D—E).

Μὴ ἐκπληττώμεθα πρὸς τὸν τύραννον ἕνα ὄντα βλέποντες, μηδ᾽ εἴ τινες ὀλίγοι περὶ ἐκεῖνον, ἀλλ᾽ ὡς χρὴ ὅλην τὴν πόλιν εἰσελθόντας θεάσασθαι, καταδύντες εἰς ἅπασαν καὶ ἰδόντες, οὕτω δόξαν ἀποφαινώμεθα. Ἀλλ᾽ ὀρθῶς, ἔφη, προκαλῇ· καὶ δῆλον παντὶ ὅτι τυραννουμένης μὲν οὐκ ἔστιν ἀθλιωτέρα, βασιλευομένης δὲ οὐκ εὐδαιμονεστέρα.

120 (118 Mein.) *Ἐν ταὐτῷ* (p. 580 A—C).

Ἴθι δή μοι, ἔφην ἐγώ, νῦν ἤδη ὥσπερ ὁ διὰ πάν-

---

1 *πολλαὶ* M, Plat.: *πολλοὶ* A ‖ **2** *γ᾽ οὖν* M | *οἶσθ᾽* M, Plat.: *οἶσθα* A | *ἦν* M ‖ **3** *τρόπων* Plat.: *τρόπον* M A ut Platonis cod. Ven. ‖ **4** *πολιτείαν* in *-ειῶν* corr. M[1] | *ἢ οἴει* A, Plat.: *ἡ οἴσει* M ‖ **6** *ἃ ἂν* M, Platonis libri plurimi: *αἳ ἂν* A ‖ **8** *εἰ τὰ* reposui ex M, quocum concordat Plat.: *αἱ* A ‖ **9** *τιμήν* M ‖ **10** ecl. cum lemm. hab. M A, om. S ‖ **12** *καὶ ἰδιώτῃ καὶ πόλει* e Plat. Gesn.[2]: *καὶ ἰδιώτην καὶ πόλιν* M A ‖ **15** ecl. cum lemm. hab. S (post ecl. 43, 114 Mein.) M A (post ecl. 43, 116 Mein.) ‖ **16** *μὴ* S M A: *καὶ μὴ* Plat. particulam suo more resecuit gnomologus | *πρὸς* M A, Plat.: *εἰς* S ‖ **17** *ὡς* S M, Plat.: *εἰς* A ‖ **18** *ὅλην τὴν* M ut videtur, Plat.: *ὅλην* S A ‖ **19** *ἀποφαινόμεθα* in *-ώμεθα* corr. M[1] | *ἀλλ᾽* sed supra alterum *λ* aliquid scriptum, puto *α* aut signum elisionis M ‖ **20** *προκαλῇ* S M *-λεῖ* A ‖ **23** ecl. cum lemm. hab. S M A

των κριτὴς ἀποφαίνεται, καὶ σὺ οὕτω, τίς πρῶτος κατὰ τὴν σὴν δόξαν εὐδαιμονίᾳ καὶ τίς δεύτερος, καὶ τοὺς ἄλλους ἑξῆς πέντε ὄντας κρῖνε, βασιλικόν, τιμοκρατικόν, ὀλιγαρχικόν, δημοκρατικόν, τυραννικόν. Ἀλλὰ ῥᾳδία, ἔφη, ⟨ἡ⟩ κρίσις. καθάπερ γὰρ εἰσῆλθον ἔγωγε ὥσπερ χοροὺς κρίνω ἀρετῇ καὶ κακίᾳ καὶ εὐδαιμονίᾳ καὶ τῷ ἐναντίῳ. Μισθωσώμεθα οὖν κήρυκα, ἦν δ᾽ ἐγώ, ἢ αὐτὸς ἀνείπω, ὅτι ὁ Ἀρίστωνος υἱὸς τὸν ἄριστόν τε καὶ δικαιότατον εὐδαιμονέστατον ἔκρινε, τοῦτον ⟨δ᾽⟩ εἶναι τὸν βασιλικώτατον καὶ βασιλεύοντα αὑτοῦ, τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον [καὶ] ἀθλιώτατον· τοῦτον δ᾽ αὖ τυγχάνειν ὄντα ὃς ἂν τυραννικώτατος ὢν ἑαυτοῦ τε ὅ τι μάλιστα τυραννῇ καὶ τῆς πόλεως;

121 (119 Mein.) *Πλάτωνος Νόμων γ′* (p. 679 B—680 C).

Ἧι δ᾽ ἄν ποτε ξυνοικίᾳ μήτε πλοῦτος ξυνοικῇ μήτε πενία, σχεδὸν ἐν ταύτῃ γενναιότατα ἤθη γίγνοιτ᾽ ἄν· οὔτε γὰρ ὕβρις οὔτ᾽ ἀδικία, ζῆλοί τε αὖ καὶ φθόνοι οὐκ ἐγγίγνονται. ἀγαθοὶ μὲν δὴ διὰ ταῦτά τε ἦσαν καὶ διὰ τὴν λεγομένην εὐήθειαν· ἃ γὰρ ἤκουον καλὰ καὶ αἰσχρά, εὐήθεις ὄντες ἡγοῦντο ἀληθέστατα λέγεσθαι καὶ ἐπείθοντο. ψεῦδος γὰρ ὑπονοεῖν οὐδεὶς ἠπίστατο διὰ σοφίαν, ὥσπερ τὰ νῦν, ἀλλὰ περὶ θεῶν τε καὶ ἀνθρώπων τὰ λεγόμενα ἀληθῆ νομίζοντες ἔζων κατὰ ταῦτα· διόπερ ἦσαν

---

1 *τίς* (vel *τὶς*) S A, Plat.: *τί* M ‖ 2 *δόξαι εὐδαιμονίαν* Tr. | *καὶ* ante *τίς* om. A ‖ 3 *κρῖνε* S M, Plat.: *κρίνε* A *κρῖναι* Tr. ‖ 5 *ἡ* addidi e Plat.: om. S M A ‖ 6 *κρίνων* S | *τὰ ἐναντία* M ‖ 7 *ἀνείπω* Plat. sed ut in libris aliquot divisim scriptum sit *ἂν εἴπω* ut in Stobaei S M A ‖ 8 inter *δικαιότατον* et *εὐδαιμ.* supra versum *καὶ* addidit A[1] ‖ 9 *δ᾽* e Plat. Gesn.[1]: om. S M A ‖ 10 *αὑτοῦ* e Plat. Gesn.[1]: *αὐτοῦ* fere libri ‖ 11 *ἀθλιώτατον* e Plat. Gesn.[1]: *καὶ ἀθλιώτατον* S M A ‖ 13 *τυραννῇ* e Plat. Gaisford, et *τυραννῆ* ni fallor M: *τυραννεῖ* S A ‖ 14 ecl. cum lemm. hab. S M A (post ecl. 118 Mein.) lemmate non iterato (post ecl. 123 Mein.) Br. *τοῦ αὐτοῦ* pro *πλάτ.* S ‖ 15 *Ἧι* rubr. M ‖ 16 *γενν.*] *δικαιότατα* e Platonis Ald. Gesn.[1] ‖ 17 *καὶ*] *οὐ* A ‖ 18 *ἐγγίγνονται* M A Br Tr., Plat.: *ἐγγίν-* S | *ἀγαθοὶ μὲν*—p. 72, 4 *ξενικοῖς ποιήμασιν* quae primus edidi prioribus adnectit Br, om. S M A. poterit igitur dubitari, ex opere Stobaei an ex ipso Platone ea hausta sint ‖ 22 *τανῦν* Br ubique

τοιοῦτοι παντάπασιν, οἵους αὐτοὺς ἡμεῖς ἄρτι διεληλύθαμεν. — Ἐμοὶ γοῦν δὴ καὶ τῷδε οὕτως ταῦτα ξυνδοκεῖ. — Οὐκοῦν εἴπομεν, ὅτι γενεαὶ διαβιοῦσαι πολλαὶ τοῦτον τὸν τρόπον τῶν πρὸ κατακλυσμοῦ γεγονότων καὶ τῶν νῦν ἀτεχνότεροι μὲν καὶ ἀμαθέστεροι πρός τε τὰς ἄλλας μέλλουσιν εἶναι τέχνας καὶ πρὸς τὰς πολεμικάς, ὅσαι τε πεζαὶ καὶ ὅσαι κατὰ θάλατταν γίγνονται τὰ νῦν, καὶ ὅσαι δὴ κατὰ πόλιν μόνον αὐτοῦ, δίκαι καὶ στάσεις λεγόμεναι, λόγοις ἔργοις τε μεμηχανημέναι πάσας μηχανὰς εἰς τὸ κακουργεῖν τε ἀλλήλους καὶ ἀδικεῖν, εὐηθέστεροι δὲ καὶ ἀνδρειότεροι καὶ ἅμα σωφρονέστεροι καὶ ξύμπαντα δικαιότεροι; τὸ δὲ τούτων αἴτιον ἤδη διεληλύθαμεν. — Ὀρθῶς λέγεις. — Λελέχθω δὴ ταῦτα ἡμῖν καὶ τὰ τούτοις ξυνεπόμενα ἔτι πάντα εἰρήσθω τοῦδ' ἕνεκα, ἵνα νοήσωμεν, τοῖς τότε νόμων τίς ποτ' ἦν χρεία καὶ τίς ἦν ὁ νομοθέτης αὐτοῖς. — Καὶ καλῶς γε εἴρηκας. — Ἆρ' οὖν ἐκεῖνοι μὲν οὔτε ἐδέοντο νομοθετῶν οὔτε πω ἐφίλει κατὰ τούτους τοὺς χρόνους γίγνεσθαι τὸ τοιοῦτον; οὐδὲ γὰρ γράμματα ἔστι πω τοῖς ἐν τούτῳ τῷ μέρει τῆς περιόδου γεγονόσιν, ἀλλ' ἔθεσι καὶ τοῖς λεγομένοις πατρίοις νόμοις ἑπόμενοι ζῶσιν. — Εἰκὸς γοῦν. — Πολιτείας δέ γε ἤδη καὶ τρόπος ἐστίν τις οὗτος. — Τίς; — Δοκοῦσί μοι πάντες τὴν ἐν τούτῳ τῷ χρόνῳ πολιτείαν δυναστείαν καλεῖν, ἣ καὶ νῦν ἔτι πολλαχοῦ καὶ ἐν Ἕλλησι καὶ κατὰ βαρβάρους ἐστίν· λέγει δ' αὐτήν που καὶ Ὅμηρος γεγονέναι περὶ τὴν τῶν Κυκλώπων οἴκησιν, εἰπὼν

τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες,
ἀλλ' οἵ γ' ὑψηλῶν ὀρέων ναίουσι κάρηνα
ἐν σπέσσι γλαφυροῖσι, θεμιστεύει δὲ ἕκαστος
παίδων ἠδ' ἀλόχων, οὐδ' ἀλλήλων ἀλέγουσιν.

---

5 *ἀτεχνότεροι* Br, Platonis cod. Paris. 1807 m. recentior: *ἀτεχνώτεροι* Platonis cod. Paris. 1807 m. pr. ‖ 8 *αὐτοῦ* Plat. *αὐτ'* Br ‖ 15. 16 *ἦν νομοθέτης* Plat. ‖ 20 *λεγομένοις πατρίοις* Plat.: *λειπομένοις πατρικοῖς* Br ‖ 27 Od. IX 112 ss. | *τοῖσι* Br | *ἀγορὴ βουληφόρος* Etym. M. p. 208, 46 ‖ 30 *ἀλόχων* etiam Aristot. Polit. I 2 p. 1252[b] 23 sed *ἀλόχου* idem Eth. Nicom. X 10 p. 1180[a] 29

— *Ἔοικέν γε ὁ ποιητὴς ὑμῖν οὗτος γεγονέναι χαρίεις. καὶ γὰρ δὴ καὶ ἄλλα αὐτοῦ διεληλύθαμεν μάλα ἀστεῖα, οὐ μὴν πολλά γε· οὐ γὰρ σφόδρα χρώμεθα οἱ Κρῆτες τοῖς ξενικοῖς ποιήμασιν.*

122 (deest Mein.: Ibid. p. 690 E)

Ἆρ᾽ οὐκ ἀγνοήσαντες τὸν Ἡσίοδον ὀρθότατα λέγοντα, ὡς τὸ ἥμισυ τοῦ παντὸς πολλάκις ἐστὶ πλέον; ὁπόταν ᾖ τὸ μὲν ὅλον λαμβάνειν ζημιῶδες, τὸ δ᾽ ἥμισυ μέτριον, τότε τὸ μέτριον τοῦ ἀμέτρου πλέον ἡγήσατο, ἄμεινον ἂν χείρονος.

123 (120 Mein.) *Ἐν ταὐτῷ* (p. 688 A—B).

Τὸ δὲ ἐμὸν ἔλεγον, ὅτι τοῦτο μὲν πρὸς μίαν ἀρετὴν οὐσῶν τεττάρων κελεύοι τίθεσθαι τοὺς νόμους, δέοι δὲ δὴ πρὸς πᾶσαν μὲν βλέπειν, μάλιστα δὲ πρὸς τὴν πρώτην καὶ τῆς ξυμπάσης ἡγεμόνα ἀρετῆς, φρόνησις δ᾽ εἴη τοῦτο καὶ νοῦς καὶ δόξα μετ᾽ ἔρωτός τε καὶ ἐπιθυμίας τούτοις ἑπομένης.

124 (121 Mein.) *Ἐν ταὐτῷ* (p. 688 E—689 E).

Φαμὲν δὲ δὴ νῦν καθ᾽ ὁδὸν ἰόντες τὴν λοιπὴν τοῦ λόγου, τὴν μεγίστην ἀμαθίαν τότε ἐκείνην τὴν δύναμιν ἀπολέσαι καὶ νῦν ταὐτὸ πεφυκέναι ποιεῖν, ὥστε τόν γε νομοθέτην, εἰ τοῦθ᾽ οὕτως ἔχει, πειρατέον ταῖς πόλεσι

---

1 *ὑμῖν* Plat.: *ἡμῖν* Br ‖ 5 ecl. sine lemm. priori subicit (ante ecl. 126 Mein.) Br, om. S M A. ecloga sicut nunc legitur a capite *Περὶ πολιτείας* satis aliena utrum e Stobaei opere an ex ipso Platone adsumpta sit dubium ‖ 6 Hes. op. 40 ‖ 7 *ὁπόταν*—10 *χείρονος* seclusit Hermann ‖ 9 *τό, τε τὸ* Br ‖ 11 ecl. cum lemm. hab. S M A ‖ 12 *ἔλεγον* M A, Plat.: *ἔλεγεν* S | *τοῦτο μὲν* supra lin. A[1] ‖ 13 *δέοι* e Plat. Gesn.[1]: *δέον* S M A ‖ 13. 14 *δὲ δὴ* M, Plat.: *δὲ δεῖ* A *δὴ* S ‖ 14. 15 *δὲ καὶ πρὸς πρώτην τὴν τῆς ξυμπάσης ἡγεμόνα ἀρ.* Plat. ‖ 16 *νοῦς* M A, Plat.: *σοφία* S ‖ 17 *ἑπομένης* M, Plat.: ex *-οις* corr. S *ἑπομένη* ni fallor A ‖ 18 ecl. sine lemmate cum prioribus coniunctam hab. S, tamquam novam lemmate *ἐν ταυτῷ* praemisso M A. maiorem eclogae partem inde ab initio usque ad v. *διαπεπονημένοι ἅπαντα* (p. 74, 7) om. S, primus hanc ex A edidit Gaisford ‖ 19 *δὲ δη νῦν* M A: *δὴ νῦν* Plat. *δή νυν* Ast | *καθοδὸν* M ‖ 21 *ταυτὸ* M A: *ταὐτὸν τοῦτο* Plat. idque erunt fortasse qui reponant in Stobaeo ‖ 22 *εἰ τοῦθ᾽* recte M A: *εἴθ᾽* Platonis cod. Paris. A

φρόνησιν μὲν ὅσην δυνατὸν ἐμποιεῖν, τὴν δὲ ἄνοιαν ὅ τι μάλιστα ἐξαιρεῖν. — Δῆλον. — Τίς οὖν ἡ μεγίστη δικαίως ἂν λέγοιτο ἀμαθία; σκοπεῖτε εἰ συνδόξει καὶ σφῷν λεγόμενον· ἐγὼ μὲν δὴ τὴν τοιάνδε τίθεμαι. — Ποίαν; — Τὴν ὅταν τῷ τι δόξῃ καλὸν ἢ ἀγαθὸν εἶναι μὴ φιλῇ τοῦτο ἀλλὰ μισῇ, τὸ δὲ πονηρὸν καὶ ἄδικον δοκοῦν εἶναι φιλῇ τε καὶ ασπάζηται. ταύτην διαφωνίαν λύπης τε καὶ ἡδονῆς πρὸς τὴν κατὰ λόγον δόξαν ἀμαθίαν φημὶ εἶναι τὴν ἐσχάτην, μεγίστην δέ, ὅτι τοῦ πλήθους ἐστὶ τῆς ψυχῆς· τὸ γὰρ λυπούμενον καὶ ἡδόμενον αὐτῆς ὅπερ δῆμός τε καὶ πλῆθος πόλεώς ἐστιν. ὅταν οὖν ἐπιστήμαις ἢ δόξαις ἢ λόγῳ ἐναντιῶται, τοῖς φύσει ἀρχικοῖς, ἡ ψυχή, τοῦτο ἄνοιαν προσαγορεύω, πόλεώς τε, ὅταν ἄρχουσι καὶ νόμοις μὴ πείθηται τὸ πλῆθος, ταὐτόν, καὶ δὴ καὶ ἑνὸς ἀνδρός, ὁπόταν καλοὶ ἐν ψυχῇ λόγοι ἐνόντες μηδὲν ποιῶσι πλέον, ἀλλὰ ζῇ τούτοις πᾶν τοὐναντίον. ταύτας πάσας ἀμαθίας τὰς πλημμελεστάτας ἔγωγ' ἂν θείην πόλεώς τε καὶ ἑνὸς ἑκάστου τῶν πολιτῶν, ἀλλ' οὐ τὰς τῶν δημιουργῶν, εἰ ἄρα που

---

1 ὅσην ex ὅσον corr. M[1] ‖ 2 ἐξαίρειν M | δεῖλον ut videtur M ‖ 3 σκοπεῖτε e Plat. Gaisford: σκόπει τε (τὲ M) M A ‖ 4 λεγόμενον A, Plat.: λέγομεν M | τοιάνδε A, Plat.: τοιαύτην δὲ M ‖ 5 ὅταν τῶ τι M | δόξῃ A sicut Platonis codicis Parisini 1807 man. rec., δόξει M: δόξαν Plat. ‖ 6 φιλῇ—μισῇ M, Plat.: φιλεῖ—μισεῖ A ‖ 7 post εἶναι una fere litt. rasa in A | φιλῇ τε καὶ ἀσπάζηται M, Plat.: φιλεῖ τε καὶ ἀσπάζεται A ‖ 7. 8 ταύτην τὴν διαφωνίαν Plat. ‖ 8 τι pro τε M ‖ 9. 10 τοῦ πλήθους M, Plat.: πλήθους A ‖ 10. 11 καὶ ἡδόμενον supra lin. A[1] ‖ 11 αὐτῆς M, ex em. A, Plat.: αὐτοῖς A ‖ 12 ἐπιστήμαις M, Plat.: ἐπὶ στόματος A | ἐναντιῶται A, Plat.: ἐναντιώτατα M ‖ 13 ἡ ψυχή e Plat. Gaisford: ἡ τάχοι (ι corr.) M ἢ ταχυτῆτι A ‖ 14 ἄρχουσι(ν) M, Plat.: ἄρχωσι A ‖ 15 καὶ δὴ καὶ—p. 74, 16 ἑκάστοτε φανεῖται Eusebius praep. ev. XII 8 vol. II p. 90 Dind. | καλὴν A ‖ 16 λόγοι ἐνόντες M, Plat., Euseb.: ἄγοιεν ἄν τις A sed corr. certe ὄντες ex ἄν τις A[1] | ἀλλὰ ζῇ (i. ζῇ, sc. ὁ ἀνήρ) reposui ex M A, certe sic voluit gnomologus: ἀλλὰ δὴ Plat., Euseb.: ἀλλ' ᾗ prop. Badham ‖ 17. 18 πλημμελεστάτας ex πλημμεληστάτας corr. M[1] ‖ 19 εἰ σάρα M | που scripsi: ποῦ M A; μου Plat., Euseb. idque fortasse reddendum Stobaeo

καταμανθάνετε, ὦ ξένοι, ὃ λέγω. — Μανθάνομέν γε, ὦ φίλε, καὶ ξυγχωροῦμεν ἃ λέγεις. — Τοῦτο μὲν τοίνυν οὕτω κείσθω δεδογμένον καὶ λεγόμενον, ὡς τοῖς εἰς ταῦτα ἀμαθαίνουσι τῶν πολιτῶν οὐδὲν ἐπιτρεπτέον ἀρχῆς ἐχόμενον καὶ ὡς ἀμαθέσιν ὀνειδιστέον, ἂν καὶ πάνυ λογιστικοί τε ὦσι καὶ πάντα τὰ κομψὰ καὶ ὅσα πρὸς τάχος τῆς ψυχῆς πεφυκότα διαπεπονημένοι ἅπαντα, τοὺς δὲ τοὐναντίον ἔχοντας τούτων ὡς σοφούς τε προσρητέον, ἂν καὶ τὸ λεγόμενον μήτε γράμματα μήτε νεῖν ἐπίστωνται, καὶ τὰς ἀρχὰς δοτέον ὡς ἔμφροσιν· πῶς γὰρ ἄν, ὦ φίλοι, ἄνευ ξυμφωνίας γένοιτ᾽ ἂν φρονήσεως καὶ τὸ σμικρότατον εἶδος; οὐκ ἔστιν, ἀλλ᾽ ἡ καλλίστη καὶ μεγίστη τῶν ξυμφωνιῶν μεγίστη δικαιότατ᾽ ἂν λέγοιτο σοφία, ἧς ὁ μὲν κατὰ λόγον ζῶν μέτοχος, ὁ δὲ ἀπολειπόμενος οἰκοφθόρος καὶ περὶ πόλιν οὐδαμῇ σωτήρ, ἀλλὰ πᾶν τοὐναντίον ἀμαθαίνων εἰς ταῦτα ἑκάστοτε φαίνεται.

125 (122 Mein.) *Ἐν ταὐτῷ* (p. 691 C).

Ἐάν τις μείζονα διδῷ τοῖς ἐλάττοσι παρεὶς τὸ μέτριον, πλοίοις τε ἱστία καὶ σώμασι τροφὴν καὶ ψυχαῖς

---

1 *ξένοι, ὃ λέγω* Plat., Euseb.: *ξένε ὃ λέγω* A, *ξένέο λέγω* (*εγ* non satis clarum) M | *γε* Stob., Euseb.: *τε* Plat. | *ὦ* om. A ‖ 2 *ξυγχωρ-* M *ἐγχωρ-* A *συγχωρ-* Plat. Eus. | *τοῦτο*—10 *ὡς ἔμφροσιν* Theodoretus Gr. affect. cur. I 35 p. 14, 16 Raed. (ex Eusebio) ‖ 3 *κείσθω* M, Plat., Euseb., Theodoret.: *κεκείσθω* (sic) A | *καὶ λεγόμενον* om. Theodoreti libri nonnulli | *εἰς* om. Plat., Euseb., Theodoret. cf. 16 ‖ 4 post *ἐχόμενον* iterum *καὶ λεγόμενον* Euseb. ‖ 5 *γε* pro *τε* M ‖ 7 *τοὺς*] hinc incipit S ‖ 7. 8 *τοὺς δὲ τοὐναντίον ἔχοντας τούτων* M A, Plat., Euseb., Theodoret., nisi quod *τούτους* pro *τούτων* Theodoret., *τούτοις* Euseb.: *τοὺς γοῦν ἔχοντας τοῦτο* S ‖ 8 post *ἄν* distinguitur in M A ‖ 9 *μή γε γράμματα* A | *μητε νειν* sine acc. M *μήτε νεῖναι* A | *ἐπιστῶνται* S M A ‖ 10 *εὔφροσι* primo S ‖ 11 *ξυμφωνιῶν* Plat. Euseb.: *ξυμφώνων* M, compendiose S A ‖ 13 *δικαιότατα λέγοιτ᾽ ἂν* Euseb. | *σοφία*—15 *σωτήρ* Theon. Smyrn. p. 10, 12 Hill. ‖ 16 *ταῦτα* M A, Plat., Euseb.: *ταυτὰ* S | *φανεῖται* Plat., Euseb. ‖ 17 ecl. cum lemm. hab. S M A ‖ 18 *διδῷ* Plat.: *διδοῖ* S M A | post *ἐλάττοσι* temere addidit *δύναμιν* e Platonis Ald. Gesn.[1] | *παριεὶς* Platonis cod. Paris. 1807 m. pr.

ἀρχάς, ἀνατρέπεταί που πάντα καὶ ἐξυβρίζοντα τὰ μὲν εἰς νόσους θεῖ, τὰ δ' εἰς ἔκγονον ὕβρεως ἀδικίαν.

126 (123 Mein). Ἐν ταὐτῷ (p. 697 A—C).

Λέγομεν τοίνυν, ὅτι πόλιν, ὡς ἔοικεν, τὴν μέλλουσαν σῴζεσθαί τε καὶ εὐδαιμονήσειν εἰς δύναμιν ἀνθρωπίνην δεῖ καὶ ἀναγκαῖον τιμάς τε καὶ ἀτιμίας διανέμειν ὀρθῶς. ἔστιν δὲ ὀρθῶς ἄρα τιμιώτατα μὲν καὶ πρῶτα τὰ περὶ τὴν ψυχὴν ἀγαθὰ κεῖσθαι, σωφροσύνης ὑπαρχούσης αὐτῇ, δεύτερα δὲ τὰ περὶ τὸ σῶμα καλὰ καὶ ἀγαθά, καὶ τρίτα τὰ περὶ τὴν οὐσίαν καὶ χρήματα λεγόμενα· τούτων δὲ ἂν ἐκτός τις βαίνῃ νομοθέτης ἢ πόλις, εἰς τιμὰς ⟨ἢ⟩ χρήματα προάγουσα ἤ τι τῶν ὕστερον εἰς τὸ πρόσθεν τιμαῖς τάττουσα, οὔθ' ὅσιον οὔτε πολιτικὸν ἂν δρῴη πρᾶγμα.

127 (124 Mein.) Τοῦ αὐτοῦ Νόμων δ' (p. 705 A—B).

Πρόσοικος γὰρ θάλαττα χώρᾳ τὸ μὲν παρ' ἑκάστην ἡμέραν ἡδύ, μάλα γε μὴν ὄντως ἁλμυρὸν καὶ πικρὸν γειτόνημα· ἐμπορίας γὰρ καὶ χρηματισμοῦ διὰ καπηλείας ἐμπιπλᾶσα αὐτήν, ἤθη παλίμβολα καὶ ἄπιστα ταῖς ψυχαῖς ἐντίκτουσα, αὐτήν τε πρὸς αὐτὴν τὴν πόλιν ἄπιστον

---

1 ἀρχάς, ἀνατρέπεταί που πάντα e Plat. Gesn.[1]: ἀρχὰς ἀνατρέποντά που πάντα S ἀρχάσ (post ἀρχάσ spatium decem fere litterarum) τε ποῦ πάντα M ἀρχὰς ὀνειδίζοντά τε π. π. A ‖ 2 θεῖ S M, Plat.: θεῖον A ‖ 3 ecl. cum lemm. hab. S M A (post ecl. 122 Mein.) Br (post Platonis de re publ. excerptum Stob. IV 1, 145 H.) Br praemisso lemmate νόμων γ' ‖ 4 λέγομεν S M A Br: λέγωμεν Platonis cod. Paris. 1807 ‖ 5. 6 post ἀνθρωπίνην distinguitur in M A ‖ 6 post διανέμειν signum interrogationis in A ‖ 7 ἔστι S A ut videtur ‖ 8 τὴν om. A ‖ 9 καλὰ M A, Plat.: om. S ‖ 12 ἢ (ante χρήμ.) e Plat. addidit Gesn.[1], om. S M A | προάγουσα S M, Plat.: προσάγουσα A | ἤ τί M | τῶν ὑστέρων Br ut Plat. ‖ 13 πολιτικὸν M, Plat.: πολιτικῶν S A | ἂν δρῴη e Plat. Gesn.[1]: ἀνδρῶν S M A ‖ 15 ecl. cum lemm. hab. M A, om. S; Δ- M τετάρτων A ‖ 16 πρόσοικος—7 κτῆσιν Eusebius praepar. evang. 12, 48 vol. II p. 134 Dind. | θάλαττα χώρᾳ Plat., Euseb.: θαλάττῃ χώρα M A ‖ 17 ὄντας A ‖ 18 ἐμπορείας A | χρηματισμοῦ e Plat. Gesn.[2]: χρηματισμοὺς M A ‖ 19 ἐμπιμπλᾶσα Plat. | ἑαυτὴν Euseb. ‖ 20 αὐτήν τε πρὸς αὐτὴν (αὑτὴν M) Plat., M: αὐτήν περ πρὸς αὐτὴν A

καὶ ἄφιλον ποιεῖ καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους ὡσαύτως. παραμύθιον δὲ δὴ πρὸς ταῦτα καὶ τὸ πάμφορος εἶναι κέκτηται, τραχεῖα δὲ οὖσα δῆλον ὡς οὐκ ἂν πολύφορός τε εἴη καὶ πάμφορος ἅμα· τοῦτο γὰρ ἔχουσα, πολλὴν ἐξαγωγὴν ἂν παρεχομένη, νομίσματος ἀργύρου καὶ χρυσοῦ πάλιν ἀντεμπίπλαιτ' ἄν, οὗ μεῖζον κακόν, ὡς ἔπος εἰπεῖν, πόλει ἀνθ' ἑνὸς ἓν οὐδὲν ἂν γίγνοιτο εἰς γενναίων καὶ δικαίων ἠθῶν κτῆσιν, ὡς ἔφαμεν, εἰ μεμνήμεθα, τοῖς πρόσθεν λόγοις. — Ἀλλὰ μεμνήμεθα, καὶ συγχωροῦμεν τότε λέγειν ἡμᾶς ὀρθῶς καὶ τὰ νῦν.

128 (125 Mein.) *Ἐν ταὐτῷ* (p. 709 A—C).

Ὡς οὐδείς ποτε ἀνθρώπων οὐδὲν νομοθετεῖ, τύχαι δὲ καὶ ξυμφοραὶ παντοῖαι πίπτουσαι παντοίως νομοθετοῦσιν ἅπαντα ἡμῖν. ἢ γὰρ πόλεμός τις βιασάμενος ἀνέτρεψε πολιτείας καὶ μετέβαλε νόμους, ἢ πενίας χαλεπῆς ἀπορία· πολλὰ δὲ καὶ νόσοι ἀναγκάζουσι καινοτομεῖν λοιμῶν τε ἐμπιπτόντων καὶ χρόνον ἐπὶ πολὺν ἐνιαυτῶν πολλῶν πολλάκις ἀκαιρία. ταῦτα δὴ πάντα προϊδών τις ἄρξειεν ἂν εἰπεῖν, ὅπερ ἐγὼ νῦν δή, θνητὸν ⟨μὲν⟩ μηδένα νομοθετεῖν μηδέν, τύχας δ' εἶναι σχεδὸν ἅπαντα

---

(20) 1 *ἄφιλον καὶ ἄπιστον* A ‖ 2 *πάμφορος* Plat., Euseb.; *πάμφορον* M A sed *μφ* in ras. ‖ 3. 4 *πολύφορός τε* (*τις* A) *εἴη καὶ πάμφορος ἅμα* M A: *πολύφορός τ' εἴη καὶ πάμφορος ἅμα* Euseb. *πολύφορος ἅμα* Plat. ‖ 5 *ἐξαγωγεῖν* A | *ἀργυροῦ* Euseb., *ἀργύρου* Platonis codex ut libri Stobaei ‖ 6 *ἀντεμπίμπλαιτ* (sed *ι* post *α* in ras.) Platonis cod. Paris. 1807: *ἀντεμπιπλῶντ* M *ἀντεμπιπλῶντα* A; *ἀντεπίμπλατ'* Euseb. ‖ 7 *ἀνθενὸς* M | *γένοιτο* Euseb. ‖ 8 *ἐθῶν* A ‖ 9 *ἐν τοῖς* Plat. ‖ 10 *ταννῦν* M ‖ 11 ecl. cum lemm. hab. M A, om. S. legitur ecloga *Ὡς οὐδεὶς*—p. 77, 10 *ἂν ἔχοι λόγον* Stob. I 6, 17[b] p. 88, 7 W. lemmate *Πλάτωνος Νόμων δ'* praefixo ‖ 12 *τάχα* A ‖ 14 *ἅπαντα* M A, Stob. I: *τὰ πάντα* Plat., inde Gesn.[2] ‖ 14. 15 *ἀνέτρεψε* Stob. I, Plat.: *ἀνέστρεψε* (*-ψαι* A) M A ‖ 15 *μετέβαλεν* M ‖ 17 *ἐνιαυτῶν* M sed *τῶ* in ras. M[2] ‖ 18 *πολῶν* A | *ἀκαιρία* M A *σκεωρίαι* vel *σκαιωρίαι* libri Stobaei I *ἀκαιρία* sed ut *ἀκαιρίαι* fuisse videatur Platonis cod. Paris. 1807 | *ταῦτα δὴ κτέ.*] primus edidit Gaisford ex A | *προϊδὼν* M A sic ut Plat., Stob. I, moneo propter Gaisfordum ‖ 19 *ἄρξειεν* M A, Stob. I *αἴξειεν* Platonis cod. Paris. 1807, *ἀξιώσειεν* Heindorf | ante *θνητὸν* add. *τὸ* Plat. | *μὲν* addidi e Stob. I, Plat.

τἀνθρώπινα πράγματα. τὸ δ᾽ ἔστιν περί τε ναυτιλίαν καὶ κυβερνητικὴν καὶ ἰατρικὴν καὶ στρατηγικὴν πάντα ταῦτ᾽ εἰπόντα δοκεῖν εὖ λέγειν, ἀλλὰ γὰρ ὅμως αὖ καὶ τόδ᾽ ἔστιν εὖ λέγοντα λέγειν ἐν τοῖς αὐτοῖς τούτοις. — Τὸ ποῖον; — Ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. ἡμερώτερον μὴν τρίτον συγχωρῆσαι τούτοις δεῖν ἕπεσθαι τέχνην· καιρῷ γὰρ χειμῶνος συλλαβέσθαι κυβερνητικήν, μέγα πλεονέκτημα ἔγωγ᾽ ἂν θείην. ἢ πῶς; — ⟨Οὕτως.⟩ — Οὐκοῦν καὶ τοῖς ἄλλοις ὡσαύτως κατὰ τὸν αὐτὸν ἂν ἔχοι λόγον, καὶ δὴ καὶ νομοθεσίᾳ ταὐτὸν τοῦτο δοτέον· τῶν ἄλλων ξυμπιπτόντων, ὅσα δεῖ χώρᾳ συντυχεῖν, εἰ μέλλει ποτὲ εὐδαιμόνως οἰκήσειν, τὸν νομοθέτην ἀληθείας ἐχόμενον τῇ τοιαύτῃ παραπεσεῖν ἑκάστοτε πόλει δεῖν. — Ἀληθέστατα λέγεις.

129 (126 Mein.) *Τοῦ αὐτοῦ Νόμων ε΄* (p. 743 C—744 A).

Ἡμῖν δὲ ἡ τῶν νόμων ὑπόθεσις ἐνταῦθα ἔβλεπεν, ὅπως ὡς εὐδαιμονέστατοι ἔσονται καὶ ὅ τι μάλιστα ἀλλήλοις φίλοι· εἶεν δὲ οὐκ ἄν ποτε πολῖται φίλοι, ὅπου πολλαὶ μὲν δίκαι ἐν ἀλλήλοις εἶεν, πολλαὶ δὲ ἀδικίαι, ἀλλ᾽ ὅπου ὡς ὅ τι σμικρόταται καὶ ὀλίγισται. λέγομεν δὴ μήτε εἶναι χρυσὸν δεῖν μήτε ἄργυρον ἐν τῇ πόλει,

---

1 *περὶ ναυτιλίαν* Stob. I ‖ 3 *ὁμοίως* Platonis Vat. ‖ 4 *λέγοντα εὖ λέγειν* Plat. ‖ 5 *θεὸς μὲν*—7 *τέχνην* leguntur etiam Stob. flor. 60, 8 Mein. praemisso *τοῦ αὐτοῦ* (sc. *Πλάτωνος*) lemmate, item apud Iulianum epist. ad. Themist. p. 333, 26 Hertl. | *καὶ* (ante *μετὰ θεοῦ*) M, Stob. I et infra 60, 8, Plat., Iulian.: *δή* corr. A[1] ‖ 6 *ἀνθρώπινα* libri infra | *μὲν* Stob. I ‖ 6. 7 *μὴν τούτοις συγχωρῆσαι τρίτον δεῖν ἕπεσθαι τ.* Iulian. ‖ 7 *ξυγχ.* Stob. I, Plat. | *ἕπεσθαι δεῖν* flor. 60, 8 ‖ 8 *χειμῶνος* secludit Badham | *κυβερνητικὴν ἢ μὴ* Stob. I, Platonis cod. Paris. 1807 ‖ 9 *Οὕτως* addidi e Stob. I, Plat. | *καὶ* Stob. et Plat. libri: *κἂν* (*καὶ ἐν* Ast) Schanz ‖ 12 *μέλλοι* Platonis cod. Paris. 1807 ‖ 16 ecl. cum lemm. hab. S (post ecl. 123 Mein.) M A (post ecl. 125 Mein.) Br (post Plat. leg. III p. 690 E, de quo loco dixi p. 72 adn. 5). *Τοῦ αὐτοῦ* om. Br ‖ 19 *πολῖται* (-*ῖται* M) *φίλοι* M A Br, Plat.: *ἀλλήλοις* (supra: *πολῖται*) *φίλοι* S m. ead. *ἀλλήλοις φίλοι* Tr.; *πολῖται ἀλλήλοις φίλοι* male Gesn.[1] ‖ 21 *ὡσότι* M ‖ 22 *εἶναι* om. Plat. | *αὐτῇ* pro *ἐν τῇ* S

μήτε αὖ χρηματισμὸν πολὺν διὰ βαναυσίας καὶ τόκων μηδὲ βοσκημάτων αἰσχρῶν, ἀλλ' ὅσα γεωργία δίδωσι καὶ φέρει, καὶ τούτων ὁπόσα μὴ χρηματιζόμενον ἀναγκάσειεν ἀμελεῖν ὧν ἕνεκα πέφυκε τὰ χρήματα· ταῦτα δ' ἐστὶ ψυχὴ καὶ σῶμα, ⟨ἃ⟩ χωρὶς γυμναστικῆς καὶ τῆς ἄλλης παιδείας οὐκ ἄν ποτε γένοιτο ἄξια λόγου. διὸ δὴ χρημάτων ἐπιμέλειαν οὐχ ἅπαξ εἰρήκαμεν ὡς χρὴ τελευταῖον τιμᾶν· ὄντων γὰρ τριῶν τῶν ἁπάντων, περὶ ἃ πᾶς ἄνθρωπος σπουδάζει, τελευταῖον καὶ τρίτον ἐστὶν ἡ τῶν χρημάτων ὀρθῶς σπουδαζομένη σπουδή, σώματος δὲ πέρι μέση, πρώτη δὲ ἡ τῆς ψυχῆς. καὶ δὴ καὶ νῦν ἣν διεξερχόμεθα πολιτείαν, εἰ μὲν τὰς τιμὰς οὕτω τάττεται, ὀρθῶς νομοθετεῖται· εἰ δέ τις τῶν προσταττομένων αὐτόθι νόμων σωφροσύνης ἔμπροσθεν ὑγίειαν ἐν τῇ πόλει φανεῖται ποιῶν τιμίαν ἢ πλοῦτον ὑγιείας καὶ τοῦ σωφρονεῖν, οὐκ ὀρθῶς ἀναφανεῖται τιθέμενος.

130 (127 Mein.) *Ἐν ταὐτῷ* (p. 744 D).

Δεῖ γὰρ ἐν πόλει που, φαμέν, τῇ τοῦ μεγίστου νοσήματος οὐ μετεχούσῃ, ὃ διάστασιν ἢ στάσιν ὀρθότερον ἂν εἴη κεκλῆσθαι, μήτε πενίαν τὴν χαλεπὴν ἐνεῖναι παρά τισι τῶν πολιτῶν μήτ' αὖ πλοῦτον, ὡς † ἀμφότερα τικτόντων ταῦτα ἀμφότερα.

131 (128 Mein.) *Πλάτωνος Νόμων Θ'* (p. 874 E—875 A).

---

3 *ἀναγκάσει* Platonis apogr. Vatic. *ἀναγκάσει' ἂν* Baiter ‖ **4** *πέφυκεν* M ‖ **5** *ἃ* e Plat. inseruit Gesn.[1], om. S M A ‖ **6** *ἄξια λόγου* S, Plat.: *ἀξιολόγου* M A ‖ **8** *περὶ ἃ πᾶς* S M, Plat.: *πῶς ἅπας* A ‖ **10** *σπουδή* ex *σπουδῇ* corr. M[1] | *πέρι* om. Platonis Ald., inde Gesn.[1] ‖ **11** *καὶ νῦν καὶ δι' ἥν*. Br ‖ **12** *τάττεται* Plat.: *τάττετε* ex *-ται* fecit A[1] *τάττετε* S M ‖ **13** *νομοθετεῖται* S M: *νομοθετεῖτε* A *νενομοθέτηται* Br, ut *νε* postea additum videatur Platonis cod. Paris. 1807 | *προσταττομένων αὐτόθι νόμων* S M, Plat.: *πραττομένων νόμων αὐτόθι* A ‖ **14** *ὑγεῖαν* Br ‖ **15** *ὑγείας* M Br ‖ **16** *ἀναφανεῖται* Plat., Br: *ἂν φανεῖται* S M *ἂν φανῆται* A ‖ **17** ecl. cum lemm. hab. M A, om. S ‖ **18** *δεῖ* A, Plat.: *Δεῖν* M | *ποῦ φαμεν* M ‖ **18. 19** *νοσήματος* M A: *νομίσματος* Platonis cod. Paris. 1807 ‖ **19** *μετεχούσῃ* M A: *μεθεξούσῃ* Plat. | *ὃ* e Plat. Gesn.[2]: *ἢ* M A | *ὀρθώτερον* A ‖ **21** s. *ἀμφοτέρων —22 ἀμφότερα* Platonis apogr. Riccardianum, *ἀμφότερα—ἀμφοτέρων* Wagner ‖ **23** ecl. cum lemm. hab. M A (post ecl. 127

Ὡς ἄρα νόμους ἀνθρώποις ἀναγκαῖον τίθεσθαι καὶ ζῆν κατὰ νόμους ἢ μηδὲν διαφέρειν τῶν πάντῃ ἀγριωτάτων θηρίων. ἡ δὲ αἰτία τούτων ἥδε, ὅτι φύσις ἀνθρώπων οὐδενὸς ἱκανὴ φύεται, ὥστε γνῶναί τε τὰ συμφέροντα ἀνθρώποις εἰς πολιτείαν καὶ γνοῦσα τὸ βέλτιστον ἀεὶ δύνασθαι καὶ ἐθέλειν πράττειν. γνῶναι μὲν γὰρ πρῶτον χαλεπόν, ὅτι πολιτικῇ καὶ ἀληθεῖ τέχνῃ οὐ τὸ ἴδιον ἀλλὰ τὸ κοινὸν ἀνάγκη μέλειν· τὸ μὲν γὰρ κοινὸν ξυνδεῖ, τὸ δὲ ἴδιον διασπᾷ τὰς πόλεις· καὶ ὅτι ξυμφέρει τῷ κοινῷ τε καὶ ἰδίῳ τοῖν ἀμφοῖν, ἢν τὸ κοινὸν τιθῆται καλῶς.

132 (129 Mein). *Ἀρχύτα.*

Πονηρῶν ἀθέων νόμοι θεῶν ἄγραφοι ἀντινομιζόμενοι πονηρὰν μοῖραν καὶ ζημίαν τῷ μὴ πειθομένῳ διδόντες, πατέρες καὶ ἁγεμόνες τῶν γεγραμμένων νόμων καὶ δογμάτων ἀνθρώποις τεθέντων.

133 (130 Mein.) *Διωτογένους Πυθαγορείου ἐκ τοῦ Περὶ ὁσιότητος.*

Καλῶς δὲ καὶ τὸ τὸν θεὸν ἐν ἀρχᾷ τῷ δείπνω καὶ

Mein.) nomine auctoris non iterato Br (post ecl. 126 Mein.), om. S

1 ante *ὡς ἄρα* Br ut Plato *προῤῥητέον δή τι περὶ πάντων τῶν τοιούτων τοιόνδε,* om. SMA. recipere dubitavi, cf. ecl. 128 init. ‖ 6 *δύνασθαί τε καὶ* Plat. ‖ 7 *πρῶτον* M sed *ῶτ* in ras. M[1] | *ὅτι χαλεπὸν* A ‖ 8 *ἀνάγκη μέλειν* M, Plat.: *ἀνάγκη*$^{\mu}$*ένειν* (*μ* ni fallor in ras.) A ‖ 10 *ἢν* e Plat. Gesn.[2]: *ἣν* M *εἰ* A ‖ 11 *καλῶς* M A *καλῶς μόνον* (si recte intellego Paulum Thomas) Br *καλῶς μᾶλλον ἢ τὸ ἴδιον* Plat. quod Stobaeo intulit Gesn.[2] ‖ 12 ecl. cum lemm. *ἀρχι*$^{\tau\alpha}$ (*Ἀρχίτα* Tr.) hab. S Tr. post ecl. 126 Mein., om. M A: ad Archytae commentarium *Περὶ νόμου καὶ δικαιοσύνης* rettulit Orelli ‖ 13 vereor ne mutilata sint v. *πονηρῶν*—13. 14 *ἀντινομιζόμενοι.* an *ἀθέῳ ⟨νόμῳ⟩ νόμοι—ἀτιμαζόμενοι?* ‖ 14 *καὶ*] *ὡς* ci. Elter | *ζαμίαν* scr. Meineke sed dubitans an delenda sint v. *καὶ ζημίαν* | post *διδόντες* interciderit aliquid, malim certe *διδόντι* vel *διδόντ⟨ι, ἐόντ⟩ες* cf. p. 89 adn. 2 ‖ 15 *ἡγεμόνες* S: corr. Meineke ‖ 16 *τιθέντων* S: corr. Gesn.[1] ‖ 17 ecl. sine lemmate superiori Archytae fragmento subiecit S, addito lemmate post. ecl. 128 Mein. hab. M A; *πυθαγορίου* M A. Diotogenis nomen om. pinacographus Photi, cf. Elter p. 42 s. ‖ 19 *Καλῶς*

τῷ ἀρίστῳ ἐπικαλεῖσθαι, οὐχ ὡς δεόμενον τινὸς τῶν τοιούτων, ἀλλ' ἐς τὸ μνασθέντας κατακοσμηθῆμεν τὰν ψυχάν· ἐπειδὴ γὰρ ἀπ' αὐτῶν ἐσμὲν καὶ κεκοινωνήκαμεν τῷ θείῳ, ⟨τῷ θείῳ⟩ ποθᾶκόν τι κρίνοντι ἄμμε· διὸ καὶ βούλονται ἰκέλως αὐτοῖς ἅπαντα ἡμᾶς ἐπιτελέεν δικαιοπραγέοντας. ἔπειτα γὰρ τέτορες αἰτίαι τὰ σύμπαντα περαίνοντι καὶ ἐπὶ τέλος ἐπιτίθεντι, φύσις καὶ νόμος καὶ τέχνα καὶ τύχα· καὶ τῶν μὲν . . . ⟨τῶν δὲ⟩ ἐξ ἄθεος ποτὶ συμφωνίαν πολιτικὰν φερόντων νόμος ἐπιστάτας καὶ δαμιουργός· τῶν δὲ διὰ φρονάσιος ἀνθρωπίνας τελεωθέντων, τέχνα ⟨κα⟩ λέγοιτο δικαίως μάτηρ τε καὶ ἁγεμὼν ἦμεν· τῶν δὲ εἰκᾷ τε καὶ ὡς ἔτυχεν ἀπὸ τῶ αὐ-

---

δὲ—p. 80, 6 *δικαιοπραγέοντας* om. S | *Καλῶς δέδοκται* (*δὲ κεῖται* Iacobs) *τὸ τὸν θεὸν κτέ.* Valckenaer. 'at quis praestet non praecessisse in superioribus *καλῶς μὲν δέδοκται*, ut rectissime inferatur *καλῶς δὲ καί*?' Meineke. *Καλὸν δὲ καὶ* temere Mullach | *τὸ* om. A | *αρχα* M

1 *ἐπικαλέεσθαι* Meineke | *τῶν* om. A ‖ 2 *αλλ εσ* M *ἀλλ' ἐς* A | *τὸ μνασθέντα* A, sine acc. M sed *ασθεν* in ras. M[2]: corr. Meineke. *μνασθέντας* ⟨*τῶν θεῶν*⟩ Elter | *κατακοσμηθῆναι* A ‖ 3 *ἀπ' αὐτῶ* male Gesn.[2] ‖ 4 *τῷ θείῳ* addidi | *ποθια ἢ τι κρίνοντι αμμε* M *πόθω ἄκοντϊ κρίνοντι ἄμμε* A *ποθᾶκον* agnovit Halm lect. Stob. p. 45 sed male interpretatus. intellego *divino cognatum aliquid iudicant nos* | an *ἁμέ*? ‖ 4. 5 *βούλονται* Halm, quem secutus est Meineke: *βουλεύονται* libri ‖ 5 *ἰκελωσ* M *ἱκέλως* A | *ἡμᾶς* A *ἡ μνᾶσ* sic fere M | *ἐπιτελέεν* M A; *ἐπιτελὲν* Meineke ‖ 6 v. *ἐπεὶ γὰρ τέτορες* e. q. s. leguntur etiam supra Stob. I 7, 10 p. 93 W. lemm. *Διωτογένεος Πυθ. ἐκ τοῦ Περὶ ὁσιότητος* praemisso | *ἔπειτα* S M A quod *ἐπεί τε* intellegit Wachsmuth, *ἐπεὶ* Stob. I. an *ἐπεί γα* [*γὰρ*]? | *γὰρ* deleri vult Meineke | *τέτορες* S *τέττορεσ* M et supra F *τέτταρες* A et supra P ‖ 7 *ἐπὶ* delet Heeren | *φύσεις* S ‖ 8 lacunam, quam animadverterat Gesn.[1] p. 280 marg., post *τῶν μὲν* signavit Heeren, addidit *τῶν δὲ* Meineke | *ἐξ ἄθεος* S *ἐξάθεος* M[1] et supra F *ἐξ ἤθεος* per se recte A *ἐξ οὔθεος* supra P[1] ‖ 9 *συμφωνίαν* M A *ξυμφωνίαν* Stob. I *συμφωνία* S | *πολιτικῶν* libri hic et supra: corr. Gesn.[1] | *ἐπιστάτης* libri: corr. Meineke ‖ 10 *δαμιουργός* M A: *δημ-* S et supra F P | *διὰ φρονήσιος* S *διαφρονάσιας* M A *διὰ φρονασίας* supra F P ‖ 10. 11 *τελεωθέντων* supra P[2] *τελεθέντων* supra F P[1] *τελεθόντων* S M A; *τελεσθέντων* Gesn.[2] ‖ 11 *κα* addidit Meineke ‖ 12 *ἡγεμὼν* S | *δὲ* om. A | *εἰκᾶ* libri | *ὡς ἔτυχεν* secludi vult Meineke, cf. Stob. I p. 90, 11 s.

τομάτω ὁμοίως ποτιπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς τύχαν τῶν τοιούτων αἰτίαν φασοῦμες· ταύταν δ' οὔτ' ἐν μέτρῳ οὔτ' ἐν ὅρῳ τεταγμέναν καὶ † πεφρονημένως ἕκαστα ποιέν· γενναθεῖσα δὲ δὴ ἐξ αὐταυτῶ γένεος ἄμφω κινεῖσθαι.

134 (131 Mein.) *Τῶν ἑπτὰ σοφῶν Περὶ πολιτείας*
(Plut. Septem sap. conviv. p. 154D—F.

Εἰ δὲ βούλει καὶ νῦν, ἔφη ὁ Σόλων, περὶ πολιτείας ἀκοῦσαι, δοκεῖ μοι πόλις ἄριστα πράττειν καὶ μάλιστα σῴζειν δημοκρατίαν, ἐν ᾗ τὸν ἀδικήσαντα τοῦ ἀδικηθέντος ⟨οὐδὲν ἧττον οἱ μὴ ἀδικηθέντες⟩ προβάλλονται καὶ κολάζουσι.

Δεύτερος δὲ ὁ Βίας ἔφη κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον.

---

(12) 1 *τοῦ αὐτομάτου* libri hic et supra: corr. Meineke ‖ 1 *μεταπιπτόντων* S ‖ 2 *φασοῦμες* libri hic (sine acc. M) et supra, nisi quod *φάσκομες* S | *ταύταν* S M A *ταῦτα* libri supra ‖ 3 *ἐν ὄρῳ* S ‖ 3. 4 *πεφρονημένως* S M A ut supra F P *πεφρονηκυῖαν* Tr.: *πεφυρμένως* scr. Wachsmuth ‖ 4 *ποιεν* M *ποῖεν* supra F P *ποιεῦν* S A: corr. Heeren | *γενναθεῖσα* (*γενα-* M) S M A *γεννηθεῖσα* supra F P: corr. Vsener. cf. Alcmanis fr. 62 B. vel Plut. de fort. Rom. p. 318 A | *δὲ ἃ* S M A *δὲ ἡ* supra F P: corr. Vsener | *ἐξ αὐταυτῶ* Stob. I: *ἐξ αὐτῶν τῶ* S M A ‖ 5 *κινεῖται* libri: corr. Vsener ‖ 6 ecl. cum lemm. hab. S M A (post ecl. 130 Mein.), sine lemmate Br (post ecl. 78 Mein.). recurrunt corp. Par. 518 (*τῶν ἑπτὰ σοφῶν περὶ πολιτείας*) Elt.: *δεῖ δέ μοι* (*δοκεῖ μοι* Stob.) *ἄριστα — τοῦ ἀδικηθέντος προβάλλονται καὶ κολάζουσι*, ibid. 519 (lemmate non iterato) *δεύτερος δὲ ὁ Βίας—τὸν νόμον.* tota ecloga legitur sed tam a Plutarchi quam a gnomologi contextu paulo liberius discedens gnomol. Paris. 269 Sternb. ‖ 8 breviavit Plutarchi verba et paululum inmutavit gnomologus. nam sic ille: *καὶ πρῶτος ὁ Σόλων ‘ἀλλ' ἀκήκοας μὲν’ εἶπεν ‘ὦ Μνησίφιλε μετὰ πάντων Ἀθηναίων ἣν ἔχω γνώμην περὶ πολιτείας· εἰ δὲ βούλει καὶ νῦν ἀκούειν, δοκεῖ μοι’ κτἑ.* | *βούλει* in ras. ut videtur Br | *ὁ* om. Br ‖ 11 *οὐδὲν ἧττον οἱ μὴ ἀδικηθέντες* e Plut. inseruit Gesn.[2]: om. S M A Br corp. Par. cf. Stob. IV 1, 77 ‖ 13 *βίοσ* M | *ἔφησε* Plut. ‖ 13. 14 *δημοκρατίαν*] *νομοθεσίαν* primo A sed del. A[1]. secludi voluit *δημοκρατίαν* Hirschig ‖ 14 *τύραννοι* Tr | *φοβοῦνται*] *κρατοῦσι* primo A sed *φοβοῦνται* corr. A[1]

Ἔπειτα Θαλῆς τὴν μήτε πλουσίους ἄγαν μήτε πένητας ἔχουσαν πολίτας.

Μετὰ δὲ τοῦτον ὁ Περίανδρος, ἐν ᾗ τῶν ἄλλων ἴσων νομιζομένων ἀρετῇ τὸ βέλτιον ὁρίζεται, κακίᾳ δὲ τὸ χεῖρον.

Πέμπτος δὲ ὁ Κλεόβουλος ἔφη μάλιστα σωφρονεῖν δῆμον, ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν ἢ τὸν νόμον.

Ἕκτος δὲ Πιττακός, ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν ἄρχειν.

Ὁ δὲ Χίλων ἀπεφήνατο τὴν μάλιστα νόμων ἥκιστα δὲ ῥητόρων ἀκούουσαν πολιτείαν ἀρίστην εἶναι.

135 (132 Mein.) *Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ νόμου καὶ δικαιοσύνης.*

Νόμος ποτ' ἀνθρώπω ψυχάν τε καὶ βίον ὅπερ ἁρμονία ποτ' ἀκοάν τε καὶ φωνάν· ὅ τε γὰρ νόμος παιδεύει μὲν τὰν ψυχάν, συνίστησι δὲ τὸν βίον, ἅ τε ἁρμονία ἐπιστάμονα μὲν ποιεῖ τὰν ἀκοάν, ὁμόλογον δὲ τὰν φωνάν. φαμὶ δὴ ἐγὼ πᾶσαν κοινωνίαν ἐξ ἄρχοντος καὶ ἀρχομένω συνεστάμεν καὶ τρίτον νόμων. νόμων δὲ ὁ μὲν ἔμψυχος βασιλεύς, ὁ δὲ ἄψυχος γράμμα. πρᾶτος ὤν ὁ

1 *ἐπὶ τούτῳ Θαλῆς* Plut. ‖ 1. 2 *μήτε πλουσίους ἄγαν μήτε πένητας ἔχουσαν πολίτας* revocavi ex M A Br, Plut.: *μήτε πλουσίως ἔχουσαν ἄγαν μήτε πένητας* S ‖ 3 *περίανδρος* A *περὶ ἀνδρὸσ* M: *Ἀνάχαρσις* Plut. | *ἐνῆ* M ‖ 4 *ἀρετῇ* Br Plut.: *ἀρετὴ* S M A | *κακία* (*κακίᾳ* Br) *δὲ* S M A: *καὶ κακία* libri Plut. ‖ 7 *μᾶλλον*] *μάλιστα* primo A | *πολιτευόμενοι*] *πολῖται* Br ‖ 9 *πιττακὸς ἔφη* A | *ἔξεστιν* dedi ex S M A Br, Plut.: *ἔστιν* Tr. ‖ 10 *ἄρχειν καὶ τοῖς ἀγαθοῖς οὐκ ἔξεστι μὴ ἄρχειν* Plut. id si fuit etiam in gnomologio, apparet quam facile perire potuerit homoeoteleuto ‖ 11 *μετατραπεὶς δ' ὁ Χίλων* Plut. | *χίλων* S M Br *χεί-* A ‖ 12 post Chilonem extremo loco Periandrum loquentem inducit Plut. ‖ 13 ecl. cum lemm. hab. M A, om. S. *πυθαγορίου* M A ‖ 15 *νόμος πότ' ἀνθρ.—19 τὰν φωνάν* om. M | *ἀνθρώπου* A: corr. Meineke ‖ 17 *συνίστητι* Meineke. fort. *συνίστατι*, sed cf. Stob. III p. 64, 9 H. ‖ 19 *δὴ ἐγὼ* M *δ' ἐγὼ* A. illud ego praetuli, hoc Meineke. cf. Stob. III p. 58, 17 H. ‖ 20 *καὶ τρίτον ἐκ νόμων* coni. Meineke, cf. p. 83, 7. fort. *τρίτω νόμων*, cf. Stob. III p. 63, 5 H. ‖ 21 *ἔμψυχος*] cf. Diotogenes Stobaei flor. 48, 61 p. 260, 25

νόμος· τούτω γὰρ ⟨ἐμμονᾷ⟩ ὁ μὲν βασιλεὺς νόμιμος, ὁ δ᾽ ἄρχων ἀκόλουθος, ὁ δ᾽ ἀρχόμενος ἐλεύθερος, ἁ δ᾽ ὅλα κοινωνία εὐδαίμων· καὶ τούτω παραβάσει ⟨ὁ⟩ μὲν βασιλεὺς τύραννος, ὁ δ᾽ ἄρχων ἀνακόλουθος, ὁ δ᾽ ἀρχόμενος δοῦλος, ἁ δ᾽ ὅλα κοινωνία κακοδαίμων. συνείρονται μὲν γὰρ ταὶ πράξιες ἐκ τῶ ἄρχεν καὶ τῶ ἄρχεσθαι καὶ τρίτον ἐκ τῶ κρατέν. τὸ μὲν ὦν ἄρχεν τῶ κρέσσονος οἰκῆον, τὸ δ᾽ ἄρχεσθαι τῶ χερήονος, τὸ δὲ κρατὲν ἀμφοτέρων· ἄρχει μὲν γὰρ τὸ λόγον ἔχον τᾶς ψυχᾶς, ἄρχεται δὲ τὸ ἄλογον, κρατοῦντι δὲ τῶν παθέων ἀμφότερα. γίνεται γὰρ ἐκ τᾶς ἑκατέρων συναρμογᾶς ἀρετά, αὕτα δὲ καὶ ἀπὸ τᾶν ἁδονᾶν καὶ ἀπὸ τᾶν λυπᾶν ἐς ἀρεμίαν καὶ ἀπάθειαν ἀπάγει τὰν ψυχάν.

136 (133 Mein.) Ἐν ταὐτῷ.

Δεῖ δὲ τὸν νόμον ἀκόλουθον ἦμεν τᾷ φύσει, δυνατὸν τοῖς πράγμασι, συμφέροντα τᾷ πολιτικᾷ κοινωνίᾳ· αἴτε γὰρ ἑνὸς τούτων αἴτε πληόνων αἴτε πάντων ἀπολείπεται, ἤτοι οὐ νόμος ἢ οὐ τέληος νόμος ἐσεῖται. ἀκόλουθος μὲν ὦν κα εἴη τᾷ φύσει, μιμεόμενος τὸ τᾶς φύ-

Mein. et quae collegi Muson. rel. p. 37, 2 adn. | πρᾶτοσ M: πρῶτος A | ὧν M A: corr. Orelli op. sent. et mor. II p. 252

1 τούτω γὰρ ἐμμονᾷ scripsi: τούτων γὰρ M A. *huius enim conservatione* recte fere interpretatur Gesn.[2] ‖ 3 τούτω παραβάσι ὁ μὲν Meineke: τούτων παραβάσει μὲν M A. formas παραβάσει sim. cur non mutaverim dixi Stob. III p. LXIX ‖ 6 μὲν om. M | ταὶ A ταῖσ M | ἐκ τοῦ ἄρχειν M A: corr. Orelli ‖ 6. 7 καὶ τοῦ ἄρχεσθαι M A: corr. Orelli. καὶ ἐκ τοῦ ἄ. Gesn.[1] ‖ 7 ἐκ τοῦ κρατεῖν. τὸ μὲν οὖν M A: corr. Orelli. cf. Crito aut Damippus Stobaei III p. 216, 1—3 H. | τῶ M τοῦ A ‖ 8 κρείσσονος οἰκῆον M A: corr. Meineke | χερήονος M χερείονος sed η supra εί A[1] ‖ 9 κρατὲν M κρατεῖν A ‖ 9. 10 τὰς ψυχὰς M ‖ 10 κρατοῦντι M A. κρατεῦντι Meineke, malim κρατέοντι | τῶν παθέων suspectat Orelli ‖ 11 τᾶς ex ταῖς M[1] | συναρμογᾶσ M ἁρμογᾶς A. cf. Stob. III p. 73, 5 H. ‖ 12 αὕτα Meineke: αυτα M αὐτὰ A | τᾶν M: τῶν A | αδονᾶν M ἡδονᾶν A | τᾶν M τῶν A | ἐς Gesn.[2]: εἰσ M A ‖ 14 ecl. cum lemm. hab. A, om. S M ‖ 15 τᾷ Meineke: τῇ A ‖ 16 expectes πραγμάτεσσι, sed cf. Stob. III p. 58, 117 H. | πλειόνων A ‖ 17. 18 ἀπολείπεται ci. Meineke: ἀπολείπηται A, cf. Stob. III p. 55, 14 H. ‖ 18 τέλειος A | malim ἐσσεῖται, cf. flor. 46, 61 ‖ 19 ὦν Meineke: οὖν A | κα (κα iam Gaisf.) εἴη Halm: καὶ ἡ A

σιος δίκαιον· τοῦτο δέ ἐστιν τὸ ἀνάλογον καὶ τὸ ἐπιβάλλον ἑκάστῳ κατὰ τὰν ἑκάστω ἀξίαν. δυνατὸς δέ, αἰ ποτὶ τὼς νομοθετουμένως ἔχει τὰν συναρμογάν· πολλοὶ γὰρ τὸ τᾷ φύσει καὶ πρᾶτον ἀγαθὸν ⟨οὐχ⟩ ἱκανοὶ δέξασθαι, τὸ δὲ ποθ' αὐτὼς καὶ τὸ ἐνδεχόμενον· οὕτω γὰρ καὶ τοὶ νοσέοντες καὶ τοὶ κάμνοντες τυγχάνοντι ἐπιμελείας.

137 (contin. 133 Mein.) *Ἐν ταὐτῷ.*

Συμφέρων δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ᾖ καὶ ἰδιωφελὴς ὁ νόμος, κοινωφελὴς δὲ καὶ διὰ πάντων διατείνων· δεῖ δὲ καὶ ποτὶ τὰν χώραν καὶ ποτὶ τὼς τόπως ἀποβλέπεν τὸν νόμον, οὔτε γὰρ γᾶ τὼς αὐτὼς καρπὼς οὔτε ψυχὰ ἀνθρώπων τὰν αὐτὰν ἀρετὰν παραδέξασθαι δύναται. διὸ τὸ δίκαιον τοὶ μὲν ἀριστοκρατικὸν τοὶ δὲ δαμοκρατικὸν τοὶ δὲ ὀλιγαρχικὸν ποιοῦντι· καὶ τὸ ἀριστοκρατικὸν κατὰ τὰν ὑπεναντίαν μεσότατα· τοῖς μὲν γὰρ μέζοσι μέζονας τὼς [δὲ] λόγως, τοῖς δὲ μήοσι μήονας διανέμει ἁ ἀναλογία αὕτα· τὸ δὲ δαμοκρατικὸν κατὰ τὰν γεωμετρικάν· ἐν γὰρ ταύτᾳ τοὶ λόγοι ἶσοι τῶν μεζόνων καὶ μηόνων μεγεθέων· τὸ δὲ ὀλιγαρχικὸν καὶ τυραννικὸν κατὰ τὰν ἀριθμητικάν· ἀντιάζει γὰρ

---

2 *κατὰ τὰν* A; *καττὰν* tacite Gaisford | *ἑκάστου* A: corr. Gaisford ‖ *δυνατοὺς* A: corr. Gaisford | 2. 3 *εἰ ποτὶ τοὺς νομοθετουμένους* A: corr. Meineke ‖ 4 *οὐχ* addidit Gaisford ‖ 5 *αὐτοὺς* A: corr. Meineke ‖ 6 *νοσέονται* A: *νοσέοντες* coni. Meineke. *νοσέοντι* Gaisford | *κάμνοντες* prop. Meineke: *κάμνοντι* A ‖ 8 ecl. cum lemm. hab. M A. lemmate temere abiecto verba prioribus adiunxit Gaisford, inde etiam Meineke ‖ 9 *συμφέροντα δὲ* M A: corr. Halm, praecedit *ἀκόλουθος μὲν ... δυνατὸς δὲ* p. 83, 18. 84, 2 | *τὰ πολιτικὰ* M ‖ 11 *ποτι τὰν* M *τὸ τὰν* A. fort. *ποττὰν* ‖ 12 *ἀποβλέπειν* M A: correxit Mullach | *debebat, opinor, πᾶσα γᾶ et in sqq. πᾶσα ψυχὰ* Meineke ‖ 14 an *πᾶσα δέξασθαι*? cf. 4 et p. 87, 11 | ante *Διὸ* iterum *Ἐν ταυτῷ* A, verba *Διὸ* — p. 85, 8 *ἢ ὀλιγαρχικόν* om. M ‖ 15 *δημοκρατικὸν* A: corr. Meineke ‖ 15. 16 *ποιέοντι* malo ‖ 16 *καττὰν* tacite Gaisford ‖ 17 *δὲ* seclusit Gaisford ‖ 18 *μείοσι μείονας* A | *διανέμει* Gaisford: *διαμένει* A | *ἁ ἀναλογία* (ut proposuerat Halm) ipse A | *αὕτα* Halm: *αὐτά* A ‖ 19 *καττὰν* Gaisford | malim *γαμετρ-* | *ταῦτα* A: corr. Gaisford | *τοι* A: corr. Halm ‖ 20 *μειζόνων* A: corr. Halm | *μειόνων* A ‖ 21 *καττὰν* Gaisford

αὔτα τᾷ ὑπεναντίᾳ· τοῖς γὰρ μήοσι μέζονας τὼς λόγως, τοῖς δὲ μέζοσι μήονας. ταὶ μὲν ὦν ἰδέαι τᾶς διανομᾶς τοσαῦται, ταὶ δὲ εἰκόνες ἐν ταῖς πολιτείαις καὶ τοῖς οἴκοις θεωρέονται· τιμαί τε γὰρ καὶ κολάσιες καὶ ἀρχαὶ ⟨ἢ⟩ ἐξ ἴσω τοῖς μέζοσι καὶ μήοσι διανέμονται, ἢ ἐξ ἀνίσω ἢ τῷ ἀρετᾷ ὑπερέχεν ἢ τῷ πλούτῳ ἢ καὶ δυνάμει. τὸ μὲν ὦν ἐξ ἴσω δαμοκρατικόν, τὸ δὲ ἐξ ἀνίσω ἀριστοκρατικὸν ἢ ὀλιγαρχικόν.

138 (134 Mein.) *Ἐν ταὐτῷ.*

Δεῖ δὲ τὸν νόμον τὸν κάρρονα καὶ τὰν πόλιν ἐκ πασᾶν σύνθετον εἶμεν τᾶν ἀλλᾶν πολιτειᾶν· καὶ ἔχεν τι δαμοκρατίας, ἔχεν τι ὀλιγαρχίας, ἔχεν τι βασιλήας καὶ ἀριστοκρατίας· ὥσπερ καὶ ἐν τᾷ Λακεδαίμονι· τοὶ μὲν γὰρ βασιλέες τᾶς μοναρχίας, τοὶ δὲ γέροντες τᾶς ἀριστοκρατίας, τοὶ δὲ ἔφοροι τᾶς ὀλιγαρχίας, ἱππαγρέται δὲ καὶ κόροι τᾶς δαμοκρατίας. δεῖ τοίνυν τὸν νόμον μὴ μόνον ἀγαθὸν καὶ καλὸν ἦμεν, ἀλλὰ καὶ ἀντιπεπονθέναι τοῖς αὐτῶ μερέεσσιν· οὗτος γὰρ ἰσχυρὸς καὶ βέβαιος· τὸ δ' ἀντιπεπονθέναι λέγω αὐτῶ, καὶ ἄρχεν καὶ ἄρχεσθαι τὰν αὐτὰν ἀρχάν, ὥσπερ καὶ ἐν τᾷ εὐνομωτάτᾳ Λακεδαίμονι. τοῖς μὲν γὰρ βασιλεῦσιν τοὶ ἔφοροι ἀντικάθηνται, τούτοις δ' οἱ γέροντες, μέσοι δ' οἱ κόροι καὶ ἱππαγρέται·

1 *αὔτα* scripsi: *αὐτᾷ* A. *αὐτὰ* Gaisford | *μείοσι* A | *τοὺς* A: corr. Halm ‖ **2** *μείζοσι* A: corr. Halm | *μείονας* A | *ἰδέαι* Gaisford: *ἰδίαι* A ‖ **4** *κολάσεις* A: *-σιες* prop. Meineke. cf. p. 83, 6 | *ἀρχαὶ* Hirschig: *ἀρεταὶ* A | *ἢ* addidit Halm ‖ **5** *μείζοσι καὶ μείοσι* A | *διανέμεται* A: corr. Halm ‖ **6** *τῷ ἀρετᾷ* Halm: *τᾷ ἀρετᾷ* A | *τῷ*] scil. *ὑπερέχεν* | *ἢ καὶ* Gaisford: *ἃ καὶ* A ‖ **7** *ἴσου* A: corr. Gaisford | *δημοκρατικόν* A: corr. Meineke ‖ **9** ecl. cum lemm. hab. M A, om. S ‖ **10** s. cf. Hippodamus Stob. III 43, 94 sub fin. | *δὲ* M *δὴ* A ‖ **11** malim *ἧμεν* | *ἄλλαν* M A | *πολιτεῖαν* A | *ἔχειν* A ‖ **12** *βασιλείας* M A *-ήας* Meineke sed ut malit *μοναρχίας* ‖ **14** *τὰς* A | *τοι δε* M | *τὰς* M A ‖ **15** *τοι δ' ἔφοροι* M *τοὶ δὲ ἔφοροι* A | *τὰς ὀλιγ.* M A | *ἱππαγρέται δὲ*] *τοὶ δ' ἱππαγρέται concinnius esset* Meineke ‖ **16** *τὰς* A | *δημοκρ-* M A: corr. Gesn.[2] post *δημοκρατίασ* ut modo post *ὀλιγαρχίας* plenius distinguitur (:-) in M | *τοίνυν* om. M ‖ **18** *αὐτῶ* prop. Meineke: *αὐτῶ* M A ‖ **19** *αὑτῷ* dubitans ci. Meineke ‖ **20** *τῇ* A ‖ **21** *βασιλεῦσι τοι* M ‖ **21. 22** malim *τούτοις δὲ τοὶ γέροντες, μέσοι δὲ τοὶ κόροι*

ἐφ' ὃ γὰρ ἂν ῥέψωντι τοὶ πλεονεκτέοντες τῶν ἀρχόντων, οὗτοι τοῖς ἄλλοις ὑποτίθενται.

Δεῖ τὸν νόμον τὰ περὶ θεὼς καὶ δαίμονας καὶ γονέας καὶ ὅλως τὰ καλὰ καὶ τίμια πρᾶτα τίθεσθαι, δεύτερον δὲ τὰ συμφέροντα· τὰ γὰρ μήονα τοῖς μέζοσιν ἀκολουθὲν ποθάκει· καὶ μὴ ἐν οἰκήμασι καὶ θυρώμασιν ἐνῆμεν, ἀλλ' ἐν τοῖς ἤθεσι τῶν πολιτευομένων. οὐδὲ γὰρ ἐν Λακεδαίμονι τᾷ εὐνομωτάτᾳ πλάθει γραμμάτων ἁ πόλις διοικεῖται, πολὺ δὲ μᾶλλον [ἐν] τοῖς τρόποις τῶν πολιτευομένων. συμφέροντι δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ἦ καὶ ἰδιωφελής, κοινωφελὴς δὲ καὶ διὰ πάντων διατείνων ὁ νόμος καὶ τὰν ζαμίαν ἐς τὰν αἰσχύναν καὶ τὰν ἀτιμίαν ἀμφέρῃ, μὴ ἐς τὰν τῶν χρημάτων ἀποβολάν. ἐκ μὲν γὰρ τῶ αἰσχύνᾳ ζαμιοῦσθαι κοσμιότατα καὶ χρηστότατα σπουδάζοντι, ὅπως τὰν ἐν τοῖς νόμοις ζαμίαν ἀκοινώνατον ἔχωντι· ἐκ δὲ τᾶ χρήμασι χρήματα περὶ πλείστω ποιησοῦνται, μέγιστον φάρμακον ὑπολαμβάνοντες ἦμεν τῶν ἁμαρτημάτων. ἄριστον μὲν ὦν τὰν ὅλαν πόλιν οὕτως συντετάχθαι, ὥστε μηδενὸς ποτιδεῖσθαι ἔξωθεν, μήτε κατ' ἀρετὰν μήτε κατὰ δύναμιν μήτε κατ' ἄλλαν μηδεμίαν αἰτίαν· οὕτω γὰρ καὶ σῶμα

---

1 *ῥέψοντι* M A: corr. Halm | *πλεονεκτίοντεσ* M A: corr. Gesn.² ‖ **2** *ποτιτίθενται* prop. Cobet. post *ὑποτίθενται* spatii aliquid in M ‖ **3** an *Δεῖ δὲ?* cf. p. 83, 15. 85, 10 | *θεὼς* A *θεοῖσ* M ‖ **4. 5** *δεύτερα* mavult Meineke ‖ **5** *μείονα* M A sed *η* supra *ει* A¹ ‖ **5. 6** *μείζοσιν ἀκολουθεῖν* M A: corr. Meineke ‖ **6** *ποθ' ἥκει* A | *καὶ μὴ — πολιτ.*] cf. Diotogenes Stob. IV 1, 96 init. ‖ **7** *ἤθεσι* M A *ἠθέεσσι* libri supra ‖ **8** *τὰ ευνομωτατα* M | *ἡ* A ‖ **9** *διοικεῖται* A *διοικῆται* M. an *διοικέεται?* | *ἐν* seclusit Halm ‖ **10** *συμφέροντι* M A; *συμφέρων* Halm hic minus recte quam supra p. 84, 9 | *αἴκα—ἦ* M ‖ **11** *ἰδιοτελὴς* M A: corr. Gesn.² mrg. | *δια* M ‖ **12** *ζημίαν* M ‖ **13** *μη* M ‖ **14** *ἐν* M A: *ἐκ* Gesn.² | *τῶ* scripsi: *τᾷ* libri. *τὼ* (voluit *τῶ*) *τᾷ* Gesn.², sed cf. 16 *ἐκ δὲ τῶ χρήμασι* ‖ **14. 15** *κοσμιώτατα* A ‖ **15** *σπουδάσοντι* Mullach ‖ **16** *ἔχοντι* M A: corr. Gesn.² | *χρήμασι* A ex *χρήματι* corr. M¹. fort. *χρημάτεσσι* ‖ **16. 17** *χρηματα περι* M ‖ **17** *πλείστον* M A: corr. Meineke ‖ **18** *ἦμεν* Gesn.²: *ἡ μεν* M *εἶναι* A ‖ *ἁμαρταμάτων* M ‖ **19** *οὖν* M A: corr. Orelli | *οὕτω* A ‖ **21** *μὴδὲμίαν* M

καὶ οἰκία καὶ στράτευμα συντέτακται καλῶς, τὸ ἐν αὐτῷ ἔχον τὰν αἰτίαν τᾶς σωτηρίας, ἀλλὰ μὴ ἔξωθεν· σῶμα μὲν τὸ κάρρον, οἰκία δ' ἁ συγκειμένα καλῶς, στράτευμα δὲ τὸ μὴ μισθοφόρον μηδ' ἀγύμναστον· κρέσσονα γὰρ τὰ οὕτως συνταχθέντα γίνεται τῶν ἄλλων· καὶ ἐλεύθερα μὲν καὶ ἀδούλωτα, οὐ πολλῶν ποτιδεόμενα ποτὶ τὰν διαμονάν, ὀλίγων δὲ καὶ εὐπαρακομίστων. οὕτω γὰρ ὦν ὁ μὲν ἰσχυρὸς τῶ βάρεος, ὁ δὲ γυμνάτας τῶ ῥίγεος περιγίνεται· γυμνάζοντι γὰρ ταὶ τύχαι καὶ ταὶ συμφοραὶ τὼς ἀνθρώπως· ἐπεὶ καὶ τῷ σώφρονι καὶ διαπονοαθέντι καὶ σώματι καὶ ψυχᾷ καὶ τροφὰ ἁδέα φαίνεται πᾶσα καὶ ποτόν, καὶ εὐνὰ δὲ ἁ μετὰ φυλλάδος, τῷ δὲ τρυφᾶν καὶ συβαρίζεν ἐκποριουμένῳ καὶ ἁ τῶ μεγάλω βασιλέος παρασκευὰ δυσάρεστος καὶ ἀλλοτρία. τὸν νόμον ὦν ἐν τοῖς ἤθεσι καὶ τοῖς ἐπιταδεύμασι τῶν πολιτᾶν ἐγχρῴζεσθαι δεῖ· τὼς γὰρ πολίτας αὐτάρκεας θήσει καὶ διανεμεῖ τὸ κατ' ἀξίαν ἑκάστῳ καὶ τὸ ἐπιβάλλον· οὕτω γὰρ καὶ ὁ ἅλιος φερόμενος διὰ τῶ ζῳοφόρω διανέμει τοῖς ἐπὶ γᾶς πᾶσι καὶ γενέσιος καὶ τροφᾶς καὶ βιοτᾶς τὰν ποθάκουσαν μοῖραν, οἷον εὐνομίαν τὰν εὐκρασίαν τᾶν ὡρᾶν παρασκευαζόμενος. διὸ καὶ νόμιος καὶ νεμήιος Ζεὺς καλέε-

---

1 *οἰκία* (ut voluerat Spondanus) M *οἰκίαν* A | *συντετάχθαι* M A: corr. Spondanus | *αὐτῷ* M A: corr. Orelli ‖ **3** *μὲν τὸ* scripsi: *μέντοι* M A | *οἰδία* M | *δ' ἁ* scripsi: *δὲ* M A ‖ **4** *μηδ'* M *μηδὲ* A | *οὔτε* A ‖ **5** *ποτὶ τὰν* A *ποτι τὰν* (corr. ex *τάν* M[1]) M ‖ **6. 7** *διανομὰν* A ‖ **7** *εὐπορίστων* ci. Cobet | *ὦν* scripsi: *ἂν* M A ‖ **8** *γυμνατασ* M *γυμναστὰς* A ‖ **9** *ταὶ τύχαι* Gesn.[2]: *τε τύχαι* M A | *ταῖ* M ‖ **10** *ἐπεὶ καὶ*] Krueger *sprachl.* I 69, 32, 17 ‖ **11** *τροφᾶ* M ‖ **12** *ποτῶ* A | *αμετα φυλλάδοσ* M ‖ **13** *συβαρίζειν* A | *ἐκποριουμένῳ* Meineke: *ἐμποριουμένω* (-*νῳ* A) M A *προαιρουμένῳ* prop. Gesn.[2] in Addendis | *ἁ τῶ* M *αὐτῶ* A | *βασιλέως* M A: corr. Meineke ‖ **14** *ὧν* vel *ὦν* M ‖ **15** *ἤθεσι* A *ἄθεσι* M | *ἐπιτηδεύμασι τῶν πολιτῶν* M A: corr. Meineke | *ἐγκρώζεσθαι* M A: corr. Gaisford ‖ **16** *τοὺς* M A: corr. Gaisford | *αὐταρκέας* M A ‖ **18** *ζωοφόρω* M A | *ἐπι* M | *γῆς* A | fuerit olim *πάντεσσι* ut supra v. III p. 58, 23. 66, 9 H. ‖ **20** *τῶν ὡρῶν* M A: corr. Meineke ‖ **20. 21** *παρασκευαξάμενοσ* M A: corr. Gesn.[2] ‖ **21** *νεμήϊος* M *νομήϊος* A; *Νέμηος* Orelli l. c. II p. 669. de cultu *Διὸς Νεμείου* cf. Thuc. III 96 Paus. II 30, 3

ται, καὶ νομεὺς ὁ διανέμων τὰς τροφὰς τοῖς ὀίεσσιν· καὶ τὰ τῶν κιθαρῳδῶν δὲ ᾄσματα νόμοι· συντάσσοντι γὰρ καὶ ταῦτα τὰν ψυχάν, ἁρμονίᾳ καὶ ῥυθμοῖς καὶ μέτροις ἀειδόμενα.

139 (135 Mein.) *Ἐκ τοῦ Ἀρχύτου Περὶ μαθημάτων* (Diels *fragm. d. Vorsokr.*^{2} p. 262).

Δεῖ γὰρ ἢ μαθόντα παρ' ἄλλω ἢ αὐτὸν ἐξευρόντα, ὧν ἀνεπιστάμων ἦσθα, ἐπιστάμονα γενέσθαι. τὸ μὲν ὦν μαθὲν παρ' ἄλλω καὶ ἀλλοτρίᾳ, τὸ δ' ἐξευρὲν αὐτὸν δι' αὐτῶ καὶ ἰδίᾳ. ἐξευρὲν δὲ μὴ ζατοῦντα ⟨ἄπορον καὶ σπάνιον, ζατοῦντα δὲ⟩ εὔπορον καὶ ῥᾴδιον· μὴ ἐπιστάμενον δὲ ζατὲν ἀδύνατον.

Στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς· πλεονεξία τε γὰρ οὐκ ἔστι τούτω γενομένω καὶ ἰσότας ἔστιν· τούτῳ γὰρ περὶ τῶν συναλλαγμάτων διαλ-

---

1 *ὀίεσσιν* M *ὄϊεσσι* A. *ὀίεσιν* Gesn.^{2} | de sententia cf. Plato Min. p. 317 ‖ 2 *κιθαρωδῶν* A *κιθαρωδᾶν* M. *τᾶν κιθαραοιδιᾶν* mire prop. Meineke | *ἄϊσματα* M *αἴσματα* A *ἀείσματα* Meineke | *νομοί* M ‖ 3 *ταύτα* M ‖ 4 *ἀειδομενα* M ‖ 5 ecl. cum lemm. hab. M A, om. S. exspectes *Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ μαθημάτων* ex more florilegi, sed Tarentini haec sunt Archytae, non personati ‖ 7 citat Iambl. de comm. math. sc. 11 p. 44, 10 Fest. *ὁ Ἀρχύτας ἐν τῷ Περὶ μαθηματικῶν λέγει 'δεῖ γὰρ—12 ἀδύνατον'* | *ἢ* (ante *μαθ.*) om. Iambl. | *παράλλον* sive *παρ' ἄλλον* M A: corr. Orelli. *παρ' ἄλλων* Iambl. | post *παρ' ἄλλον* quae praecepit e proximis *καὶ ἀλλότριον τὸ δ' ἐξευρεῖν* delevit A ‖ 8 *ὧν ἀνεπιστάμων* Blass *mél. Graux* p. 581: *ὧν ἐπιστάμων* M A *ὧν ἂν αὐτῶν ἐπιστάμων* Iambl. | *ἦς* dubitans prop. Blass | *ὧν* M, Iambl.: *οὖν* A ‖ 9 *μαθὲν* Iambl.: *μαθεῖν* M A | *ἄλλω* Iambl.: *ἄλλον* M A | *ἀλλότρια* Iambl. *ἀλλότριον* M A: corr. Diels ‖ 9. 10 *αὐτὸν δι' αὐτοῦ* (*αὐτῶ* Meineke) M A *διά τ' αὐτὸν* Iambl. *δι' αὔταυτον* recte Blass ‖ 10 *ἰδίᾳ* Diels: *ἴδιον* M A, Iambl. | *ἐξευρὲν δὲ μὴ ζατοῦντα* Iambl.: *ἐξευρεῖν δὲ μὴν ζητοῦντα* M A ‖ 10. 11 *ἄπορον καὶ σπάνιον, ζατοῦντα δὲ* ex Iambl. addidit Orelli ‖ 11. 12 *ἐπιστάμενον* M A, Iambl. *ἐπιστάμενα* (voluitne *ἐπιστάμονα*?) Gesn.^{2} *ἐπιστάμονα* Canter, Blass ‖ 12 *ζητεῖν* M A, Iambl.: corr. Orelli et Meineke ‖ 13 *Στάσιν μὲν κτὲ.* a superioribus separanda esse vidit Orelli. tamen Archytae haec et ipsa adsignant ‖ 14 *πλεονεκτία* Blass | *τε* om. A | *ἔντι* Orelli | *τούτον γενομένου* M A: corr. Orelli ‖ 15 *ἔστιν* Meineke: *ἐστίν* M A *ἐντί* Orelli | *διαλασσ-* M

λασσόμεθα. διὰ τοῦτον ὧν οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων, οἵ τε πλούσιοι διδόντι τοῖς δεομένοις, πιστεύοντες ἀμφότεροι διὰ τούτω τὸ ἶσον ἕξειν. κανὼν δὲ καὶ κωλυτὴρ τῶν ἀδικούντων ⟨ἐὼν⟩ τὼς μὲν ἐπισταμένως λογίζεσθαι πρὶν ἀδικὲν ἔπαυσε, πείσας ὅτι οὐ δυνασοῦνται λαθέν, ὅταν ἐπ' αὐτὸν ἔλθωντι, τὼς δὲ μὴ ἐπισταμένως, ἐν αὐτῷ δηλώσας ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι.

140 (136 Mein.) *Πλουτάρχου ἐκ τοῦ Ὅτι ⟨καὶ⟩ γυναῖκα παιδευτέον* (Plut. mor. vol. VII p. 126 Bern.).

Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν· ἐγὼ δὲ φαίην ⟨ἂν⟩, μὴ παιδὶ πλοῦτον μηδὲ ἀνδρὶ ἀπαιδεύτῳ δυναστείαν.

141 (137 Mein.) *Αἰσώπου.*

Αἴσωπος τότε ἔλεγεν κακῶς ἔσεσθαι πᾶσιν, ὅταν πάντες πάντα ἐπιτηδεύωσιν.

---

1 *οὖν* M A: corr. Canter ‖ 1. 2 *τοί ⟨τε⟩ πένητες λαμβάνοντι πὰρ τῶν δυναμένων, τοί τε πλουτίοι* scr. Blass | *διδόντι* Canter: *διδόν[α]τες* M A ‖ 3 *ἀμφότεροι* corr. M[1] | *τούτω* Gesn.[2]: *τούτων* M et sic videtur fuisse etiam in A | *ἴσον* Blass | *ἕξειν* M. *ἑξέν* Blass ‖ 4 *ἀδικεόντων* Blass | *ἐὼν* addi voluit Blass aut *γὰρ* post *τὼς μὲν* ‖ 4. 5 *τοὺς μὲν ἐπισταμένους* M A: corr. Orelli ‖ 5 *λογίζεσθαι* Pflugk: *ὀργίζεσθαι* (*ὁργ-* M) M A *τῶ ὀργίζεσθαι* Gesn.[2] | *ἀδικεῖν* M A: corr. Orelli | *ἔπαυσε* prop. Gesn.[2] qui *παύσεως* in contextu: *παύσας* M A ‖ 5. 6 *δυνασόνται* Blass ‖ 6 *λαθεῖν* M A: corr. Canter | *ὅκκα* pro *ὅταν* scr. Blass | *αὐτὸν* M A, errat de A Gaisford; *αὐτὸ* male Gesn.[2] mrg. ‖ 6. 7 *τοὺς δὲ μὴ ἐπισταμένους* M A: corr. Orelli ‖ 7 *ἀδικέοντας* Blass ‖ 7. 8 *ἀδικεῖσαι* sed *ῆ* superscr. A[1] ‖ 9 ecl. cum lemm. hab. M A Br, om. S. *ἐκ τοῦ* om. M, *ἐκ τοῦ—παιδευτέον* om. Br. addidi *καὶ* ex flor. 92, 11 Mein. ubi recurrit ecloga cum lemm. *Πλ. ἐκ τοῦ Ὅτι καὶ γυναῖκα καὶ* (*καὶ* M *κακὰς* A) *παιδευτέον.* iteratur Anton. II c. 1 p. 78 (*Πλουτάρχου*) ‖ 12 *ἂν* flor. 92, 11: om. M A Br Ant. | *ἀπαιδεύτῳ δυναστείαν* in *ἀπαιδευσίαν* depravarunt libri infra flor. 92 ‖ 14 ecl. cum lemm. hab. M A, sine lemm. Br, om. S. recurrit ecloga paululum variata gnomol. Vat. 127 Sternb. *Wiener Apophth.* 93 Wachsm. ‖ 16 *ἐπιτηδεύωσιν* A *-ωσι* Br *-ουσιν* M

142 (138 Mein.) *Ἐκ τῶν Δημοσθένους Φιλιππικῶν* (VI p. 66).

Αἴτιον δὲ τούτων, ὅτι πάντας, ὦ Ἀθηναῖοι, τοὺς πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν, οὐχὶ λόγοις δέον.

143 (139 Mein.) *Ἐπικούρου* (fr. 530 p. 320 Vs.)

Οἱ νόμοι χάριν τῶν σοφῶν κεῖνται, οὐχ ὅπως μὴ ἀδικῶσιν, ἀλλ᾽ ὅπως μὴ ἀδικῶνται.

144 (140 Mein.) *Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν.*

Δημοσθένης ὁ ῥήτωρ ἔφη πόλεως εἶναι ψυχὴν τοὺς νόμους· ‛ὥσπερ γὰρ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις μὴ ὄντων νόμων καταλύεται᾽.

145 (deest Mein.) *⟨Πλάτωνος⟩ Πολιτείας η´* (p. 550 E —551 D).

Τοὐντεῦθεν τοίνυν, εἶπον, προϊόντες εἰς τὸ πρόσθεν χρηματίζεσθαι, ὅσῳ ἂν τοῦτο τιμιώτερον ἡγῶνται, τοσούτῳ ἀρετὴν ἀτιμοτέραν· ἢ οὐχ οὕτω πλούτου ἀρετὴ διέστηκεν, ὥσπερ ἐν πλάστιγγι ζυγοῦ κειμένου ἑκατέρου, ἀεὶ τοὐναντίον ῥέποντε; Καὶ μάλ᾽, ἔφη. Τιμωμένου δὴ πλούτου ἐν πόλει καὶ τῶν πλουσίων ἀτιμοτέρα ἀρετή τε καὶ οἱ ἀγαθοί. Δῆλον. Ἀσκεῖται δὴ τὸ ἀεὶ τιμώμενον,

---

1 ecl. cum lemm. hab. M A, om. S ‖ 3 *ὦ ἄνδρες Ἀθ.* Dem. ‖ 6 ecl. cum lemm. hab. M A, sine lemm. S ‖ 7 *οὐχ ὅπως—ἀλλ᾽ ὅπως* M A *οὐχ ἵνα—ἀλλ᾽ ἵνα* S. cf. Porphyr. ad Marc. c. 27 ‖ 9 ecl. cum lemm. hab. M A, sine lemm. S Br; corp. Par. 115 Elt. cf. Sextus Empir. adv. math. II 31 p. 681, 7 ss. et quae collegit Sternbach gnom. Vat. 229. Rose Ar. pseudep. p. 611 ss. ‖ 10 *εἶναι ψυχὴν* scripsi cum gnom. Vat.: *ψυχὴν εἶναι* S *εἶναι τὴν ψυχὴν* M A Br corp. Par. ‖ 11 *γὰρ* om. A | *σῶμα* M A Br corp. Par. gnom. Vat.: *τὸ σῶμα* S | *ψυχῆς στερηθὲν* Br ‖ 12 *καταλύεται*] *οὐχ ἵσταται* S ‖ 13 ecl. cum lemm., quam primus edidi, habet Br f. 53r—v post ecl. 140 Mein. ante ecl. 123 Mein.: om. S M A. sedes eclogae incerta, praecesserat autem in florilegio L Br codicibus hodie repraesentato ecloga Platonis, itaque in lemmate nil nisi *πολιτ η´* nomine auctoris non iterato. prior pars eclogae *Τοὐντεῦθεν* — p. 91, 1 *ἀτιμαζόμενον*. *Οὕτω* recurrit infra flor. 93, 29 Mein. cum lemm. *Τοῦ αὐτοῦ* (sc. *Πλάτωνος*) *πολιτείας η´* ‖ 19 *ῥέποντος* Stobaei libri infra flor. 93 | *δὴ* libri etiam infra, fallitur Burnet

ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. Οὕτω. Ἀντὶ δὴ φιλονίκων καὶ φιλοτίμων ἀνδρῶν φιλοχρηματισταὶ καὶ φιλοχρήματοι τελευτῶντες ἐγένοντο, καὶ τὸν μὲν πλούσιον ἐπαινοῦσί τε καὶ θαυμάζουσι καὶ εἰς τὰς ἀρχὰς ἄγουσι, τὸν δὲ πένητα ἀτιμάζουσι. Πάνυ γε. Οὐκοῦν τότε δὴ νόμον τίθενται ὅρον πολιτείας ὀλιγαρχικῆς ταξάμενοι πλῆθος χρημάτων, οὗ μὲν μᾶλλον ὀλιγαρχία, πλέον, οὗ δ' ἧττον, ἔλαττον, προειπόντες ἀρχῶν μὴ μετέχειν ᾧ ἂν μὴ ⟨ᾖ⟩ οὐσία εἰς τὸ ταχθὲν τίμημα, ταῦτα δὲ ἢ βίᾳ μεθ' ὅπλων διαπράττονται, ἢ καὶ πρὸ τούτου φοβήσαντες κατεστήσαντο τὴν τοιαύτην πολιτείαν. ἢ οὐχ οὕτως; Οὕτω μὲν οὖν. Ἡ μὲν δὴ κατάστασις ὡς ἔπος εἰπεῖν αὕτη. Ναί, ἔφη· ἀλλὰ τίς δὴ ὁ τρόπος τῆς πολιτείας; καὶ ποῖά ἐστιν ἃ ἔφαμεν αὐτὴν ἁμαρτήματα ἔχειν; Πρῶτον μέν, ἔφην, τοῦτο αὐτό, ὅρος αὐτῆς οἷός ἐστιν· ἄθρει γάρ, εἰ νεῶν οὕτω τις ποιοῖτο κυβερνήτας, ἀπὸ τιμημάτων, τῷ δὲ πένητι, εἰ καὶ κυβερνητικώτερος εἴη, μὴ ἐπιτρέποι — Πονηράν, ἦ δ' ὅς, τὴν ναυτιλίαν αὐτοὺς ναυτίλλεσθαι. Οὐκοῦν καὶ περὶ ἄλλου οὕτως ὁτουοῦν ἤ τινος ἀρχῆς; Οἶμαι ἔγωγε. Πλὴν πόλεως; ἦν δ' ἐγώ· ἢ καὶ πόλεως πέρι; Πολύ γ', ἔφη, μάλιστα, ὅσῳ χαλεπωτάτη καὶ μεγίστη ἡ ἀρχή. Ἓν μὲν δὴ τοῦτο τοσοῦτον ὀλιγαρχία ἂν ἔχοι ἁμάρτημα. Φαίνεται.

146 (141 Mein.) *Θουκυδίδου ἱστορίας ε′ δημηγορίας Ἀθηναίων* (111, 4).

Ὡς οἵτινες τοῖς μὲν ἴσοις μὴ εἴκουσι, τοῖς δὲ κρείττοσι καλῶς προσφέρονται, πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσι, πλεῖστ' ἂν ὀρθοῖντο.

147 (142 Mein.) *Εὐσεβίου* (fr. 39 Mull.).

---

1 *φιλονείκων* Br ‖ 9 *ᾖ* addidi e Plat. ‖ 24 ecl. cum lemm. hab. S M A; *Θουκυδίδου ἱστορίας ε̄ δημηγορίας ἀθηνῶν* libri sed *δημηγ. Ἀθ.* om. S. *Ἀθηναίων* tacite Gaisford ‖ 26. 27 *κρείσσοσι* Thuc., puto olim etiam gnomologus, certe *ἥσσους* servavit in prox. ‖ 27 *προς* M A, Thuc. *εἰς* S | *ἥσσους* S, M (ubi *σσ* in ras. M[1]), Thuc.: *ἥττους* A ‖ 28 *ἀνορθοῖντο* coniunctim M ‖ 29 ecl. cum lemm. *εὐσεβίου* S M (post ecl. 141 Mein.) cum lemm. *τοῦ αὐτοῦ* A (post ecl. 143 Mein.)

Πλοῦτος ἐν πόλι τῇ μελλούσῃ εὐδαιμονέειν ἀρετῆς μήκοτε προτιμηθείη, ὅκως μὴ διὰ τοῦτο ἐς τὴν ἐκείνου ἐπιθυμίην πάντων συρρεόντων ὀλιγωρίη καὶ ἀνασκησίη ἀρετῆς ψυχαῖς τῶν κατὰ τὴν πόλιν ἐμφύῃ. ἀρετῆς γὰρ ἀτιμαζομένης πλοῦτος μοῦνος σπουδαζόμενος καὶ ἐνδυναστεύσας ὕβριός τε καὶ ὑπερηφανίης ὑπηρέτης καὶ πάντων κακῶν ὑπ᾽ ἐξουσίης τε καὶ τοῦ ἀνεπιπλήκτου † τὰ ἀπεστώσης ἀρετῆς οὐδεὶς ἀνακαλέσεται χορηγὸς γίνεται.

148 (143 Mein.) *Εὐσεβίου* (fr. 40 Mull.).

Ἄρχουσιν ἡ ὀφειλομένη αἰδὼς καὶ τιμὴ φυλασσομένη κόσμον σῴζει· πόλιος καὶ διατηρέει.

149 (144 Mein.) *Πλάτωνος ἐκ τοῦ Γοργίου* (p. 476 A —479 C).

Μετὰ τοῦτο δὲ περὶ οὗ τὸ δεύτερον ἠμφισβητήσαμεν σκεψώμεθα, τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστιν, ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδόναι, ὡς αὖ ἐγὼ ᾤμην. σκοπώμεθα δὲ τῇδε· τὸ διδόναι δίκην καὶ τὸ κολάζεσθαι δικαίως ἀδικοῦντα ἆρα τὸ αὐτὸ καλεῖς; — Ἔγωγε. — Ἔχεις οὖν λέγειν, ὡς οὐχὶ τά γε δίκαια πάντα καλά ἐστιν, καθ᾽ ὅσον καὶ δίκαια; καὶ διασκεψάμενος εἰπέ. — Ἀλλά μοι δοκεῖ, ὦ Σώκρατες. — Σκόπει δὴ καὶ τόδε· ἆρα εἴ τίς τι ποιεῖ, ἀνάγκη τι εἶναι καὶ πάσχειν ὑπὸ τούτου τοῦ ποιοῦντος;

---

1 *πόλι* Meineke: *πόλει* S M A | *μελούσῃ* M ‖ 2 *μήκοτε* Meineke: *μήποτε* S M A | *ἐς τὴν* S A² *ἐστὶν* M A¹ ‖ 3 *ἐπιθυμίην* S *ἐπιθυμόην* M *ἐπιθύμιον* A | *συρρυέντων* S *συρρεόντων* M A Tr. ‖ 4 *ψυχῇσι* Meineke | *τῶν κατὰ τὴν πόλιν* M A *ταῖς κατὰ πόλιν* S | *ἐνφυῇ* S M A¹, *ἐμφυῇ* A² Tr. ‖ 7 v. *ὑπ᾽ ἐξουσίης* (*ὑπεξ-* M)— 8 *ἀνακαλέσεται* nemodum expedivit | *τοῦ ἀνεπιπλ.*] i. *ἀνεπιπληξίης* ‖ 7. 8 *τὰ* S *τα* M *τᾶς* A *τὰ* spatiolo ante *τὰ* et post *τὰ* interiecto Tr. ‖ 8 *γίγνεται* S M A ‖ 9 ecl. sine lemm. hab. S (post ecl. 142 Mein.), addito lemm. *εὐσεβίου* M (post ecl. 142 Mein.) A (post ecl. 114 Mein.); *τοῦ αὐτοῦ* suo Marte Gaisford ‖ 10 *ἄρχουσιν* S A *-σι* M | *ὀφειλομένη* S *ὀφειλευμένη* M A, cf. Cobet mnemos. IX p. 106 s. ‖ 11 *πόλεως* libri: corr. Meineke ‖ 12 ecl. cum lemm. hab. S M (post ecl. 143 Mein.) A (post ecl. 142 Mein.) ‖ 14 *οὗ* S M A *ὅ* Platonis B T ‖ 14. 15 *ἀμφισβητήσαμεν* (*ἠ* superscr.) A ‖ 17 *αὖ*] *ἂν* A¹ | *δὲ* om. A ‖ 18 *ἄρα* M ‖ 20 *τά γε*] *τὰ δὲ* A ‖ 23 *πάσχον* recte libri Platonis

— Ἔμοιγε δοκεῖ. — Ἆρα τοῦτο πάσχον, ὃ τὸ ποιοῦν ποιεῖ, καὶ τοιοῦτον, οἷον ποιεῖ τὸ ποιοῦν; λέγω δὲ ⟨τὸ⟩ τοιόνδε· εἴ τις τύπτει, ἀνάγκη τι τύπτεσθαι; — Ἀνάγκη. — Καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων, οὕτω καὶ τὸ τυπτόμενον τύπτεσθαι; — Ναί. — Τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστίν, οἷον ἂν τὸ τύπτον ποιῇ; — Πάνυ γε. — Οὐκοῦν καὶ εἰ καίει τις, ἀνάγκη τι καίεσθαι; — Πῶς γὰρ οὔ; — Καὶ εἰ σφόδρα γε καίει ἢ ἀλγεινῶς, οὕτως καίεσθαι τὸ καιόμενον, ὡς ἂν τὸ καῖον καίῃ; — Πάνυ γε. — Οὐκοῦν καὶ εἰ τέμνει τις, ὁ αὐτὸς λόγος; τέμνεται γάρ τι. — Ναί. — Καὶ εἰ μέγα γε ἢ βαθὺ τὸ τμῆμα ἢ ἀλγεινόν, τοιοῦτον τμῆμα τέμνεται τὸ τεμνόμενον, οἷον τὸ τέμνον τέμνει; — Φαίνεται. — Συλλήβδην δὴ ὅρα εἰ ὁμολογεῖς, ὃ ἄρτι ἔλεγον, περὶ πάντων, οἷον ἂν ποιῇ τὸ ποιοῦν, τοιοῦτον τὸ πάσχον πάσχειν. — Ἀλλ᾽ ὁμολογῶ. — Τούτων δὴ ὁμολογουμένων, τὸ δίκην διδόναι πότερον πάσχειν τί ἐστιν ἢ ποιεῖν; — Ἀνάγκη, ὦ Σώκρατες, πάσχειν. — Οὐκοῦν ὑπό τινος ποιοῦντος; — Πῶς γὰρ οὔ; ὑπό γε τοῦ κολάζοντος. — Ὁ δὲ ὀρθῶς κολάζων δικαίως κολάζει; — Ναί. — Δίκαια ποιῶν ἢ οὔ; — Δίκαια. — Οὐκοῦν ὁ κολαζόμενος δίκην διδοὺς δίκαια πάσχει; — Φαίνεται. — Τὰ δὲ δίκαιά που καλὰ ὡμολόγηται; — Πάνυ γε. — Τούτων ἄρα ὁ μὲν ποιεῖ καλά, ὁ δὲ πάσχει, ὁ κολαζόμενος; — Ναί. — Οὐκοῦν εἴπερ καλά, ἀγαθά; ἢ γὰρ ἡδέα ἢ ὠφέλιμα. — Ἀνάγκη.

---

1 ἄρα M | ποιοῦν Tr. p. 232 (unde vulg.) et Plat., ποιὸν S M A ‖ 2 ποιοῦν] ποιὸν A | τὸ ex Plat. addidi ‖ 6 ποιεῖ S ‖ 7 κάει A ‖ 8 καίει (vel κάει) ἢ scripsi ex Plat.: καὶ S καὶ εἰ M A | ἀλγηνῶσ M ‖ 8. 9 οὕτω S ‖ 9 κάῃ Plat., καίει S A καίει ex καίῃ corr. M[1] ‖ 10 τις] τί Plat. B τι Plat. T ‖ 11 καὶ εἰ μέγα — p. 94, 13 πάνυ μὲν οὖν om. S | ἢ] εἰ A ‖ 16 τούτων, sed litterae ουτ in ras. M[1] ‖ 20 κωλάζων M | 21 ποιῶν, sed οὖν (ut videtur) ex ῶν corr. M[1] ‖ 22 κολαζόμενος del. Hirschig ‖ 23 κα (superscr. λὰ) i. e. καλὰ etiam A, erravit Gaisford ‖ 24 ὡμολόγηται ex Plat. reposui duce M, qui ὡμολογεῖται offert: ὁμολογεῖται A ‖ 26 ἢ γὰρ ἡδέα ἢ ὠφέλιμα del. Hirschig

— Ἀγαθὰ ἄρα πάσχει ὁ δίκην διδούς; — Ἔοικεν. — Ὠφελεῖται ἄρα; — Ναί. — Ἆρα ἥνπερ ἐγὼ ὑπολαμβάνω τὴν ὠφέλειαν; βελτίων τὴν ψυχὴν γίγνεται, εἴπερ δικαίως κολάζεται; — Εἰκός γε. — Κακίας ἄρα ψυχῆς ἀπαλλάττεται ὁ δίκην διδούς; — Ναί. — Ἆρ' οὖν τοῦ μεγίστου ἀπαλλάττεται κακοῦ; ὧδε δὲ σκόπει· ἐν χρημάτων κατασκευῇ ἀνθρώπου κακίαν ἄλλην τινὰ ἐνορᾷς ἢ πενίαν; — Οὔκ, ἀλλὰ πενίαν. — Τί δ' ἐν σώματος κατασκευῇ; κακίαν ⟨ἂν⟩ φήσαις ἀσθένειαν εἶναι καὶ νόσον καὶ αἶσχος καὶ τὰ τοιαῦτα; — Ἔγωγε. — Οὐκοῦν καὶ ἐν ψυχῇ πονηρίαν ἡγῇ τινα εἶναι; — Πῶς γὰρ οὔ; — Ταύτην οὖν οὐκ ἀδικίαν καλεῖς καὶ ἀμαθίαν καὶ δειλίαν καὶ τὰ τοιαῦτα; — Πάνυ μὲν οὖν. — Οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς, τριῶν ὄντων, τριττὰς εἴρηκας πονηρίας, πενίαν, νόσον, ἀδικίαν; — Ναί. — Τίς τούτων τῶν πονηριῶν αἰσχίστη; οὐχ ἡ ἀδικία καὶ συλλήβδην ἡ τῆς ψυχῆς πονηρία; — Πολύ γε. — Εἰ δὴ αἰσχίστη, καὶ κακίστη; — Πῶς, ὦ Σώκρατες, λέγεις; — Ὡδί· ἀεὶ τὸ αἴσχιστον ἤτοι λύπην μεγίστην παρέχον ἢ βλάβην ἢ ἀμφότερον αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν. — Μάλιστα. — Αἴσχιστον δὲ ἀδικία καὶ ξύμπασα ψυχῆς πονηρία νῦν δὴ ὡμολόγηται ἡμῖν; — Ὡμολόγηται γάρ. — Οὐκοῦν ἢ ἀνιαρότατόν ἐστι καὶ ἀνίᾳ ὑπερβάλλον αἴσχιστον τούτων ἐστὶν ἢ βλάβῃ ἢ ἀμφότερα;

---

1 post *ναί* repetita *οὐκοῦν εἴπερ καλά, ἀγαθά* del. A ‖ 3 *βελτίω* Plat. T ‖ 5 *ἀπαλάττεται* A ‖ 9 *ἂν* addidi ex Plat. ‖ 11 *πονηρίαν ἡγῇ* (*ἡγεῖ* Plat.) reposui ex M, cum quo consentit Plat.: *ἡγῇ πονηρίαν* A ‖ 13 verbis *Οὐκοῦν χρημάτων* e. q. s. novum lemma *ἐν ταυτ[α]ῷ* praef. S ‖ 14 *εἴρηκ* A ‖ 15 *τίς οὖν τούτων* Plat. | *τῶν*] *πο* (sic) M ‖ 16 *συλήβδην* S ‖ 17 *πολύ γε*, sed *υ* ex *λ* corr. S | *δὴ*] *δ' ἡ* M ‖ 19 *παρέχων* A ‖ 19. 20 *ἀμφότερα* Plat. ‖ 20 *ὡμολογημένων* S et Plat., *ὁμολογημένων* M *ὁμολογουμένων* A ‖ 23 *ἢ* tacite ex Plat. Aldina Gesn.[1]: *εἰ* S M A *ᾗ* Platonis plurimi | *ἀνιαρότατον* Platonis cod. Vind. 55 *-ώτατον* S M A et Platonis rell. | *ἐστι καὶ* S A *ἐστιν καὶ* M: *ἐστιν* Platonis plurimi ‖ 24 *αἴσχιστον τούτων ἐστὶν* S M, Plat. *αἴσχιστον ἐστὶ τούτων* A, del. verba Dobree adv. I p. 153, *αἴσχιστον τούτων* Stallbaum | *βλάβῃ* libri Stob.,

— Ἀνάγκη. — Ἆρ' οὖν ἀλγεινότερόν ἐστιν τοῦ πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι καὶ ἀκόλαστον καὶ δειλὸν καὶ ἀμαθῆ; — Οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀπὸ τούτων γε. — Ὑπερφυεῖ τινι ἄρα ὡς μεγάλῃ βλάβῃ καὶ κακῷ θαυμασίῳ ὑπερβάλλουσα τὰ ἄλλα ἡ τῆς ψυχῆς πονηρία αἴσχιστόν ἐστι πάντων, ἐπειδὴ οὐκ ἀλγηδόνι γε, ⟨ὡς ὁ σὸς⟩ λόγος. — Φαίνεται. — Ἀλλὰ μήν που τὸ μεγίστῃ βλάβῃ ὑπερβάλλον μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων. — Ναί. — Ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη ψυχῆς πονηρία μέγιστον τῶν ὄντων κακόν ἐστιν; — Φαίνεται. — Τίς οὖν τέχνη πενίας ἀπαλλάττει; οὐ χρηματιστική; — Ναί. — Τίς δὲ νόσου; οὐκ ἰατρική; — Ἀνάγκη. — Τίς δὲ πονηρίας καὶ ἀδικίας; εἰ μὴ οὕτως εὐπορεῖς, ὧδε σκόπει· ποῖ ἄγομεν καὶ παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα; — Παρὰ τοὺς ἰατρούς, ὦ Σώκρατες [φής]. — Ποῖ δὲ τοὺς ἀδικοῦντας καὶ ἀκολασταίνοντας; — Παρὰ τοὺς δικαστὰς λέγεις; — Οὐκοῦν δίκην δώσοντας; — Φημί. — Ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες; — Δῆλον δή. — Χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλλάττει, ἰατρικὴ δὲ νόσου, δίκη δὲ ἀκολασίας καὶ ἀδικίας. — Φαίνεται. — Τί τούτων κάλλιστόν ἐστιν ὧν λέγεις; — Τίνων λέγεις; —

Platonis Vindob. 55: *βλάβῃ ἢ λύπῃ* Platonis rell. | *ἢ* (ante *ἀμφ.*) om. S | *ἀμφοτέροις* Hirschig

4 *ἄρα* e corr. M | *βλάβῃ—7. 8 μεγίστῃ* om. S ‖ 6. 7 *ὡς ὁ σὸς* tacite e Plat. addidit Gaisford ‖ 7 *οὕτως* ante *φαίνεται* addidit Gaisford tamquam ex A: ut in M sic in A nihil est nisi *φαίνεται*, vide ad 11. decepti sunt hoc loco Platonis editores ut sexcentis aliis | *τό γε μεγ.* Plat. ‖ 8 *κακὸν εἴη* S M, Plat., *εἴη κακὸν* A ‖ 10 *κακόν ἐστιν* scripsi ex M, Plat.: *κακῶν ἐστι* S A; possis dubitare ‖ 11 *ὄντως φαίνεται* A, unde explicatur Gaisfordi error ad 7 | *ἀπαλλάττει*, sed *ει* ex *η* corr. M[1] ‖ 12 *τίς δὲ νόσου*; Plat., *τῆς δὲ νόσου* S M A ‖ 13 *τίς δὲ* M A et Plat., *τῆς δὲ* S. ineptum igitur in prioribus quasi Stobaeo vindicare istud *τῆς δὲ νόσου* | *εἰ δὲ μὴ* Coraës ‖ 16 *φής* seclusi, nam *ὦ σώκρατες φής*; S *φὴς ὦ σώκρατες* M A *ὦ σώκρατες* Plat. ‖ 16. 17 *καὶ τοὺς ἀκολαστ.* Plat. ‖ 20 *χρηματικὴ* A ‖ 21 inter *τί* et *τί οὖν* fluctuantur libri Platonis ‖ 22 *ὧν λέγεις* del. Ficinus; *ὧν λέγω* Findeisen

Χρηματιστικῆς, ἰατρικῆς, δίκης. — Πολὺ διαφέρει, ὦ Σώκρατες, ἡ δίκη. — Οὐκοῦν αὖ ἤτοι ἡδονὴν πλείστην ποιεῖ ἢ ὠφέλειαν ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστιν; — Ναί. — Ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι; — Οὐκ ἔμοιγε δοκεῖ. — Ἀλλὰ ὠφέλιμόν γε. ἢ γάρ; — Ναί. — Μεγάλου γὰρ κακοῦ ἀπαλλάττεται, ὥστε λυσιτελεῖ ὑπομεῖναι τὴν ἀλγηδόνα καὶ ὑγιῆ εἶναι. — Πῶς γὰρ οὔ; — Ἆρ' οὖν οὕτως ἂν περὶ σῶμα εὐδαιμονέστατος ἄνθρωπος εἴη, ἰατρευόμενος, ἢ μηδὲ κάμνων ἀρχήν; — Δηλονότι μηδὲ κάμνων. — Οὐ γὰρ τοῦτ' ἦν εὐδαιμονία, ὡς ἔοικεν, κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις. — Ἔστι ταῦτα. — Τίς δέ; ἀθλιώτερος πότερος δυοῖν ἐχόντοιν κακὸν εἴτε ἐν σώματι εἴτε ἐν ψυχῇ, ὁ ἰατρευόμενος καὶ ὁ ἀπαλλαττόμενος τοῦ κακοῦ, ἢ ὁ μὴ ἰατρευόμενος, ἔχων δέ; — Φαίνεται ὁ μὴ ἰατρευόμενος. — Οὐκοῦν τὸ δίκην διδόναι μεγάλου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας; — Ἦν γάρ. — Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη. — Ναί. — Εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ ἔχων κακίαν ἐν ψυχῇ, ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη. — Δῆλον δή. — Δεύτερος δέ που ὁ ἀπαλλαττόμενος. — Ἔοικεν. — Οὗτος δ' ἦν ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην διδούς. — Ναί. — Κάκιστ' ἄρα ζῇ ὁ ἔχων καὶ μὴ ἀπαλλαττόμενος. — Φαίνεται. — Οὐκοῦν

---

1 *χρηματικῆς* A ‖ 2 *πλείστην*] *ἢ πλείστην* A ‖ 3 *ὠφελίαν* Plat. | *εἴπερ*] *εἶπον* S ‖ 6 *ἦ γάρ*; usque ad fin. om. S | *μεγάλα* A ‖ 7 *λυσιτελῆ* A | *καὶ ὑγιῆ εἶναι* secl. Morstadt ‖ 11 *εὐδαιμονία* ex Plat. tacite Gaisford: *εὐδαιμονίας* M A ‖ 12 *τίς* M A, Platonis cod. Vindob. 55 primo: *τί* Platonis rell. ‖ 12. 13 *πότερος* M, Plat.: *πότερον* A ‖ 14 *καὶ ἀπαλλαττόμενος* Plat. | *ἀπαλατт-* A ‖ 15 *ἔχον* M | *φαίνεται ὁ μὴ ἰατρευόμενος* dedi ex M, om. A, *φαίνεταί μοι ὁ μὴ ἰατρευόμενος* Plat. ‖ 16 *μεγάλου* M A *μεγίστου* Plat. ‖ 20 *τοῦτο* accessit ex M quocum congruit Plat.: om. A | *μέγιστον* ⟨*ὂν*⟩ prop. Cobet ‖ 21 *δέ που* Keck et *δέ που* corr. in *δή που* M, *δέ που* Platonis cod. Vindob 55: *δήπου* A, Platonis rell. ‖ 22 *ἔοικεν* M sed *ἔοικ* in ras. M[2] ‖ 23 *ἄρα* in *ἆρα* corr. M[1] ‖ 23. 24 *ὁ ἔχων ἀδικίαν* (*κακίαν* ci. Dobree) *καὶ μὴ* libri Platonis

οὗτος τυγχάνει ὢν ὃς ἂν τὰ μέγιστα ἀδικῶν καὶ χρώμενος μεγίστῃ ἀδικίᾳ διαπράξηται ὥστε μήτε νουθετεῖσθαι μήτε κολάζεσθαι μήτε δίκην διδόναι, ὥσπερ σὺ φῂς Ἀρχέλαον παρεσκευάσθαι καὶ τοὺς ἄλλους τυράννους καὶ ῥήτορας καὶ δυνάστας; σχεδὸν γάρ που οὗτοι, ὦ ἄριστε, τὸ αὐτὸ διαπεπραγμένοι εἰσὶν ὥσπερ ἂν ⟨εἴ⟩ τις τοῖς νοσήμασι συνισχόμενος διαπράξαιτο μὴ διδόναι δίκην τῶν περὶ τὸ σῶμα ἁμαρτημάτων τοῖς ἰατροῖς μηδὲ ἰατρεύεσθαι, φοβούμενος ὥσπερ ἂν † εἰ εἴποις τὸ καίεσθαι καὶ τὸ τέμνεσθαι, ὅτι ἀλγεινόν. ἢ οὐ δοκεῖ καὶ σοὶ οὕτως; — Ἔμοιγε. — Ἀγνοῶν γε, ὡς ἔοικεν, οἷόν ἐστιν ἡ ὑγίεια καὶ ἀρετὴ σώματος. κινδυνεύουσι γὰρ ἐκ τῶν νῦν ἡμῖν ὡμολογημένων τοιοῦτόν τι ποιεῖν καὶ οἱ τὴν δίκην φεύγοντες, ὦ Πῶλε, τὸ ἀλγεινὸν αὐτοῦ καθορᾶν, πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔχειν καὶ ἀγνοεῖν ὅσῳ ἀθλιώτερόν ἐστι μὴ ὑγιοῦς σώματος μὴ ὑγιεῖ ψυχῇ συνοικεῖν, ἀλλὰ σαθρᾷ καὶ ἀδίκῳ καὶ ἀνοσίῳ, ὅθεν καὶ πᾶν ποιοῦσιν ὥστε δίκην μὴ διδόναι μηδὲ ἀπαλλάττεσθαι τοῦ μεγίστου κακοῦ, καὶ χρήματα παρασκευαζόμενοι καὶ φίλους καὶ ὅπως ἂν ὦσιν ὡς πιθανώτατοι λέγειν.

150 (145 Mein.) *Τοῦ αὐτοῦ Νόμων η´* (p. 846 D).

Τέχνην γὰρ ἱκανήν, πολλῆς ἀσκήσεως ἅμα καὶ μαθημάτων πολλῶν δεομένην, κέκτηται πολίτης ἀνὴρ τὸν κοινὸν τῆς πόλεως κόσμον σῴζων καὶ κτώμενος, οὐκ ἐν παρέργῳ δεόμενον ἐπιτηδεύειν. δύο δὲ ἐπιτηδεύματα ἢ δύο τέχνας ἀκριβῶς διαπονεῖσθαι σχεδὸν οὐδεμία φύσις ἱκανή.

---

1 *ὅς* (quamquam non satis perspicue) etiam A, erravit Gaisford | *τὰ* praetervidit Gaisford, habent M A sicut Plat. ‖ 4 *παρεσκευᾶσθαι* M *παρασκευᾶσθαι* A ‖ 5 *δυνάστας; — Ἔοικε. — Σχεδὸν* Plat. ‖ 6 *εἴ* addidi e Plat. ‖ 6. 7 *τοῖς μεγίστοις νοσήμασι* Plat. | *τοῖς νοσήμασι* bis A ‖ 7 *διαπράξαιτο* reposui ex M et Plat.: *διεπράξατο* A ‖ 9 *εἰ εἴποις* M A, Plat. cod. Vindob. 55: *εἰ παῖς* Gaisford ex Plat. ‖ 11 *ἡ* ante *ὑγίεια* om. M ‖ 12 *ἀρετὴ* M, Plat., *ἡ ἀρετὴ* A et sic Gaisford | *σώματος* M, Plat., *τοῦ σώματος* ex A Gaisford ‖ 13 *οἱ*] *οὐ* M ‖ 14 *αὐτοῦ* ex Plat. Gaisford: *αὐτὸ* M A ‖ 21 ecl. cum lemm. hab. M A, sine lemm. S ‖ 23 *τὸ* Tr. ‖ 24 *κόσμον σῴζων* S, Plat.: *κόσμων σῴζων* M *σῴζων κόσμον* A ‖ 26 *ἱκανή* S M A; *ἱκανὴ τῶν ἀνθρωπίνων* e Plat. Gesn.[1]

151 (146 Mein.) *Πλάτωνος ἐκ τοῦ Ἀλκιβιάδου* (p. 162B—127D).

Τί δὲ δή; πόλις τίνος παραγιγνομένου καὶ ἀπογιγνομένου βελτίων τε γίγνεται καὶ ἄμεινον θεραπεύεται καὶ διοικεῖται; — Ἐμοὶ μὲν δοκεῖ, ὦ Σώκρατες, ὅταν φιλία μὲν αὐτοῖς γίγνηται πρὸς ἀλλήλους, τὸ δὲ μισεῖν τε καὶ στασιάζειν ἀπογίγνηται. — Ἆρ' οὖν φιλίαν λέγεις ὁμόνοιαν ἢ διχόνοιαν; — Ὁμόνοιαν. — Διὰ τίνα οὖν τέχνην ὁμονοοῦσιν αἱ πόλεις περὶ ἀριθμούς; — Διὰ τὴν ἀριθμητικήν. — Τί δέ οἱ ἰδιῶται; οὐ διὰ τὴν αὐτήν; — Ναί. — Οὐκοῦν καὶ αὐτὸς αὑτῷ ἕκαστος; — Ναί. — Διὰ τίνα δὲ τέχνην αὐτὸς αὑτῷ ἕκαστος ὁμονοεῖ περὶ σπιθαμῆς καὶ πήχεως πότερον μεῖζον; οὐ διὰ τὴν μετρητικήν; — Τί μήν; — Οὐκοῦν καὶ οἱ ἰδιῶται ἀλλήλοις καὶ αἱ πόλεις; — Ναί. — Τί δὲ [αἱ] περὶ σταθμοῦ οὐχ ὡσαύτως; — Φημί. — Ἣν δὲ δὴ σὺ λέγεις ὁμόνοιαν, τίς ἐστι καὶ περὶ τοῦ, καὶ τίς αὐτὴν † τέχνην παρασκευάζει; καὶ ἆρα ἥπερ πόλει, αὐτὴ καὶ ἰδιώτῃ, αὑτῷ τε πρὸς αὑτὸν καὶ πρὸς ἄλλον; — Εἰκός γέ ⟨τοι⟩. — Τίς οὖν ἐστι; μὴ κάμῃς ἀποκρινόμενος, ἀλλὰ προθυμοῦ εἰπεῖν. — Ἐγὼ μὲν οἶμαι φιλίαν τε λέγειν καὶ

1 ecl. cum lemm. hab. M A, om. S. possis *Ἀλκ.* ⟨*α'*⟩ coll. Stob. III 21, 23 p. 567, 5 H. al. ‖ 3 *τί δὲ δὴ* e Plat. Gesn.²: *τί δὲ αι δὴ* M *τί δ' ἡ* A | *τινὸς* M A | *παραγένομένου* A¹ ‖ 4 *ἄμεινον* e Plat. Gesn.²: *ἀμείνων* M A ‖ 6. 7 *τὸ μισεῖν δὲ καὶ* Platonis B ‖ 9 *ὁμονοοῦσιν*—12 *δὲ τέχνην* A m. ant. in marg. ‖ 10 *οὐ* A, Plat.: *οἱ* M ‖ 11 *οὐκοῦν* per errorem om. Gesn.² ‖ 12 *αὐτὸς αὑτῷ* (*αὐτῶ* M) *ἕκαστος* M A, Platonis T: *ἕκαστος αὐτὸς αὑτῷ* Platonis B, *αὐτὸς ἑαυτῷ* Olympiodorus ‖ 13 *πήχεως* M A: *πήχεος* Platonis B T | *ὁπότερον* e Plat. Gesn.² ‖ 15 *ναί* om. A | *τί δὲ* Plat.: *τί δὲ αἱ* M A, nimirum mutari voluerat aliquis *δὲ* in *δαὶ* supra scr. *αι* cf. adn. 3 et p. 99, 6 ‖ 15. 16 *σταθμοὺς* Platonis B ‖ 16 v. *οὐχ ὡσαύτως;* — p. 100, 4 *ὦ Σώκρατες* ex M edere neglexerat Gesn.², primus ex A evulgavit Gaisford | *δὲ δὴ* revocavi ex M, Plat.: *δὲ* A ‖ 17 *αὐτὴν* A, Platonis T Olympiodorus: *αὖ τὴν* M, Platonis B | *τέχνην* M A, Platonis B T: *τέχνη* recte Olympiodorus al. ‖ 18 *αὐτὴ* M A, Platonis B: *αὐτῇ* Platonis T Olympiodorus. *αὕτη* ci. Bekker ‖ 19 *τοι* addidi e Plat. ‖ 21 *φιλίαν τε* ⟨*ἔχειν*⟩ *λέγειν* scr. Schanz, *φιλίαν γε λέγειν* prop. Burnet

ὁμόνοιαν, ἥνπερ πατήρ τε [καὶ] υἱὸν φιλῶν ὁμονοεῖ καὶ μήτηρ, καὶ ἀδελφὸς ἀδελφῷ καὶ γυνὴ ἀνδρί. — Οἴει οὖν ἄν, ὦ Ἀλκιβιάδη, ἄνδρα γυναικὶ περὶ ταλασιουργίας δύνασθαι ὁμονοεῖν, τὸν μὴ ἐπιστάμενον τῇ ἐπισταμένῃ; — Οὐ δῆτα. — Οὐδέ γε δεῖ οὐδέν· γυναικεῖον γὰρ τοῦτο μάθημα. — Ναί. — Τί δέ; γυνὴ ἀνδρὶ περὶ ὁπλιτικῆς δύναιτ᾽ ἂν ὁμονοεῖν μὴ μαθοῦσα; — Οὐ δῆτα. — Ἀνδρεῖον γὰρ τοῦτό γε ἴσως ἂν φαίης εἶναι; — Ἔγωγε. — Ἔστιν ἄρα τὰ μὲν γυναικεῖα, τὰ δὲ ἀνδρεῖα μαθήματα κατὰ τὸν σὸν λόγον. — Πῶς δ᾽ οὔ; — Οὐκ ἄρα ἔν γε τούτοις ἐστὶν ὁμόνοια γυναιξὶ πρὸς ἄνδρας. — Οὔ. — Οὐδ᾽ ἄρα φιλία, εἴπερ ἡ φιλία ὁμόνοια ἦν. — Οὐ φαίνεται. — Ἧι ἄρα αἱ γυναῖκες τὰ αὑτῶν πράττουσιν, οὐ φιλοῦνται ὑπὸ τῶν ἀνδρῶν. — Οὐκ ἔοικεν. — Οὐδ᾽ ἄρα οἱ ἄνδρες ὑπὸ τῶν γυναικῶν ᾗ τὰ αὑτῶν. — Οὔ. — Οὐδ᾽ εὖ ἄρα ταύτῃ οἰκοῦνται αἱ πόλεις, ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσιν; — Οἶμαί [γε] ἔγωγε, ὦ Σώκρατες. — Πῶς λέγεις, φιλίας μὴ παρούσης, ἧς ἔφαμεν ἐγγιγνομένης εὖ οἰκεῖσθαι τὰς πόλεις, ἄλλως δ᾽ οὔ; — Ἀλλά μοι δοκεῖ καὶ κατὰ τοῦτ᾽ αὐτοῖς φιλία ἐγγίγνεσθαι, ὅτι τὰ αὑτῶν ἑκάτεροι πράττουσιν. — Οὐκ ἄρτι γε· νῦν δὲ πῶς αὖ λέγεις; ὁμονοίας μὴ ἐγγιγνομένης φιλία ἐγγίγνεται; ἢ οἷόν τε ὁμόνοιαν ἐγγίγνεσθαι περὶ τούτων ὧν οἱ μὲν ἴσασιν, οἱ δ᾽ οὔ; — Ἀδύνατον. — Δίκαια δὲ πράττου-

1 *ὑὸν* Plat.: *καὶ υἱὸν* M A ‖ 2. 3 *οὖν ἂν* M A *ἂν οὖν* Plat. ‖ 5 *δεῖ* Plat.: *δι᾽* M A | *τοῦτο* M A, Platonis T: *τοῦτό γε* Platonis B Olympiodorus ‖ 6 *δὲ* A, Platonis B: *δαὶ* M, Platonis T ‖ 8 *τοῦτό γε* M, Plat.: *τοῦτο* A, inde Gaisford | *ἂν φαίης* M A: *αὖ φαίης ἂν* Platonis B T ‖ 12 *ἡ φιλία* M, Plat.: *φιλία* A, inde Gaisford | *Ἧι* Plat.: *εἰ* M A ‖ 13 *αὑτῶν* Plat.: *αὐτῶν* hic et infra saepius M A ‖ 15 *εὖ* M A, Olympiodorus: *αὖ* Platonis B T ‖ 17 *οἶμαι* Plat.: *οἴομαί γε* M *οἶμαί γ᾽* A ‖ 18 *φαμὲν* Platonis B | *ἐγγιγνομένης* M, A (ubi *ἐγγιν-* hic ut saepius), Platonis T Olympiodorus: *γιγνομένης* Platonis B ‖ 20 *τοῦτ᾽* M, sic vel *τοῦτο* Platonis B T: *ταῦτ᾽* A *τὰ αὐτὰ* Olympiodorus ‖ 21 *πράττωσιν* Platonis T ‖ 22 *μὴ* om. Platonis T ‖ 23 *ἐγγίγνεσθαι περὶ τούτων ὧν οἱ μὲν ἴσασιν* M A ut Platonis T: *γίγνεσθαι περὶ τούτων ὧν οἱ μὲν ἴσασι περὶ τούτων* Platonis B

σιν ἢ ἄδικα, ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσιν; — Δίκαια· πῶς γὰρ οὔ; — Τὰ δίκαια οὖν πραττόντων ἐν τῇ πόλει τῶν πολιτῶν φιλία οὐκ ἐγγίγνεται πρὸς ἀλλήλους; — Ἀνάγκη αὖ δοκεῖ μοι εἶναι, ὦ Σώκρατες. — Τίν᾽ οὖν ποτε λέγεις τὴν φιλίαν ἢ ὁμόνοιαν περὶ ἧς δεῖ ἡμᾶς σοφούς τε εἶναι καὶ εὐβούλους, ἵνα ἀγαθοὶ ἄνδρες ὦμεν;

152 (147 Mein.) *Ἐν ταὐτῷ* (p. 134 B—135 C).

Οὐκ ἄρα τειχῶν οὐδὲ τριήρων οὐδὲ νεωρίων δέονται αἱ πόλεις, ὦ Ἀλκιβιάδη, εἰ μέλλουσιν εὐδαιμονεῖν, οὐδὲ πλήθους οὐδὲ μεγέθους ἄνευ ἀρετῆς. — Οὐ μέντοι. — Εἰ δὲ μέλλεις τὰ τῆς πόλεως πράξειν ὀρθῶς καὶ καλῶς, ἀρετῆς σοι μεταδοτέον τοῖς πολίταις. — Πῶς γὰρ οὔ; — Δύναιτο δ᾽ ἄν τις μεταδιδόναι οὗ μὴ ἔχοι; — Καὶ πῶς; — Αὐτῷ ἄρα σοὶ πρῶτον κτητέον ἀρετήν, καὶ ἄλλῳ ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὑτοῦ τε καὶ τῶν αὑτοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως. — Ἀληθῆ λέγεις. — Οὐκ ἄρα ἐξουσίαν σοι οὐδ᾽ ἀρχὴν παρασκευαστέον σεαυτῷ ποιεῖν ὅ τι ἂν βούλῃ, οὐδὲ τῇ πόλει, ἀλλὰ δικαιοσύνην καὶ σωφροσύνην. — Φαίνεται. — Δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως σύ τε καὶ ἡ πόλις θεοφιλῶς πράξετε. — Εἰκός γε. — Καὶ ὅπερ γε ἐν τοῖς πρόσθεν ἐλέγομεν, εἰς τὸ θεῖον καὶ τὸ λαμπρὸν ὁρῶντες πράξετε. — Φαίνεται. — Ἀλλὰ μὴν ἐνταῦθά γε βλέποντες ὑμᾶς τε [καὶ] αὐτοὺς καὶ τὰ ὑμέτερα ἀγαθὰ

---

1 *αὐτῶν* M ‖ 4 *αὖ* M, Plat.: *οὖν* A, inde Gaisford | *δοκεῖ μοι* M A: *μοι δοκεῖ* Plat. | *εἶναι* reduxi ex M, Plat.: om. A ‖ 7 ecl. cum lemm. hab. M A, om. S ‖ 9 *εὐδαιμονεῖν* M A: *εὐδαιμονήσειν* ex Plat. Gesn.[2] p. 272 ‖ 11 *δὲ* M A: *δὴ* tacite ex Plat. Gesn.[2] | *τὰ* om. A | *πράξειν* M A, Plat.; *πρᾶξαι* oscitanter Gesn.[2] ‖ 12 *μεταδοτέον* M, Plat.: *μεταδιδόναι* A ‖ 13 *οὗ μὴ ἔχοι* scripsi idque occupaverat Struve: *οὗ μὴ ἕλοι* M A (sic): *ὃ μὴ ἔχει* Platonis B, *ὃ μὴ ἔχοι* Platonis T; *ὃ μὴ ἔχει* tacite ex Platonis Ald. Gesn.[2], inde vulg. ‖ 14 *κλητέον* Platonis B ‖ 15 inter *αὑτοῦ* et *αὐτοῦ* fluctuantur libri et Stobaei et Platonis | *τε καὶ* M, Plat.: *γε καὶ* A ‖ 18 *σαυτῷ* Plat. | *βούλει* A ‖ 20 *σή* pro *σύ* operarius Gesn.[2] ‖ 21 *πράξεται* A ‖ 22 *καὶ τὸ* M A: *καὶ* Plat. ‖ 23 *Ἀλλὰ μὴν*—p. 102, 7 *ὦ Σώκρατες* quae temere neglexerat Gesn.[2], primus ex A edidit Gaisford ‖ 24 *τε* Plat.: *τε καὶ*

κατόψεσθε καὶ γνώσεσθε. — Ναί. — Οὐκοῦν ὀρθῶς καὶ εὖ πράξετε; — Ναί. — Ἀλλὰ μὴν οὕτω γε πράττοντας ὑμᾶς ἐθέλω ἐγγυήσασθαι ἦ μὲν εὐδαιμονήσειν. — Ἀσφαλὴς γὰρ εἶ ἐγγυητής. — Ἀδίκως δὲ πράττοντες, εἰς τὸ ἄθεον καὶ τὸ σκοτεινὸν βλέποντες, ὡς τὰ εἰκότα, ὅμοια τούτοις πράξετε ἀγνοοῦντες ὑμᾶς αὐτούς. — Ἔοικεν. — Ὧι γάρ, ὦ φίλε Ἀλκιβιάδη, ἐξουσία μὲν ᾖ ποιεῖν ὃ βούλεται, νοῦν δὲ μὴ ἔχῃ, τί τὸ εἰκὸς συμβαίνειν, ἰδιώτῃ ἢ καὶ πόλει; οἷον νοσοῦντι ἐξουσίας οὔσης δρᾶν ὃ βούλεται, νοῦν ἰατρικὸν μὴ ἔχοντι, τυραννοῦντι δὲ ὡς μηδ᾽ ἐπιπλήττοι τις αὐτῷ, τί τὸ συμβησόμενον; ἆρ᾽ οὐχ, ὡς τὸ εἰκός, διαφθαρῆναι τὸ σῶμα; τί δ᾽ ἐν νηί, εἴ τῳ ἐξουσία εἴη ποιεῖν ὃ δοκεῖ, νοῦ τε καὶ ἀρετῆς κυβερνητικῆς ἐστερημένῳ, καθορᾷς ὃ ἂν ξυμβαίη αὐτῷ τε καὶ τοῖς συνναύταις; — Ἔγωγε, ὅτι ἀπόλοιντο πάντες ἄν. — Οὐκοῦν ὡσαύτως ἐν πόλει τε καὶ πάσαις ἀρχαῖς καὶ ἐξουσίαις ἀπολειπομέναις ἀρετῆς ἕπεται τὸ κακῶς πράττειν; — Ἀνάγκη. — Οὐκ ἄρα τυραννίδα χρή, ὦ ἄριστε Ἀλκιβιάδη, παρασκευάζεσθαι οὔτε ἑαυτῷ οὔτε τῇ πόλει, εἰ μέλλετε εὐδαιμονεῖν, ἀλλ᾽ ἀρετήν. — Ἀληθῆ λέγεις. — Πρὶν δέ γε ἀρετὴν ἔχειν, τὸ ἄρχεσθαι ἄμεινον ὑπὸ τοῦ βελτί-

---

M A | *ἡμέτερα* A sed videtur A¹ correxisse | *κατόψεσθέ τε καὶ* Platonis T

1 *γνώσεσθαι* M | *ὀρθῶς τε καὶ* Plat. ‖ 3 *ἡμᾶς* corr. A¹ | *ἦ μὴν* Plat.: *ἡμῖν* M A sed ex corr. A¹ ‖ 4 *δέ γε πράττοντες* Platonis T ‖ 5 *ἄθεον* M, Plat.: *ἀγαθὸν* A | *καὶ σκοτεινὸν* recte Platonis T, monui ad Iamblich. Stobaei III 11, 35 ubi respicitur Plato ‖ 7 *γὰρ ἂν* recte Plat. apogr. Laurentianum LXXXV 9 ‖ 8 *νῦν* A¹ | *ἔχῃ* Plat.: *ἔχει* M A ‖ 10 *μηδ᾽* (vel *μὴ δ᾽* vel *μὴ δὲ*) *ἐπιπλήττοι τις αὐτῶ* M A, Platonis T: *μηδ᾽ ἐπιπλήττοντι ἑαυτῷ* Platonis B *μηδὲν ἐπιπλήττει τις αὐτῷ* Olympiodorus. *μηδὲ ἐπιπλήττειν τινὰ αὐτῷ* prop. Buttmann ‖ 12 *σῶμα; — Ἀληθῆ λέγεις. — Τί δ᾽ ἐν νηί κτἑ.* Plat. | *ἐν νηΐ* perspicue etiam A, fallitur Gaisford ‖ 13 *ὁ δοκεῖν* Platonis B ‖ 14 *ἃ ἂν* Plat. | *ξυμβαίη* M A, Platonis cod. Vindob. 54, *ξυμβαίνῃ* Platonis B T *ξυμβαίνοι* Plat. apogr. Coisl. 155 | *ξυνναύταις* Plat.: *σὺν αὐτοῖς* M A ‖ 15 *ὅτι* M A: *ὅτι γε* Plat. | *πάντες ἂν* M A, Platonis T: *πάντες* Platonis B ‖ 16 *ἁπάσαις* Platonis T ‖ 19 *οὔτε ἑαυτῶ* M A, Platonis T: *οὔθ᾽ αὑτῷ* Platonis B ‖ 21 *τὸ* M, Plat.: *τί* A

ονος ἢ τὸ ἄρχειν ἀνδρί, οὐ μόνον παιδί. — Φαίνεται. — Οὐκοῦν τό γ᾽ ἄμεινον καὶ κάλλιον; — Ναί. — Τὸ δὲ κάλλιον πρεπωδέστερον; — Πῶς δ᾽ οὔ; — Πρέπει ἄρα τῷ κακῷ δουλεύειν· ἄμεινον γάρ. — Ναί. — Δουλοπρεπὲς ἄρα ἡ κακία. — Φαίνεται. — Ἐλευθεροπρεπὲς δὲ ἡ ἀρετή. — Ναί. — Οὐκοῦν φεύγειν χρή, ὦ ἑταῖρε, τὴν δουλοπρέπειαν; — Μάλιστά γε, ὦ Σώκρατες. — Αἰσθάνῃ δὲ νῦν πῶς ἔχεις, δουλοπρεπῶς ἢ οὔ; — Δοκῶ μοι καὶ μάλα σφόδρα αἰσθάνεσθαι.

153 (148 Mein.) *Ξενοφῶντος ἐν τῷ η΄ τῆς Κύρου παιδείας* (c. 1, 2—3).

Ἐννοήσατε γὰρ τίς ἂν πόλις πολεμία ὑπὸ μὴ πειθομένων ἁλοίη· [ἢ] *τίς δ᾽ ἂν φιλία ὑπὸ μὴ πειθομένων διαφυλαχθείη· ποῖον δ᾽ ἂν ἀπειθοῦν στράτευμα νίκης τύχοι· πῶς δ᾽ ἂν μᾶλλον ἡττῷντ᾽ ἐν μάχαις ἄνθρωποι ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος περὶ τῆς σωτηρίας βουλεύεσθαι· τί δ᾽ ἂν ἄλλο ἀγαθὸν τελεσθείη ὑπὸ μὴ πειθομένων· ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσειαν· ποῖοι δ᾽ οἶκοι σωθείησαν· πῶς δ᾽ ἂν νῆες ὅποι δεῖ ἀφίκοιντο· ἡμεῖς δέ γ᾽ ἃ νῦν ἔχομεν ἀγαθὰ διὰ τί ἄλλο μᾶλλον κατεπράξαμεν ἢ διὰ τὸ πείθεσθαι τῷ ἄρχοντι; εἰ τοίνυν μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται εἰς τὸ κατα-*

4 post *δουλοπρεπὲς* sup. lin. *δὲ* inseruit A[1] ‖ 8 *δουλοπρεπῶς* M A: *ἐλευθεροπρεπῶς* Plat. | *μάλα*, sed priore *α* correcta M ‖ 10 ecl. cum lemm. hab. S M A; *ξενοφῶντος* om. M *ἐν τῷ* om. S ‖ 12 *γὰρ δὴ τίς* Xen. | *πόλις* om. S ‖ 13 *ἁλοίη* Xen.: *ἁλοίη ἢ* libri Stob. | *διαφυλαχθείη* M A, Xen.: *διαρκεσθείη* S ‖ 14 *ἀπειθούντων* Xen. ‖ 15 *τύχῃ* S | *ἡττῷντ᾽* scripsi: *ἡττῶνται* S M A | *ἐν ταῖς μάχαις* Tr. | *ἐν μάχαις ἡττῷντο ἄνθρωποι* Xen. ‖ 16 *ἕκαστος ἰδίᾳ* A | *περὶ τῆς* M A, Xen.: *περὶ* S ‖ 17 *ἄλλο* om. S. | *τελεσθείη* Xen.: *τελεῖσθαι* S M A; vix latet *τί δ᾽ ἂν ἄλλο ἀγαθὸν* ⟨*οἴεσθε*⟩ *τελεῖσθαι* | post *πειθομένων* quod nonnulli libri Xenophontei addunt *τοῖς κρείττοσι*, Stobaeo intulit Gesn.[1] p. 284 ‖ 18 *ποίαν* M | *ποῖοι* (*ποίοι* M) *δ᾽* S M A, Xen. Erlang.: *ἢ ποῖοι* Xen. rell. ‖ 19 *νῆες* S, Xen.: *μὴ ἐς* M A ‖ 20 *ἡμεῖς δέ γ᾽ ἃ νῦν* scripsi: *ἡμεῖς δὲ τανῦν* (*τὰ νῦν* A) S M A *ἡμεῖς δὲ ἃ νῦν* Xen. | *ἀγαθὰ ἔχομεν* Xen. praeter cod. Erlang. | *ἄλλο* Xen.: *ἄλλων* S M A ‖ 21 inter *τῷ ἄρχοντι* et *εἰ τοίνυν* quae offert Xenophon, amputavit gnomologus

πράττειν τὰ ἀγαθά, εὖ ἴστε ὅτι τὸ αὐτὸ τοῦτο καὶ εἰς τὸ διασῴζειν ἃ δεῖ μέγιστον ἀγαθόν ἐστιν.

154 (149 Mein.) *Πλάτωνος Πολιτείας β'* (p. 374E—376A).

Ἡμέτερον δ' ἂν εἴη ἔργον, ὡς ἔοικεν, εἴπερ οἷοί τε ἐσμέν, ἐκλέξασθαι, τίνες τε καὶ ποῖαι φύσεις ἐπιτήδειαι εἰς πόλεως φυλακήν. Ἡμέτερον μέντοι. Μὰ Δί', ἦν δ' ἐγώ, οὐκ ἄρα φαῦλον πρᾶγμα ἠράμεθα· ὅμως δὲ οὐκ ἀποδειλιατέον εἰς ὅσον δὴ δύναμις παρήκει. Οὐ γὰρ οὖν, ἔφη. Οἴει οὖν τι, ἦν δ' ἐγώ, διαφέρειν τὴν φύσιν γενναίου σκύλακος εἰς φυλακὴν νεανίσκου εὐγενοῦς; Τὸ ποῖον λέγεις; Οἷον ὀξύν τέ που δεῖ αὐτοῖν ἑκάτερον εἶναι καὶ ἐλαφρὸν πρὸς τὸ αἰσθανόμενον διωκάθειν, καὶ ἰσχυρὸν αὖ, ἐὰν δέῃ ἑλόντα διαμάχεσθαι. Δεῖ γὰρ οὖν, ἔφη, πάντων τούτων. Καὶ μὴν ἀνδρεῖόν γε, εἴπερ εὖ μαχεῖται. Πῶς δ' οὔ; Ἀνδρεῖος δ' εἶναι ἆρ' ἂν ἐθέλοι ὁ μὴ θυμοειδὴς ⟨εἴτε⟩ ἵππος εἴτε κύων εἴτε ἄλλο ὁτιοῦν ζῷον; ἢ οὐκ ἐννενόηκας ὡς ἄμαχόν τε καὶ ἀνίκητον θυμός, οὗ παρόντος ψυχὴ πᾶσα πρὸς πάντα ἄφοβός τε καὶ ἀήττητος; Ἐννενόηκα. Τὰ μὲν τοίνυν τοῦ σώματος οἷον δεῖ τὸν φύλακα εἶναι, δῆλα. Ναί. Καὶ μὴν καὶ τὰ τῆς ψυ-

---

1 *εὖ ἴστε* libri Stob., Xen. Erlang.: *οὕτως εὖ ἴστε* Xenophontis rell. | *τὸ αὐτὸ τοῦτο* SM, Xen. liber Erlang.: *καὶ αὐτὸ τοῦτο* (omisso mox *καί*, si recte adnotavit Mekler) A. de Xenophontis libris reliquis vid. Hug praef. p. LXXXIII ‖ 3 ecl. cum lemm. hab. SMA ‖ 5 v. *Ἡμέτερον δ' ἂν* — 20 *Ἐννενόηκα* om. MA | *δ' ἂν εἴη ἔργον* S: *δὴ ἔργον ἂν εἴη* Plat. ‖ 8 *ἠράμεθα* etiam S ‖ 9 *εἰς ὅσον* S, Platonis cod. Vindob. 55: *ὅσον* Platonis rell. | *δὴ—παρήκει* S, Platonis cod. Vindob. 55: *γ' ἂν—παρείκῃ* Platonis rell. | 10 *τὴν* om. Plat. ‖ 12 *ἑκατέροιν* Tr. ‖ 12. 13 *εἶναι πρὸς αἴσθησιν καὶ ἐλ.* Plat. | *διωκάθειν* S ‖ 14 *αὖ* e Plat. Gesn.[1]: *ἂν* S ‖ 16 *ἄρ' ἂν ἐθέλοι* S, idem nisi quod *ἆρ'* Platonis cod. Vindob. 55: *ἆρα ἐθελήσει* Platonis rell. ‖ 17 *εἴτε* e Plat. addidit Gesn.[1] | *εἴτε ἄλλο* S, Platonis cod. Vindob. 55: *ἢ ἄλλο* Platonis rell. ‖ 18 *ἐνενόηκας* S ‖ 19 *ἄφοβός τέ ἐστι καὶ* Platonis plerique ‖ 20 *Τὰ μὲν κτέ.*] hinc incipiunt MA ‖ 21 *εἶναι* S, Plat.: *τῆς πόλεως εἶναι* MA; *εἶναι τῆς πόλεως*, quod falso opinatur in A esse, scr. Gaisford

χῆς, ὅτι γε θυμοειδῆ. Καὶ τοῦτο. Πῶς οὖν, ἦν δ' ἐγώ, ὦ Γλαύκων, οὐκ ἄγριοι ἀλλήλοις τε ἔσονται καὶ τοῖς ἄλλοις πολίταις, ὄντες τοιοῦτοι τὰς φύσεις; Μὰ Δί', ἦ δ' ὅς, οὐ ῥᾳδίως. Ἀλλὰ μέντοι δεῖ γε πρὸς μὲν τοὺς οἰκείους πράους αὐτοὺς εἶναι, πρὸς δὲ τοὺς πολεμίους χαλεπούς· εἰ δὲ μή, οὐ μενοῦσιν ἄλλους σφᾶς διολέσαι, ἀλλ' αὐτοὶ φθήσονται αὐτὸ δράσαντες. Ἀληθῆ, ἔφη. Τί οὖν, ἦν δ' ἐγώ, ποιήσομεν; πόθεν πρᾷόν τε ἅμα καὶ μεγαλόθυμον ἦθος εὑρήσομεν; ἐναντία γάρ που θυμοειδεῖ πραεῖα φύσις. Φαίνεται. Ἀλλὰ μέντοι τούτων γε ὁποτέρου ἂν στέρηται, φύλαξ ἀγαθὸς οὐ μὴ γένηται· ταῦτα δὲ ἀδυνάτοις ἔοικεν, καὶ οὕτω δὴ ξυμβαίνει ἀγαθὸν φύλακα ἀδύνατον γενέσθαι. Κινδυνεύει, ἔφη. Καὶ ἐγὼ ἀπορήσας τε καὶ ἐπισκεψάμενος τὰ ἔμπροσθεν, εἶπον, Δικαίως γε, ἦν δ' ἐγώ, ὦ φίλε, ἀποροῦμεν· ἧς γὰρ προυθέμεθα εἰκόνος ἀπελείφθημεν. Πῶς λέγεις; ἔφη. Οὐκ ἐνενοήσαμεν, ὅτι ἄρα τοιαῦταί εἰσι φύσεις οἵας ἡμεῖς οὐκ ᾠήθημεν, ἔχουσαι τἀναντία ταῦτα; Ποῦ δή; Ἴδοι μὲν ἄν τις καὶ ἐν ἄλλοις πολλοῖς ζῴοις, οὐ μεντἂν ἥκιστα ἐν ᾧ ἡμεῖς παρεβάλλομεν τῷ φύλακι. οἶσθα γάρ που τῶν γενναίων κυνῶν, ὅτι τοῦτο αὐτῶν φύσει τὸ ἦθος, πρὸς μὲν τοὺς συνήθεις τε καὶ γνωρίμους ὡς οἷόν τε πραοτά-

---

1 ὅτι γε S M, Plat.: ὅσα γε A | καὶ τοῦτο usque ad 3 φύσεις A habet in marg. man. ant. || 2 τε om. Platonis libri praeter cod. Vindob. 55 etiam hoc loco congruum cum Stobaeo | ἄλλοις M A, Platonis cod. Vindob. 55: ἀλλήλοις S ἀλλοτρίοις Platonis plurimi, e Platonis Ald. Gesn.[1] || 4 μὲν (post πρὸς) om. A || 6 περιμενοῦσιν Plat. || 7 φθάσονται Tr. || 8 ἐγὼ repetit S | πόθεν ἅμα πρᾷον καὶ μεγ. Platonis cod. Par. 1807 | μεγάθυμον Tr. || 10 τούτου A | γε om. Platonis libri nonnulli || 11 verba ταῦτα δὲ e. q. s. om. S, primus ex A edidit Gaisford || 14 εἶπον om. Plat. || 15 γε M, Plat.: om. A || 16 ἔφη om. Plat. || 17 ἐννενοήκαμεν Platonis cod. Vindob. 55 ἐνοήσαμεν Platonis ceteri | ἄρα τοιαῦταί εἰσι etiam Platonis cod. Vindob. 55: εἰσὶν ἄρα Platonis ceteri || 19 πολλοῖς om. Plat. | μὲν τὰν M || 20 ἐν ᾧ M, Plat., om. A || 21 τοῦτο αὐτῶν φύσει in Stobaeo Gaisford sicut Platonis cod. Vindob. 55: οὐ τὸν αὐτὸν φύσει M οὐ τῶν αὐτῶν φύσει A; τοῦτο φύσει αὐτῶν Platonis alii || 22 ὡς etiam A, erravit Gaisford

τους εἶναι, πρὸς δὲ τοὺς ἀγνῶτας τἀναντία. Οἶδα μέντοι, ἔφη. Τοῦτο μὲν ἄρα, ἦν δ᾽ ἐγώ, δυνατόν, καὶ οὐ παρὰ φύσιν ζητοῦμεν τοιοῦτον εἶναι τὸν φύλακα. Οὐκ ἔοικεν. Ἆρ᾽ οὖν σοι δοκεῖ ἔτι τοῦδε προσδεῖσθαι ὁ φυλακικὸς ἐσόμενος, πρὸς τῷ θυμοειδεῖ ἔτι προσγενέσθαι φιλόσοφος τὴν φύσιν; Πῶς δή; ἔφη· οὐ γὰρ ἐννοῶ. Καὶ τοῦτο, ἦν δ᾽ ἐγώ, ἐν τοῖς κυσὶ κατόψει, ὃ καὶ ἄξιον θαυμάσαι τοῦ θηρίου. Τὸ ποῖον; Ὅτι ὃν μὲν ἂν ἴδῃ ἀγνῶτα, μισεῖ καὶ χαλεπαίνει, οὐδὲν κακὸν πεπονθώς· ὃν δ᾽ ἂν γνώριμον, ἀσπάζεται, κἂν μηδὲν πώποτε ὑπ᾽ αὐτοῦ πεπόνθῃ ἀγαθόν. ἢ οὔπω τοῦτο ἐθαύμασας; Οὐ πάνυ, ἔφη, μέχρι τούτου προσέσχον τὸν νοῦν· ὅτι δέ που δρᾷ ταῦτα, δῆλον.

155 (150 Mein.) *Ἐν ταὐτῷ* (p. 376 C).

Φιλόσοφος δὴ καὶ θυμοειδὴς καὶ ἰσχυρὸς καὶ ταχὺς ἡμῖν τὴν φύσιν ἔσται ὁ μέλλων καλὸς κἀγαθὸς φύλαξ ἔσεσθαι πόλεως. Παντάπασι μὲν οὖν, ἔφη.

156 (151 Mein.) *Πλάτωνος Πολιτείας γ´* (p. 395 B—D).

Εἰ ἄρα τὸν πρῶτον λόγον διασώσομεν, τοὺς φύλακας ἡμῖν τῶν ἄλλων πασῶν δημιουργιῶν ἀφειμένους δεῖν εἶναι δημιουργοὺς ἐλευθερίας τῆς πόλεως πάνυ ἀκριβεῖς καὶ μηδὲν ἄλλο ἐπιτηδεύειν ὅ τι μὴ εἰς τοῦτο φέρει, οὐ-

1 *τἀναντία* MA, Platonis cod. Vindob. 55: *τοὐναντίον* Platonis rell. ‖ 2 *ἔφη* om. Plat. ‖ 4 *φυλακικὸς* Plat.: *φυλακτικὸς* MA ‖ 5 *πρὸς* A, Plat.: *πρὶν* M ‖ 7 *θαυμᾶσαι* M ‖ 9 *μισεῖ καὶ χαλεπαίνει* MA, Platonis cod. Vindob. 55: *χαλεπαίνει* Platonis rell. | *οὐδὲν* MA: *οὐδὲν δὲ* Platonis plurimi *οὐδὲ* Platonis cod. Vindob. 55 *οὐδὲ ἓν* Cobet | *προπεπονθώς* fere libri Platonis ‖ 10 *μηδὲν* MA, inter *μηδὲν* et *μηδὲ* fluctuantur libri Plat. *μηδὲ ἓν* prop. Hartman | *πεπόνθῃ* (-*θει* A) *ἀγαθόν* MA: *ἀγαθὸν πεπόνθῃ* (alii -*θοι* vel -*θει*) libri Platonis ‖ 12 *δρᾷ* Plat.: *ἄρα* MA ‖ 14 ecl. cum lemm. hab. MA, om. S. offeruntur verba supra ecl. 112 in fine excerpti paullo maioris ‖ 15 *καὶ ταχὺς καὶ ἰσχυρὸς ἡμῖν* Plat. ‖ 16. 17 *ἔσεσθαι φύλαξ* Plat. ‖ 18 ecl. cum lemm. hab. SMA ‖ 20 *δημιουργιῶν* MA, Plat.: *δημιουργῶν* S | *ἀφειμένους δεῖν* Plat.: *ἀφείλομεν οὓς δεῖ* SMA ‖ 21 *ἀκριβεῖς* e Plat. Gesn.[1]: *ἀκριβῶς* SMA ‖ 22 v. *Οὐδὲν δὲ δέοι* e. q. s. leguntur etiam supra Stob. II 31, 110[y] p. 227, 22 W. tamquam sui iuris ecloga praemisso lemmate *Ἐν ταὐτῷ*

δὲν † δὲ δὴ δέοι ἂν αὐτοὺς ἄλλο πράττειν οὐδὲ μιμεῖσθαι ⟨ἢ⟩ τὰ τούτοις προσήκοντα εὐθὺς ἐκ παίδων ἀνδρείους, σώφρονας, ὁσίους, ἐλευθέρους, καὶ τὰ τοιαῦτα πάντα, τὰ δὲ ἀνελεύθερα μήτε ποιεῖν μήτε δεινοὺς εἶναι μιμήσασθαι, μηδ' ἄλλο μηδὲν τῶν αἰσχρῶν, ἵνα μὴ ἐκ τῆς μιμήσεως τοῦ εἶναι ἀπολαύσωσιν. ἢ οὐκ ᾔσθησαι, ὅτι αἱ μιμήσεις, ἐὰν ἐκ νέων πόρρω διατελέσωσιν, εἰς ἤθη τε καὶ φύσιν καθίστανται καὶ κατὰ σῶμα καὶ φωνὰς καὶ κατὰ τὴν διάνοιαν; Καὶ μάλα, ἦ δ' ὅς.

157 (152 Mein.) *Ἐν ταὐτῷ* (p. 412 B—414 B).

Τὸ δὴ μετὰ τοῦτο τί ἂν ἡμῖν διαιρετέον εἴη; ἆρ' οὐκ αὐτῶν τούτων οἵτινες ἄρξουσί τε καὶ ἄρξονται; Τί μήν; Οὐκοῦν ὅτι μὲν πρεσβυτέρους τοὺς ἄρχοντας δεῖ εἶναι, νεωτέρους δὲ τοὺς ἀρχομένους, . .; Δῆλον. Καὶ ὅτι γε τοὺς ἀρίστους αὐτῶν τούτων; Καὶ τοῦτο. Οἱ δὲ γεωργῶν ἄριστοι ἆρ' οὐ γεωργικώτατοι γίγνονται; Ναί. Νῦν δ', ἐπειδὴ φυλάκων αὐτοὺς ἀρίστους δεῖ εἶναι, ἆρ' οὐ φυλακικωτάτους πόλεως; Ναί. Οὐκοῦν φρονίμους τε εἰς τοῦτο δεῖ ὑπάρχειν καὶ δυνατοὺς καὶ ἔτι κηδεμόνας τῆς πόλεως; Ἔστι ταῦτα. Κήδοιτο δ' ἂν τις μάλιστα τούτου ὃ τυγχάνει φιλῶν. Ἀνάγκη. Καὶ μὴν τοῦτό γ'

---

1 *δὲ δὴ* S M A, *δὲ* Stob. II: *δὴ* Plat. fuitne *δὲ* (*δὴ* supra) | *μιμεῖσθαι ἢ τὰ τούτοις* dedi ex Stob. II: *μιμεῖσθαι τὰ τούτοις* S M A. *μιμεῖσθαι· ἐὰν δὲ μιμῶνται, μιμεῖσθαι τὰ τούτοις* Plat.: e Platone Gesn.[1] decepti sunt ut sescenties alibi Gaisford et Meineke ‖ 4 *μιμήσασθαι* M A, Stob. II, Plat.: *αἰσθάνεσθαι* S ‖ 6 *ᾔσθησ* (α supra) M sed *σ* (α supra) in ras. M² ‖ 7 *ἤθη* libri hic et supra: *ἔθη* Plat. ‖ 10 ecl. cum lemm. hab. S M A ‖ 11 v. *Τὸ δὴ* usque ad p. 107, 17 *δέομαι μαθεῖν* om. S, haec primus ex A edidit Gaisford | *τὸ δὴ* M, Plat.: *τί δὴ* A ‖ 13 *οὐκοῦν* om. Platonis nonnulli ‖ 14 *ἀρχομένους δῆλον*; *Δῆλον* Plat. nisi quod cod. Vindob. 55 hoc quoque loco concordat cum libris Stobaei omittens prius *δῆλον* et ipse ‖ 15 *τούτων* om. Plat. ‖ 16 *γίνονται* ut videtur A ‖ 17 *νῦν δ'* M, Plat.: om. A ‖ 18 *φυλακικωτάτους* Plat.: *-τέρους* M A ‖ 20 *δέ γ' ἄν τις* Plat. ‖ 21 *τυγχάνει* M primo, A, Platonis cod. Vindob. 55: *τυγχάνοι* Platonis rell., ex *-ει* corr. in ras. M m. dubia | *γ' ἂν* A, Plat.: *γὰρ* M

αν μάλιστα φιλοῖ, ᾧ ξυμφέρειν ἡγοῖτο ταὐτὰ καὶ ἑαυτῷ καὶ ὅ τι μάλιστα ἐκείνου μὲν εὖ πράττοντος οἴοιτο ξυμβαίνειν καὶ ἑαυτῷ εὖ πράττειν, μὴ δέ, τοὐναντίον. Οὕτως, ἔφη. Λεκτέον ἄρα ἐκ τῶν ἄλλων φυλάκων τοιούτους ἄνδρας, οἳ ἂν σκοποῦσιν ἡμῖν φαίνωνται παρὰ πάντα τὸν βίον, ὃ μὲν ἂν τῇ πόλει ἡγήσωνται ξυμφέρειν, πάσῃ προθυμίᾳ ποιεῖν, ὃ δ' ἂν μή, μηδενὶ τρόπῳ πρᾶξαι ἂν ἐθέλειν. Ἐπιτήδειοι γάρ, ἔφη. Δοκεῖ δή μοι τηρητέον αὐτοὺς εἶναι ἐν ἁπάσαις ταῖς ἡλικίαις, εἰ φυλακικοί εἰσι τούτου τοῦ δόγματος καὶ μήτε γοητευόμενοι μήτε βιαζόμενοι † οἳ ἐκβάλλοιεν ἐπιλανθανόμενοι δόξαν τὴν τοῦ ποιεῖν δεῖν ἃ τῇ πόλει βέλτιστα. Τίνα, ἔφη, λέγεις τὴν ἐκβολήν; Ἐγώ σοι, ἔφην, ἐρῶ. φαίνεταί μοι δόξα ἐξιέναι ἐκ διανοίας ἢ ἑκουσίως ἢ ἀκουσίως, ἑκουσίως μὲν ἡ ψευδὴς τοῦ μεταμανθάνοντος, ἀκουσίως δὲ πᾶσα ἡ ἀληθής. Τὸ μὲν τῆς ἑκουσίου, ἔφη, μανθάνω, τὸ δὲ τῆς ἀκουσίου δέομαι μαθεῖν. Τί δαί; οὐ καὶ σὺ ἡγῇ, ἔφην ἐγώ, τῶν μὲν ἀγαθῶν ἀκουσίως στέρεσθαι τοὺς ἀνθρώπους, τῶν δὲ κακῶν ἑκουσίως; ἢ οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας κακόν, τὸ δὲ ἀληθεύειν ἀγαθόν; ἢ οὐ τὸ τὰ ὄντα δοξάζειν ἀληθεύειν δοκεῖ σοι εἶναι; Ἀλλ', ἦ δ' ὅς, ὀρθῶς λέγεις, καί μοι δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι. Οὐκοῦν κλαπέντες ἢ γοητευθέντες

---

1 *φιλοῖ* M, Plat.: *φιλεῖ* A | *ᾧ* M, Plat.: *ὡς* A | *ταὐτὰ* scripsi: *ταῦτα* M A *τὰ αὐτὰ* Plat. | *ὅτι μάλιστα* M A: *ὅταν μάλιστα* libri Platonis idque seclusit Hermann. Stobaeo reddendum videtur *ὅ τι ⟨ἂν⟩ μάλιστα* quod proposuit Adam ‖ **2** *οἷον τὸ* M ‖ **4** *ἐκλεκτέον ἄρ' ἐκ* Plat. ‖ **5** *ἡμῖν μάλιστα φ.* Plat. ‖ **6** *ἡγήσονται* sed *ω* super scr. M[1] ‖ **9** *ἐν ἁπάσαις* A, Plat.: *ἐν ὧ πάσαις* M | *εἰσιν* M ‖ **11** *οἳ ἐκβάλλοιεν* M A *ἐκβάλλουσιν* Plat. *οἷοι ἐκβάλλειν* prop. Burnet | post *τοῦ* una litt. rasa in M ‖ **12** *λέγεις* A, Plat.: *λέγει* M ‖ **13** v. *Φαίνεταί μοι* — 23 *στερίσκεσθαι* supra leguntur tamquam sui iuris ecloga Stob. I 59, 3 p. 499, 4 W. (*Πλάτωνος Πολιτείας γ'*), ubi vide quae adnotavit Wachsmuth ‖ **14** *ἑκουσίως* (ante *μὲν*) om. M | *ἢ* pro *ἡ* M ‖ **17** *τί δαί*] hinc incipit S | *δαὶ* S M *δὲ* A, Plat. eadem inter libros discrepantia etiam Stob. I | *ἡγῇ* in margine supplevit M[1] ‖ **19** *ἐψεύσθαι* M ‖ **21** *ἀλλῆ* M ‖ **23** *λόγου* pro *δόξης* A[1] sed corr. ead. m. in marg.

ἢ βιασθέντες τοῦτο πάσχουσιν; Οὐδὲ νῦν, ἔφη, μανθάνω. Τραγικῶς ἄρα, ἦν δ' ἐγώ, κινδυνεύω λέγειν. κλαπέντας γὰρ τοὺς μεταπεισθέντας λέγω καὶ τοὺς ἐπιλανθανομένους, ὅτι τῶν μὲν χρόνος, τῶν δὲ λόγος ἐξαιρούμενος λανθάνει· νῦν γάρ που μανθάνεις; Ναί. Τοὺς τοίνυν βιασθέντας λέγω οὓς ἂν ὀδύνη τις ἢ ἀλγηδὼν μεταδοξάσαι ποιήσῃ. Καὶ τοῦτο, ἔφη, ἔμαθον, καὶ ὀρθῶς λέγεις. Τοὺς μὴν γοητευθέντας, ὡς ἐγᾦμαι, κἂν σὺ φαίης εἶναι οἳ ἂν μεταδοξάσωσιν ἢ ὑφ' ἡδονῆς κηληθέντες ἢ ὑπὸ φόβου τι δείσαντες. Ἔοικε γάρ, ἦ δ' ὅς, γοητεύειν πάντα ὅσα ἀπατᾷ. Ὃ τοίνυν ἄρτι ἔλεγον, ζητητέον τίνες ἄριστοι φύλακες τοῦ παρ' αὑτοῖς δόγματος, τοῦτο ὡς ποιητέον ὃ [δ'] ἂν τῇ πόλει ἀεὶ δοκῶσι βέλτιστον εἶναι αὑτοῖς ποιεῖν. τηρητέον δὴ εὐθὺς ἐκ παίδων προθεμένοις ἔργα ἐν οἷς ἄν τις τὸ τοιοῦτον μάλιστα ἐπιλανθάνοιτο καὶ ἐξαπατῷτο, καὶ τὸν μὲν μνήμονα καὶ δυσεξαπάτητον ἐγκριτέον, τὸν δὲ μὴ ἀποκριτέον. ἦ γάρ; Ναί. Καὶ πόνους γε αὖ καὶ ἀλγηδόνας καὶ ἀγῶνας αὐτοῖς θετέον, ἐν οἷς ταὐτὰ ταῦτα τηρητέον. Ὀρθῶς, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ τρίτου εἴδους τοῦ τῆς γοητείας ἅμιλλαν ποιητέον καὶ θεατέον, ὥσπερ τοὺς πώλους ἐπὶ τοὺς ψόφους τε καὶ θορύβους ἄγοντες σκοποῦσιν εἰ φοβεροί, οὕτως νέους ὄντας

---

2 *τραγικῶς ἄρα* S M A *τραγικῶς γὰρ* Platonis cod. Vindob. 55 *τραγικῶς* Platonis rell. | *κλαπέντας* A Tr., Plat.: *κλαπέντες* S M | *κλαπέντας μὲν γὰρ* Plat. ‖ **3** *μεταπισθέντας* M ‖ **6** *ἂν* Plat.: *ἐὰν* libri Stob. ‖ **8** *ὡς* M A, Plat.: *οὓς* S | *κἂν* M A, Plat.: *καὶ* S ‖ **9** *κηληθέντες* M, Plat.: *κληθέντες* S A ‖ **10** *Ἔοικεν* M ‖ **11** *ἀπατᾶ* M A, Plat.: *ἀπαντᾶ* S *ἀπαντᾶ* Tr. ‖ **12** *αὑτοῖς* Plat.: *αὐτοῖς* libri Stob. | *τοῦτο* Plat.: *τοῦ* S M A | post *ποιητέον* fortius distinguunt libri Stob. ‖ **13** *ὃ ἂν* Plat.: *ὃ δ' ἂν* S M A ‖ **14** *προθεμένοις* S A, Plat: *προθέμενος* M ‖ **17** *ἐγκριτέον* sed *κρ* in corr. M[1] | *τὸν δὲ μὴ ἀποκριτέον* om. Tr. | *καὶ πόνων γε αὖ καὶ ἀλγηδόνων ἀγῶνας* temere ex Platonis Ald. Gesn.[1], inde vulg.; reposuimus librorum scripturam, nisi quod *γε* dedimus ex Platone, ubi *τε* S M A ‖ **18** *ἐν οἷς* M A, Plat.: *ἐν ἀνοίς* S *ἐν ἀνθρώποις* Tr. ‖ **19** *ταὐτὰ ταῦτα* e Plat. Gesn[1]: *ταῦτα ταῦτα* S *ταῦτα* M A Tr. ‖ **20** *τοῦ τῆς* S M A: *τούτοις* libri Platonis sed *τούτους* cod. Ven. 185; *τούτοις* fort. olim Stob. ‖ **21** *πόλλουσ* M ‖ **22** *σκοποῦμεν* quod temere scr. Gesn[2]. imposuit Burneto.

εἰς δείματα κομιστέον καὶ εἰς ἡδονὰς αὖ μεταβλητέον, βασανίζοντας πολὺ μᾶλλον ἢ χρυσὸν ἐν πυρί, εἰ δυσγοήτευτος καὶ εὐσχήμων ἐν ἅπασι φαίνεται, φύλαξ αὑτοῦ ὢν ἀγαθὸς καὶ τῆς μουσικῆς ἧς ἐμάνθανεν, εὔρυθμόν τε καὶ εὐάρμοστον ἑαυτὸν ἐν πᾶσι τούτοις παρασχών, οἷος δὴ ὢν καὶ ἑαυτῷ καὶ πόλει χρησιμώτατος ἂν εἴη. καὶ τὸν ἀεὶ ἔν τε παισὶ καὶ νεανίσκοις καὶ ἀνδράσι βασανιζόμενον καὶ ἀκήρατον ἐκβαίνοντα καταστατέον ἄρχοντα τῆς πόλεως καὶ φύλακα, καὶ τιμὰς δοτέον καὶ ζῶντι καὶ τετελευτηκότι, τάφων τε καὶ τῶν ἄλλων μνημείων μέγιστα γέρα λαγχάνοντα· τὸν δὲ μὴ τοιοῦτον ἀποκριτέον. τοιαύτη τις, ἦν δ' ἐγώ, ὦ Γλαύκων, δοκεῖ μοι ἡ ἐκλογὴ εἶναι καὶ κατάστασις τῶν ἀρχόντων τε καὶ φυλάκων, ὡς ἐν τύποις, μὴ δι' ἀκριβείας, εἰρῆσθαι. Καὶ ἐμοί, ἦ δ' ὅς, οὕτω πῃ φαίνεται. Ἆρ' οὖν ὡς ἀληθῶς ὀρθότατον καλεῖν τούτους μὲν φύλακας παντελεῖς τῶν τε ἔξωθεν πολεμίων τῶν τε ἐντὸς φίλων, ὅπως ⟨οἱ μὲν⟩ μὴ βουλήσονται, οἱ δὲ μὴ δυνήσονται κακουργεῖν, τοὺς δὲ νέους, οὓς δὴ νῦν φύλακας ἐκαλοῦμεν, ἐπικούρους τε καὶ βοηθοὺς τοῖς τῶν ἀρχόντων δόγμασιν;

158 (153 Mein.) Ἐν ταὐτῷ (p. 416B—417B).

Ὃ μέντοι ἄρτι ἐλέγομεν, ἄξιον, ὅτι δεῖ αὐτοὺς τῆς ὀρθῆς τυχεῖν παιδείας, ἥ τις ποτ' ἐστίν, εἰ μέλλουσι τὸ

---

1 δείματ' ἄττα Plat. ‖ 3 ἅπασι S M A, Platonis cod. Vindob. 55: πᾶσι Platonis rell. | αὑτοῦ A ut videtur, Plat.: αὐτοῦ S M ‖ 4 τῆς om. Plat. | ἧς ἐμάνθανεν e. q. s. om. S, primus ex A edidit Gaisford | ἧς e Plat. Gaisford: ἢ ὃ M A ‖ 5 ἐν πᾶσι A, Plat.: ἐν ἅπασι M | παρέχων Plat. ‖ 6 δὴ ex δ' ἡ corr. M[1] | ὢν scripsi: ἂν M A; ἂν ὢν e Plat. Gaisford | ἂν εἴη M, Platonis cod. Vind. 55: εἴη A, Platonis rell. | καὶ ἐν ἀνδράσι Plat. ‖ 10 τελευτήσαντι Plat. ‖ 11 γέρα Plat.: ἱερὰ M ἵερα A ‖ 12 ἦν δ' ἐγώ, δοκεῖ μοι, ὦ Γλαύκων, η ἐκλ. Plat. ‖ 14 τύπῳ Plat. ‖ 15 πῇ M ‖ 17 φιλλων Plat. | οἱ μὲν addidi e Plat. ‖ 18 βουλήσονται M, Plat.: βουλήσωνται A | δυνήσονται M, Plat.: δυνήσωνται A ‖ 19 δὴ νῦν M A, Platonis Paris. 1807 et Malatestianus: νῦν δὴ Platonis cod. Venetus 185 et Vindob. 55 ‖ 21 ecl. cum lemm. hab. S M A ‖ 22 Ὃ μέντοι — p. 110, 9 ἔσεσθαι om. S | μέντοι A, Plat.: μέντι M ‖ 23 τὸ Plat.: τὸν M A

μέγιστον ἕξειν πρὸς τὸ ἥμεροι εἶναι αὑτοῖς τε καὶ τοῖς φυλαττομένοις ὑπ' αὐτῶν. Καὶ ὀρθῶς γε, ἦ δ' ὅς. Πρὸς τοίνυν τῇ παιδείᾳ ταύτῃ φαίη ἄν τις νοῦν ἔχων δεῖν καὶ τὰς οἰκήσεις καὶ τὴν ἄλλην οὐσίαν τοιαύτην αὐτοῖς παρεσκευάσθαι, ἥτις μήτε τοὺς φύλακας ὡς ἀρίστους εἶναι παύσει αὐτούς, κακουργεῖν τε μὴ ἐπαίρει περὶ τοὺς ἄλλους πολίτας. Καὶ ἀληθῶς γε φήσει. Ὅρα δή, εἶπον ἐγώ, εἰ τοιόνδε τινὰ τρόπον δεῖ αὐτοὺς ζῆν τε καὶ οἰκεῖν, εἰ μέλλουσι τοιοῦτοι ἔσεσθαι· πρῶτον μὲν οὐσίαν κεκτημένον μηδεμίαν μηδένα ἰδίαν, ἢν μὴ πᾶσα ἀνάγκη· ἔπειτα οἴκησιν καὶ ταμιεῖον μηδενὶ εἶναι μηδὲν τοιοῦτον, εἰς ὃ οὐ πᾶς ὁ βουλόμενος εἴσεισι· τὰ δ' ἐπιτήδεια, ὅσων δέονται ἄνδρες ἀθληταὶ πολέμου σώφρονές τε καὶ ἀνδρεῖοι, ταξαμένους παρὰ τῶν ἄλλων πολιτῶν δέχεσθαι μισθὸν τῆς φυλακῆς τοσοῦτον ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτὸν μήτε ἐνδεῖν· φοιτῶντας δ' εἰς ξυσσίτια ὥσπερ ἐξεστρατοπεδευμένους κοινῇ ζῆν· χρυσίον δὲ καὶ ἀργύριον εἰπεῖν αὐτοῖς ὅτι θεῖον παρὰ θεῶν ἀεὶ ἐν τῇ ψυχῇ ἔχουσι καὶ οὐδὲν προσδέονται τοῦ ἀνθρωπείου, οὐδὲ ὅσια τὴν ἐκείνου κτῆσιν τῇ τοῦ θνητοῦ χρυσοῦ κτήσει ξυμμιγνύντας μιαίνειν, διότι πολλὰ καὶ ἀνόσια περὶ τὸ τῶν πολλῶν νόμισμα γέγονε, τὸ παρ' ἐκείνοις

1 *ἔχειν* Plat. | *ἥμεροι* Plat.: *ἥμερον* M A | *αὑτοῖς* Plat.: *αὐτοῖς* M A ‖ 2 *γε* om. A ‖ 4 *παρεσκευάσθαι* M, Platonis cod. Vindob. 55, Venetus 185: *παρασκευᾶσθαι* A, *παρασκευάσασθαι* aliquot libri Platonis ‖ 5 *μήτε τοῦ φύλακας* recte Cobet | *εἶναι παύσει* Platonis cod. Vindob. 55: *ἀναγκάσει* M A sed *ει* in ras. M², aliquid rasi in marg. M idque nescio an olim pertinuerit ad huius verbi correctionem. *εἶναι παύσοι* Platonis libri plurimi ‖ 6 *τε μὴ* Plat.: *μήτε* M A | *ἐπαίρει* M A *ἐπάρῃ* vel *ἐπάροι* vel *ἐπαροῖ* libri Platonis: *ἐπαρεῖ* Cobet ‖ 8 *ζεῖν* A ‖ 9 *κεκτημένον* Plat.: *κεκτημένων* S M A ‖ 10 *μηδεμίαν* M A, Plat.: *οὐδεμίαν* (vel *οὐδὲ μίαν*) S | *ἂν* pro *ἢν* Plat. ‖ 11 *ταμίειον* A ‖ 12 *εἴσεισιν* M ‖ 14 *πολιτῶν* om. A ‖ 14. 15 *μισθὸν δέχεσθαι* A ‖ 15 *μὴ περιεῖναι* A ‖ 17 *ὥσπερ* M, Plat.: *ὡς* A | *ἐστρατοπεδευμένους* Plat. | *ζεῖν* A, videtur m. pr. correxisse ‖ 19 *ἔχουσιν* M ‖ 20 *θνητοῦ* bis habet sed prius expunctum A ‖ 21 *ξυμμιγνῦντας* M, sine acc. S | 22 *γέγονεν* M | *ἐκείνοις* A, Plat.: *ἐκείνου* M

δὲ ἀκήρατον· ἀλλὰ μόνοις αὐτοῖς τῶν ἐν τῇ πόλει μεταχειρίζεσθαι καὶ ἅπτεσθαι χρυσοῦ καὶ ἀργύρου οὐ θέμις, οὐδὲ ὑπὸ τὸν αὐτὸν ὄροφον ἰέναι οὐδὲ περιάψασθαι οὐδὲ πίνειν ἐξ ἀργύρου ἢ χρυσοῦ. καὶ οὕτω μὲν σῴζοιντό τε ἂν καὶ σῴζοιεν τὴν πόλιν· ὁπότε δὲ αὐτοὶ γῆν τε ἰδίαν καὶ οἰκίας καὶ νομίσματα κτήσονται, οἰκονόμοι μὲν καὶ γεωργοὶ ἀντὶ φυλάκων ἔσονται, δεσπόται δὲ καὶ ἐχθροὶ ἀντὶ ξυμμάχων τῶν ἄλλων πολιτῶν γενήσονται, μισοῦντες δὲ καὶ μισούμενοι καὶ ἐπιβουλεύοντες καὶ ἐπιβουλευόμενοι διάξουσι πάντα τὸν βίον, πολὺ πλείω καὶ μᾶλλον δεδιότες τοὺς ἔνδον ἢ τοὺς ἔξωθεν πολεμίους, θέοντες ἤδη τότε ἐγγύτατα ὀλέθρου αὐτοί τε καὶ ἡ ἄλλη πόλις.

159 (154 Mein.) *Πλάτωνος Πολιτείας δ´* (p. 421 A).

Νευρορράφοι γὰρ φαῦλοι γενόμενοι καὶ διαφθαρέντες καὶ προσποιησάμενοι εἶναι μὴ ὄντες πόλει οὐδὲν δεινόν, φύλακες δὲ νόμων τε καὶ πόλεως μὴ ὄντες ἀλλὰ δοκοῦντες ὁρᾷς δὴ ὅτι πᾶσαν ἄρδην πόλιν ἀπολλύασιν.

160 (contin. 154 Mein.) *Ἐν ταὐτῷ* (p. 421 D—422 A).

Τοὺς ἄλλους αὖ δημιουργοὺς σκόπει εἰ τάδε διαφθείρει, ὥστε κακοὺς γίγνεσθαι. Τὰ ποῖα δὴ ταῦτα; Πλοῦτος, ἦν δ᾽ ἐγώ, καὶ πενία. Πῶς δή; Ὧδε· πλουτήσας χυτρεὺς δοκεῖ σοι ἔτι θελήσειν ἐπιμελεῖσθαι τῆς τέχνης; Οὐδαμῶς, ἔφη. Ἀργὸς δὲ καὶ ἀμελὴς γενήσεται μᾶλλον

---

3 *προσιέναι* ci. O. Apelt ‖ **4** *οὐδὲ πίλειν τῷ ἀργύρου* Tr. ‖ **5** *αὐτοὶ γῆν τε* Plat.: *αὐτοῦ* (sine acc. A) *τήν* (*γῆν* ni fallor M) *τε* S M A ‖ **6** *ἰδίαν* Plat.: *εἰδέαν* (sed *ει* in corr. M) S M[1] *ἰδέαν* A ‖ **7** *δεσπόται δ᾽ ἐχθροὶ* Plat. ‖ **9** *δὲ δὴ καὶ* Plat. eruntque fortasse qui *δὴ* post *δὲ* intercidisse putent in Stob. ‖ **10** *πλείω* reposui ex M, Plat.: *πλεῖον* S A, Platonis cod. Vindob. 55 ‖ **11** *δεδιότες* S M, Plat.: *ὑποδεδιότες* A *δεδειότες* Tr. ‖ **13** ecl. cum lemm. hab. S M A ‖ **14** *νευρορράφοι* Plat.: *νευροράφοι* S M A; cf. Schanz Plat. v. VII p. VII ‖ **15** *προποιησάμενοι* Tr. ‖ **16** *δὲ* om. A | *ἀλλὰ δοκοῦντες* bis habet sed alterum deletum A ‖ **17** *ἀπολλύασιν καὶ αὖ τοῦ εὖ οἰκεῖν καὶ εὐδαιμονεῖν μόνοι τὸν καιρὸν ἔχουσιν* Plat. ‖ **18** ecl. cum lemmate hab. S M A, lemmate detracto Tr. perperam prioribus adiunxerunt Gaisford et Meineke ‖ **20** *ὥστε καὶ κακοὺς* Plat. nec improbabiliter inserueris particulam Stobaeo ‖ **21** *ὧδε* (*ὢδε* M) M A, Plat.: *ὅδε* S ‖ **22** *ἔτ᾽ ἐθελήσειν* prop. Hartman

αὐτὸς αὑτοῦ; Πολύ γε. Οὐκοῦν κακίων χυτρεὺς γίγνεται; Καὶ τοῦτο, ἔφη, πολύ. Καὶ μὴν καὶ ὄργανά γε μὴ ἔχων παρέχεσθαι ὑπὸ πενίας ἤ τι ἄλλο τῶν εἰς τὴν τέχνην τά τε ἔργα πονηρότερα ἐργάσεται καὶ τοὺς υἱεῖς ἢ ἄλλους οὓς ἂν διδάσκῃ χείρους δημιουργοὺς διδάξεται; Πῶς δ' οὔ; Ὑπ' ἀμφοτέρων δή, πενίας τε καὶ πλούτου, χείρω μὲν τὰ τῶν τεχνῶν ἔργα, χείρους δὲ αὐτοί. Φαίνονται. Ἕτερα δή, ὡς ἔοικε, τοῖς φύλαξιν εὑρήκαμεν, ἃ παντὶ τρόπῳ φυλακτέον ὅπως μή ποτε αὐτοὺς λήσῃ εἰς τὴν πόλιν παραδύντα. Τὰ τοῖα ταῦτα; Πλοῦτος, ἦν δ' ἐγώ, καὶ πενία, ὡς τοῦ μὲν τρυφὴν καὶ ἀργίαν καὶ νεωτερισμὸν ἐμποιοῦντος, τοῦ δὲ ἀνελευθερίαν καὶ κακουργίαν πρὸς τῷ νεωτερισμῷ. Πάνυ μὲν οὖν, ἔφη.

161 (155 Mein.) *Ἐν ταὐτῷ* (p. 423 D—424 E).

Οὗτοι, ἦν δ' ἐγώ, ὦ ἀγαθὲ Ἀδείμαντε, ὡς δόξειεν ἄν τις, ταῦτα πολλὰ καὶ μεγάλα αὐτοῖς προστάττομεν ἀλλὰ πάντα φαῦλα, ἐὰν τὸ λεγόμενον [μὴ] ἓν μέγα φυλάττωσι, μᾶλλον δὲ ἀντὶ μεγάλου ἱκανόν. Τί τοῦτο;

---

1 *αὐτοῦ* M | *γίνεται* M A ‖ 2 *ὄργανά τε* Tr. ‖ 3 *ἥ τί* M ‖ 5 *χήρους* A | *διδάξεται* S M A, Plat. *διδάσκει* Tr. *διδάξει* ci. Cobet ‖ 7 *φαίνεται* Plat. ‖ 8 v. *ἕτερα δέ, ὡς ἔοικε* — 13 *τῷ νεωτερισμῷ* recurrunt Euseb. praep. ev. XII 35 | *δή*] *δέ* Euseb. | *φυλάξασιν* A | *εὑρήκαμεν* Plat. (ubi editur *ηὑρ-*), Euseb.: *εἰρήκαμεν* (*η* non satis clarum M) S M A | *ἃ παντὶ*] *ἅπαντι* Tr. ‖ 9 *λήσῃ* (vel—*σῃ*) S M A, Platonis cod. Vind. 55, Euseb.: *λήσει* Platonis cod. Paris. 1807, Venet. 185 ‖ 10 *τὰ ποῖα* S M A, Platonis cod. Vindob. 55, Euseb.: *ποῖα* Platonis alii | *πλοῦτός τε* Plat., Euseb. | *ἦν* S A, Plat.: *ἢ* M ‖ 11 *του* M | *τρυφὴν καὶ* S M A, Platonis plurimi, Euseb. *τρυφήν τε καὶ* temere e Platonis Ald. Gesn.[1], inde vulg. ‖ 12 *ἐμποιοῦντος* S M A Platonis cod. Vindob. 55, Euseb.: *ποιοῦντος* Platonis rell. | *τοῦ δὲ* S M A sicut Platonis cod. Paris. 1807 et Venet. 185: *τῆς δὲ* Platonis Vindob. 55, Euseb. | *ἐλευθερίαν* A | *κακουργίαν* S M A, Platonis cod. Vindob. 55: *κακοεργίαν* Platonis rell., Euseb. ‖ 14 ecl. cum lemm. hab. S M A ‖ 15 *ὦ ἀγαθὲ* S *ὁ αγαθὲ* M *ὠγαθὲ* A | *δόξειεν* Plat.: *δείξειεν* S M A ‖ 16 *αὐτοῖς* humore fere evanidum in S ut tamen agnoscatur | *προστάττομεν* S, Plat.: *προστάττωμεν* M A ‖ 17 *ἓν* Plat.: *μὴ ἐν* S M *μὴ ἓν* A ‖ 17. 18 *φυλάττωσιν* M

ἔφη. Τὴν παιδείαν, ἦν δ' ἐγώ, καὶ τροφήν. ἐὰν γὰρ εὖ παιδευόμενοι μέτριοι ἄνδρες γίγνωνται, πάντα ταῦτα ῥᾳδίως διόψονται καὶ ἄλλα γε, ὅσα νῦν ἡμεῖς παραλείπομεν, τήν τε τῶν γυναικῶν κτῆσιν καὶ γάμων καὶ παιδοποιίας, ὅτι δεῖ ταῦτα κατὰ τὴν παροιμίαν πάντα ὅ τι μάλιστα κοινὰ τὰ φίλων ποιεῖσθαι. Ὀρθότατα γάρ, ἔφη, γίγνοιτ' ἄν. Καὶ μήν, εἶπον, πολιτεία, ἐάν περ ἅπαξ ὁρμήσῃ εὖ, ἔρχεται ὥσπερ κύκλος αὐξανομένη. τροφὴ γὰρ καὶ παίδευσις χρηστὴ σῳζομένη φύσεις ἀγαθὰς ἐμποιεῖ, καὶ αὖ φύσεις χρησταὶ τοιαύτης παιδείας ἀντιλαμβανόμεναι ἔτι βελτίους τῶν προτέρων φύονται εἴς τε τἆλλα καὶ εἰς τὸ γεννᾶν, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις. Εἰκός γ', ἔφη. Ὡς τοίνυν διὰ βραχέων εἰπεῖν, τούτου ἀνθεκτέον τοῖς ἐπιμεληταῖς τῆς πόλεως, ὅπως ἂν αὐτοὺς μὴ λάθῃ διαφθαρέν, ἀλλὰ παρὰ πάντα αὐτὸ φυλάττωσι, τὸ ⟨μὴ⟩ νεωτερίζειν περὶ γυμναστικήν τε καὶ μουσικὴν παρὰ τὴν τάξιν, ἀλλ' ὡς οἷόν τε μάλιστα φυλάττειν, φοβουμένους ὅταν τις λέγῃ, ὡς τὴν ἀοιδὴν

μᾶλλον ἐπιφρονέουσ' ἄνθρωποι,
ἥ τις ἀειδόντεσσι νεωτάτη ἀμφιπέληται,

μὴ πολλάκις τὸν ποιητήν τις οἴηται λέγειν οὐκ ᾄσματα νέα ἀλλὰ τρόπον ᾠδῆς νέον, καὶ τοῦτ' ἐπαινῇ. δεῖ δὲ οὔτ' ἐπαινεῖν τὸ τοιοῦτον οὔτε ὑπολαμβάνειν. εἶδος γὰρ καινὸν μουσικῆς μεταβάλλειν εὐλαβητέον ὡς ἐν ὅλῳ κινδυνεύοντα· οὐδαμοῦ γὰρ κινοῦνται μουσικῆς τρόποι ἄνευ πολιτικῶν νόμων τῶν μεγίστων, ὥς φησί τε Δάμων κἀγὼ

1 *καὶ τὴν τροφήν* Platonis cod. Vindob. 55 ‖ 6 *τὰ τῶν φίλων* e Platonis Ald. Gesn.[1], inde vulg. ‖ 7 *γίγνοιντ'* ex singulari numero corr. S[1] ‖ 8 *εὖ* (*εὐ* M) *ἔρχεται* S M A, videtur enim *εὖ* fuisse etiam in S, Plat.: *ἐξέρχεται* Tr. ‖ 10 *χρησταὶ* S, Plat.: *χρηστὰ* M *χρηστὰς* A ‖ 11 *βελτίους καὶ τῶν* A ‖ 12 *τἆλλα*] *ἄλλα* A | *γενᾶν* S ‖ 15 *παρὰ πάντα* S M A, Platonis cod. Paris. 1807: *παρ' ἅπαντα* Platonis alii ‖ 16 *μὴ* e Platone inseruit Gesn.[1] ‖ 19 s. Od. I 351 s. *τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι, ἥ τις ἀκουόντεσσι ν. ἀ.* ‖ 20 *ἀειδόντεσσι* Plat.: *αἰδόντεσσι* S *ἀδόντεσσι* M *ἀδόντεσσι* A *αἰόντεσσι* Longin. proleg. ad Hephaest. p. 81, 9 Consbr. ‖ 21 *οἴεται* S ‖ 22 *ἐπαινῇ* Plat.: *ἐπαινεῖ* S M A

πείθομαι. Καὶ ἐμὲ τοίνυν, ἔφη ὁ Ἀδείμαντος, θὲς τῶν πεπεισμένων. Τὸ δὴ φυλακτήριον, ἦν δ' ἐγώ, ὡς ἔοικεν, ἐνταῦθά που οἰκοδομητέον τοῖς φύλαξιν, ἐν μουσικῇ. Ἡ γοῦν παρανομία, ἔφη, ῥᾳδίως αὕτη λανθάνει παραδυομένη. Ναί, ἔφην, ὡς ἐν παιδιᾶς γε μέρει καὶ ὡς κακὸν οὐδὲν ἐργαζομένη. Οὐδὲ γὰρ ἐργάζεται, ἔφη, ἄλλο γε ἢ κατὰ σμικρὸν εἰσοικησαμένη ἠρέμα ὑπορρεῖ πρὸς τὰ ἤθη τε καὶ τὰ ἐπιτηδεύματα· ἐκ δὲ τούτων εἰς τὰ πρὸς ἀλλήλους ξυμβόλαια μείζων ἐκβαίνει, ἐκ δὲ δὴ τῶν ξυμβολαίων ἔρχεται ἐπὶ τοὺς νόμους καὶ πολιτείας πολλή, ὦ Σώκρατες, ἀσέλγεια, ἕως ἂν τελευτῶσα πάντα ἰδίᾳ καὶ δημοσίᾳ ἀνατρέψαι. Εἶεν, ἦν δ' ἐγώ· οὕτω τοῦτ' ἔχει; Δοκεῖ μοι, ἔφη. Οὐκοῦν, ὃ ἐξ ἀρχῆς ἐλέγομεν, τοῖς ἡμετέροις παισὶν ἐννομωτέρου εὐθὺς παιδιᾶς μεθεκτέον ὡς παρανόμου γιγνομένης αὐτῆς καὶ παίδων τοιούτων ἐννόμους τε καὶ σπουδαίους ἐξ αὐτῶν ἄνδρας αὐξάνεσθαι ἀδύνατον ὄν; Πῶς δ' οὐχί; ἔφη.

---

3. 4 *ἤγουν* A ‖ 4 *αὕτη* M, Platonis cod. Vindob. 55, Ven. 185: *αυτη* S *αὐτὴ* A, Platonis alii ‖ 5 *ἔφην* Plat.: *ἔφη* S M A | *παιδιᾶς* Plat.: *παιδείας* S M A | *μέρει* ex — *η* corr. M¹ ‖ 6 *ἔφη* Plat.: *ἔφην* S M A ‖ 7 *εἰσοικισάμενη* Plat. idque ego dederim etiam Stobaeo, quamquam *-ησαμένη* S M A ‖ 8 *τούτον* Tr. ‖ 10 *πολλὴ—ἀσέλγεια* S M A *σὺν πολλῇ—ἀσελγείᾳ* Plat. ‖ 11 *ἕως ἂν τελευτῶσα πάντα* Plat.: *ὡς ἀπαιδεύτως ἅπαντα* S M A ‖ 12 *ἀνατρέψῃ* Plat.: *ἀνατρέψαι* S M A ‖ 14 *παιδιᾶς* Plat.: *παιδείας* SMA *παιδειᾶς* ut supra (5) Platonis cod. Vindob. 55

CAPVT II.

ΠΕΡΙ ΝΟΜΩΝ ΚΑΙ ΕΘΩΝ.

1 *Εὐριπίδου* (fr. 1107 N.²).

Ἄρχεσθαι χρεὼν
κακοὺς ὑπ᾽ ἐσθλῶν καὶ κλύειν τῶν κρεισσόνων.

2 *Εὐριπίδου Δικτύος* (fr. 337 N.²).

Μὴ νεῖκος, ὦ γεραιέ, κοιράνοις τίθου.
σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος.

3 *Μενάνδρου Ἀδελφοῖς* (fr. 5 K.).

Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν,
ἀλλ᾽ ἀντιτάττεσθ᾽· εἰ δὲ μή, τἄνω κάτω
ἡμῶν ὁ βίος λήσει μεταστραφεὶς ὅλος.

4 *Εὐριπίδου Ἐρεχθεῖ* (fr. 362, 28 N.²).

Καὶ τοὺς πονηροὺς μή ποτ᾽ αὔξαν᾽ ἐν πόλει.
κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος

---

1. 2 *δεύτερον περὶ νόμων καὶ ἐθῶν* Phot.; tit. *περὶ νόμων καὶ ἐθῶν* exhibent etiam S M A Mac. Tr., omittunt L Br. numerum *μδ´* adiciunt in tertii libri capitulorum computatione pergentes M A Mac. *λη´* S *μβ* Tr. at utiliter in marg. superiore S f. 68ᵛ *ρν*, quo de numero dixi supra p. 3 ‖ 3 ecl. sine lemm. hab. S M A L, *Εὐριπίδου* Tr. p. 237. exigua igitur lemmatis auctoritas, fortasse tamen ex Dictye ecloga petita erat et ipsa (cf. Eur. fr. 334, 4 N.²). nam litterarum ordo respicitur etiam in proximis (ecl. 4. 6), et ab Euripide auspicari solet gnomologus ‖ 5 *κρεσσόνων* libri: *κρεισσόνων*, si tamen Euripidis sunt versus, recte Valckenaer ‖ 6 ecl. cum lemm. hab. S M A, fab. n. om. L ‖ 7 *κοιράνοις* Salmasius: *τυράννοις* S M A L | *τιθοῦ* M A L ‖ 8 *εὖ* ante *σέβειν* add. L rubr. ‖ 9 ecl. cum lemm. hab. S M A (post ecl. 2) L (post ecl. 7 Mein.); *ἀδελφοῖς* om. L. recurrit ecl. corp. Par. 361 Elt. (*Μενάνδρου* praem. cod. Paris. suppl. 690). cf. comp. Men. et Phil. 105 s. p. 26 Studem. Meyer *die athen. spruchv.* p. 249 | 10 *οὐ* om. tamquam rubr. addendum L ‖ 11 *ἀντιτάττεσθαι* M corp. Par. | *μή γ᾽, ἄνω* bene Bernhardy ‖ 12 *ὅλος* libri, sed *ὁ λόγος* L ‖ 13 ecl. cum lemm. hab. S M A (post ecl. 3), poetae nomine non iterato, detracto fabulae L (post ecl. 2). leguntur versus supra Stob. III 3, 18 p. 198, 6 H. intra maioris ambitus fragmentum ‖ 14 *αὔξειν ἐν πόλει* libri hic, supra *αὐξάνειν πόλει*: corr. Meineke ‖ 15 v. *κακοὶ γὰρ*—p. 116, 2 *δόμων* citat sine p. et fab. nom. Plutarchus de Alex. fort. vel virt. p. 337 F

ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα
σκιρτῶσιν ἀδόκητ᾽ εὐτυχησάντων δόμων.

5 *Μενάνδρου Ἀνδρογύνῳ* (fr. 53 K.).
Τὸ γὰρ σύνηθες οὐδαμοῦ παροπτέον.

6 *Εὐριπίδου Ἱκετίδων* (433 ss.).
Οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ νόμοι πόλει
καλῶς τεθέντες· ὅ τε γὰρ ἀσθενέστερος
ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει,
νικᾷ δ᾽ ὁ μείων τὸν μέγαν δίκαι᾽ ἔχων.

7 (8 Mein.) *Μενάνδρου* (fr. 635 K.).
Καλὸν οἱ νόμοι σφόδρ᾽ εἰσίν· ὁ δ᾽ ὁρῶν τοὺς νόμους
λίαν ἀκριβῶς, συκοφάντης φαίνεται.

8 (7 Mein.) *Σοφοκλῆς Αἴαντι* (666—676).
Τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ᾽ Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ᾽ ὑπεικτέον· τί μή;

---

1 *πόλεως* libri: tacite corr. Gesn.[1] | *εἰς τιμάς τινας* Plut. ‖ 2 *ἀδόκητ᾽*] *ἀδίκως* Stobaeus III ‖ 3 ecl. cum lemm. hab. M A (post ecl. 4), lemmate non iterato (post Menandream 3) L, om. S. vide quae adnotavimus ad Stob. IV 1, 31 | 5 ecl. cum lemm. hab. M (post ecl. 5) A (post ecl. 7) S (post ecl. 4), poetae sc. non iterato, detracto fabulae (post 4) L; *τ᾽ αυ* (sscr. *τ*) *ἱκετίδ᾽* S ‖ 6 *οὐκ ἔστιν*—2 *ἀσθενέστερος* gnomologae interpolationis exemplum luculentius. *γεγραμμένων δὲ τῶν νόμων ὅ τ᾽ ἀσθενὴς* non plura Eur. ‖ 8 *ἴσην* libri nisi quod *ὅσην* A | inter *ἴσην ἔχει* et *νικᾷ* quod offerunt libri Euripidei distichon *ἔστιν δ᾽ ἐνισπεῖν τοῖσιν ἀσθενεστέροις Τὸν εὐτυχοῦντα ταὔθ᾽, ὅταν κλύῃ κακῶς* ignorat Stobaeus in Eur. delevit Nauck ‖ 9 *Ϊ* (rubr.) *νικᾶ* L | *ἔχον* M ‖ 10 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) M A (post ecl. 6) lemmate non iterato (post ecl. 5) L ‖ 11 *οἱ νόμοι σφόδρ᾽, ὁ δ᾽ ἐπιτηρῶν* prop. Cobet ‖ 12 *γίνεται* Cobet mnemos. IX p. 127 non utilius ‖ 13 ecl. cum lemm. hab. S (post ecl. 6) M (post ecl. 8 Mein.) A (post ecl. 5), fabulae nomine detracto L (post ecl. 6) ‖ 14. 15 *Τοιγὰρ — σέβειν* om. M A L | *εἰσόμεσθα* Soph.: *εἰσόμεθα* S Tr. corr. S m. rec. ‖ 15 *μαθησόμεσθα* Soph., Tr. S m. rec.: *μαθησόμεθα* S[1] | *δ᾽* Tr., Soph.: *θ᾽* S | *ἀτρείδα* Sophoclis cod. Laur. ‖ 16 *Ἤρχοντές* (*Ἡ* rubr.) L | *τί μή* Sophoclis cod. Laur.: *τί μὴ* ex *τιμῆι* corr. S. m. rec. *τιμῇ* L *τιμῆ* M A *τιμή* Tr.; *τί μήν;* Herwerden

καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει·
ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν·
δεινῶν τ᾽ ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον· ἐν δ᾽ ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ᾽ ἀεὶ λαβὼν ἔχει.

9 *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 17 C—19 B).

Χθές που τῶν ὑπ᾽ ἐμοῦ ῥηθέντων λόγων περὶ πολιτείας ἦν τὸ κεφάλαιον, οἵα τε καὶ ἐξ οἵων ἀνδρῶν ἀρίστη κατεφαίνετ᾽ ἄν μοι γενέσθαι. — Καὶ μάλα γε ἡμῖν, ὦ Σώκρατες, ῥηθεῖσα πᾶσι κατὰ νοῦν. — Ἆρ᾽ οὖν οὐ τὸ τῶν γεωργῶν ὅσαι τε ἄλλαι τέχναι πρῶτον ἐν αὐτῇ χωρὶς διειλόμεθα ἀπὸ τοῦ γένους τοῦ τῶν προπολεμησόντων; — Ναί. — Καὶ κατὰ φύσιν δὴ δόντες τὸ καθ᾽ αὑτὸν ἑκάστῳ πρόσφορον ἓν μόνον ἐπιτήδευμα, † μίαν ἑκάστην τέχνην, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν, εἴ-

---

1 *καὶ γὰρ τὰ θεῖα* prop. Wilamowitz Herm. XIV p. 176 ‖ 2 *νιφοστιβῆσ᾽* M *νιφοστιβῆς* A ‖ 3 *χειμῶνος* A ‖ 4 *αἰανὴς* L ut videtur, Soph., in lacuna quam m. pr. reliquerat idem scr. S m. rec., *αἰανῆς* Tr.: *αἰωδὴς* M A, corr. A² ‖ 5 *λευκοπόλω* A ‖ 6 *δεινῶν* S, Sophoclis cod. Laur. sed *δεινόν* primo: *δεινόν* A L *δείναν* sed *α* ex *ω* ut videtur radendo factum M; *λείων* Musgrave | *ἐκοίμισε* libri sed *-μησεν* M ‖ 7 *ἠδ᾽* scr. Nauck ‖ 9 ecl. cum lemm. hab. S A (post ecl. 8 Mein.) M (post ecl. 7 Mein.) L (post ecl. 22ᵃ Mein.); *πλάτωνος* non iteravit L ‖ 10 *Χθές που*—18 *ἑκάστην τέχνην* om. M A | *Ἀ θές* (*Ἀ* rubr.) L | *που* L, Plat.: om. S ‖ 12 *κατεφαίνετ᾽ ἄν* Plat. idque reposui: *καταφαίνετ᾽ ἄν* L *καταφαίνεται* S ‖ 13 *πᾶσι κατὰ νοῦν* L, Plat.: *κατὰ νοῦν ἅπασιν* S ‖ 16 *δὴ δόντες* L, Platonis cod. Vindob. 21, Proclus comment. I p. 35, 10 Diehl: *δόντες* S, *δηλοῦντες* vel *διδόντες* Platonis alii ‖ 17 *μίαν ἑκάστην* (*ἑκάστῳ* scr. Gaisford) *τέχνην* S, Platonis cod. Vind. 55 *καὶ ἀφ᾽ ἑκάστου τῇ τέχνῃ* L, Platonis cod. Paris. 1807, non respicit verba Proclus l. c., non vertit Chalcidius. Boeckhium igitur et C. F. Hermannum secutus tamquam glossema haec seclusit P. Rawack De Plat. Timaeo quaest. cr. (Berol. a. 1888) p. 6. cf. E. Diehl mus. Rhen. LVIII p. 256 ‖ 18 *τούτους* (corr. ex *τοὺς* S¹) *οὓς* S, Plat. Procl.: *οὕς* L

πομεν, ὡς ἄρα αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως, εἴτε τις ἔξωθεν ἢ καὶ τῶν ἔνδοθεν ἴοι κακουργήσων, δικάζοντας μὲν πρᾴως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν καὶ φύσει φίλοις οὖσι, χαλεποὺς δὲ ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσι τῶν ἐχθρῶν γιγνομένους. — Παντάπασι μὲν οὖν. — Φύσιν γάρ οἶμαί τινα τῶν φυλάκων τῆς ψυχῆς ἐλέγομεν ἅμα μὲν θυμοειδῆ, ἅμα δὲ φιλόσοφον δεῖν εἶναι διαφερόντως, ἵνα πρὸς ἑκατέρους δύναιντο ὀρθῶς πρᾷοι καὶ χαλεποὶ γίγνεσθαι. — Ναί. — Τί δὲ τροφήν; ἆρ' οὐ γυμναστικῇ καὶ μουσικῇ μαθήμασί τε ὅσα προσήκει τούτοις, ἐν ἅπασι τεθράφθαι; — Πάνυ μὲν οὖν. — Τοὺς δέ γε οὕτω τραφέντας ἐλέχθη που μήτε χρυσὸν μήτε ἄργυρον μήτε ἄλλο ποτὲ μηδὲν κτῆμα ἑαυτῶν ἴδιον νομίζειν δεῖν, ἀλλ' ὡς ἐπικούρους μισθὸν λαμβάνοντας τῆς φυλακῆς παρὰ τῶν σῳζομένων ὑπ' αὐτῶν, ὅσος σώφροσι μέτριος, ἀναλίσκειν τε δὴ κοινῇ καὶ ξυνδιαιτωμένους μετ' ἀλλήλων ζῆν, ἐπιμέλειαν ἔχοντας διὰ παντὸς ἀρετῆς, τῶν ἄλλων ἐπιτηδευμάτων ἄγοντας σχολήν. — Ἐλέχθη καὶ ταῦτα ταύτῃ. — Καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν, ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοστέον, καὶ τὰ ἐπιτηδεύματα πάντα κοινὰ κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν δοτέον πάσαις. — Ταύτῃ καὶ ταῦτα ἐλέγετο. — Τί δὲ δὴ

---

2 *τις τῶν ἔξωθεν* A | *ἢ* L, Plat.: *εἰ* S ‖ 7 *δεῖ* A ‖ 8 *ὀρθῶς* S M L, Plat.: om. A, Procl. ‖ 9 *δὲ* A L, Platonis plurimi, Procl.: *δαὶ* S M, Platonis cod. Paris. 1807 sed *αι* refictum | *τροφήν* L, Platonis cod. Paris. 1807 et Vindob. 21: *τροφῇ* S *τροφὴ* M A *τροφῆς* Platonis cod. Vindob. 55, Procl. ‖ 10 *οὐ* ex *ὁ* corr. M[1] | *μουσικὴ* A ‖ 12 *μήτε ἄλλο ποτὲ* (*ἄλλό ποτε* L) *μηδὲν* L, Plat., Procl.: *μήτε μηδὲν ἄλλο ποτὲ* S M A ‖ 16 *συνδιαιτ-* Plat., Procl. ‖ 17 *διὰ παντὸς* (*διαπαντὸς* S A) *ἀρετῆς* (*ἀρετῆς* om. Tr.) S M A: *ἀρετῆς διὰ παντὸς* (*διαπ-* L) L, Plat., Procl. ‖ 18 *σχολὴν ἄγοντας* Procl. p. 43, 26 ‖ 20. 21 *παραπλησίας*] *πλησίας* A | *συναρμοστέον* Plat., Procl. | *πάντα* om. A ‖ 22 *κοινῇ* L ‖ 23 *ταύτῃ καὶ ταῦτα* A L, Plat., *ταῦτα καὶ ταύτῃ* ex *ταύτῃ καὶ ταῦτα* corr. S[1] *ταῦτα καὶ ταύτῃ* M Tr. | *δὲ* A L, Plat., Procl.: *δαὶ* S M, Platonis cod. Paris. 1807 e corr.

τὸ περὶ τῆς παιδοποιίας; ἢ τοῦτο μὲν διὰ τὴν ἀήθειαν τῶν λεχθέντων εὐμνημόνευτον, ὅτι κοινὰ τὰ τῶν γάμων καὶ τὰ τῶν παίδων πᾶσιν ἁπάντων ἐτίθεμεν, μηχανωμένους ὅπως μηδείς ποτε τὸ γεγενημένον αὐτῶν ἰδίᾳ γνώσοιτο, νομιοῦσι δὲ πάντες πάντας αὐτοὺς ὁμογενεῖς, ἀδελφὰς μὲν καὶ ἀδελφοὺς ὅσοιπερ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται, τοὺς δὲ ἔμπροσθεν καὶ ἄνωθεν γονέας τε καὶ γονέων προγόνους, τοὺς δὲ εἰς τὸ κάτωθεν ἐκγόνους παῖδάς τε ἐκγόνων; — Ναὶ καὶ ταῦτα εὐμνημόνευτα ᾗ λέγεις. — Ὅπως δὲ δὴ κατὰ δύναμιν εὐθὺς γίγνοινθ' ὡς ἄριστοι τὰς φύσεις, ἆρ' οὐ μεμνήμεθα ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν εἰς τὴν τῶν γάμων σύνερξιν λάθρα μηχανᾶσθαι κλήροις τισὶν ὅπως οἱ κακοὶ χωρὶς οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι συλλήξονται, καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται, τύχην ἡγουμένοις αἰτίαν τῆς συλλήξεως; — Μεμνήμεθα. — Καὶ μὴν ὅτι γε τὰ μὲν τῶν ἀγαθῶν θρεπτέον ἔφαμεν εἶναι, τὰ δὲ τῶν κακῶν εἰς τὴν ἄλλην λάθρᾳ διαδοτέον πόλιν· ἐπαυξανομένων δὲ σκοποῦντας ἀεὶ τοὺς ἀξίους πάλιν ἀνάγειν δεῖν, τοὺς δὲ παρὰ σφίσιν ἀναξίους εἰς τὴν τῶν ἐπανιόντων χώραν μεταλλάττειν; — Οὕτως. — Ἆρ' οὖν δὴ

---

1 δήπο^τε περὶ L | περὶ] παρὰ Tr. | ἀήθειαν S M, Plat. Procl.: ἀλήθειαν A L Tr. ‖ 3. 4 μηχανώμενοι Platonis cod. Vindob. 55. μηχανωμένοις Buttmann | γεγενημένον M A L Tr., Plat. γεγενημένων S | αὐτῶν L, Platonis cod. Paris. 1807 Vindob. 55: αὐτῶ (vel αὐτῷ) M A, Platonis cod. Vindob. 21, αὐτὸ S | ἰδία (vel -ᾳ) γνώσοιτο L, Plat. cf. Procl. comm. I p. 49, 1 Diehl: διαγνώσοιτο S M A ‖ 6 ὅσοι παρ' αὐτῆς πρεπούσης Tr. ‖ 7 γίγνονται in -ωνται corr. M m. dubia | ἄνω γονέας L ‖ 8 δ' εἰς L ‖ 10 γίγνοιντο ὡς L | ἄριστοι M A L, Plat., Procl.: ἀρίστω S ἀρίστῳ Tr. ‖ 14 συλλήξονται S A, Plat.: ξυλλήξονται L συλλήξωνται M ‖ 17 τῶ, ἀγαθῶν L ‖ 18. 19 ἐπαυξανομένων S M A L, Plat., Procl.: ἐπαυξομένων Tr. ut Platonis cod. Vindob. 21 ‖ 19 δὲ L, Plat., Procl.: om. S M A | πάλιν ἄγειν L ‖ 20 παρὰ φύσιν L ‖ 21 μεταλλάττειν S M, Plat., Procl. μεταλάττειν A: διαλλάττειν L ut Platonis cod. Paris. 1807 | ἄρ' S | δὴ L, Plat., Procl., om. S M A

διεληλύθαμεν ἤδη καθάπερ χθές, ὡς ἐν κεφαλαίοις πάλιν ἐπανελθεῖν, ἢ ποθοῦμέν τι τῶν ῥηθέντων; — Οὐδαμῶς.

10 (10. 11 Mein.) *Πλάτωνος ἐκ τοῦ Μίνωος* (p. 317 C —318 A).

Οὐκοῦν καὶ ἐν τοῖς συγγράμμασι τοῖς περὶ τῶν δικαίων καὶ ἀδίκων καὶ ὅλως περὶ πόλεως διακοσμήσεώς τε καὶ περὶ τοῦ ὡς χρὴ πόλιν διοικεῖν, τὸ μὲν ὀρθὸν νόμος ἐστὶ βασιλικός, τὸ δὲ μὴ ὀρθὸν οὔ, ὃ δοκεῖ νόμος εἶναι τοῖς μὴ εἰδόσιν· ἔστι γὰρ ἄνομον. — Ναί. — Ὀρθῶς ἄρα ὡμολογήσαμεν νόμον εἶναι τοῦ ὄντος εὕρεσιν. — Φαίνεται. — Ἔτι δὲ καὶ τόδε ἐν αὐτῷ θεασώμεθα· τίς ἐπιστήμων διανεῖμαι ἐπὶ γῇ τὰ σπέρματα; — Γεωργός. — Οὗτος δὲ τὰ ἄξια σπέρματα ἑκάστῃ γῇ διανέμει; — Ναί. — Ὁ γεωργὸς ἄρα νομεὺς ἀγαθὸς τούτων, καὶ οἱ τούτου νόμοι καὶ διανομαὶ ἐπὶ ταῦτα ὀρθαί εἰσιν; — Ναί. — Τίς δὲ κρουμάτων ἐπὶ τὰ μέλη ἀγαθὸς νομεύς, καὶ τὰ ἄξια νεῖμαι; καὶ οἱ τίνος νόμοι ὀρθοί εἰσιν; — Οἱ τοῦ αὐλητοῦ καὶ κιθαριστοῦ. — Ὁ νομικώτατος ἄρα ἐν τούτοις, οὗτος αὐλητικώτατος. — Ναί. — Τίς δὲ τὴν τρο-

---

2 *ἢ ποθοῦμέν τι* (*-μεν τί* M) *τῶν ῥηθέντων; οὐδαμῶς* S M A: *ἢ ποθοῦμεν ἔτι τῶν ῥηθέντων τί, ὦ φίλε Τίμαιε, ὡς ἀπολειπόμενον. οὐδαμῶς. ἀλλὰ ταὐτὰ ταῦτ᾽ ἦν τὰ λεχθέντα, ὦ Σώκρατες*: ∾ L quod recipere dubitavi. vereor enim ne invito Stobaeo haec ipse e Platone inseruerit florilegii Laurentiani conditor. sic autem Plato *ἢ ποθοῦμεν ἔτι τι τῶν ῥηθέντων, ὦ φίλε Τίμαιε, ὡς ἀπολειπόμενον; — Οὐδαμῶς, ἀλλὰ τ᾽ αυτὰ ταῦτ᾽* (sic cod. Paris. 1807: *αὐτὰ ταῦτ᾽* Stephanus) *ἦν τὰ λεχθέντα, ὦ Σώκρατες.* ut parum credibile sit tam ante quam post *οὐδαμῶς* aliquid omissum esse librarii neglegentia in S M A codicum archetypo ‖ 3 ecl. cum lemm. hab. S M A L; *Πλάτωνος* non iteravit L. *μίνωος* S A L *μίνωνος* M ‖ 5 *Οὐ* in *Οὐκοῦν* om. rubr. addend. L ‖ 7 *τε* om. Tr. | *τὸν μὲν* Tr. ‖ 8 *οὔ, ὃ δοκεῖ* recepi ex L, Plat.: *οὐ δοκεῖ* S M A; *οὐ δ. ν. εἶναι βασιλικὸς* ante v. *τοῖς μὴ εἰδόσιν* tacite e Platonis Ald. Gesn.[1] ‖ 11 *θεασώμεθα* S M A, Plat. *διαθώμεθα* L ‖ 12 *ἐπὶ γῇ* (vel *γῆ*) S M L, Platonis nonnulli: *ἐν τῇ γῇ* A ‖ 14 *οἱ τοῦ* L ‖ 15 *καὶ αἱ* Plat. cod. Vindob. 55 | *ταῦτα* L, Plat.: *τὰ αὐτὰ* S M A ‖ 16 *Τίς δὲ κρουμάτων*—p. 121, 6 *κράτιστος; Ναί* primus edidi ex L, om. S M A

φὴν ἐπὶ τὰ τῶν ἀνθρώπων σώματα διανεῖμαι ἄριστος, οὐχ ὅσπερ τὴν ἀξίαν; — Ναί. — Αἱ τούτου ἄρα διανομαὶ καὶ οἱ νόμοι βέλτιστοι· καὶ ὅστις περὶ ταῦτα νομικώτατος, καὶ νομεὺς ἄριστος. — Πάνυ γε. — Τίς οὗτος; — Παιδοτρίβης. — Οὗτος τὴν ἀνθρωπείαν ἀγέλην τοῦ σώματος νέμειν κράτιστος; — Ναί. — Τίς δὲ τὴν τῶν προβάτων ἀγέλην κράτιστος νέμειν; τί ὄνομα αὐτῷ; — Ποιμήν. — Οἱ τοῦ ποιμένος ἄρα νόμοι ἄριστοι τοῖς προβάτοις. — Ναί. — Οἱ δὲ τοῦ βουκόλου τοῖς βουσί. — Ναί. — Οἱ δὲ τοῦ τίνος νόμοι ἄριστοι ταῖς ψυχαῖς τῶν ἀνθρώπων; οὐχ οἱ τοῦ βασιλέως; φάθι. — Φημὶ δή.

11 (12 Mein.) *Στωϊκῶν.*

Τόν τε νόμον σπουδαῖον εἶναί φασι, λόγον ὀρθὸν ὄντα, προστακτικὸν μὲν ὧν ποιητέον, ἀπαγορευτικὸν δὲ ὧν οὐ ποιητέον. τοῦ δὲ νόμου ἀστείου ὄντος καὶ ὁ νόμιμος ἀστεῖος ἂν εἴη· νόμιμον μὲν γὰρ εἶναι ἄνδρα καὶ ἀκολουθητικὸν τῷ νόμῳ καὶ πρακτικὸν τῶν ὑπ' αὐτοῦ προσταττομένων· νομικὸν δὲ τὸν ἐξηγητικὸν τοῦ νόμου. μηδένα δὲ τῶν φαύλων μήτε νόμιμον εἶναι μήτε νομικόν.

12 (13 Mein.) *Αἰσχίνου ἐκ τοῦ Κατὰ Τιμάρχου* (30).

---

3 *νόμοι* Plat.: *λόγοι* L ‖ 6 *Τίς δὲ τὴν τῶν προβάτων κτἑ.* sine lemmate cum prioribus cohaerent in S M A, frustra igitur tamquam novam suique iuris eclogam auctore Gesnero constituerunt editores | v. *Τίς δὲ* — (9) *προβάτοις. Ναί* om. L | *δαὶ* pro *δὲ* S ‖ 7 *τί*] *το* M ‖ 9 *οἱ δὲ* S A L, Plat.: *οὐδὲ* M qui etiam in proximo versu *οὐ δὲ* pro *οἱ δὲ* ‖ 11 *οὐχ οἱ* S L, Plat.: *οὐχὶ* M A in *οὐχ' οἱ* corr. M[1] ‖ 12 ecl. cum lemm. hab. S M A (post ecl. 11 Mein.), sine lemm. L (post ecl. 8 Mein.); *στοικῶν* M Tr. leguntur verba supra inter Stoicorum placita Stob. II 7, 11[d] p. 96, 10 ss. W. cf. ibid. p. 102, 4—10 ‖ 13 *Τὸν δὲ νομον* L ‖ 14 *προτακτικὸν* L | *ὧν ποιητέον* libri supra II p. 102, 6 W.: *τῶν ποιητέον* (*ποιητέων* L A) S M A L *τῶν ποιητέων* libri Stob. II p. 96, 11 W. | *ὧν οὐ ποιητέον* libri supra II p. 102, 6 W.: *τῶν οὐ ποιητέον* (*ποιητέων* L A) S M A L *τῶν οὐ ποιητέων* libri supra II p. 96, 12 W. ‖ 15 *τοῦτο δὲ νόμου ὄντως* A ‖ 16 v. *γὰρ εἶναι*—17 *πρακτικὸν* om. A ‖ 16. 17 *καὶ τὸν ἀκολουθ.* Heeren ‖ 20 ecl. cum lemm. hab. S M A L; nil nisi *'Εσχύλου* L *ἐκ τοῦ* om. S

Οὐδ᾿ ὡς ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα τῶν λόγων ἐπιμεληθέντα πρότερον, ἀλλὰ τοῦ βίου.

13 (14 Mein.) *Δημοκρίτου* (fr. 75 Diels[2]).

Κρέσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν ἢ ἄρχειν.

14 (15 Mein.: fr. 256 Diels[2])

Δίκη μέν ἐστιν ἔρδειν τὰ χρὴ ἐόντα, ἀδικίη δὲ μὴ ἔρδειν τὰ χρὴ ἐόντα, ἀλλὰ παρατρέπεσθαι.

15 (16 Mein.) *Τοῦ αὐτοῦ* (fr. 257 Diels[2]).

Κατὰ δὲ ζῴων ἔστιν ὧν φόνου καὶ μὴ φόνου ὧδε ἔχει· τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν ἀθῷος ὁ κτείνων, καὶ πρὸς εὐεστοῦν τοῦτο ἔρδειν μᾶλλον ἢ μή.

16 (17 Mein.: fr. 258 Diels[2])

Κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός· καὶ ταῦτα ὁ ποιῶν εὐθυμίης καὶ δίκης καὶ

---

1 *Οὐδ᾿* (*Ἄδ᾿* L) *ὡς* libri Stob.: *οὐδ᾿* Aesch. nescio an dittographia ortum sit *ὡς* | *ὁ νομοθέτης* quod exhibent tam Stobaei quam Aeschinis libri in Aesch. delendum esse vidit Baiter ‖ 2. 3 *ἀλλ᾿ οὐ τοῦ βίου* Aesch. ‖ 4 ecl. cum lemm. hab. S M A L. recurrit ecloga corp. Par. 203 Elt. (*Δημοκρίτου γνῶμαι*), Democrat. 40 ‖ 5 *κρέσσον* S (sine acc.), M L *κρέσσονες* A[1] *κρεῖσσον* corp. Par. | *τοῖσιν* libri Stobaei, corp. Par., *τοῖς* Democrat. Natorp | *ἀνοήτοισιν* libri Stob., corp. Par., Democrat. | *ἄρχεν* M A ‖ 6 ecl. habent lemmate non iteator S M A L. cohaeret ecloga cum priore in M. *τοῦ αὐτοῦ* cum ex S addidisse sibi videretur Meineke, erravit ‖ 7 *ἔρδειν* S A *ἔρδειν* L *ἔρδην* M | *χρὴ ἐόντα* ni fallor L *χρηεόντα* S A *χρηέοντα* M; *χρέοντα* hic et infra prop. Halm lect. Stob. p. 37, quod receperunt Meineke et Natorp | *ἀδικία* L ‖ 8 *ἔρδειν* L | *χρὴ ἐόντα* S, L(?) *χρηεόντα* A *χρηέοντα* M ‖ 9 ecl. cum lemm. hab. S M A, sine lemmate iunctam cum praegressa L ‖ 10 *ζώων* libri ‖ 11 *ἀδικεῖν* S M A *ἀδικέειν* ut videtur L ‖ 12 *καὶ* om. L | *εὖ ἔστ᾿ οὖν* S A L *εὐ ἐστ᾿ οὖν* M: corr. Valckenaer | *ἔρδειν* L | *μᾶλλον ἢ* quod scripserat lineola induxit L | *καὶ* pro *ἢ* A ‖ 13 ecl. habet lemmate non iterato S M A L, cum priore ecloga cohaerentem M ‖ 14 *κτείνειν* sed *εί* ex parte in ras. M ‖ 15 *ὁ ποιῶν* Tr. *ὁ ποίων* S *ὁποίων* M A L. *ὁ ποιέων* Mullach | *ἐπιθυμίης* libri: corr. Wakefield ap. Gaisf.

θάρσεος καὶ κτήσεως ἐν παντὶ κόσμῳ μέζω μοῖραν μεθέξει.

17 (18 Mein.: fr. 259 Diels²)

Ὄκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων ⟨νόμοι⟩ γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι ποιεῖν· κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει· † νόμος δὲ ἀπείργει ἱερὰ ἑκάστοισιν ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅρκοι.

18 (19 Mein.: fr. 260 Diels²)

Κιξάλλην καὶ ληστὴν πάντα κτείνων τις ἀθῷος ἂν εἴη καὶ αὐτοχειρίῃ καὶ κελεύων καὶ ψήφῳ.

19 (20. 21 Mein.) *Ζαλεύκου Προοίμια νόμων.*

Τοὺς κατοικοῦντας τὴν πόλιν καὶ τὴν χώραν πάντας

---

1 *κτάσεως* SMAL. *κτήσιος* Mullach | *μέζω* SM *μείζω* A *μίζον* L; *μέζονα* mavult Meineke vol. IV p. LXVI ‖ 3 ecl. hab. lemmate non iterato SMAL, cohaerentem cum ecl. priore L ‖ 4 *ὄκωσπερ*] *ὄκως* A | *ἑρπετῶν* Natorp | *νόμοι* inseruit Diels ‖ 4. 5 *γεγράφεται* A¹ ‖ 5 *κατ' ἀνθρ-* ML ‖ 6 *πατρώους* A ‖ 7 *νόμος*] *φόνον* ci. Diels dubitans. expectes *ἀνόμως δὲ ⟨κτείνειν⟩ ἀπ.* sim. *ἀπείργει* [*νόμος*] *μηδὲ ἀπείργει ἱερὰ κτέ.* ci. Elter ‖ 8 ecl. hab. lemmate non iterato SMAL; in M post *ὅρκοι* spatium rubricatori relictum ‖ 10 *κιξάλλην* om. L | *πάντα ⟨τρόπον⟩ κτ.* Cobet mnemos.² II 104 ‖ 11 *αὐτοχειρίους* ex *-χειρίῃ* corr. L ubi post *κελεύων* additur *ξίφει* ‖ 12 ecl. cum lemm. hab. SMAL Br; *Ζαλεύκου* (*-κων*) compend. S *προοίμια νόμων* SMA *προοίμια νόμων. ⟨Ζ⟩αλεύκου* L *προοίμια νόμων* (ante *νόμων* inseruit *χερο* m. rec.) Br: *Ζαλεύκου προοίμιον νόμων* Tr., cui favere putes Diodorum loco mox laudando. sed conferatur lemma eclogae 40 Mein. *Χαρώνδα Καταναίου προοίμια νόμων.* Stobaeani autem consimilem fontem adiit Diodorus XII 20, Posidonium nimirum exscribens, ut perspexit Busolt in Fleckeiseni annal. 1889 p. 308 adn. 6, cui suffragatur Praechter *Hierokl.* p. 41 ‖ 12 ss. cf. Diod. XII 20, 2 *εὐθὺς γὰρ ἐν τῷ προοιμίῳ τῆς ὅλης νομοθεσίας ἔφη* (sc. *Ζάλευκος*) *δεῖν τοὺς κατοικοῦντας ἐν τῇ πόλει πάντων πρῶτον ὑπολαβεῖν καὶ πεπεῖσθαι θεοὺς εἶναι, καὶ ταῖς διανοίαις ἐπισκοποῦντας* (*ἐπισκοπεῖν* cod.: corr. Steph. ex Stob.) *τὸν οὐρανὸν καὶ τὴν διακόσμησιν καὶ τάξιν κρίνειν οὐ τύχης οὐδ' ἀνθρώπων εἶναι ταῦτα κατασκευάσματα, σέβεσθαί τε τοὺς θεούς, ὡς πάντων τῶν ἐν τῷ βίῳ καλῶν καὶ ἀγαθῶν αἰτίους ὄντας τοῖς ἀνθρώποις.* Cicero de nat. deorum II 5, 13

πρῶτον πεπεῖσθαι χρὴ καὶ νομίζειν θεοὺς εἶναι ἀναβλέποντας ἐς οὐρανὸν καὶ τὸν κόσμον καὶ τὴν ἐν αὐτοῖς διακόσμησιν καὶ τάξιν· οὐ γὰρ τύχης οὐδ' ἀνθρώπων εἶναι δημιουργήματα· σέβεσθαι δὲ τούτους καὶ τιμᾶν, ὡς αἰτίους ὄντας ἁπάντων ἡμῖν ἀγαθῶν τῶν κατὰ λόγον γιγνομένων. ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν αὑτοῦ ψυχὴν πάντων τῶν κακῶν καθαράν· ὡς οὐ τιμᾶται θεὸς ὑπ' ἀνθρώπου φαύλου οὐδὲ θεραπεύεται δαπάναις οὐδὲ τραγῳδίαις τῶν ἀναλισκομένων καθάπερ μοχθηρὸς ἄνθρωπος, ἀλλ' ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων. διὸ ἕκαστον εἰς δύναμιν ἀγαθὸν εἶναι καὶ πράξει καὶ προαιρέσει τὸν μέλλοντα ἔσεσθαι θεοφιλῆ, καὶ μὴ φοβεῖσθαι τὰς εἰς χρήματα ζημίας μᾶλλον τῶν εἰς αἰσχύνην τεινόντων, καὶ πολίτην ἀμείνονα νομίζειν τὸν τὴν οὐσίαν προϊέμενον μᾶλλον τοῦ καλοῦ καὶ δικαίου. ὅσοις δὲ μὴ ῥᾴδιον πρὸς ταῦτα τὴν ὁρμὴν ποιεῖσθαι, τὴν δὲ ψυχὴν ἔχουσιν εὐκίνητον πρὸς ἀδικίαν,

---

1 *πρῶτον* S M Br *πρᾶτον* ut videtur Meklero A *πράτον* L | *νομίζων* L. v. *καὶ νομίζειν* insiticia putat Meineke flor. IV p. LXVI, at consimili ubertate Diodorus *ὑπολαβεῖν καὶ πεπεῖσθαι* ‖ 1. 2 *ἀναβλέποντας* (sic ut optaverat Heyne op. acad. II p. 19) Br: *καὶ ἀναβλέποντας* S M A L ‖ 2 v. *καὶ τὸν κόσμον κτέ.* non bene ad Diodori exemplar refingere studet Heyne l. c. ‖ 2. 3 *διακόσμησιν* M L Br Tr. *-μασιν* S A ‖ 5. 6 *γινομένων* M L Br ‖ 6 *ἕκαστον οὖν* — 11 *δικαίων*] cf. Diod. l. c. *ἔχειν δὲ* (sc. *ἔφη δεῖν*) *καὶ τὴν ψυχὴν καθαρὰν πάσης κακίας, ὡς τῶν θεῶν οὐ χαιρόντων ταῖς τῶν πονηρῶν θυσίαις τε καὶ δαπάναις, ἀλλὰ ταῖς τῶν ἀγαθῶν ἀνδρῶν δικαίαις τε καὶ καλαῖς ἐπιτηδεύσεσι* ‖ 7 *αὐτοῦ* S M L Br *ἑαυτοῦ* A *αὑτοῦ* Stob. flor. ed. Tauchnitz. Lips. a. 1838 ‖ 9 *ἁλισκομένων* S M A L Br: corr. Heyne. *ἁλίσκεται* addi vult Elter. an *οὐδὲ* ⟨*χαίρει*⟩ *τραγῳδ.* coll. Diod.? ‖ 11 *διὸ ἕκαστον εἰς δύναμιν* libri nisi quod e corr. *διὸ δεῖ ἕκαστον εἰς δ.* Br, ubi *διὸ* in ras., *δεῖ* ex *διὸ* factum m. prima, fortasse recte coll. 125, 7. contra *διὸ ἕκαστον* ⟨*δεῖ*⟩ *εἰς δ.* tacite temptaverat Gesn.[1], cui obsecuti sunt editores. sed subaudiendum videtur *δεῖ*, non supplendum, legitur supra 6 *ἕκαστον* . . . *δεῖ* ‖ 14 *τινόντων* L Br ‖ 15 *νομίζειν* prop. Meineke, post Meinekium Cobet mnemos.[2] II p. 104: *ὀνομάζειν* libri. cf. quod Charondae tribuitur flor. II p. 183, 20 Mein. ‖ 16. 17 *ποιεῖσθαι* Halm lect. Stob. p. 27 diu ante Cobetum: *πεπεῖσθαι* S M A L Br

ὧδ' ἡμῖν παρηγγέλθω πᾶσι τοῖς τοιούτοις πολίταις καὶ συνοίκοις, μεμνῆσθαι θεῶν ὡς ὄντων καὶ δίκας ἐπιπεμπόντων τοῖς ἀδίκοις, καὶ τίθεσθαι πρὸ ὀμμάτων τὸν καιρὸν τοῦτον, ἐν ᾧ γίνεται τὸ τέλος ἑκάστῳ τῆς ἀπαλλαγῆς τοῦ ζῆν. πᾶσι γὰρ ἐμπίπτει μεταμέλεια τοῖς μέλλουσι τελευτᾶν, μεμνημένοις ὧν ἠδικήκασι, καὶ ὁρμὴ τοῦ βούλεσθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς. διὸ δεῖ ἕκαστον παρ' ἑκάστην πρᾶξιν αἰεὶ συνοικειοῦν τὸν καιρὸν τοῦτον ὡς δὴ παρόντα· οὕτω γὰρ ἂν μάλιστα τοῦ καλοῦ καὶ τοῦ δικαίου φροντιεῖν. ἐὰν δέ τῳ παραστῇ δαίμων κακὸς τρέπων πρὸς ἀδικίαν, διατρίβειν πρὸς ναοῖς καὶ βωμοῖς καὶ τεμένεσι, φεύγοντα τὴν ἀδικίαν ὡς δέσποιναν ἀσεβεστάτην καὶ χαλεπωτάτην, ἱκετεύοντα τοὺς θεοὺς συναποτρέπειν αὐτήν. ἰέναι δὲ καὶ πρὸς ἄνδρας δόξαν ἔχοντας ἐπ' ἀνδραγαθίᾳ, ἀκουσόμενον περὶ εὐδαίμονος βίου καὶ κακῶν ἀνδρῶν τιμωρίας, ἵνα ἀποτρέπηται τῶν ἀδίκων ἔργων, δεισιδαιμονῶν δαίμονας ἀλάστορας. πάντας δὲ τιμῶν † τοὺς οἱ κατοικοῦντες τὴν πόλιν καὶ τοῖς

---

2 *συνοίκοις* S M A L Br *ξυν-* Tr. ‖ 3. 4 *τὸν καιρὸν τοῦτον* M A L Br Tr. *τῶν καιρῶν τούτων* S ‖ 6 *ἠδικήκασι* (*-σιν* M) S M Br *ἠδίκησαν* A *ἠδικήκασι* Tr. *ἠδικήμασι* L | *ὁρμὴ* in *-ῇ* corrigere voluisse videtur M[1] *ὁρμῇ* A[1] ‖ 8 *ἀεὶ* M *αἰεὶ* S A L Br ‖ 9 *οὕτως* L Br | *καλοῦ* e *κακοῦ* corr. A[1] ‖ 10 *φροντιεῖ*dein una litt. rasa Br ‖ 11 *κακὸς* S L Br *κακῶσ* M *κακῶς* A[1] ‖ 14 *συναποτρέπειν* libri nisi quod *ἀποτρέπειν* A ‖ 15 *ἀκουσομένους* libri: corr. Heyne | *τιμωρίης* libri: corr. Meineke ‖ 17 *Δεισιδαιμονῶν κτἑ.* quasi novam eclogam segregavit adiecto lemmate *Ἐν ταὐτῷ* Tr. quo decepti sunt editores ante Meinekium. nullum lemma in S M A L Br, quamquam est spatiolum post *ἔργων* et colon in S, distinctio maior in M | *δεισιδαιμονῶν* S A sed acuto supra *ο* eraso circumflexum dedit A[2]: *δεισιδαιμόνων* M A[1] L Br | per *δαίμονας ἀλάστορας* de Zaleuco excerptum finitur in Br ‖ 17. 18 *πάντας δὲ τιμῶν τοὺς οἱ* (*τοῖς καὶ* pro *τοὺς οἱ* A[2]) *κατοικοῦντες* S M A[1] L. *πάντας δὲ τιμᾶν, οὓς τιμῶσιν ἱεροῖς οἱ κατοικοῦντες τὴν πόλιν καὶ τοῖς ἄλλοις νομίμοις τοῖς πατρίοις, τοὺς θεούς* temptavit Heyne l. c. p. 23 *πάντας δὲ τιμᾶν τοὺς κατοικοῦντας τὴν πόλιν καὶ τοῖς ἄλλοις νομίμοις καὶ τοῖς πατρίοις τοὺς θεούς* ci. Meineke dubitans. verba nondum expedita

ἄλλοις νομίμοις τοῖς πατρίοις τοὺς θεούς· πάτρια δὲ εἶναι τὰ κάλλιστα. πεπεῖσθαι δὲ τοῖς νόμοις ἅπαντας καὶ τοὺς ἄρχοντας αἰδεῖσθαι καὶ ἐξίστασθαι καὶ ποιεῖν τὸ παραγγελλόμενον· ὡς μετὰ θεοὺς καὶ δαίμονας καὶ ἥρωας γονεῖς τε καὶ νόμοι καὶ ἄρχοντες σύνεγγύς εἰσι ταῖς τιμαῖς παρ' ἀνθρώποις ⟨τοῖς⟩ νοῦν ἔχουσι καὶ σωθησομένοις. πόλιν δὲ φιλαιτέραν μηδεὶς ἄλλην ποιείσθω τῆς αὑτοῦ πατρίδος, ὡς θεῶν πατρῴων νεμεσώντων· ἀρχὴ γὰρ προδοσίας φύεται τοῖς τοιαῦτα βουλομένοις. ἔτι δὲ χαλεπώτερον τῆς οἰκείας γῆς στερόμενον ζῆν ἐπ' ἀλλοτρίας· οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. μηδὲ ἐχθρὸν ἀκατάλλακτον μηδεὶς μηδένα νομιζέτω τῶν πολιτῶν, οἷς ἐφείκασιν οἱ νόμοι μετέχειν τῆς πολιτείας· ὡς ὁ τοιοῦτος οὔτε ἄρξαι δύναιτ' ἂν οὔτε δικάσαι καλῶς, τὸν θυμὸν ἔχων κυριώτερον τοῦ λογισμοῦ. μηδεὶς δὲ λεγέτω κακῶς μήτε κοινῇ τὴν πόλιν μήτε ἰδίᾳ τὸν πολίτην· ἀλλ' οἱ τῶν νόμων φύλακες ἐπιμελείσθωσαν τῶν πλημμελούντων, πρῶτον μὲν νουθετοῦντες, ἐὰν δὲ μὴ πείθωνται, ζημιοῦντες. τῶν δὲ κειμένων νόμων ἐάν τις δοκῇ μὴ καλῶς κεῖσθαι, μετατιθέναι ἐπὶ τὸ βέλτιον· μενόντων δέ, πάντας πειθαρχεῖν· ⟨ὡς⟩ ὑπ' ἀνθρώπων μὲν ἡττᾶσθαι τοὺς κειμένους νόμους

---

2 τὰ om. L | τοὺς νόμους A οις superscr. A² ‖ 6 τοῖς addidit Nauck ad Iambl. de vita Pyth. 37 p. 27, 18 ‖ 7 συνθησομενοις A ω superscr. A² | πάλιν A | φιλεταίραν S M A¹ L in φιλαιτέραν corr. S¹ φιλαιτέραν Tr. φιλικωτέραν A² ‖ 8 ἄλλην Tr.: ἄλλος S M A L, corr. A² | αὑτοῦ libri sed ἑαυτοῦ cod. Paris. 1985 fide Gaisfordi ‖ 9 νεμεσώντων L Tr. νεμεσόντων S M A | φαίνεται A sed φύεται in marg. A² ‖ 11 γῆς om. L ‖ 13 ἐφείκασιν Cobet: ἐφήκασιν S ἐφίκασιν (sine spir. et acc. M) M A ὑφήκασιν L ‖ 17 τῶν πλημμελούντων S M L τῶν πλημμελημάτων ἢ τῶν πλημμελούντων A ‖ 19 πείθωνται M A L πίθωνται S | δὲ Tr.: τε S M A L ‖ 20 δοκεῖ L δοκῇ μὴ corr. L¹ ‖ 20. 21 μετατιθέναι Heyne: μετατίθεμεν S M A¹ μετατιθέμεν L A² ‖ 21 πάντα A ‖ 22 ⟨ὡς⟩ ὑπ' ἀνθρώπων μὲν prop. Gesn.¹ ὑπ' ἀνθρώπων μὲν ⟨γὰρ⟩ Gaisford. illud praetuli coll. v. 4 et 14 vel p. 124, 7

οὐ καλὸν οὐδὲ συμφέρον· ὑπὸ δὲ νόμου βελτίονος ἡττώμενον κατακρατεῖσθαι καὶ καλὸν καὶ συμφέρον. τοὺς δὲ ταῦτα παραβαίνοντας χρὴ καὶ κολάζειν ὡς κατασκευάζοντας τῇ πόλει μεγίστων κακῶν ἀρχήν, ἀναρχίαν. ἄρχοντας δὲ μὴ εἶναι αὐθάδεις, μηδὲ πρὸς ἐπήρειαν κρίνειν, μηδὲ μεμνῆσθαι κρίνοντας φιλίας ἢ ἔχθρας, ἀλλὰ τοῦ δικαίου· οὕτω γὰρ ἀποδώσουσι τὰς κρίσεις δικαιοτάτας καὶ τῆς ἀρχῆς ἔσονται ἄξιοι. τοὺς μὲν οὖν δούλους προσήκει διὰ φόβον πράττειν τι τῶν δικαίων, τοὺς δ' ἐλευθέρους δι' αἰδῶ καὶ τὸ καλόν· διὸ χρὴ καὶ τοὺς ἄρχοντας εἶναι τοιούτους, ἵν' ἔχωσιν οἱ ἀρχόμενοι τοὺς ἀξίους αἰσχύνης. ἐὰν δέ τις βούληται τῶν κειμένων νόμων κινεῖν ἢ ἄλλον εἰσφέρειν νόμον, εἰς βρόχον εἴρας τὸν τράχηλον λεγέτω τοῖς πολίταις περὶ αὐτοῦ· καὶ ἐὰν μὲν διαψηφιζομένων δόξῃ λελύσθαι τὸν νόμον ἢ ὑπάρχειν τὸν εἰσφερόμενον, καὶ αὐτὸν ἀθῷον εἶναι· ἐὰν δὲ ὁ προϋπάρχων μᾶλλον δοκῇ καλῶς ἔχειν ἢ ὁ εἰσφερόμενος ᾖ ἄδικος, τεθνάναι τὸν κινοῦντα ἢ εἰσφέροντα νόμον ἐπισπασθέντος τοῦ βρόχου.

20 (22 Mein.) *Ἐκ τῶν Θεοφράστου Περὶ συμβολαίων* (fr. 97 Wimm.).

Οἱ μὲν οὖν ὑπὸ κήρυκος κελεύουσι πωλεῖν καὶ προκηρύττειν ἐκ πλειόνων ἡμερῶν, οἱ δὲ παρ' ἀρχῇ τινι, καθάπερ καὶ Πιττακὸς παρὰ βασιλεῦσι καὶ πρυτάνει. ἔνιοι δὲ προγράφειν παρὰ τῇ ἀρχῇ πρὸ ἡμερῶν μὴ

---

1 *βελτίονος*, ut optaverat Gesn.[1], L: *βέλτιον ὡς* SMA || 7. 8 *δικαιοτάτας* SA *δικαιοτάτους* M *καὶ δικαιοτάτας* L || 12 ss. cf. Hierocles Stobaei III 39, 36 p. 733, 18 ss. H. || 13 *κινεῖν*] de structura cf. Thuc. I 143 VI 70 || 14 *λέγω* L | *πολλῆς* compendiose A *πολίταις* supra scr. A[2] || 16 *ἀθῷιον* S *ἀθῷον* MA *ἀθῷον* ut videtur L || 17 *ἔχων* L | *ἢ* M || 20 ecl. cum lemm. hab. SL, om. MA; nil nisi *Θεοφράστου* L. edidit fragmentum nuper Th. Thalheim *Gr. Rechtsaltert.*[4] (Friburgi Br. a. 1895) p. 146 ss. *περὶ συμβολαίων* actum esse in libro duodevicesimo operis Aristotelis Theophrastique quod inscriptum erat *Νόμων κατὰ στοιχεῖον κδ´* liquet ex Harpocrat. p. 141, 8 Bekk. et Diog. Laert. V 2, 44. vide quae disseruit Nissen mus. Rhen. XLVII p. 184 s. || 22 *οἱ* S *ἃ* rubro L

ἔλαττον ἢ ἑξήκοντα, καθάπερ Ἀθήνησι, καὶ τὸν πριάμενον ἑκατοστὴν τιθέναι τῆς τιμῆς, ὅπως διαμφισβητῆσαί τε ἐξῇ καὶ διαμαρτύρασθαι τῷ βουλομένῳ, καὶ ὁ δικαίως ἐωνημένος φανερὸς ᾖ τῷ τέλει. παρὰ δέ τισι προκηρύττειν κελεύουσι πρὸ τοῦ κατακυρωθῆναι πένθ᾽ ἡμέρας συνεχῶς, εἴ τις ἐνίσταται ἢ ἀντιποιεῖται τοῦ κτήματος ἢ τῆς οἰκίας· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ὑποθέσεων, ὥσπερ καὶ ἐν τοῖς Κυζικηνῶν. οἱ δὲ Θουριακοὶ τὰ μὲν τοιαῦτα πάντα ἀφαιροῦσιν, οὐδ᾽ ἐν ἀγορᾷ προστάττουσιν, ὥσπερ τἄλλα, διδόναι δὲ κελεύουσι κοινῇ τῶν γειτόνων τοῖς ἐγγυτάτω τρισὶ νόμισμά τι βραχὺ μνήμης ἕνεκα καὶ μαρτυρίας. ἀναγκαῖον δηλονότι τοῖς μὲν τὰς ἀρχὰς ὑπευθύνους ποιεῖν, τοῖς δὲ τοὺς γείτονας, ἐὰν μὴ λάβωσιν ἢ δὶς παρὰ τοῦ αὐτοῦ λάβωσιν ἢ ἔχοντες μὴ λέγωσι τῷ ὠνουμένῳ. οὐ χρὴ δ᾽ ἀγνοεῖν, ὅτι αἱ προγραφαὶ καὶ αἱ προκηρύξεις καὶ ὅλως ὅσα πρὸς τὰς ἀμφισβητήσεις ἐστὶ πάντ᾽ ἢ τὰ πλεῖστα δι᾽ ἔλλειψιν ἑτέρου νόμου τίθεται· παρ᾽ οἷς γὰρ ἀναγραφὴ τῶν κτημάτων ἐστὶ καὶ τῶν συμβολαίων, ἐξ ἐκείνων ἔστι μαθεῖν, εἰ ἐλεύθερα καὶ ἀνέπαφα καὶ τὰ αὑτοῦ πωλεῖ δικαίως· εὐθὺς γὰρ καὶ μετεγγράφει ἡ ἀρχὴ τὸν ἐωνημένον. Ἐπεὶ δὲ καὶ προστασίᾳ τινὲς ὠνοῦνται καὶ πωλοῦσιν ἀπαλλοτριοῦν

---

1 ἔλαττον L ἐλάττων S ἐλαττόνων scr. Gesn.[1] ‖ 3 ἐξῆς L | διαμαρτύρεσθαι SL: corr. Meineke ‖ 3. 4 ὁ δικ. ἐωνημένος κτέ.] cf. Lipsius *der att. Proz.* 713 Thalheim l. c. ‖ 9 πωλεῖν post προστάττ. inseri voluit Heyne, πιπράσκειν Gomperz. opus esse supplemento negat Thalheim ‖ 10 τοῖς SL: τῶν Tr. idque retinuit Meineke minus recte, ut monuit Thalheim ‖ 11 νομισμάτιον βραχὺ Cobet mnemos.[2] II p. 104 ‖ 14 παρ᾽ αὐτοῦ L ‖ 14. 15 τῷ ὠνουμένῳ L: τῷ ὠναμένῳ S τῶν ὠναμένων Tr. τῶν ἐωνημένων Heyne τῷ ἐωνημένῳ Madvig adv. cr. I p. 721 τὸν ἐωνημένον Gomperz ‖ 17 πάντ᾽ ἢ Meineke: πάντῃ S πάντῃ vel πάντα L ‖ 18 ἀναγραφαὶ—εἰσὶ subdubitans prop. Meineke flor. v. IV p. LXVII ‖ 19 ἐστὶν ἐλεύθερα καὶ ἀνέπαφα μαθεῖν καὶ L ‖ 20 αὑτοῦ tacite Meineke: αὐτοῦ libri ‖ 21 μετεγγράφει S μετεγράφῃ L | τῶν ἐωνημένων L | δὲ om. L ‖ 21. 22 προστασίᾳ Hofmann (ante Madvigium): προστασίαι libri. illud idem fere valet quod πρόφασιν, vide quae adnotavit Thalheim

ἐθέλοντες, ὀρθῶς ἔχει καὶ πρὸς ταῦτα νομοθετεῖν, ὅπερ καὶ ποιοῦσιν, ἅμα ταῦτά τε βουλόμενοι κωλύειν καὶ τὴν ⟨ὠνὴν⟩ ἐμφανῆ ποιεῖν, ὥσπερ ἐν τοῖς Αἰνίων. κελεύουσι γάρ, ἐὰν μέν τις οἰκίαν πρίηται, θύειν ἐπὶ τοῦ Ἀπόλλωνος τοῦ ἐπικωμαίου, ἐὰν δὲ χωρίον ἐπὶ τῆς κώμης ᾗ αὐτὸς οἰκεῖ, . . . καὶ ὀμνύειν ἐναντίον τῆς ἀρχῆς ⟨τῆς⟩ ἐγγραφούσης καὶ κωμητῶν τριῶν, ἦ μὴν ὠνεῖσθαι δικαίως, μηδὲν συγκακουργοῦντα μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ· τὸν αὐτὸν δὲ τρόπον καὶ τὸν πωλοῦντα πωλεῖν ἀδόλως· τὸν δὲ μὴ οἰκοῦντα ἐν ἄστει θύειν τὸν ὅρκον ἐπὶ τοῦ Διὸς τοῦ ἀγοραίου, τὴν δὲ θυσίαν τῶν ἐλαττόνων εἶναι θυλήμασιν, ἄνευ δὲ τούτων μὴ ἐγγράφειν τὴν ἀρχήν· ἅμα καὶ ἐν τῷ ὅρκῳ προσορκίζειν αὐτήν, ἐὰν μὴ ὀμνύωσι, μηδὲ ἐγγράψειν τὴν ὠνήν· οὗτοι μὲν δὴ πρὸς ἀμφότερα, μᾶλλον δὲ πρὸς πάντα βούλονται πεφυλάχθαι, καθάπερ ἴσως καὶ δεῖ. κυρία ἡ ὠνὴ καὶ ἡ πρᾶσις εἰς μὲν κτῆσιν, ὅταν ἡ τιμὴ δοθῇ καὶ τὰ ἐκ τῶν νόμων ποιήσωσιν, οἷον ἀναγραφὴν ἢ ὅρκον ἢ τοῖς γείτοσι τὸ γιγνόμενον· εἰς δὲ τὴν παράδοσιν καὶ εἰς αὐτὸ τὸ πωλεῖν, ὅταν ἀρραβῶνα λάβῃ· σχεδὸν γὰρ οὕτως οἱ πολλοὶ νομοθετοῦσιν· ἀλλὰ τοῦτο προσδιοριστέον, ἐὰν μὴ παρὰ με-

---

3 *ὠνὴν* inseri posse monuit Valckenaer, cui obsecuntur Madvig Gomperz Thalheim, *ἀπάτην* proposuerat Iacobs lect. Stob. p. 84 idque recepit Meineke, *κτῆσιν* maluit Dareste, *πίστιν* Elter | *Αἰνίων* scribi solet ex emendatione Valckenaerii: *ἐνίων* libri ‖ 5 *ἐπικωμαίου* S: *ἐπικωμένου* L: *ἐπιβωμίου* Dindorf. *ἐπικωμαίου* comprobant Preller-Robert *gr. myth.* I[4] p. 276 adn. 2 | *χωρὶς* L ‖ 5. 6 *ἡ αὐτὸς οἰκῇ* L. *ἧς* (pro *ᾗ*) vel *ἐν ᾗ* dubitans coni. Meineke. locum difficillimum et ut videtur lacunosum expedire studet Thalheim l. c. p. 149 ss. qui exempli gratia *ὡσαύτως* inseri vult post *οἰκεῖ* ‖ 6 *καὶ ὀμνύῃ* S *ἢ ὀμνύῃ* sed ut parum differat ab *ὀμνύειν* L *καὶ ὀμνείει* Tr.: corr. Gesn.[1] ‖ 8 *ὡς μηδὲν* S | *μηδὲν σκαιουργοῦντα* prop. Cobet mnemos.[2] II p. 104 | *μήτε* ante *μηχανῇ* ex *μηδὲ* corr. S[1] ‖ 9 *εὐκόλως* L ‖ 12 *θελήμασιν* L ‖ 13 *ἅμα* S: *ἀλλὰ* L idque praeferri voluit Madvig ‖ 16 *ἴσως. καὶ δεῖ* (*δὴ* L) *κυρία ἡ ὠνὴ* SL *ἴσως καὶ δεῖ· κυρία ἡ ὠνὴ* rectius distinguit Tr. | *κυρία δὲ* (malim *δ'*) *ἡ* Gesn.[1] ‖ 18 *ὅρκον* ci. Gesn.[1] marg.: *οἶκον* SL ‖ 19 *πονεῖν* L

θύοντος μηδ' ἐξ ὀργῆς μηδὲ φιλονεικίας, μηδὲ παρανοοῦντος, ἀλλὰ φρονοῦντος, καὶ τὸ ὅλον δικαίως, ὅπερ κἀκεῖ προσθετέον, ὅταν ἀφορίζῃ παρ' ὧν δεῖ ὠνεῖσθαι. ἔοικε γὰρ ἐκ καιροῦ τὰ τοιαῦτα καὶ πάθους γίγνεσθαι· δεῖ δ' ἐκ προαιρέσεως· οὕτω γὰρ ἔσται τὸ δίκαιον. τάττουσι δέ τινες καὶ τὸν ἀρραβῶνα πόσον δεῖ διδόναι, πρὸς τὸ πλῆθος τῆς τιμῆς μερίζοντες· ἄτοπον γὰρ ἐὰν δακτύλιον δῷ τῶν δέκα ταλάντων. ἐὰν δὲ λαβὼν ἀρραβῶνα μὴ δέχηται τὴν τιμὴν ἢ δοὺς μὴ καταβάλῃ ἐν τῷ ὡρισμένῳ χρόνῳ· δεῖ γὰρ ὡρίσθαι, καθάπερ ἐν τοῖς Θουρίων τὸν μὲν ἀρραβῶνα παραχρῆμα τὴν δὲ τιμὴν αὐθημερόν, οἱ δὲ καὶ πλείους ἡμέρας τίθενται τῆς τιμῆς, οἱ δ' ἁπλῶς ὅσας ἂν ὁμολογήσωσι· τὸ δ' ἐπιτίμιον ἑκατέρῳ, πότερον τῷ μὲν στέρησις τοῦ ἀρραβῶνος; οὕτω γὰρ σχεδὸν οἵ τ' ἄλλοι κελεύουσι καὶ οἱ Θουριακοί· τῷ δὲ μὴ δεχομένῳ ἔκτισις ὅσου ἂν ἀποδῶται; καὶ γὰρ τοῦτο ἐν τοῖς Θουρίων, ἢ ἄνισος ⟨ἡ⟩ ζημία; πολλαπλασία γὰρ ἡ τιμὴ τοῦ ἀρραβῶνος· ἔτι δὲ καὶ βλάπτοιτ' ἂν ὁ ἀποδόμενος ἀφεὶς ἑκάτερον, ἐπειδή τις ἐφ' ἡμέραν μίαν ὁρίσειεν, οὕτω γὰρ μάλιστ' ἐνδέχεται· παρ' ἐνίοις δὲ δικάσασθαι κελεύουσι τῷ μὴ δεχομένῳ τὴν τιμήν. πότερον δὲ ἕως ἂν κομίσηται κύριον εἶναι τοῦ κτήματος; οὕτω γὰρ οἱ πολλοὶ νομοθετοῦσιν· ἢ ὥσπερ Χαρώνδας καὶ Πλάτων; οὗτοι γὰρ παραχρῆμα κελεύουσι διδόναι καὶ λαμβάνειν, ἐὰν δέ τις πιστεύσῃ, μὴ εἶναι δίκην· αὐτὸν γὰρ αἴτιον εἶναι τῆς ἀδικίας.

---

1. 2 παρανομοῦντος libri: corr. Nauck ‖ 4 verba ἔοικε γὰρ — (5) τὸ δίκαιον infra post δέκα ταλάντων (8) collocant libri: huc traicienda esse monuit Gesn.[1] p. 294 marg. ‖ 7 ὁρίζοντες prop. Meineke ‖ 13 τί τὸ ἐπιτίμιον prop. Nauck ‖ 14 πότερον secludi vult Madvig non recte | τῷ μὲν S: τὴν μὲν L | στέρησις Bentley: στέρησιν L στερήσεις S ‖ 16 ὅσου L: ὅσον an ὅσου S dubium, ὅσον Tr. ‖ 17 ἡ ἄνισος ζημία SL: corr. et suppl. Kirchhoff ‖ 19 ἑκατέρους SL: corr. Meineke ‖ 20 ἐνδέχεται παρ' ἐνίοις, δεδικάσθαι SL: corr. Dareste ‖ 22 κύριός ἐστι L ‖ 24 $\overset{\varepsilon}{\pi}$ χρῆμα L ‖ 26 γὰρ om. L

21 (22a Mein.) *Πλάτωνος ἐκ τῆς πρὸς τοὺς οἰκείους Δίωνος Ἐπιστολῆς* (p. 355 A—C).

Δέξασθε, ὦ Συρακούσιοι, πάντων πρῶτον νόμους, οἵ τινες ἂν ὑμῖν φαίνωνται μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν μετ' ἐπιθυμίας, ἀλλ' ὄντων τριῶν, ψυχῆς καὶ σώματος ἔτι δὲ χρημάτων, τὴν τῆς ψυχῆς ἀρετὴν ἐντιμοτάτην ποιοῦντες, δευτέραν δὲ τὴν τοῦ σώματος, ὑπὸ τῇ τῆς ψυχῆς κειμένην, τρίτην δὲ καὶ ὑστάτην τὴν τῶν χρημάτων τιμήν, δουλεύουσαν τῷ σώματί τε καὶ τῇ ψυχῇ. καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμὸς νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος, ὄντως εὐδαίμονας ἀποτελῶν τοὺς χρωμένους· ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας ὀνομάζων λόγος αὐτός τε ἄθλιος, γυναικῶν καὶ παίδων ὢν λόγος ἄνους, τοὺς πειθομένους τε ἀπεργάζεται τοιούτους. ὅτι δ' ἀληθῆ ταῦτ' ἐγὼ παρακελεύομαι, ἐὰν γεύσησθε τῶν νῦν λεγομένων περὶ νόμων, ἔργῳ γνώσεσθε· ἣ δὴ βάσανος ἀληθεστάτη δοκεῖ γίνεσθαι τῶν πάντων πέρι.

22 (23 Mein.) *Ξενοφῶντος ἐκ τῆς Κύρου παιδείας* (I 2, 1—15).

Φῦναι δὲ ὁ Κῦρος λέγεται καὶ ᾄδεται ἔτι καὶ νῦν

---

1 ecl. cum lemm. hab. S L (post ecl. 22 Mein.) M A (post ecl. 2 Mein.), nil nisi *ἀλάτωνος* (*ἀ* rubr.) pro lemm. L. exspectes *πρὸς τοὺς Δίωνος οἰκείους*, vide quae monui ad flor. 47, 23 Mein. ‖ 3 *Συρακόσιοι* Ps.-Plat. ‖ 4 *ἄν* reposui ex L, Ps.-Plat.: *ἐὰν* S M A, ante *ἐὰν* quod scriptum erat *πρὸς* deletum in A | *φαίνονται* Tr. ‖ 5 *τρέψοντες* S L, Ps.-Plat. *τρέψοντε* M *τέρψοντα* A | *μήτ' ἐπιθυμίαις ται|ἀλον.* *ἀλλ' ὄντων* L ‖ 7 *ἐντιμωτάτην* Tr. ‖ 8 *τὴν* etiam A, errat Gaisford | *τῇ* Ps.-Plat.: *τὴν* S M L om. A ‖ 10 *τῇ* L, Ps.-Plat.: om. S M A | *ψυχῇ* corr. S¹ ex *ψυχὴν* ‖ 11 *οὕτως* Tr. ‖ 14 *ὢν* L, Ps.-Plat.: *ὧν* S M A | *λόγους* A | *ἄνους* (*ἄνουσ* M) etiam libri Stobaei, moneo propter Gaisfordum | *τοὺς* non om. L ‖ 15 *ὅτι δ' ἀληθῆ* — 18 *πάντων πέρι* ex L addidit Gaisford, om. S M A ‖ 17 *ἔργῳ* Ps.-Plat.: *ἔργων* L | *ἣ δὴ* Ps.-Plat.: *ἡ δὲ* L ‖ 17. 18 *γίγνεσθαι* Ps.-Plat. ‖ 19 ecl. cum lemm. hab. S M A (post 22ᵃ Mein.), sine lemm. L (post ecl. 20. 21 Mein.). *φῦναι* — p. 132, 4 *ἕνεκα* citat Suidas s. v. *Κῦρος* ‖ 21 *ὁ* om. Xenophontis non nulli | *ἔτι δὲ νῦν* L

ὑπὸ τῶν βαρβάρων εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος καὶ φιλομαθέστατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα. φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις· οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι οὐκ ἔνθεν ὅθεν περ ἐν ταῖς πλείσταις πόλεσιν ἄρχονται. αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν ὅπως τις ἐθέλει τοὺς ἑαυτοῦ παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους ὅπως ἐθέλουσι διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν μηδ᾽ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν ὃν μὴ δίκαιον, μὴ μοιχεύειν, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἄλλα τὰ τοιαῦτα ὡσαύτως· ἐὰν δέ τις τούτων παραβαίνῃ τι, ζημίας αὐτοῖς ἐπανέθεσαν. οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες ἐπιμέλονται ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται οἷοι πονηροῦ τινος ἢ αἰσχροῦ ἔργου ἐφίεσθαι. ἐπιμέλονται δὲ δὴ ὧδε. ἔστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. ἐντεῦθεν τὰ μὲν ὤνια καὶ οἱ ἀγοραῖοι καὶ αἱ τούτων φωναὶ καὶ αἱ ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. διῄρηται δὲ αὕτη ἡ ἀγορὰ ἡ περὶ τὰ ἀρχεῖα

---

2 *φιλομαθέστατος* SMAL, Suid., Xenophontis cod. Paris. 1635: *φιλομαθέστατος καὶ φιλοτιμότατος* Xenophontis rell. idque e Xen. inseruit Gesn.[1] ‖ 4 *τῆς μορφῆς καὶ τῆς ψυχῆς* Xenophontis librorum magna pars ‖ 7 *οὐκ ἔνθεν* [*ὅθεν*] *περ* ci. Hertlein ‖ 9 *παιδεύειν*] *σπεύδειν* L | *ἑαυτῶν* Xenophontis non nulli ‖ 12 *παύειν* A[1] ‖ 13 *ἄρχονται* in *ἄρχοντι*, dein in *ἄρχουσιν* corr. A[2] ‖ 14 *ἐὰν*] *ἢν* Xen. | *τούτων τι παραβαίνῃ, ζημίαν* Xen. | *παραβαίνῃ*] 'quae A[1] supra *νῃ* scripsit, mihi dubia sunt: certe *τι* non adest nec tamen *εαι* videtur esse' Mekler ‖ 14 *τις καὶ τούτων* L ‖ 15 *ἐπέθεσαν* Xenophontis plurimi ‖ 16 *ἐπιμέλονται* L, Xen.: *ἐπιμελῶνται* SMA *ἐπιμελοῦνται* Tr. | *ἔσωνται* S ‖ 18 *δὲ δη* libri Stobaei ut Xenophontis Erlangensis: *δὲ* aut *δὴ* Xenophontis rell. ‖ 21 *καὶ αἱ ἀπειροκαλίαι* AL, Xenophontis aliquot libri, inter quos Erlang.: *καὶ ἀπειρο-* SM, Xen. alii rectius ‖ 22 *μίγνυνται* L | *καὶ ἡ τούτων* A ‖ 23 *τὰ* ex *τοῦ* corr. M[1]

εἰς τέσσαρα μέρη· τούτων δ' ἔστιν ἓν μὲν παισίν, ἓν δὲ ἐφήβοις, ἄλλο δὲ τελείοις ἀνδράσιν, ἄλλο δὲ τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες ἅμα τῇ ἡμέρᾳ καὶ οἱ τέλειοι ἄνδρες, οἱ δὲ γεραίτεροι ἡνίκα ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, αἷς αὐτοὺς δεῖ παρεῖναι. οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνητικοῖς ὅπλοις πλὴν τῶν γεγαμηκότων· οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἂν μὴ προρρηθῇ παρεῖναι, οὔτε πολλάκις ἀπεῖναι καλόν. ἄρχοντες δὲ ἐφ' ἑκάστοις τούτων τῶν μερῶν εἰσι δώδεκα· δώδεκα γὰρ καὶ φυλαὶ Περσῶν διῄρηνται. καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέρων ᾑρημένοι εἰσὶν οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι· ἐπὶ δὲ τοῖς ἐφήβοις ἐκ τῶν τελείων ἀνδρῶν οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέξειν· ... αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ καὶ τῶν γεραιτέρων προστάται ᾑρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ οὗτοι τὰ καθήκοντα ἀποτελῶσιν. ἃ δὲ ἑκάστη

---

1 *εἰς* ante *τ.* recte om. Xenophontis aliquot codices | *τέτταρα* Xen. | *ἐστὶν* libri Stobaei | *ἓν* bis scr. A ‖ 2 *ἄλλο δὲ* hic et in prox. SMAL, Xenophontis Erlang., *ἄλλοτε δὲ* Tr.: *ἄλλο* Xenophontis rell. | *ἄλλα δὲ τοῖς* L ‖ 3 *ἔτι* MAL | *γεγόνασι* A | *αὐτῶν* L ‖ 4 *πάρεισιν* Xen.: *παριᾶσιν* MAL, sine acc. S ‖ 8 *γυμνητικοῖς* SMAL, Xen.: *γυμνικοῖς* Tr., Xenophontis pauci, Zonaras v. I p. 146 C ‖ 9 malim *ἐπιζητοῦνται, ἐὰν* coll. p. 132, 14. *ἢν* fere libri Xenophontis ‖ 11 *ἑκάστοις* SMAL, Xenophontis Erlang.: *ἑκάστῳ* Xenophontis rell. ‖ 11. 12 *καὶ Περσῶν φυλαὶ* Xen., *καὶ* omisso etiam Zonaras ‖ 13 *γεραιτέρων* sed post prius *ρ* una litt. rasa M | *τοὺς παῖδας* SML, Xen.: *τε καὶ παῖδας* (om. *τοὺς*) A ‖ 15 *αὖ τοὺς* S *αὐτοὺς* MA *αὐτοῖς* L ‖ 15. 16 s. *δοκῶσι παρέξειν* SMAL: *δοκῶσι παρέχειν* libri Xenoph., quorum non nulli *παρέξειν δοκῶσιν* ‖ 16 ante *αὐτοὺς* v. *ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν οἳ ἂν δοκῶσι παρέχειν* e Xen. inseruit Gesn.[1]; potius lacunam signavi, nam Xenophontis cod. Erlangensis, a quo prope abest Stobaei memoria, haec ipsa verba nonnisi in marg. adscripta habet a m. rec. ‖ 17 *βελτίστης* L | *εἰσὶ δὲ καὶ* Xen. ‖ 18 *οἳ προστατεύουσιν* seclusit L. Dindorf Xen. inst. Cyri praef. ed. Lips. quartae p. IV ‖ 19 *ἀποτελέσωσιν* A

ἡλικίᾳ προστέτακται ποιεῖν διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένηται, ᾗ ἐπιμέλονται ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται. οἱ μὲν δὴ παῖδες οἱ εἰς τὰ διδασκαλεῖα φοιτῶντες διάγουσι μανθάνοντες δικαιοσύνην· καὶ λέγουσιν ὅτι ἐπὶ τούτῳ ἔρχονται ὥσπερ παρ' ἡμῖν ὅτι γράμματα μαθησόμενοι. οἱ δὲ ἄρχοντες αὐτῶν διατελοῦσι τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς. γίγνεται γὰρ δὴ πρὸς ἀλλήλους καὶ παισὶν ὥσπερ ἀνδράσιν ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς καὶ βίας καὶ ἀπάτης καὶ κακολογίας καὶ ἄλλων οἵων εἰκός. οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. κολάζουσι δὲ καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι· δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ οὐχ ἥκιστα, ἀχαριστίας, καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδοῦναι, μὴ ἀποδιδόντα δέ, κολάζουσι τοῦτον ἰσχυρῶς. οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν καὶ περὶ γονέας καὶ περὶ πατρίδα καὶ περὶ φίλους. ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντία· καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. διδά-

---

1 *ἡλικίᾳ* L, libri Xen.: *τῇ ἡλ.* SMA | *διηγησώμεθα* M ‖ 3 *οἱ* (post *παῖδες*) om. libri Xenophontis praeter Erlangensem | *διδασκαλία* MA ‖ 4 *διάγουσι μανθάνοντες* MAL, Xen.: *μανθάνουσι διάγουσι* (*διάγειν* Tr.) S Tr. ‖ 5 *ἐπὶ τοῦτο* Xen. | *ὅτι* SMAL: *οἱ τὰ* Xen. vide Cobet mnemos.[2] III p. 378 ‖ 7 *γίνεται* ML | *δὴ* om. A ‖ 8 *καὶ παισὶ πρὸς ἀλλήλους* Xen. ‖ 10 *οἷον* A | *οἵων δὴ εἰκός* Xenophontis libri plerique ‖ 11 *οὓς — ἐγκαλοῦντας* SMAL sicut Xenophontis non nulli, velut Erlangensis, et Zonaras: *ὃν — ἐγκαλοῦντα* Xenophontei plurimi ‖ 13 *μισοῦσι μὲν* SML, Xen.: *μὲν μισοῦσι* A ‖ 14 v. *δικάζονται δὲ — 20 ἡγεμών* leguntur etiam supra Stob. II 46, 22 p. 263, 22 W. lemmate *Ξενοφῶντος Κύρου παιδείᾳ* praemisso | *οὐχ ἥκιστα* Stobaei libri hic et supra, *ἥκιστα* Xen. ‖ 15 *ἀποδοῦναι* Stob. utrobique, Xenoph. Erlangensis: *ἀποδιδόναι* Xen. ‖ 16 ante *τοῦτον* add. *καὶ* Xenophontis plerique ‖ 18 *καὶ πατρίδα καὶ φίλους* Xenophontis libri excepto Erlangensi | *πατρίδοσ* M[1] in *πατρίδα* corr. M[2] ‖ 19 *ἀναισχυντία* Stob. utrobique, *ἡ ἀν.* Xen. ‖ 19. 20 *αὕτη μεγίστη δοκεῖ εἶναι* Xen.

σκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται καὶ εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. διδάσκουσι δὲ καὶ πείθεσθαι αὐτοὺς τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους πειθομένους ἰσχυρῶς τοῖς ἄρχουσι. διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι καὶ γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες, καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, όταν οἱ ἄρχοντες σημήνωσιν. φέρονται δὲ οἴκοθεν σῖτον μὲν ἄρτους, ὄψον δὲ κάρδαμον, πιεῖν δ', ἐάν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. πρὸς δὲ τούτοις μανθάνουσι καὶ τοξεύειν καὶ ἀκοντίζειν. μέχρι μὲν δὴ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν, ἐκ τούτου δ' εἰς τοὺς ἐφήβους ἐξέρχονται. οὗτοι δὲ αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε. δέκα ἔτη ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προείρηται, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης· δοκεῖ γὰρ αὕτη ἡ ἡλικία ἐπιμελείας μάλιστα δεῖσθαι· παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς [μάλιστα] τοῖς ἄρχουσι χρῆσθαι,

1 *μεγα* sed *λ* superscr. L ‖ 2 *καὶ* om. Xen. ‖ 3 *καὶ* SMA, Xen.: om. L ‖ 4 *δὲ αὐτοὺς καὶ πείθεσθαι* Xen. | *ἑαυτοὺς* L ‖ 5 *εἰς τοῦτο συμβάλλεται* AL, Xen.: *εἰς* (*εἰ* M) *τοῦτο συλλαμβάνεται* SM, Xenoph. Erlang. ‖ 6 *καὶ* om. Xen. libri praeter Erlang. | *πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς* Xen. ‖ 7 *ἐγκρατεῖς εἶναι* libri Stobaei: *ἐγκράτειαν* Xenophontis meliores, Zonaras | *καὶ* (ante *γαστρὸς*) om. Xen. ‖ 10 *ὅτι οὐ* e Xen. Gesn.[1]: *οὔτε* SMAL ‖ 12 *συμήνωσι* L | *οὔποθεν* M | *σίτων* S | *ἄρτον* rectius Xenophontis nonnulli ‖ 13 *δ' ἐάν* (*δὲ ἄν* M) libri Stobaei, *δὲ ἢν* fere Xen. | *κόθωνα* M ‖ 14 *ἀντλήσασθαι* A sed *γρ. ἀρύσασθαι* supra lin. m. ant. ‖ 15 *δὴ ἓξ ἢ ἑπτακαίδεκα* Xen. idque etiam Stobaeo intulit Gesn.[1] ‖ 16 *ταῦτα* om. S ‖ 19 *κοσμῶνται* A[1] | *προείρηται* libri Stobaei, Xenophontis pauci: *προειρήκαμεν* Xen. ‖ 21 *αὕτη ἡ* M, Xen., *ἡ* supra lin. add. S[1] *αὕτη ἡ* etiam A 'sed *ἡ* nescio an linea transversa del.' Mekler | *μάλιστα ἐπιμελείας* Xen. ‖ 22 *μάλιστα* om. Xen.: per vitium irrepserit vocabulum ex v. superiore, cf. p. 157, 14 | *χρῆσθαι, ἢν* Xen. malim *χρῆσθαι, ἐάν* cf. p. 132, 14. 137, 8

ἄν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ. καὶ ὅταν μὲν δέῃ τι, πάντες μένουσι περὶ τὰ ἀρχεῖα, ὅταν δὲ ἐξάρῃ βασιλεὺς ἐπὶ θήραν, τὰς ἡμισείας φυλὰς καταλείπει· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα καὶ παρὰ τὴν φαρέτραν ἐν κολεῷ κοπίδα ἢ σάγαριν, ἔτι ⟨δὲ⟩ γέρρον καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφιέναι, τῷ δέ, ἐὰν δέῃ, ἐκ χειρὸς χρῆσθαι. διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεὺς ὥσπερ καὶ ἐν πολέμῳ ἡγεμὼν αὐτοῖς ἐστι καὶ αὐτός τε θηρᾷ καὶ τῶν ἄλλων ἐπιμελεῖται ὅπως ἂν θηρῶσιν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. καὶ γὰρ πρωῒ ἀνίστασθαι ἐθίζει καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι, γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις, ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον καὶ ἀκοντίσαι ὅπου ἂν παραπίπτῃ. καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γινόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥάδιον εὑρεῖν τι ἐν τῇ θήρᾳ, ὃ ἄπεστι τῶν ἐν τῷ πολέμῳ παρόντων.

---

1 *δέῃ τι* S M L *δέηται* A *δέῃ* Xen. nisi quod Erlang. *δέῃ τι.* ortum sit *τι* ut saepius ex insequenti *π* ‖ 2 *ἐξίῃ* Xen. ‖ 3 *ἡμισείας* Gesn.[1]: *ἡμίσεας* (sine acc. S) S L *ἡμισέας* M A *ἡμίσεως* Tr. | *φυλὰς* S M L *φυλακὰς* A. Xenophontis traditio fluctuatur inter *ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς* et *ἐπὶ θήραν, τὰς ἡμισείας φυλακὰς καταλείπει.* cf. Zon. v. I p. 147 A ‖ 5 *σάγαρον* S M A L: *-ριν* Xen., corr. M[2] ‖ 6 *δὲ* e Xen. inseruit Gesn.[1] | *παντὰ* M | *ἀφεῖναι* Xen. ‖ 7 *τῶ δὲ* S, Xen.: *τὸ δὲ* M A L Tr | *χειρὸς* M A L, Xen.: *χερὸς* S ‖ 8 *ἐπιμελῶνται* M ‖ 9 *αὐτοῖς ἐστιν* (*ἐστὶ* vel *ἐστι* ut videtur S A) S M A: *ἐστιν αὐτοῖς* Xenophontis plurimi ‖ 10 *ἐπιμελεῖται* tam Xenoph. quam Stob. libri ‖ 11 *εἶναι* post *δοκεῖ* collocat Xen., cum Stobaeo tamen consentiunt ut saepius cod. Erlang. n. 88 et Guelferb. 71, 19 ‖ 12 *πρωὶ* libri sicut ap. Xen. | *ψύχη καὶ θάλπη* L, Xen.: *ψύχει καὶ θάλπει* S M A bis *η* superscr. M[2] ‖ 13 *ἀνεχεσθαι* sine acc. S ‖ 14 *θηρίον* etiam A; fallitur Gaisford ‖ 16 *ἐν τῇ θήρᾳ* om. Xen. nec ego repugnabo si quis tamquam glossema sustulerit, cf. 19 ‖ 16. 17 *ἀνθιστῆται* Xen. *ἀντιστηται* sine acc. S A *ἀντιστῆται* L *ἀντίστηται* M ‖ 17 *παίει* L | *γίγν-* Xen. ‖ 19 *τι — ἄπεστι*] *τί ἐν τῇ θήρᾳ ἄπεστι* ex parte libri Xen., *ἐν τῇ θήρᾳ τί ἄπεστι* alii | *τῷ* om. Xen.

ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν ἄριστον ἔχοντες πλέον μέν, ὡς καὶ εἰκότως, παίδων, τἄλλα δ' ὅμοιον. καὶ θηρῶντες μὲν οὐκ ⟨ἂν⟩ ἀριστήσαιεν, ἢν δέ τι δεήσῃ θηρίου ἕνεκα ἐπικαταμεῖναι ἢ ἄλλως βουληθῶσι διατρῖψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες τῇ ὑστεραίᾳ θηρῶσι μέχρι δείπνου, καὶ μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καὶ ἄν τι ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι ὅ τι ἂν θηράσωσιν· εἰ δὲ μή, τὸ κάρδαμον. εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἐσθίωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ πιεῖν διψῶντι. αἱ δ' αὖ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα ἃ παῖδες ὄντες ἐμάνθανον καὶ τοξεύειν καὶ ἀκοντίζειν, καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. εἰσὶ δὲ καὶ δημόσιοι τούτων ἀγῶνες καὶ ἆθλα

---

1 s. *πλεῖον μέν, ὡς το* (*τὸ* om. nonnulli) *εἰκός, τῶν παίδων* libri Xenophontis. discrepantiae Stobaei non multum tribuerim: certe *καὶ* post *ὡς* dittographia quadam poterat subnasci, *εἰκὸς τῶν* si fuerat, facile in *εἰκότως* depravari ‖ 2 *τὰ δ' ἄλλ'* L ‖ 3 *ἂν* e Xen. inseruit Gesn.[1] | *ἀριστήσαιεν* ut Xenophontis sic Stobaei libri, sed ex verbo nescio quo corr. S[1] et quidem *σ* posterius ex *ν* ut videtur | *δεήσῃ ἢ* Xenophontis plurimi ‖ 4 *βουληθῶσι* S M A L iterum congruentes cum Xenophontis Erlang. et Guelferb.: *ἐθελήσωσι* fere Xenophontis ceteri | *ἐπὶ τὴν θ.* A ‖ 5 *τὸ ἄριστον* S M A L, Xenophontis Erlang. et Guelferb., *τὸ οὖν ἄριστον* e Xenophontis Paris. 1635 et 1640 recepit Hug | *τὴν ὑστεραίαν αὖ θηρῶσι* Xen. sed ut *αὖ* omiserint nonnulli ‖ 6 *τὼ* e Xen. Gesn.[1]: *τῇ* S M A L *τὰ* Xenophontis cod. Erlang. ‖ 8 *ἵνα καὶ ἄν τι* S M A L *ἵνα καὶ ἐάν τι* Xenophontis Erlang. et Guelferb. idque vindicarim etiam Stobaeo. *ἵν' ἐάν τι καὶ* Xenophontis ceteri ‖ 9 *τούτω ποιεῖν* A ‖ 11 *εἰ δέ τις* — 12 *μόνον* om. A ‖ 11 *οἴηται* S | *ἢ* om. L ‖ 12 *κάρδαμον μόνον*] cf. Cic. Tusc. disp. V 34, 99 | *ἐσθίωσιν*] *ἔχωσιν* Xen. ‖ 13 *μᾶζα* libri, etiam Xenophontis ‖ 14 *πινῶντι* M | *ποιεῖν* A ‖ 14. 15 *διψῶντι πιεῖν* colloc. Xenophontis Erlang. et Guelferb. ‖ 15 *διατρίβουσι* ex *-σαι* corr. L ‖ 16 *ὄντες* S M L, Xen., *δέοντες* A[1] *ἐόντες* A[2] | *ἔμαθον* Xen.

προτίθεται· ἐν ᾗ δ' ἂν φυλῇ πλεῖστοι ὦσιν δαημονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις παῖδας ὄντας αὐτοὺς ἐπαίδευσε. χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ πᾶσαι, ἤν τι ἢ φρουρῆσαι δέῃ ἢ κακούργους ἐρευνῆσαι ἢ λῃστὰς ὑποδραμεῖν ἢ καὶ ἄλλα ὅσα τάχους καὶ ἰσχύος ἔργα ἐστίν. ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας. ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη ὧδε διάγουσι· πρῶτον μὲν ὥσπερ οἱ ἔφηβοι παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἐάν τι δέῃ περὶ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. ἐὰν δέ που δέῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω παιδευόμενοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ στρατεύονται, τὰ δὲ ἀγχίμαχα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ, ἐν δὲ τῇ δεξιᾷ μάχαιραν ἢ κοπίδα. καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται πλὴν οἱ τῶν παίδων διδάσκαλοι. ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν

---

1 *προστίθεται* M | *φυλῇ* (vel -*ῆ*) S M A L, Xen. Erlang. et Guelf. : *τῶν φυλῶν* Xenoph. ceteri | *ὦσι* A | *δαημονέστατοι* Xen.: *δαιμονέστατοι* (*δαϊμ-* S) libri Stobaei ‖ **2** *ἐπαινῶσιν* A ‖ **3** *πολιται* sine acc. S ‖ **4** *ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσε* Xen. ‖ **5** *πᾶσαι* om. Xen., e v. 18 adsumptum esse a gnomologo putat L. Dindorf ‖ **6** *δεήσῃ ἢ* Xenophontis plerique ‖ **7** *ἄλλο τι ὅσα* Xen. | *τάχους καὶ ἰσχύος* libri Stobaei, Xenophontis ed. Iunt.; *ἰσχύος ἢ τάχους* Xenoph. libri Paris. 1635 et 1640, *ἰσχύος τε καὶ τάχους* alii. fortasse *τάχους ἢ ἰσχ.* ‖ **8** *ἡ* pro *οἱ* M ‖ **10** *ἐκ τῶν ἐφήβων* om. Xenophontis nonnulli ‖ **11** *εἴκοσιν* (-*σι* M) MAL *κ̄* S | *ὧδε* SL *ὦδε* M om. A | *διάγουσιν ὧδε* Xenoph. cod. Paris. 1635 et Brem. ‖ **12** *ἐάν τι* (*ἐὰν δέ τι* L) libri Stob. *ἤν τι* Xen. ‖ **13** *περὶ*] *ὑπὲρ* Xenoph. libri praeter Erlang. et Guelferb. ‖ **14** *καὶ*] *ἢ καὶ* A | *ἤν* libri Xenoph. | *δεήσῃ* Xenoph. libri Erlang. et Guelferb. ‖ **15** *πεπαιδευμένοι* Xen. | *πάλτα* M ‖ **16** *ἀγχίμαχα* fort. Xen. Erlang. pr., qui *ε* in lit.: *ἄγχιμα* SML *ἔγχιμα* A[1] *ἀγχέμαχα* A[2], Xen. ‖ **17** quae post *ἀριστερᾷ* leguntur ap. Xen. *οἷόνπερ γράφονται οἱ Πέρσαι ἔχοντες* om. Stob., Zonaras ‖ **18** *αἱ* om. L ‖ **20** *ε̄ καὶ κ̄* S | *εἴκοσι* M | ante *εἴησαν* offert *ἐξέρ* (cf. 9) sed punctis deletum A | *εἶῆσαν* A

μὲν ἂν οὗτοι πλέον ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς αὐτῶν, οἴκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ πάντα καὶ τὰ ἴδια. καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι αἱροῦνται πάσας· καὶ ἐάν τις ἢ ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον καὶ τῶν ἄλλων ὁ βουλόμενος, οἱ δὲ γεραίτεροι ἀκούσαντες ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς ἄτιμον τὸν λοιπὸν βίον διατελεῖ. ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι· νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη διὰ τὰ προειρημένα. λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δὲ οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς ἑαυτῶν παῖδας ἀργοῦντας πέμπουσιν, οἱ δὲ μὴ δυνάμενοι οὐ πέμπουσιν, ἵνα παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις· ἔξεστι δὲ αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι· τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ ἔξεστιν. οἳ δ' ἂν αὖ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναλίζεσθαι καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν, οἳ δ' ἂν αὖ

---

1 *ἂν* om. A | *πλεῖόν τι* (*τι* om. libri aliquot) Xen. | *γεγονότες ἢ τὰ πεντήκοντα ἔτη ἀπὸ γ.* libri Xenophontis exceptis Erlang. et Guelferb. ‖ 2 *ἐξέργχονται* L | *δὲ* om. A ‖ 4 *ἑαυτῶν* Xen. ‖ 5 *πάντα* post *τὰ ἴδια* colloc. libri Xenophontis praeter Erlang. et Guelferb. ‖ 6 *οὗτοι*] *ἤδη* A | *πάσας αἱροῦνται* Xen. ‖ 7 *ἤν τις* Xen. | *τέλοισ* L | *ἐλλίπῃ* Xenophontis ed. Iunt.: *ἐκλίπῃ* SL *ἐκλείπῃ* MA, Xenophontis cod. Paris. 1635 ‖ 8 *οἱ φίλ-* L | *ἕκαστον* etiam Xen. Erlang. et Guelf., *ἕκαστοι* ceteri ‖ 10 *ἄτιμος* Xen. | *τὸν λοιπὸν βίον* dedi ex SMAL: *τὸν βίον* Tr. ‖ 10. 11 *διατελεῖ τὸν λοιπὸν βίον* colloc. libri Xenoph. praeter Erlang. et Guelferb. ‖ 13 *γὰρ* om. S ‖ 14 *ιβ* S ‖ 15 *πᾶσϊν* sed *ϊν* in ras. corr. M[2] | *πᾶσι τοῖς Π.* A ‖ 18 *ἑαυτῶν* om. Xen. ‖ 19 *πέμπουσιν, ἵνα*] *πέμπουσιν. οἳ δ' ἂν* Xen. ‖ 20 *διδασκάλοις ἔξεστιν αὐτοῖς* Xen. ‖ 21 *παιδευθεῖσιν* L ‖ 24 *συναυλ-* L | inter *οἳ δ' ἂν μὴ δια-*

ἐν τοῖς παισὶ μὴ διαγένωνται ἢ ἐν τοῖς ἐφήβοις, οὐκ ἔρχονται εἰς τοὺς τελείους· οἳ δ᾽ ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίγνονται. οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν καλῶν διεληλυθότες καθίστανται.

23 (24—39 Mein.) *Ξενοφῶντος ἐκ τῆς Λακώνων πολιτείας* (I 4 ss. II 1. 2—6. 7—8. 10 III 4—5 IV 1. 2—4. 6. 7 VI 1—2 VII 2 IX 1 X 1—3 XI 3—4 VIII 3. 4. 5).

Ὁ δὲ Λυκοῦργος ἐσθῆτας μὲν καὶ δούλας παρέχειν ἱκανὰς ἡγήσατο εἶναι, ταῖς δὲ ἐλευθέραις μέγιστον νομίσας εἶναι τὴν τεκνοποιίαν πρῶτον μὲν σωμασκεῖν ἔταξεν οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλου· ἔπειτα δὲ δρόμου καὶ ἰσχύος, ὥσπερ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς θηλείαις ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε, νομίζων ὡς ἀμφοτέρων ἰσχυρῶν καὶ ἔκγονα ἐρρωμενέστερα γίγνεσθαι. ἐπεί γε μὴν ⟨γυνὴ⟩ πρὸς ἄνδρα ἔλθοι, ὁρῶν τοὺς ἄλλους τὸν πρῶτον τοῦ χρόνου ἀμέτρως ταῖς γυναιξὶ συνόντας, καὶ τούτου τἀναντία ἔγνω· ἔθηκε γὰρ αἰδεῖσθαι μὲν εἰσιόντα ὀφθῆναι, αἰδεῖσθαι δὲ ἐξιόντα· οὕτω δὲ συνόντων

γένωνται ἐν τοῖς ἐφήβοις et *οἳ δ᾽ ἂν αὖ ἐν τοῖς παισὶ μὴ διατελέσωσιν ἢ ἐν τοῖς ἐφήβοις* fluctuantur libri Xenophontis

1 *μὴ* supra lin. A ‖ 1. 2 *οὐκ εἰσέρχονται εἰς* Xenophontis nonnulli rectius ‖ 3 *ἀνεπίληπτοι* S M A L sicut Xen.: *ἀνεπίπληκτοι* male Gaisford et Meineke | *γενναιοτέρων* M | *γίν-* L ‖ 4. 5 *ἐληλυθότες* Xen. ‖ 6 ecl. cum lemmate hab. S M A L, *Τοῦ αὐτοῦ* pro *Ξενοφῶντος* L. *Λακώνων π.* etiam Pollux 6, 142, Harpocratio sive Suid. s. v. *Μόραν*, Lexic. Berol. post Didymum de Demosth. (Berol. a. 1904) p. 80. *Λακεδαιμονίων π.* libri Xenophontis, Diog. L. II 57, Longinus de sublim. 4, 4, Epit. Harpocrationis ‖ 10 *καὶ τὰς δούλας* Cobet N. L. 725 ‖ 10. 11 *παρέχειν ἱκανὰς* S e corr., M A L, Xen. *ἱκανὰς παρέχειν* S primo, Tr. ‖ 12 *σῶμα ἀσκεῖν* A ‖ 13 *οὐδὲν ἧττον* Tr., Xen.: *οὐδ᾽ ἧττον* S A L *οὐδῆττον* M ‖ 14 *ὥσπερ καὶ τοῖς ἀνδρ.* Xen. ‖ 15 *ἀλλήλους* L | *νομίζων ὡς* (*ὦ* S) libri Stobaei *νομίζων ἐξ* Xen. ‖ 16 *καὶ τὰ ἔκγονα* Xen. ‖ 17 *ἐπεί γε* — (p. 141, 2) *ἐρρωμενέστερα δὲ γίγνεσθαι* in margine scripsit manus antiqua A | *γυνὴ* e Xen. inseruit Gesn.[1], om. S M A L | *ἄνδρα* e Xen. Gesn.[1]: *ἄνδρας* S M A L ‖ 18 *τὸν πρὸ τούτου χρόνον* A ‖ 20 *ἐξιόντα οὕτω, συνόντων* L

ποθεινοτέρως μὲν ἀνάγκη σφῶν αὐτῶν ἔχειν, ἐρρωμενέστερα δὲ γίγνεσθαι, εἴ τι βλαστάνοιεν οὕτω, μᾶλλον ἢ ⟨εἰ⟩ διάκοροι ἀλλήλων εἶεν. πρὸς δὲ τούτοις καὶ ἀποπαύσας τοῦ ὁπότε βούλοιντο ἕκαστοι γυναῖκας ἄγεσθαι, ἔταξεν ἐν ἀκμαῖς τῶν σωμάτων τοὺς γάμους ποιεῖσθαι, καὶ τοῦτο συμφέρον τῇ † εὐγενείᾳ νομίζων. εἴ γε μέντοι συμβαίη γεραιῷ νέαν ἔχειν, ὁρῶν τοὺς τηλικούτους φυλάττοντας μάλιστα τὰς γυναῖκας, τἀναντία καὶ τούτου ἐνόμισε· τῷ γὰρ πρεσβύτῃ ἐποίησεν, ὁποίου ἀνδρὸς καὶ σῶμα καὶ ψυχὴν ἀγασθείη, τοῦτον ἐπαγαγομένῳ τεκνοποιήσασθαι. εἰ δέ τις αὖ γυναικὶ μὲν συνοικεῖν μὴ βούλοιτο, τέκνων δὲ ἀξιολόγων ἐπιθυμοίη, καὶ τοῦτο νόμιμον ἐποίησεν, ἥν τινα εὔτεκνον καὶ γενναίαν ὁρῴη, πείσαντα τὸν ἔχοντα ἐκ ταύτης †ποιεῖσθαι. καὶ πολλὰ μὲν τοιαῦτα συνεχώρει· αἱ μὲν γὰρ γυναῖκες διττοὺς οἴκους βούλονται

---

1 *ποθεινοτέρως* S M L, Xen. *προθυμοτέρως* A *πονεινοτέρως* Tr. | *ἔχων* typothetae error ap. Gesn.[2] ‖ 2 *βλαστάνοιεν* (S M A) Stobaeus ad vim transitivam ut videtur aberrans, nisi fuerit *εἴ τι βλαστάνοι* (vel *βλάστοι*) *ἄν*, nam *βλάπτοιεν* libri Xenophontis. *εἴ τι βλάστοι* ex Schneideri coni. editores Xen. | post *οὕτω* distinxit Pierleoni ‖ 3 *εἰ* e Xen. suppl. Gesn.[1] ‖ 4 *τοῦ ὁπότε* Xen.: *τούς ποτε* SM *τοὺς πότε* A L | *βούλοιτο ἕκαστος* ci. Cobet | *γυναῖκα* Xen. ‖ 6 *εὐγενείαι* (*-ᾳ* A Tr. *-α* M L) S M A L Tr., Xenophontis Mutinensis: *εὐγονίᾳ* Xen. | *εἴ γε μή τι* A ‖ 7 *γεραιῷ νέαν* Xen.: *γε ῥάων ἐαν* (*ἐᾶν* Tr.) S Tr. *γεραῶν ἐὰν* M *γεραὅον ἐᾶν* A *γεραωνέαν* L ‖ 7. 8 *φυλάσσοντας* L, Xenophontis libri meliores ‖ 8 *μάλιστα φυλάττοντας* colloc. A | *τούτοις* A ‖ 9 *πρεσβυτάτῳ* Xenophontis librorum altera classis | *ὁποῖα* A | *ἀνδρὸς σῶμά τε καὶ ψυχὴν* Xen. ‖ 10 *ἀγασθείη* S, Xen. *ἀγαθείη* M[1] A L *σθ* superscr. M[2] | *τοῦτον* Xen.: *τούτου* S M A L | *ἐπαγαγομένῳ* scripsi: *ἀπαγαγομένω* S M[1] A L *ου* super *ω* M[2] *ου* ex dativo corr. A[1], *ἐπαγομένω* Xenoph. libri cf. Plut. Lyc. 15 *ἐξῆν μὲν γὰρ ἀνδρὶ πρεσβυτέρῳ νέας γυναικός, εἰ δή τινα τῶν καλῶν καὶ ἀγαθῶν ἀσπάσαιτο νέων καὶ δοκιμάσειεν, εἰσαγαγεῖν παρ᾽ αὐτὴν καὶ πλήσαντα γενναίου σπέρματος ἴδιον αὑτοῖς ποιήσασθαι τὸ γεννηθέν* ‖ 11 *μὲν* S M L, Xen., om. A ‖ 12 *τέκνων τε* Tr. | *τούτῳ* Xenophontis haud pauci | *νόμον* libri Xenophontis ‖ 13 *ἥν τινα ἂν* male Xenophontis libri meliores | *πείσαντα* S M, Xen. *πέρσαντα* A *πώσαντα* L ‖ 14 *ποιεῖσθαι* S M A L: *τεκνοποιεῖσθαι* Xen.; an Stob. *παιδοποιεῖσθαι*? ‖ 15 *αἵ τε γὰρ* Xen.

κατέχειν, οἱ δὲ ἄνδρες ἀδελφοὺς τοῖς παισὶ λαμβάνειν, οἳ ⟨τοῦ⟩ μὲν γένους καὶ τῆς δυνάμεως κοινωνήσουσι, τῶν δὲ χρημάτων οὐκ ἀντιποιοῦνται. περὶ μὲν δὴ τεκνοποιίας οὕτω τἀναντία γνοὺς τοῖς ἄλλοις εἴ τι διαφέροντας καὶ μέγεθος καὶ ἰσχὺν ἄνδρας τῇ Σπάρτῃ ἀπετέλεσεν, ὁ βουλόμενος σκοπείτω. βούλομαι δὲ καὶ τὴν παιδείαν σαφηνίσαι

Ὁ γὰρ Λυκοῦργος ἀντὶ μὲν τοῦ ἰδίᾳ ἑκάστοις παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρας ἐπέστησε κρατεῖν αὐτῶν, ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃ δὴ καὶ παιδονόμος καλεῖται. τοῦτον δὲ κύριον ἐποίησε καὶ καθίζειν τοὺς παῖδας καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη, κολάζειν. ἔδωκε δ' αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν ὅτε δέοι, ὡς πολλὴν μὲν αἰδῶ πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι. ἀντί γε μὴν τοῦ ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν ἔταξεν ἀνυποδησίᾳ

1 *οἵ τε ἄνδρες* Xen. ‖ 1. 2 *προσλαμβάνειν* Xen., e Xen. Gesn.[1] ‖ 2 *τοῦ* e Xen. suppl. Gesn.[1] | *τῆς*] *τὴν* compend. A | *δυνάμεος* compend. L ‖ 2. 3 *κοινωνοῦσι* Xen. ‖ 3 *καὶ περὶ* M ‖ 4 *δὴ* om. A | *τεκνοποιίας ὁ οὕτως* L | *τοὺς ἄλλους* A ubi distinguitur post *γνοὺς* ‖ 5 *καὶ κατὰ μέγεθος καὶ κατ' ἰσχὺν* libri Xen. ‖ 6 *ἐπισκοπείτω. ἐγὼ μέντοι, ἐπεὶ περὶ γενέσεως ἐξήγημαι, βούλομαι καὶ τὴν παιδείαν ἑκατέρων σαφηνίσαι* Xenophontis libri. at quae desunt in Stobaeo, ea ipsa suspecta esse inprimis quia *γενέσεως* parum apte pro *τεκνοποιίας* dictum sit monet L. Dindorf ‖ 8 verba *ὁ γὰρ Λυκ.* e. q. s. sine lemmate vel rubricatione cum prioribus cohaerent in S M A L, novam quasi eclogam constituit Gaisford praecedente Gesnero. idem de omnibus quae infra adduntur opusculi Xenophontei tmematis valet, nullo interstitio ea inter se iungunt libri, frustra in diversas eclogas dispescuerunt editores. post *σαφηνίσαι* quae habet Xenophon, resecuit gnomologus idemque *ὁ δὲ* (vel *δέ γε*) *Λυκ.* mutavit in *ὁ γὰρ Λυκ.* | *ἑκάστοις* (ut Stob.) vel *ἕκαστος* libri Xen., *ἕκαστον* ex deterioribus Schneider ‖ 9 *ἄνδρας* S M A L *ἄνδρα* e Xen. Gesn.[1] ‖ 10 *ὃ* S M A L. recte *ὃς* Gesn.[1] e Xen. ‖ 11 *παιδονόμον* in *-νόμοσ* corr. M[1] | *δὲ καὶ κύριον* L ‖ 12 *ἀθροίζειν* (pro *καθίζειν*) Xen. ‖ 13 *ἰσχυρῶς κολάζειν* Xen. | *ἔδωκεν* (om. *δ'*) Xenophontis libri haud pauci | *ἡμώντων* L ‖ 13. 14 *μαστιγόρους* L ‖ 14 *ὅτε δέοι* Xen.: *ὅτι δέοι* S A L *ὅτι δὲ οἱ* M | *ὥστε* Xen. ‖ 15 *ἄντι* sine acc. M ‖ 16 *απολύειν* (sine spir., *ο* ex eraso *α*) L | *ὑποδύμασιν* L *ὑποδείμ-* Tr. | *ἀνυποδεσία* M L Tr.

κρατύνειν, νομίζων, εἰ τοῦτο ἀσκήσαιεν, πολὺ μὲν ῥᾷον ἂν ὄρθια ἐκβαίνειν, ⟨ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν⟩, καὶ πηδῆσαι δὲ καὶ ἀναθορεῖν καὶ δραμεῖν θᾶττον. ἀντὶ δὲ τοῦ ἱματίοις διαθρύπτεσθαι ἐνόμισε δερματίῳ δι᾽ ἔτους προσεθίζεσθαι. σῖτόν γε μὴν τοσοῦτον ἔχειν συνεβούλευεν, ὡς ὑπὸ πλησμονῆς μὲν μήποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν μὴ ἀπείρως ἔχειν, ὑγιεινοτέρως δ᾽ ἂν διάγειν, καὶ εἰς μῆκος δ᾽ ἂν αὐξάνεσθαι τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν μᾶλλον συλλαμβάνειν ἡγησάμενος ἢ τὴν διαπλατύνουσαν τῷ σίτῳ. ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν οὐκ ἔδωκεν αὐτοῖς λαμβάνειν ὧν προσδέονται, κλέπτειν δὲ

---

1 *εἰς τοῦτο* AL | *ἀσκήσειαν* Xen. ‖ 1. 2 *ἂν ὄρθια* (vel potius *ἂν ὄρθιά γε βαίνειν*) Gesn.[1]: *ἀνορθία* S M A L *ἀνορθίᾳ* Tr. *ἂν ὄρθια δὴ εὖ* vel *ἂν ὄρθια δὲ* vel *ἂν ὄρθια* libri Xen. *ἂν ὀρθιάδε* Schneider ‖ 2 *ἀσφαλέστερον—καταβαίνειν* e Xen. add. Gesn.[1], idque probabiliter ‖ 3 post *θᾶττον* quae habent Xenophontis libri *ἀνυπόδητον, εἰ ἠσκηκὼς εἴη τοὺς πόδας, ἢ ὑποδεδεμένον* Stobaeo inseruit Gesn.[1], debuit potius secludere e Xen., cf. Herwerden *revue de philol.* IV 17 ss. ‖ 3. 4 *ἀντὶ δὲ* Stob. *καὶ ἀντί γε* Xen. ‖ 4 *ἐνόμισεν ἑνὶ ἱματίῳ* Xen. idque confirmat Plutarchus Lycurg. 16 *ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες* ‖ 4. 5 *διέτους* L, sine acc. S M ‖ 5 post *προσεθίζεσθαι* quae offerunt libri Xenophontis *νομίζων οὕτω καὶ πρὸς ψύχη καὶ πρὸς θάλπη ἄμεινον ἂν παρασκευάσασθαι*, ea Stobaeo intulit Gesner, Xenophonti abiudicavit Pierleoni | *σῖτόν γε μὴν ἔταξε τοσοῦτον ἔχοντα συμβολεύειν* (sic codd. dett.: *συμβουλ-* ceteri) *τὸν εἴρενα* (*ἄρρενα* libri: corr. Schneider) *ὡς ὑπὸ πλ.* Xen. Stobaei scripturam correctoris esse impudentis commonuit Dindorf ‖ 5. 6 *συνεβούλευσεν* L ‖ 6 *οὔποτε* A ‖ 7 *τοῖδε* L | post *ἔχειν* quae desiderantur in libris Stobaei *νομίζων τοὺς οὕτω παιδευομένους μᾶλλον μὲν ἂν δύνασθαι, εἰ δεήσειεν, ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ᾽ ἄν, εἰ παραγγελθείη, ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι, ἧττον δ᾽ ἂν ὄψου δεῖσθαι, εὐχερέστερον δὲ πρὸς πᾶν ἔχειν βρῶμα καὶ* e Xen. supplevit Gesn.[1], in Xenoph. suspectat Pierleoni ‖ 7. 8 *ὑγιεινοτέρα* L ‖ 8 *ἂν* om. A | *δ᾽* (post *μῆκος*) om. Xen. ‖ 8. 9 *αὐξάνεσθαι τὰ ῥαδινὰ τὰ* L ‖ 10 *ἡγήσατο* Xen. | *διαπλατύνουσαν* e Xen. Gesn.: *διαπλάττουσαν* S M A L *διαπράττουσαν* Tr. ‖ 11 *ἄγαν* om. L ‖ 11. 12 *αὐτοῖς οὐκ ἔδωκε* Xen. ‖ 12 *ὧν ἂν προσδέωνται* Xen. | *κλέπτει δὲ* L

ἐφῆκεν. δῆλον δ' ὅτι τὸν μέλλοντα κλωπεύειν καὶ νυκτὸς ἀγρυπνεῖν δεῖ καὶ μεθ' ἡμέραν ἀπατᾶν καὶ ἐνεδρεύειν, καὶ κατασκόπους δὲ ἑτοιμάζειν τὸν μέλλοντά τι λήψεσθαι. ταῦτα οὖν δῆλον ὅτι πάντα μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν καὶ πολεμικωτέρους οὕτως ἐπαίδευεν. πολλὰς δὲ πληγὰς ἐπέβαλε τῷ ἁλισκομένῳ, ὅτι, φημὶ ἐγώ, καὶ τἄλλα, ὅσα ἄνθρωποι διδάσκουσι, κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα.

Ὅπως δὲ μηδ' εἰ ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν αἰεὶ παρόντα τῶν πολιτῶν κύριον εἶναι καὶ ἐπιτάττειν τοῖς παισίν, εἴ τι ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν, εἴ τι ἁμαρτάνοιεν.

Πρὸς δὲ τούτοις τό τε αἰδεῖσθαι ἰσχυρῶς ἐμφῦσαι βουλόμενος αὐτοῖς καὶ ἐν ταῖς ὁδοῖς ἐπέδειξεν ἐντὸς μὲν τοῦ ἱματίου τὼ χεῖρε ἔχειν, σιγῇ δὲ πορεύεσθαι, περιω-

1 post ἐφῆκεν quae leguntur apud Xenophontem ἔστιν ἃ τῷ λιμῷ ἐπικουροῦντας. καὶ ὡς μὲν οὐκ ἀπορῶν ὅ τι δοίη ἐφῆκεν αὐτοῖς γε μηχανᾶσθαι τὴν τροφήν, οὐδένα οἶμαι τοῦτο ἀγνοεῖν om. S M A L, inutiliter inseruit Gesn.[1] ‖ 2 ἀπατῶν L ‖ 3 δὲ om. A ‖ 4 οὖν δὴ πάντα δῆλον ὅτι μηχ. Xen. ubi δῆλον ὅτι damnat Diels ‖ 6 ἐπαίδευσεν Xen. post ἐπαίδευσεν quae habet Xen. εἴποι δ' ἂν οὖν τις, τί δῆτα, εἴπερ τὸ κλέπτειν ἀγαθὸν ἐνόμιζε, om. S M A L, perverse addidit Gesn.[1] consulto enim ea resecuisse gnomologum prodit δὲ particula quam ille de suo dedit post πολλὰς | δὲ om. Xen. ‖ 6. 7 ἐπέβαλλεν (-λλε A L) S M A L sic ut ex parte libri Xenoph. ἐπέβαλε recte Tr., Xenophontis alii ‖ 7 ὅτι ἐγὼ φημὶ L ‖ 10 Ὅπως δὲ κτἑ.] vide quae adnotavimus p. 142, 8 | ante ὅπως δὲ quae leguntur apud Xenophontem, praetermisit florilegus | μηδ' εἰ Xen.: μὴ ἐὰν (ἐᾶν A L) S M A L; an Stob. μὴ ἐὰν — ἀπέλθῃ? | παιδανόμος M L ‖ 11 αἰεὶ S M A ἀεὶ L, Xen.; dubites igitur de Stobaeo ‖ 12 εἴ τι] ὅ τι ἂν (ἂν om. Xen. codd. deteriores) libri Xenoph. ‖ 13 δοκείη Tr. | v. ἁμαρτάνοιεν — 14 αἰδεῖσθαι om. L ‖ 14 πρὸς δὲ τούτοις κτἑ.] vide supra quae monuimus ad p. 142, 8. quae praecedunt in libro Xenophonteo, ea sprevit gnomologus | τὸ αἰδεῖσθαι Xen. | ἐμφῦσαι] ἐμφυῶσαι vel ἐμφυσιῶσαι libri Xen. ‖ 15 ἐπέταξεν Xen. ‖ 16 χέρε e corr. A ‖ 16. 17 περιωπεῖν ci. Diels: περιόπτειν S M A L περιβλέπειν Xen. | μηδαμοῖ recte Xen. libri deteriores: μηδαμῶς (οὐδ- A) S M A L μηδαμοῦ s. μηδαμῇ Xenophontis cett.

πεῖν δὲ μηδαμῶς, ἀλλ' αὐτὰ τὰ πρὸ ποδῶν ὁρᾶν. ἔνθα δὴ καὶ δῆλον γεγένηται, ὅτι τὸ ἄρρεν φῦλον καὶ εἰς τὸ σῶφρον ἰσχυρότερόν ἐστι τῆς τῶν θηλειῶν φύσεως. [ὡς] ἐκείνων γοῦν ἧττον μὲν ἂν φωνὴν ἦν ἀκοῦσαι ἢ τῶν λιθίνων, ἧττον δὲ ὄμματα † στρεψάντων ἢ τῶν χαλκῶν, αἰδημονεστέρους δ' ἂν αὐτοὺς ἡγήσαιο καὶ αὐτῶν τῶν ἐν τοῖς ὀφθαλμοῖς παρθένων. καὶ ἐπειδὰν εἰς τὸ φιλίτιον ἀφίκωνται, ἀγαπητὸν αὐτῶν καὶ τὸ ἐρωτηθὲν ἀκοῦσαι. περί γε μὴν τῶν ἤδη ἡβώντων πολὺ μάλιστα ἐσπούδασεν.

Ὡς οὖν τούτους αὖ συνέβαλλεν, ἐξηγήσομαι. αἱροῦνται τοίνυν οἱ ἔφοροι αὐτᾶν ἐκ τῶν ἀκμαζόντων τρεῖς ἄνδρας· οὗτοι δὲ ἱππαγρέται καλοῦνται. τούτων δὲ ἕκαστος ἄνδρας ἑκατὸν καταλέγει διασαφηνίζων, ὅτου ἕνεκα τοὺς μὲν προτιμᾷ, τοὺς δ' ἀποδοκιμάζει. οἱ οὖν μὴ τυγχάνοντες

---

1 *πρὸ* MAL *πρὸς* S *πρὸ τῶν* Xen. ‖ 1. 2 *ἔνθα μὴ καὶ* L ‖ 3 *σωφρονεῖν* Xen. *σῶφρον* (*σώ-* M) S M A L. illud reponendum videtur etiam in Stobaeo | *τῶν τῆς θηλείας* libri Xenophontei | *ὡς* delevimus ut ex dittographia natum, deest apud Xen. ‖ 4 *ἐκείνων μὲν γοῦν ἧττον μὲν ἂν* Longinus De subl. 4, 4 ubi adferuntur v. *ἐκείνων—τῶν ἐν ὀφθαλμοῖς παρθένων* | *φωνὴν ἀκούσαις* recte Xen. et Longin.: *φωνὴν ἦν* (*ἦν* L) *ἀκοῦσαι* libri Stobaei idque corruptum videtur ex ipso illo *φωνὴν ἀκούσαις* syllaba *ην* male iterata. cf. 6 *ἡγήσαιο* ‖ 5 *ἧττον δ' ἂν* recte Xen. Long. | *ὄμματα* S M, Xen. Long. *ὄμμα*$^{\tau}$ L *ὄμμα τε* (i. *ὄμματε*) A | *στρεψάντων* S M A L. *στρέψαις* Longinus. *μεταστρέψαις* libri Xenophontis. crediderim *στρέψαις αὐτῶν* fuisse in Stobaeo sed *αὐτῶν* profectum ex interpretatione ‖ 5. 6 *αἰδημενεστέρους* L ‖ 6 *ἐν τοῖς ὀφθαλμοῖς* S M A L. Long.: *ἐν τοῖς θαλάμοις* Xen. illud tuetur etiam Aretaeus De caus. morb. I 7 *τάδε πάσχει ἄμφω τὰ εἴδεα καὶ ἡ ἐν τοῖς ὀφθαλμοῖσι παρθένος* ‖ 7 *ἐπειδὰν* etiam Stob., errat Pierleoni | *φιλίτιόν γε* Xen. ‖ 8 quae post *ἀκοῦσαι* in libris Xenophonteis leguntur *καὶ τῶν μὲν αὖ παιδικῶν* (*παιδίσκων* Haase) *οὕτως ἐπεμελήθη* frustra Stobaeo intulit Gesn.[1] ‖ 9 *ἤδη* om. Xen. | *μᾶλλον* L | post *ἐσπούδασε* quae exstant in Xen. (*νομίζων τούτους—ἀνδραγαθίας*) abiecit excerptor ‖ 10 *ὡς οὖν τούτους κτέ.*] vide quae monui ad p. 142, 8 | *συνέβαλεν* Xen. ‖ 11 *αὐτῶν οἱ ἔφοροι* Xen. ‖ 12 *ἱππαγρέται* Xen.: *ἱππαγρῖται* (*-ῖται* L M sed *ι* ex *ῖ* M[1]) S M A L | 12. 13 *ἄνδρας ἑκατὸν* reposui e Xen.: *ἄνδρα ἕκαστον* S M A L ‖ 13 *ὅτου* etiam Stobaei libri nisi quod *ὅθ' οὗ* A

τῶν καλῶν πολεμοῦσι τοῖς τε ἀποστείλασιν αὐτοὺς καὶ τοῖς αἱρεθεῖσιν ἀντ᾽ αὐτῶν.

Διαλύειν μέντοι τοὺς μαχομένους πᾶς ὁ παραγιγνόμενος κύριος.

Τοῖς γε μὴν τὴν ἡβητικὴν ἡλικίαν πεπερακόσιν, ἐξ ὧν ἤδη καὶ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὁ Λυκοῦργος νόμιμον ἐποίησε κάλλιστον εἶναι τὸ θηρᾶν, εἰ μή τι δημόσιον κωλύοι, ὅπως καὶ οὗτοι δύνωνται μηδὲν ἧττον τῶν ἡβώντων στρατιωτικοὺς πόνους ὑποφέρειν.

Ὡσαύτως ὁ Λυκοῦργος ἐποίησε παίδων ἕκαστον ὁμοίως τῶν ἑαυτοῦ καὶ τῶν ἀλλοτρίων ἄρχειν. ὅταν δέ τις εἰδῇ, ὅτι † οὗτοι πατέρες εἰσὶ τῶν παίδων, ὧν αὐτὸς ἄρχει, ἀνάγκη ἄρχειν οὕτως, ὥσπερ ἂν καὶ τῶν ἑαυτοῦ ἄρχεσθαι βούλοιτο.

---

1 *κακῶν* Tr. | *τε* S M A L ut Xenophontis cod. Laur. LV 21: *μὴ* Xenophontis cott. *τε μὴ* Haas ‖ 2 *ἀνθ᾽* vel *ἀμφ᾽* fere libri Xenophontis | inter *αὐτῶν* (sic prioris generis libri) et *αὑτῶν* fluctuantur libri Xenophontei | quae post *ἀνθ᾽ αὐτῶν* usque ad *διαλύειν* leguntur in Xenophonte, omisit excerptor ‖ 3 *διαλύειν κτἑ.*] vide quae diximus ad p. 142, 8 ‖ 3. 4 *παραγενόμενος* Xen. ‖ 4 post *κύριος* nonnulla habet Xenophon, quae praeteriit excerptor ‖ 5 *τοῖς γὲ μὴν κτἑ.*] vide quae dixi supra p. 142, 8 adn. | *πεπερακόσιν* S M A *πεπληροκόσιν* L *πεπρακόσιν* libri Xenophontis non nulli ‖ 6 haec contracta sunt ab excerptore. nam Xenophon: *τοῖς γε μὴν — καθίστανται, οἱ μὲν ἄλλοι Ἕλληνες ἀφελόντες αὐτῶν τὸ ἰσχύος ἔτι ἐπιμελεῖσθαι στρατεύεσθαι ὅμως αὐτοῖς ἐπιτάττουσιν, ὁ δὲ Λυκοῦργος τοῖς τηλικούτοις νόμιμον ἐποίησε κτἑ.* ‖ 7 *τοι* pro *τι* Tr. ‖ 8 *κωλύῃ* A | *ὅπως δύναιντο καὶ οὗτοι μ.* Xen. ‖ 9 *ἡβῶν τῶν* M | post *ὑποφέρειν* quod sequitur opusculi Xenophontei caput quintum, totum sprevit excerptor. quae dedit e sexto, ea nihilominus prioribus adhaerent sine lemm. vel rubr. in S M A L ‖ 10 *ὡσαύτως* de suo excerptor proximis temere coartatis. sic enim Xenophon c. 6, 1: *ὁ δὲ Λυκοῦργος κατασκευάσαι βουλόμενος ὡς ἂν μηδὲν βλάπτοντες ἀπολαύοιέν τι οἱ πολῖται ἀλλήλων ἀγαθόν, ἐποίησε παίδων κτἑ.* ‖ 12 *εἶ δὴ* M | *οὗτοι*] *τοι οἱ* vel *ἔτι οἱ* Zeune *οὗτοι οἳ καὶ τῶν ἑαυτοῦ ἄρχουσι* (vel *ἄρξουσι*) Dindorf ‖ 13 *οὕτως ἄρχειν* Xen. | *τῶν* e Xen. Gesn.[2]: *τὸν* S M A L ‖ 14 post *βούλοιτο* haud pauca resecuit gnomologus

Ἐν τῇ Σπάρτῃ ὁ Λυκοῦργος τοῖς ἐλευθέροις τῶν μὲν ἀμφὶ χρηματισμὸν ἀπεῖπε μηδενὸς ἅπτεσθαι, ὅσα δὲ ἐλευθερίαν ἐν ταῖς πόλεσι παρασκευάζει, ταῦτα ἔταξεν μόνα ἔργα ἑαυτῶν νομίζειν· οὐ γὰρ δή τι πλοῦτος ἐκεῖ γε ἐσπούδασται.

Ἄξιον δὲ τοῦ Λυκούργου καὶ τόδε ἀγασθῆναι, τὸ κατεργάζεσθαι ἐν τῇ πόλει αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου.

Καλῶς δέ μοι δοκεῖ Λυκοῦργος νομοθετῆσαι καὶ ᾗ μέχρι γήρως ἀσκοῖτ' ἂν ἡ ἀρετή. ἐπὶ γὰρ τῷ τέρματι τοῦ βίου τὴν κρίσιν τῆς γεροντίας προθεὶς ἐποίησε μηδ' ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκαγαθίαν. ἀξιάγαστον δ' αὐτοῦ καὶ τὸ ἐπικουρῆσαι τῷ τῶν ἀγαθῶν γήρᾳ. θεὶς γὰρ τοὺς γέροντας κυρίους τοῦ περὶ τῆς ψυχῆς ἀγῶνος διέπραξεν ἐντιμότερον εἶναι τὸ γῆρας τῆς τῶν ἀκμαζόντων ῥώμης. εἰκότως δέ τοι καὶ σπουδάζεται οὗτος ὁ ἀγὼν μάλιστα τῶν ἀνθρωπίνων. καλοὶ μὲν γὰρ οἱ γυμνικοί· ἀλλ' οὗτοι μὲν σωμάτων, ὁ δὲ περὶ τῆς γεροντίας ἀγὼν

1 *ἐν τῇ Σπάρτῃ κτἑ.*] vide quae dixi ad p. 142, 8 | *ἐν δὲ τῇ Σπ.* Xen. | *τοῖς μὲν ἐλευθέροις* libri Xenoph. male | *τῶν μὲν* M A L, Xen. *τὸν μὲν* S ‖ **3** *ἐν* om. Xen. | *τοῖς* pro *ταῖς* L | *ταῦτα ἔταξεν* (-ξε L) *μόνα* sicut Xen. etiam S M A L, *ταῦτα μόνα ἔταξεν* Tr. | *αὑτῶν* Xen. | *οὐ γὰρ δή τι πλοῦτος ἐκεῖ γε* (*ἐκεῖσε* L) *ἐσπούδασται* temere excerptor. *καὶ γὰρ δὴ τί πλοῦτος ἐκεῖ γε σπουδαστέος, ἔνθα ἴσα μὲν φέρειν εἰς τὰ ἐπιτήδεια, ὁμοίως δὲ διαιτᾶσθαι τάξας ἐποίησε μὴ ἡδυπαθείας ἕνεκα χρημάτων ὀρέγεσθαι;* Xen. ‖ **6** *ἄξιον δὲ κτἑ.*] vide quae adnotavimus p. 142, 8 | *ἀγασθῆναι* S A, Xen. *ἀγαθῆναι* M *ἀγαθύναι* L ‖ **7** *κατεργάσασθαι* Xen. ‖ **9** *καλῶς δέ μοι κτἑ.*] vide quae dixi ad p. 142, 8 | *ὁ Λυκοῦργος* Xen. | *ᾗ* Xen.: *εἰ* libri Stobaei, haud pauci etiam Xen. ‖ **10** *ἂν ἀρετή* Xen. ‖ **11** *προθεὶς* (quod coniecit Leonclavius) M, *προθεὶς* etiam S sed tanto inter *ρ* litt. et *ο* spatiolo ut probabile sit librarium ut passim fit *πρ(ο* scribere voluisse: *πυθεὶς* L *προσθεὶς* A Tr., Xenophontis libri, Nicolaus infra ecl. 44, 41 Mein. ‖ **11. 12** *μηδ' ἐν* om., superscr. *μηδὲν* alio atramento L ‖ **13** *δ' αὐτοῦ* om. in lacuna 6 fere litter. L ‖ **14** *τοὺς* (pro *τοῦ*) L ‖ **16** *τοι* ex *του* vel ex *τον* corr. M[1] | *μάλιστα τῶν ἀνθρωπίνων* S M L *μάλιστα τῶν ἀνθρώπων* A, Xen. *μάλιστ' ἀνθρώπων* prop. Schaefer, ego *μάλιστα πάντων ἀνθρώπων* ‖ **17** *γὰρ καὶ οἱ* Xen., inde Gesn.[1] | *γυμνηκοι* M ‖ **18** *σωμάτων εἰσίν, ὁ δὲ* libri Xenophontis

ψυχῶν ἀγαθῶν κρίσιν παρέχει. ὅσῳ οὖν κρείσσων ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν ψυχῶν ἢ οἱ τῶν σωμάτων ἀξιοσπουδαστότεροι.

Εἴς γε μὴν τὸν ἐν ὅπλοις ἀγῶνα τοιάδε ἐμηχανήσατο· στολὴν μὲν ἔχειν φοινικίδα καὶ χαλκῆν ἀσπίδα.

Ἐφῆκε δὲ καὶ κομᾶν τοῖς ὑπὲρ τὴν ἡβητικὴν ἡλικίαν, νομίζων οὕτω καὶ μείζους ἂν καὶ ἐλευθεριωτέρους φαίνεσθαι. οὕτω γε μὴν κατεσκευασμένων μοίρας ἔδειξεν ἓξ καὶ ἱππέων καὶ ὁπλιτῶν. ἑκάστη δὲ τῶν ὁπλιτικῶν ἔχει μοιρῶν πολέμαρχον ἕνα, λοχαγοὺς τέτταρας, πεντηκοστῆρας ὀκτώ, ἐνωμοτάρχους ις΄. ἐκ δὲ τούτων τῶν μερῶν διὰ παρεγγυήσεως καθίσταται τοτὲ μὲν εἰς ἐνωμοτίας, τοτὲ δὲ εἰς τρεῖς, τοτὲ δὲ εἰς ἕξ.

Ἐπεὶ δὲ ἔγνω τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι καὶ ἐν πόλει καὶ ἐν στρατιᾷ καὶ ἐπ' οἴκῳ, τὴν τῆς ἐφορείας δύναμιν κατεσκεύασεν.

---

1 *κρεῖσον* sed *ο* ex *ω* corr. S *κρεῖσσον* M A *κρείσσω* L *κρείττων* vel *κρεῖττον* libri Xen. | *ψυχῆσ* L ‖ 2. 3 *ἢ οἱ τῶν* S A, Xen.: *καὶ οἱ τῶν* L *ἢ τῶν* Tr. ac si silentio meo fides, etiam M ‖ 4 *Εἴς γε μὴν κτέ.*] vide quae adnotavi p. 142, 8 | *ἐν τοῖς ὅπλοις* Xen. | *τοιῶδε* L ‖ 5 quae inter *χαλκῆν ἀσπίδα* et *ἐφῆκε* offert Xen., resecuit gnomologus ‖ 6 *ἐφῆκε δὲ κτέ.*] vide quae supra monui ad p. 142, 8 | *ἐφεῖκε* L ‖ 7 *ἐλευθερωτέρους* L | *ἐλευθεριωτέρους καὶ γοργοτέρους* Xen. ‖ 8 *οὕτως γε* M A L | *κατασκευασμένων* A | *μόρας μὲν διεῖλεν ἓξ* Xen. ‖ 9 *καὶ* (ante *ἱππέων*) om. L | *τῶν πολιτικῶν* Xen., Harpocratio v. *Μόραν* ‖ 10 *ἔχει μορῶν* Xen. *μορῶν ἔχει* Harpocr. | *τέσσαρας* libri Xenophontis ‖ 10. 11 *πεντηκοστῆρας* S M A L ut libri Xen. plurimi, *πεντηκοντῆρας* Xenophontis Vatic. 1335, unde reponunt *πεντηκοντῆρας* in Xen., *πεντηκοστύας* Harpocr. ‖ 11 *ἐνωμοτάρχους* S M A L, Xen. plurimi, *ἐνωμοτάρχας* Tr., Xenophontis aliquot, Harpocr. | *ἑξκαίδεκα* M L *ἓξ καίδεκα* A ‖ 12 *μορῶν* Xen. | *τοτὲ μὲν* secludi vult Pierleoni ‖ 14 *ἐπεὶ δὲ κτέ.*] vide quae dixi supra ad p. 142, 8. excerptor ab undecimo capite libri Xen. reversus ad octavum verba scriptoris licenter inmutavit. sic enim leguntur in libris Xenophonteis (c. VIII 3): *εἰκὸς δὲ καὶ τὴν τῆς ἐφορείας δύναμιν τοὺς αὐτοὺς τούτους συγκατασκευάσαι, ἐπείπερ ἔγνωσαν τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι καὶ ἐν πόλει καὶ ἐν στρατιᾷ καὶ ἐν οἴκῳ* | *τὸ μὴ πείθεσθαι* L | *ἀγαθῶν* A ‖ 15 *ἐποίκω* M. malim *ἐν οἴκῳ* | *ἐφορίασ* M

Ἔφοροι οὖν δυνατοὶ μέν εἰσι ζημιοῦν ὃν ἂν βούλωνται, κύριοι δὲ πράττειν παραχρῆμα, κύριοι δὲ καὶ ἄρχοντας μεταξὺ καταπαῦσαι καὶ εἶρξαί τε καὶ περὶ τῆς ψυχῆς εἰς ἀγῶνα καταστῆσαι.

Πολλῶν δὲ ὄντων καλῶν μηχανημάτων τῷ Λυκούργῳ εἰς τὸ πείθεσθαι τοῖς νόμοις ἐθέλειν τοὺς πολίτας, ἐν τοῖς καλλίστοις καὶ τό μοι δοκεῖ εἶναι, ὅτι οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους, πρὶν ἐλθὼν σὺν τοῖς κρατίστοις εἰς Δελφοὺς ἐπήρετο τὸν θεόν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ Σπάρτῃ πειθομένῃ οἷς αὐτὸς ἔθηκε νόμοις. ἐπεὶ δ' ἀνεῖλε τῷ παντὶ ἄμεινον εἶναι, τότε ἀπέδωκεν οὐ μόνον ἄνομον δείξας ἀλλὰ καὶ ἀνόσιον τὸ πυθοχρήστοις νόμοις μὴ πείθεσθαι.

24 (40 Mein.) *Χαρώνδα Καταναίου Προοίμια νόμων.*

Τὼς βουλευομένως καὶ πράσσοντάς τι ἀπὸ θεῶν

---

1 *ἔφοροι οὖν κτἑ.*] vide quae dixi p. 142, 8 adn. quae praecedunt apud Xenophontem (*ὅσῳ γὰρ μείζω—ὑπακούειν*) ea utrum non legerit excerptor in suo exemplari an indigna putarit quae ipse reciperet, pro re nata difficile est diiudicatu | *ἱκανοὶ* pro *δυνατοὶ* Xen.; *κύριοι* prop. Cobet ‖ 2 *δ' ἐκπράττειν* Xen. idque nescio an dare liceat etiam Stobaeo ‖ 3 *μεταξὺ καὶ καταπαῦσαι* libri Xenophontis, ubi delevit *καὶ* Dindorf | *εἶρξαί τε* L Tr. *εἴρξαί τε* S A *εἴρξά τε* M *εἶρξαί γε* Xen. ubi *εἶρξαί γε* Heindorf | *περὶ τῆς ψυχῆς* etiam libri Stobaei, nisi quod *περὶ ψυχῆς* Tr. ‖ 5 *πολλῶν δὲ κτἑ.*| vide quae monui ad p. 142, 8 | *πολλῶν δὲ καὶ ἄλλων ὄντων μηχανημάτων καλῶν τῷ Λ.* Xen. nescio an dederit Stob. *πολλῶν δὲ ὄντων ⟨καὶ ἄλλων⟩ καλῶν μηχαν. τῷ Λ.* ‖ 7 *τό* (*το* M) *μοι* S M A quod haud displicet Dielsio, *τόδε μοι* L fort. recte. *τοῦτό μοι* libri Xen., e Xen. Gesn.[1] ‖ 8 *ἔδωκε* ante correct. L ‖ 9 *ἐπείρετο* M ‖ 11 s. *ἐπεὶ δὰν εἶλε* M *ἐπειδὰν εἶδε* L | *ἄμεινον* om. L ‖ 12 *οὐ μόνον ἄνομον ἀλλὰ καὶ ἀνόσιον θεὶς τὸ πυθ.* Xen. | *πυθοχρηστοῖς* M *πυθοχρίστοις* L | 13 *νόμοις* om. L ‖ 14 ecl. cum lemm. hab. S M A L. particulas nonnullas, quas suo loco commemoravi excerpsit Br lemmate non praemisso. *Χαρώνδου* pinacogr. Photi p. 49 Elt. *Χαιρώνδα* (post *ν* litt. *ι* rasa in A) S M A ⟨ ⟩ *αρων* (supra: *δ*[1]) prima littera rubro addenda L *Χαιρώνδου* Tr. ‖ 15 *Τὼς βουλομένως* ex atticis formis corr. S[1] *τὼς* (*τῶσ* in *τὼσ* corr. M[1]) *βουλομένως* M A Tr. *Τοὺς βουλομένους* L: corr. Meineke. *τὼς βουλομένως πράττεν* (debuit saltem *πράσσεν*) *τι*

ἄρχεσθαι χρή· τὸ γὰρ ἄριστον, ὥσπερ ἁ παροιμία φατί, τὸν θεὸν ἦμεν αἴτιον πάντων τούτων. ἔτι δὲ φαύλων πράξεων ἀπέχεσθαι καὶ μάλιστα διὰ τὰν πρὸς τὸν θεὸν ξυμβουλίαν· οὐδενὸς γὰρ ἀδίκου θεὸν κοινωνεῖν. βοηθεῖν δὲ ἕκαστον ἑαυτῷ καὶ ποτικελεύεσθαι κατ' ἀξίαν τῶν δικαίων μεταλαμβάνεν καὶ πράσσεν· τὸ γὰρ ὑπὲρ μικρῶν καὶ μεγάλων ὁμοίως διατείνεσθαι ἄγαν μικροπρεπὲς δοκεῖ ἦμεν καὶ ἀνελεύθερον. διὸ δεῖ φροντίζεν τῶ μὴ σφόδρα ἐς τὰ μάκιστα καὶ τὰ μεγάλα ἐμπίπτεν· ἀλλὰ κατ' ἀξίαν τὰν ἑαυτῶ καὶ δυναμίαν μετρέοντα ἑκάστῳ πράγματι ἐπιβάλλεν, ὅπως τίμιος ᾖς καὶ σεμνός.

Ἀδίκῳ δὲ ἀνδρὶ ἢ γυναικὶ κεκριμένοις ὑπὸ πόλεως ἐπαρωγὴν μὴ ποιεῖσθαι μηδὲ ὁμιλεῖν μηδένα ἢ ὀνειδίζεσθαι ὡς ὄντα ὅμοιον ᾧ ὁμιλεῖ. τοὺς δὲ προκεκριμένους ἄνδρας ἀγαθοὺς ἀγαπᾶν καὶ ἐντυγχάνειν αὐτοῖς, τελεῖσθαι τε τὴν μεγίστην καὶ τελειοτάτην τελετήν, ἀνδραγαθίαν, μιμουμένους ἐπ' ἀληθείᾳ καὶ κτωμένους τὴν ἀρετήν· οὐδεὶς

ἀπὸ θ. temere prop. Hirschig | *πράσσοντας* (nisi praestat *πράξοντας*) scripsi: *πράττοντας* libri | post *θεῶν* supra lin. add. *μὲν* A¹

1 *τὸ γὰρ* M A *τὸν γὰρ* S L | *ἁ*] *ἡ* L | *φατὶ* S A *φασὶ* L *φησὶ* M ‖ **3** post *τὰν* littera rasa in A | *τὸν* om. L ‖ **4** *ἀδίκου θεὸν κοινωνεῖν· βοηθεῖν*] exspectes *ἀδίκω θ. κοινωνέν. βοηθὲν* ‖ **6** *πράσσεν* S M A *πώσσεν* L ‖ **8** *ἦμεν* S M A *εἶναι* L | *φροντίζειν* A | *τῶ* (sicut optaverat Heyne) S M L *τῷ* Tr. *τὸ* ex corr. A² | *μάκιστα* S M A *κάκιστα* L. *ἄκιστα* ci. Heyne, *ἄκιστα* Meineke | *τὰ* om. A ‖ **9** *ἐμπίπτεν* sic S M A L *ἐμπίπτειν* Tr. ‖ **10** *τὴν ἑαυτοῦ* L | *δυναμίαν* S M *δύναμιν* L, *ἀδυμίαν* A ubi in marg. *ἴσως ἀδυναμίαν ἢ δύναμιν* m. sec. | *μετρέοντα* etiam L si recte silet Vitelli, *μετρίοντα* ex eodem codice enotarat Sarti, inde scr. Meineke | *πράγματι* e corr. cod. Paris 1985 m. sec. ut testatur Gaisford, idem proposuit Heyne: *πρᾶγμα* S M A L **11** *ἐπιβάλλεν* libri nisi quod *ἐπιβάλεν* L. post *σεμνός* distinctio maior spatiique aliquid in M sed ut pergatur sine lemm. vel rubr. *ἀδίκω δὲ κτἑ.* novum quasi tmema incipit in S (?) Tr., non in L. abhinc nullum iam dorismi vestigium ‖ **12** *ἀδικῷ* A | *δὲ* om. S | *ἀπὸ* L | **13** *μὴ* (ut videtur) corr. ex *μοι* L ‖ **16** *τελειοτάτην* ex corr. S¹, videtur fuisse *τελεωτ-* | *τελετὴν* S M *ἀρετήν* sed superscr. *τελετὴν* A¹ *τελευτὴν* L | *τελετήν, ⟨τὴν⟩ ἀνδραγαθίαν μιμ.* mavult Elter | *μιμουμένους*] 'immo *μεμνημένους initiatos*' Heyne

γὰρ ἀνὴρ τέλειος ἄνευ ταύτης. πολίτῃ δὲ ἀδικουμένῳ βοηθεῖν καὶ οἴκοι καὶ ἐπὶ ξένης· ξένον δὲ πάντα τὸν ἐν τῇ ἑαυτοῦ πατρίδι σεβόμενον καὶ κατὰ τοὺς οἰκείους νόμους εὐφήμως καὶ οἰκείως προσδέχεσθαι καὶ ἀποστέλλειν, μεμνημένους Διὸς ξενίου ὡς παρὰ πᾶσιν ἱδρυμένου κοινοῦ θεοῦ καὶ ὄντος ἐπισκόπου φιλοξενίας τε καὶ κακοξενίας.

Ἡγεῖσθαι δὲ καὶ παραγγέλλειν πρεσβυτέρους νεωτέροις τὸ αἰδεῖσθαι καὶ αἰσχύνεσθαι τὰ κακά, φανεροὺς ὄντας αὐτοὺς αἰσχυνομένους καὶ αἰδουμένους· ὡς ἐν αἷς πόλεσι πρεσβυτέρων ἀναισχυντίαι, φύονται παῖδες αὐτῶν καὶ παίδων παῖδες ἀναίσχυντοι. ἀκολουθεῖ δὲ ἀναισχυντίᾳ καὶ ἀναιδείᾳ ὕβρις καὶ ἀδικία, τούτοις δ' ἕπεται ὄλεθρος. μηδεὶς δ' ἔστω ἀναιδής, ἀλλὰ σωφρονείτω ἕκαστος, ὡς οὕτω τευξόμενος θεῶν ἵλεων καὶ σωτηρίας· οὐδεὶς γὰρ κακὸς θεοφιλής. τιμάτω δὲ ἕκαστος τὸ καλὸν καὶ τὸ ἀληθὲς καὶ μισείτω τὸ αἰσχρὸν καὶ τὸ ψεῦδος· ταῦτα γὰρ ἀρετῆς σημεῖα καὶ κακίας. διὸ χρὴ συνεθίζειν ἐκ παίδων κολάζοντας μὲν τοὺς φιλοψευδεῖς, φιλοῦντας δὲ τοὺς φιλαλήθεις, ἵν' ἐμφυσιῶται ἑκάστῳ τὸ κάλλιστον καὶ σπερματωδέστατον τῆς ἀρετῆς. προσποιείσθω δὲ ἕκαστος τῶν πολιτῶν σωφρονεῖν μᾶλλον ἢ φρονεῖν· ὡς ἡ προσποίησις τοῦ φρονεῖν μέγα σημεῖον ἀπειροκαλίας καὶ σμικρότητος. ἔστω δὲ ἡ προσποίησις τοῦ σωφρονεῖν ἀληθής· μηδεὶς γὰρ πλαττέσθω γλώσσῃ καλὰ ἔργα, πράξεως καὶ διανοίας ἀγαθῆς στερόμενος.

---

1 *ἀδικουμένω* ex *ἀδίκω* corr. S^1 ‖ 2 *ξένης* S M L *ξέν* $\overset{\text{οις}}{.}$ *ς* scripserat A^1, *οις* delevit et *η* inseruit A^2 ‖ 3 *ἑαυτοῦ* om., superscr. *αὐτοῦ* compend. L ‖ 5 *παρὰ*] *περὶ* compend. L ‖ 6 post *κακοξενίας* plenior distinctio, dein aliquid spatii in M ‖ 7 *παραγγέλειν* S | *νεωτέρουσ* in *οισ* corr. M^1 ‖ 8 *τοῦ αἰδεῖσθαι* S M A L: corr. Heyne ‖ 10 *φύονται* libri nisi quod *φαίνονται* L. distinguitur post *φύονται* in A ‖ 13 *μηδεὶς* sed *εἰ* in corr. M^1 ‖ 14 *οὕτω* S M L *τούτω* A | *θεῶν* S M L *θεὸν* A^1 corr. A^2 | *ἵλεω* L ‖ 16 *μιγείτω* A^1 ‖ 19 *ἐμφυσιοῦται* S M A L: corr. Heyne ‖ 20 v. *προσποιείσθω* — p. 152, 23 *ἰατρευόμενος ἀδικίαν* offert etiam Br lemmate non adiecto ‖ 24 *ἀληθής* sed *ης* ex *εις* corr. S^1 ‖ 25 *ἀγαθῆς στερόμενος* M A L Br *στερόμενος ἀγαθῆς* S

Χρὴ δὲ καὶ πρὸς τοὺς ἄρχοντας εὔνοιαν διαφυλάττειν καθάπερ πατράσιν εὐπειθοῦντας καὶ σεβομένους· ὡς ὁ μὴ διανοούμενος οὕτω τίσει δίκην κακῆς βουλῆς δαίμοσιν ἑστιούχοις. ἄρχοντες γὰρ ἑστιουχοῦσι πόλεως καὶ πολιτῶν σωτηρίας.

Χρὴ δὲ καὶ τοὺς ἄρχοντας δικαίως προεστάναι τῶν ἀρχομένων καθάπερ τέκνων ἰδίων, ἔχθραν καὶ φιλίαν καὶ θυμὸν ἐν τῷ κρίνειν κοιμίσαντας.

Ἐπαινείσθωσαν δὲ καὶ εὐδοκιμείτωσαν, ὅσοι ἂν ὄντες εὔποροι τοῖς ἐνδεεστέροις ἐπαρκῶσιν, ὡς τέκνα καὶ ἀμύντορας σῴζοντες τῆς ἑαυτῶν πατρίδος. ἐπαρκείτωσαν δὲ τοῖς διὰ τύχην πενομένοις, καὶ μὴ διὰ βίον ἀργὸν καὶ ἀκρατῆ. ἡ μὲν γὰρ τύχη πᾶσι κοινόν, ὁ δὲ ἀργὸς καὶ ἀκρατὴς βίος κακοῖς ἀνδράσιν ἴδιος.

Καλὸν δ' ἔστω καὶ μηνύειν ἐάν τίς τῳ συνειδῇ ἀδικοῦντι, ἵνα ἡ πολιτεία σῴζηται πολλοὺς ἔχουσα τῆς εὐκοσμίας φύλακας. ὁ δὲ μηνύων εὐσεβὴς ἔστω καὶ κατὰ τῶν οἰκειοτάτων ἐξαγγέλλων· οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. ἐμφανιζόντων δὲ μὴ τὰ δι' ἀκούσιον ἄγνοιαν γιγνόμενα, ἀλλ' ὅσον ἂν ἐκ προνοίας τι ἁμαρτάνωσιν. ὁ δ' ἐμφανισθείς, ἂν ἐθελεχθρῇ τῷ μηνύσαντι, μισείσθω ὑπὸ πάντων, δίκην διδοὺς ἀχαριστίας, ⟨ᾗ τιμ⟩ῆς ἀποστερεῖ τὸν ἰατρεύοντα, μεγίστην νόσον ἰατρευόμενος ἀδικίαν.

Ἔστω δὲ μέγιστα ἀδικήματα θεῶν καταφρόνησις καὶ

1 *δια* supra versum add. L ‖ 2 *πατράσιν* Meineke: *πατρικὴν* S M A L Br | *εὖ πειθοῦντας* L | *ὁ* om. Tr. ‖ 4 *ἔστι οὐχοῦσιν* M ‖ 5 post *σωτηρίας* distinctionis spatium aliquod in M ‖ 6 *προεστᾶναι* M L 7 *καθάπερ ἰδίων τέκνων* L Br ‖ 9 *ἐπαινέσθωσαν* A | *εὐδοκιμείτωσαν* S M A L *εὐδοκιμητώσαν* Br *εὐδοκιμείσθωσαν* Tr. ‖ 10 *τοῖς ἐνδεεστέροις καὶ ἐπαρκ.* L ‖ 14 post *ἴδιος* spatii aliquantulum distinctionis gratia M ‖ 15 *δ' ἔστω* S A *δ' ἔτω* M *δέ τω* L *δέ τῳ* Br | *τῶ* M L | *συνειδῇ* (-ῇ ut videtur Br) L Br *συνίδη* (vel -ῃ) S M A ‖ 18 *ἐξαγγέλων* M ‖ 19 *ἀκούσιον* suspectum Meinekio ‖ 21 *ἐμφανισθῆς* A[1] | *ἐθελεχθρῇ τῷ*] *ἐθελε τῶ* sic L ‖ 22 *ἀχαριστίας* S M *ἀχαριστείας* L *ἀχαριστε͐ίας* (ι supra) A[1] | *ᾗ τιμῆς* scripsi: *ἧς* libri. *ᾗ* proposuerat Elter ‖ *ἰατρεύον* (τ supra) L | post *ἀδικίαν* aliquantulum spatii relictum in M

γονέων κάκωσις ἑκούσιος καὶ ἀρχόντων καὶ νόμων ὀλιγωρία καὶ ἑκούσιος ἀτιμία δικαιοσύνης. δικαιότατος δὲ ἔστω καὶ ὁσιώτατος πολίτης ὁ ταῦτα τιμῶν καὶ ἐμφανίζων πρὸς πολίτας καὶ ἄρχοντας κατὰ τῶν καταφρονούντων.

Ὑπὲρ πατρίδος ἀποθνήσκειν σεμνότερον ἔστω ἢ γλιχόμενον τοῦ ζῆν ἐγκαταλιπεῖν αὐτὴν καὶ τὸ καλόν. κρεῖττον γὰρ τεθνάναι καλῶς ἢ ζῆν αἰσχρῶς καὶ ἐπονειδίστως.

Χρὴ δὲ καὶ τῶν τελευτώντων ἕκαστον τιμᾶν μὴ δακρύοις μηδὲ οἴκτοις, ἀλλὰ μνήμῃ ἀγαθῇ καὶ τῇ τῶν κατ' ἔτος ὡραίων ἐπιφορᾷ, ὡς ἀχαριστίας οὔσης πρὸς δαίμονας χθονίους λύπης ὑπὲρ τὸ μέτρον γιγνομένης.

Βλασφημείτω δὲ μηδεὶς ἐπ' ἀδίκῳ βλάβῃ περὶ μηδενός· ὁσιώτερον γὰρ εὐφημία κακηγορίας.

Νομιζέσθω δὲ πολίτης ἀμείνων ὁ τῆς ὀργῆς κρείττων μᾶλλον τοῦ διὰ ταύτην πλημμελοῦντος.

Ὁ ⟨τὰ⟩ ἱερὰ καὶ ἀρχεῖα ὑπεραίρων τῇ πολυτελείᾳ τῶν ἰδίων μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω· μηδὲν γὰρ ἔστω ἰδιωτικὸν μεγαλοπρεπέστερον καὶ σεμνότερον τῶν δημοσίων.

Ὁ πλούτῳ καὶ χρήμασι δουλεύων καταφρονείσθω ὡς μικρόψυχος ὢν καὶ ἀνελεύθερος καὶ καταπληττόμενος ὑπὸ κτημάτων πολυτελῶν καὶ βίου τραγῳδουμένου, καὶ εὐτελὴς εἶναι τὴν ψυχὴν ὑπολαμβανέσθω. ὁ γὰρ μεγαλόψυχος προδιανοεῖται πάντα παρ' ἑαυτῷ τὰ παρ' ἀν-

---

3 *ὁσιότατος* L ‖ 4 post *καταφρονούντων* spatii aliquantulum in M, item in proximis post singula tmemata etiam in editione Trincavelliana recte seiuncta ‖ 6 cf. p. 147, 7 Isocr. ad Nicocl. 36 p. 22b *αἱροῦ καλῶς τεθνάναι μᾶλλον ἢ ζῆν αἰσχρῶς* ‖ 8 *καὶ* om. L | *τιμᾶν καὶ μὴ διὰ κρύοις* A1 ‖ 9 *οἴκτοις* etiam L | *κατ' ἔτος* supra lin. S1 | 11 *χθονίους· καὶ λύπης* L ‖ 13 *ὁσιώτερον* Meineke: *θειότερον* libri ‖ *εὔ$^{\mu}$φη* L | *κακηγορίας* S A *κατηγορίας* M L ‖ 14 *νομιζέσθω* — 15 *πλημμελοῦντος* offert etiam Br lemmate non addito | *κρείττων* M L Br *κρεῖττον* S A sed corr. S1 ‖ 15 *μᾶλλον* om. Br ‖ 16 *Ο* (id est *ὁ*) Tr.: om. S M A1 L. *τὰ* addidi ‖ 18 *μαλοπρεπέστερον* L ‖ 19 v. *ὁ πλούτῳ* — p. 154, 2 *παραπέσῃ* exscripsit etiam Br lemmate non addito ‖ 22 ante *εὐτελὴς* lacunam statuit Elter. ego expecto fere sententiam *καὶ ὁ χρημάτων ἀποβολῇ λυπούμενος* ‖ 23 *παρ'* (ante *ἀνθρ.*) A Tr. *παρὰ* S M Br *περὶ* compend. L

θράποις, καὶ δι' οὐδενὸς θορυβεῖται τοιούτου ὅταν παραπέσῃ.

Αἰσχρορρημονείτω δὲ μηδείς, ὅπως ἂν μὴ παρελκύῃ τὴν διάνοιαν ἔργοις αἰσχροῖς μηδὲ ἀναπιμπλῇ τὴν ψυχὴν ἀναιδείας καὶ μιασμάτων. τὰ μὲν γὰρ εὐσχήμονα καὶ φίλα τοῖς οἰκείοις ὀνόμασι καὶ κειμένοις ὑπὸ τοῦ νόμου προσαγορεύομεν, πρὸς ἃ δ' ἂν ἐχθρῶς ἔχωμεν, ἐξιστάμεθα καὶ τῆς προσηγορίας διὰ τὸ αἰσχρόν. ἔστω δὲ καὶ αἰσχρὸν εἰπεῖν τὸ αἰσχρόν.

Γυναῖκα δὲ τὴν κατὰ νόμους ἕκαστος στεργέτω καὶ ἐκ ταύτης τεκνοποιείσθω, εἰς ἄλλο δὲ μηδὲν προϊέσθω τέκνων τῶν αὑτοῦ σποράν· μηδὲ τὸ φύσει καὶ νόμῳ τίμιον ἀνόμως ἀναλισκέτω καὶ ὑβριζέτω. ἡ γὰρ φύσις τεκνοποιίας ἕνεκεν, οὐκ ἀκολασίας ἐποίησε τὴν σποράν.

Γυναῖκα δὲ σωφρονεῖν χρὴ καὶ μὴ προσδέχεσθαι συνουσίαν ἀσεβῆ παρ' ἄλλων ἀνδρῶν, ὡς ἀπαντώσης νεμέσεως παρὰ δαιμόνων ἐξοικιστῶν καὶ ἐχθροποιῶν.

Ὁ μητρυιὰν ἐπιγαμῶν μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω ὡς παραίτιος ὢν οἰκείας διαστάσεως.

Χρὴ δὲ ἐμμένειν τοῖς εἰρημένοις, τὸν δὲ παραβαίνοντα ἔνοχον εἶναι τῇ πολιτικῇ ἀρᾷ.

Προστάσσει δὲ ὁ νόμος, ἐπίστασθαι τὰ προοίμια τοὺς πολίτας ἅπαντας, καὶ ἐν ταῖς ἑορταῖς μετὰ τοὺς

---

1 *δι' ἑνὸς* sed *οὐδ* superscr. S[1]. *καὶ ὑπ' οὐδενὸς* prop. Meineke inutiliter | *θορυβοῦται* A[1] | *τοιούτου* M L *τοσούτου* in S fuisse videtur Meklero, *τοιούτου* an *τοσούτου* sit in Br, dubitat P. Thomas ‖ **3** *αἰσχροῤῥημονείτω* Tr. *αἰσχρορημονείτω* S M A L in marg. S[1] | *παρελκύῃ* L idque reposui: *παροικοίη* S M A. *παροικειοῖ* scribere solebant cum Heynio ‖ **4** *ἀναπιμπλῇ* L *ἀναπίμπλη* S *ἀναπημπλη* M | *ἀναπιμπλητικὴν ψυχὴν* A ‖ **5** *ἀναιδείοις* compend. L ‖ **7** *δ' ἂν* reposui ex L: *δὲ* S M A | *ἐχθρῶς* libri nisi quod *αἰσχρωσ* M | *ἔχωμεν* L *ἔχομεν* in -*ωμεν* corr. M[1] ut videtur, *ἔχομεν* S A ‖ **8** v. *διὰ τὸ αἰσχρόν* (an *ἐχθρόν*?) Heynio auctore delet Meineke ‖ **11** *τεκνοποιείτω* L | *μηδὲν*] *μὴ* A[1] | *προιεσθω* sine acc. S ‖ **12** *αὐτοῦ* M L ‖ **14** *ἕνεκεν* S A L *εἵνεκεν* M | *οὐ κολασίασ* M ‖ **17** *περὶ* compend. L | *ἐξοικιστῶν* (*κ* ut videtur ex *χ* factum in L) L A *καὶ ἐξοικιστῶν* S M ‖ **18** *μητρυιὰν* libri, etiam Tr., sed *μητρυὰν* S | *ονειδιζεσθω* sine acc. S ‖ **19** *ὥσπερ αἴτιος* libri: corr. Meineke ‖ **23** *ταῖσ ἑορταῖσ* ex *τᾶσ ἑορτᾶσ* corr. M[1]

παιᾶνας λέγειν ᾧ ἂν προστάσσῃ ὁ ἱστιάτωρ, ἵν' ἐμφυσιῶται ἑκάστῳ τὰ παραγγέλματα.

25 (41 Mein.) *Ἐκ τῶν Νικολάου Περὶ ἐθῶν* (fr. hist. Gr. III p. 457 Mueller).

Παρὰ Ταρτησίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν οὐκ ἔξεστι.

Λευκανοὶ δικάζονται ἀλλήλοις ὥσπερ ἄλλου τινὸς ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας. ἐὰν δέ τις ἀσώτῳ δανείσας χρέος ἐλεγχθῇ, στέρεται αὐτοῦ. καὶ Ἀθήνησι δὲ τῆς ἀργίας εἰσὶ δίκαι.

Παρὰ Σαυνίταις κατ' ἔτος οἵ τε ἤθεοι κρίνονται δημοσίᾳ καὶ αἱ παρθένοι· ὁ δὲ κριθεὶς ἄριστος εἶναι λαμβάνει ἣν βούλεται, εἶθ' ὁ μετ' ἐκεῖνον δεύτερος καὶ οὕτως ἐφεξῆς.

Λιβύρνιοι κοινὰς τὰς γυναῖκας ἔχουσι καὶ τὰ τέκνα ἐν κοινῷ τρέφουσι μέχρι ἐτῶν πέντε· εἶτα τῷ ἕκτῳ συνενέγκαντες ἅπαντα τὰ παιδία τὰς ὁμοιότητας πρὸς τοὺς ἄνδρας εἰκάζουσι, καὶ ἑκάστῳ τὸ ὅμοιον ἀποδιδόασι πατρί· ἀφ' ἧς δ' ἂν ἀπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ὑπολαμβάνει.

Κελτοὶ σιδηροφοροῦντες τὰ κατὰ πόλιν πάντα πράτ-

---

1 *ᾧ*] *ὃ* A | *προστάσσῃ* L: *προστάσῃ* M *προστάσσει* S A, errat de A Gaisford | *ἱστιάτωρ* Tr. *ἵστιάτωρ* S M *ἰστιάτωρ* L *ἑστιάτωρ* A idque ex coniectura scripserat Gesn.[1], cum Gesnero reliqui. cf. Pausan. VIII c. 13, 1 Hesych. s. v. | *ἐμφυσιῶται* L: *ἐμφυσιοῦται* S M A ‖ 2 *τὸ παράγγελμα* M ‖ 3 ecl. cum lemm. hab. S M A L; *τοῦ* pro *τῶν* A ‖ 5 *Παρὰ*] *Π* om. rubr. M | *ταρτησίοις* S M A L *ταρτεσσίοις* Tr. ‖ 7 *ὥσ παρ'* L ‖ 9 *χρέωσ* M ‖ 11 cf. Strabo V p. 250 | *Παρὰ*] littera *Π* rubro addenda L | *σουνίταις* S M A | *σανείταις* L: corr. Holstenius, item A[2] ut videtur | *ἤλθεοι* libri ‖ 15 non ex Herodoto IV 180 haec sumpsisse Nicolaum monuit Duemmler *Kl. schr.* II p. 477. cf. Aristot. politic. II 3 p. 1262[a] | *Λιβύρνιοι* M A[2] *λιμύρνιοι* S *Σμύρνιοι* (*Σ* rubr.) L *λιβυρνοὶ* in A lemma marg. | *ἔχουσιν* et sic in proximis ubique *-σιν* suo more M ‖ 16 *μέχρις* A ‖ 16. 17 *συνενεγκοντες* idque sine acc. A ‖ 18 *τὸ ὅμοιον* L A *τὸν ὅμοιον* S M ‖ 19 *ἀπολάβῃ* M A[2] *ὑπολάβῃ* S A[1] | 20 *ὑπολαμβάνει* M A ‖ *ἀπολαμβάνει* S ‖ 21 cf. Caesar bell. Gall. VI 23 Aristot. mirab. c. 85 p. 837[a] 7

τουσι. μείζω δ' ἐστὶν ἐπιτίμια κατὰ τοῦ ξένον ἀνελόντος ἢ πολίτην· ὑπὲρ τοῦ μὲν γὰρ θάνατος ἡ ζημία, ὑπὲρ τοῦ δὲ [πολίτου] φυγή. τιμῶσι δὲ μάλιστα τοὺς χώραν τῷ κοινῷ προσκτωμένους. τὰς δὲ θύρας τῶν οἰκιῶν οὐδέποτε κλείουσι.

Σαυρομάται διὰ τριῶν ἡμερῶν σιτοῦνται εἰς πλήρωσιν. ταῖς δὲ γυναιξὶ πάντα πείθονται ὡς δεσποίναις παρθένον δὲ οὐ πρότερον συνοικίζουσι πρὸς γάμον, πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ.

Κερκέται τοὺς ἀδικήσαντας ὁτιοῦν τῶν ἱερῶν ἀπείργουσιν. ἐὰν δέ τις κυβερνῶν σκάφος διαμάρτῃ, προσιόντες ἐφεξῆς ἕκαστοι ἐμπτύουσιν αὐτῷ.

Μόσυνοι τὸν ἑαυτῶν βασιλέα τρέφουσιν ἐν πύργῳ κατάκλειστον· ἐὰν δέ τις δόξῃ κακῶς ποτὲ βεβουλεῦσθαι τῷ λιμῷ αὐτὸν ἀποκτείνουσι. τὸν δὲ τρεφόμενον σῖτον ἐξ ἴσου διαιροῦσι, μέρος κοινῇ ἐξελόντες τοῖς ἀφικνουμένοις ξένοις.

Φρύγες ὅρκοις οὐ χρῶνται οὔτ' ὀμνύντες οὔτε ἄλλους ἐξορκοῦντες. ἐὰν δέ τις παρ' αὐτοῖς γεωργικὸν βοῦν

---

2 *πολίτου* Tr. | *τοῦ* S *οὗ* MAL | *ἡ* libri nisi quod *ἢ* L ‖ **3** *ὑπὲρ δὲ τοῦ* LA | *πολίτου* seclusit Meineke ‖ **4** cf. flor. Laur. f. 103ᵛ p. 166, 22 Mein. ubi tamquam nova ecloga recurrit *Νικολάου περὶ ἐθῶν. Κελτοὶ τὰς θύρας — κλείουσι* ‖ **6** cf. Herodot. IV 117 | *Σαυρομαται* :~ *Διὰ* (*Σ* et *Δ* rubr.) L ‖ 8 *συνοικίζουσιν* ML | *πρὸς* SA *πρὸς* in ras. M² *εἰς* L ‖ **10** *Κερκέται* etiam Tr. | *ἱερῶν* A: *ἱερέων* SML | *προσιέντες* L ‖ **13** cf. Pomponius Mela I 19 p. 29, 2 P. Nymphodorus apschol. Apoll. II 1015 ss. Xenophon Anab. V 4, 26 Diodor. XIV 30 | *Λοσύνοι* (*Λ* rubr.) L | *ἑαυτὸν* A¹ ‖ **15** *ἀποκτείνουσι* Tr.: *ἀποκτένουσι* (-*σιν* S) SMA¹ -*κτένωσι* L | *τὸν δὲ τρεφόμενον — ξένοις*] haec in proxima potius de Phrygibus ecloga olim lecta fuisse putat Coraes coll. Strabonis XII p. 549 | *τὸν δ' ἐκφερόμενον* ci. Meineke ‖ **18** cf. Socrates hist. eccles. IV 28 | *Τρύγες* (*Τ* rubr.) L | verbis *ὅρκοις οὐ* finitur f. 158ᵛ in M, cuius f. 159ʳ incipit a verbis *τὸν οὐρανὸν κτέ.* (ecl. 63, 35 p. 408 G.): omissa sunt nostrae eclogae v. *χρῶνται* — p. 157, 10 *παρακαταθήκης τὸν δὲ* | *οὔτε ὀμνύντες* L ‖ **19** cf. Aelian. n. a. XII 34 *Φρύγες δὲ ἐὰν παρὰ' αὐτοῖς τις ροτῆρα ἀποκτείνῃ βοῦν, ἡ ζημία θάνατος αὐτῷ* | *γεωργικοῦν* L

ἀποκτείνῃ ἢ σκεῦος τῶν περὶ γεωργίαν κλέψῃ, θανάτῳ ζημιοῦσι.

Λύκιοι τὰς γυναῖκας μᾶλλον ἢ τοὺς ἄνδρας τιμῶσι καὶ καλοῦνται μητρόθεν τάς τε κληρονομίας ταῖς θυγατράσι λείπουσιν, οὐ τοῖς υἱοῖς. ὃς δ' ἂν ἐλεύθερος ἁλῷ κλέπτων, δοῦλος γίνεται. τὰς δὲ μαρτυρίας ἐν ταῖς δίκαις οὐκ εὐθὺ παρέχονται ἀλλὰ μετὰ μῆνα.

Πισίδαι δειπνοῦντες ἀπάρχονται τοῖς γονεῦσιν, ὡς ἡμεῖς τοῖς θεοῖς † παρασπονδίοις. ἡ δὲ μεγίστη κρίσις ἐστὶ περὶ παρακαταθήκης· τὸν δὲ ἀποστερήσαντα θανατοῦσιν. ἐὰν δὲ μοιχὸς ἁλῷ, περιάγεται τὴν πόλιν ἐπὶ ὄνου μετὰ τῆς γυναικὸς ἐπὶ ἡμέρας τακτάς.

Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα τιμῶσι, καὶ τὰς διαδοχὰς καταλείπουσιν οἱ βασιλεῖς οὐ τοῖς ἑαυτῶν ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. ὅταν δ' ὁ διαδεξόμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα. ἀσκοῦσι δὲ εὐσέβειαν καὶ δικαιοσύνην. ἄθυροι δ' αὐτῶν αἱ οἰκίαι, καὶ ἐν ταῖς ὁδοῖς κειμένων πολλῶν οὐδὲ εἷς κλέπτει.

---

1 *τῶν* S L *τὸ* A | *γεωργίαν* S A *γεωργίας* compend. A ‖ **3** cf. Herodot. I 173 Nymphis ap. Plut. de virt. mor. p. 248 D | *Κύκιοι* (*K* rubr.) L ‖ **7** *εὐθὺς* mavult Hirschig ‖ **8** rubricator *Ἡ* pro *Πι* in L, idem om. initialem vocabuli *δειπν.* ‖ **9** *τοῖς* om. L | *παρασπονδίοις* seclusit Meineke, vide etiam Dind. in Thes. v. VI p. 389. an *παρὰ σπονδαῖς*? | cf. flor. Laur. f. 125[v] p. 182, 20 Mein. ubi recurrunt haec: *Νικολάου ἐθῶν. Τισίδαις* (*T* rubr.) *ἡ μεγίστη κρίσις ἐστὶ περὶ παρακαταθήκης· τὸν δὲ ἀποστερήσαντα θανατοῦσιν* | *περὶ παρακαταθήκης* L A *περὶ καταθήκης* S *παρακαταθήκης* Tr. ‖ **10** post *τὸν δὲ* sine intervallo sequuntur eclogae 63, 34 Mein. verba *ἀπὸ τοῦ πάθους κτἑ.* in A f. 87[v], continuatur Nicolai ecloga inde a *στερήσαντα* (sic A[1]) f. 105[v], item per *στερήσαντα* recipitur haec ecloga (post v. *λοιδορουμένην κυνὸς* ecl. 74, 11 Mein.) in M f. 185[r] | *ἀποστερήσαντα* S L A[2] ‖ **13** cf. Herodot. III 20 Strabo XVII p. 822 | *Ἐθίοπες* (*Ἐ* rubr.) L ‖ **14** *καταλείπουσιν* L: *μάλιστα καταλείπουσιν* S M A | *τοῖς* libri nisi quod *τὰς* L ‖ **15** *τοῖς* hic etiam L | *διαδεξόμενος* L: *διαλεξόμενος* A[1] *διαδεξάμενος* S M ‖ **18** *τοῖς* L | *πολλῶν* ex corr. (primitus *ἀλλ*) L ‖ **19** post *κλέπτει* nulla distinctio in L

Ἐν Βυάοις Λίβυσιν ἀνὴρ μὲν ἀνδρῶν βασιλεύει, γυνὴ δὲ γυναικῶν.

Βασουλιεῖς Λίβυες ὅταν πολεμῶσι, τὰς μὲν νύκτας μάχονται, τὰς δ' ἡμέρας εἰρήνην ἄγουσι.

Δαψολίβυες ὅταν συναχθῶσι, πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ μετὰ δύσιν πλειάδος, καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων κατασβέσαντες τὸν λύχνον εἰσέρχονται, καὶ ὁ τυχὼν ἣν ἂν τύχῃ λαμβάνει.

Μαχλυεῖς Λίβυες ὅταν πολλοὶ μνηστεύωνται γυναῖκα, παρὰ τῷ κηδεστῇ δειπνοῦσι παρούσης τῆς γυναικός· πολλὰ δὲ σκωπτόντων, ἐφ' ᾧ ἂν ἡ γυνὴ γελάσῃ, τούτῳ συνοικεῖ.

Σαρδολίβυες οὐδὲν κέκτηνται σκεῦος ἔξω κύλικος καὶ μαχαίρας.

Ἀλιτέμνιοι Λίβυες τοὺς ταχυτάτους αὐτῶν αἱροῦνται βασιλεῖς, τῶν δ' ἄλλων τιμῶσι τὸν δικαιότατον.

Οἱ Νομάδες τῶν Λιβύων οὐ ταῖς ἡμέραις ἀλλὰ ταῖς νυξὶν αὐτῶν ἀριθμοῦσι τὸν χρόνον.

Ἀτάραντες Λίβυες ὀνόματα οὐκ ἔχουσιν. ἡλίῳ δὲ

---

1 *βυάοις* S M *Ὑάλοις* A *βύκοις* L. *Βύλοις* scr. Meineke. *Ἀβύλλοις* prop. Mueller coll. Steph. Byz. s. v., quod non necessarium videtur Meinekio ‖ 3 *βασουλιεῖς* libri, initialem om. rubr. addend. L: *Μασουλιεῖς* Valesius, *Μασσυλιεῖς* Holstenius. *Μασσυλεῖς* eos dicit Polybius VII 19, 1, cf. Steph. Byz. s. v. | ante *Λίβυες* habet *οἱ* rubr. initium versus atramento rescriptum L ‖ 5 *δαψολίβυες* S *δαψολίβυ* M *δαψολίβυοι* A *Δαψιλόβιοι* (*Δ* rubr.) L. *Θαψολίβυες* prop. Orelli | *-θῶσιν* M ‖ 7 *κατασβέσαντες* S M A^2 *κατασκευάσαντες* (sic) L A^1 ‖ 8 *τύχοι* A ‖ 9 *ἰαλχλευεῖς* S M A. *αχλεν*^{εῖς} L. *Μαχλυεῖς* J. Vossius ad Melam I 7, 37, cf. Herodot. IV 178 | post *πολλοὶ* addit *μίαν* Meineke | *μνηστεύωνται* M A *-σωνται* S L ‖ 10 *τῆς* S M om. L. *καὶ τῆς* A, frustra *καὶ* recepere Gaisford et Meineke ‖ 11 *γελάσει* L ‖ 13 *σορδολίβυες* S sed ante *λ* inseruit *ι* S^1 *σορδολίβυες* M *Σορδοὶ λίβυες* A^1 *Σαρδολίβυες* A^2 *Παρδοὶ* (*Π* rubr.) *λίβυες* L. cf. Pausan. X 17, 2 ‖ 15 *Ἀλιτέμνιοι* libri, *Ἀλιτέμ. ϊοι* operarum error Tr. moneo propter Muellerum ‖ 17 *Οἱ* om. rubr. addend. L ‖ 18 *αὐτῶν* suspectum Meinekio ‖ 19 *Ἀφάραντες* S M *Γαράμαντες* A *Σφάραντες* (*Σ* rubr.) L: *Ἀτάραντες*

ἀνίσχοντι λοιδοροῦνται ὡς πολλὰ κακὰ φήναντι. τῶν δὲ θυγατέρων ἀρίστας κρίνουσι τὰς πλεῖστον χρόνον μεμενηκυίας παρθένους.

Βοιωτῶν ἔνιοι τοὺς χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν ἄγοντες καθίσαι κελεύουσιν, εἶτα κόφινον ἐπιβάλλουσιν αὐτῷ· ὃς δ' ἂν κοφινωθῇ, ἄτιμος γίνεται. δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ ὁ Εὐριπίδου πατὴρ Βοιωτὸς ὢν τὸ γένος.

Ἀσσύριοι τὰς παρθένους ἐν ἀγορᾷ πωλοῦσι τοῖς θέλουσι συνοικεῖν, πρώτας μὲν τὰς εὐγενεστάτας καὶ καλλίστας, εἶτα τὰς λοιπὰς ἐφεξῆς· ὅταν δ' ἔλθωσιν ἐπὶ τὰς φαυλοτάτας, κηρύττουσι πόσον τις θέλει προσλαβὼν ταύταις συνοικεῖν, καὶ τὸ συναχθὲν ἐκ τῆς τῶν εὐπρεπῶν τιμῆς ταύταις προστίθενται. ἀσκοῦσι δὲ μάλιστα † βαθύτητα καὶ ἀοργησίαν.

Πέρσαις ὃ μὴ ποιεῖν ἔξεστιν οὐδὲ λέγουσιν. ἐὰν δέ τις πατέρα κτείνῃ, ὑποβλητὸν αὐτὸν οἴονται. ἐὰν δέ τινα προστάξῃ βασιλεὺς μαστιγῶσαι, εὐχαριστεῖ ὡς ἀγαθοῦ τυχὼν ὅτι αὐτοῦ ἐμνήσθη βασιλεύς. ἆθλα δὲ λαμ-

---

Salmasius e Rhiano (Steph. Byz. v. Ἄτλαντες) in Herod. IV 184, ubi ἄτλαντες libri

1 *λοιδοροῦνται*] cf. Herodot. l. c. Diodor. III 8 Strabo XVII p. 822 ‖ 2 *κρίνουσι τοῖς πλείστοις χρόνον* L ‖ 4 v. *Βοιωτῶν* — 8 *τὸ γένος* recurrunt Maxim. c. 62 p. 674 sine lemmate | *Βοιωτῶν*] initialem om. rubro addend. L | *τοὺς τὸ χρέος* A ‖ 6 *αὐτῶ* (-*ῷ* A Tr.) S M A Max. *αὐτῶν* L. *αὐτῷ* si verum est, scribenti obversatur iam quod additurus est *ὃς δ' ἂν κτἑ.* | *γίγνεται* L ‖ 9 cf. Herodot. I 196 Aelian. v. h. IV 1 | *Ἀσύριοι* S M *Ἀσσύριοι* A *Ἡσσύριοι* (*Ἡ* rubr. sed atramento mutatum in *Οἱ*) L | -*λοῦσιν* M ‖ 12 *κηρύττουσιν* M ‖ 14 post *μάλιστα* add. *οὗτοι* A, idque immerito recepit Meineke | *βαθύτητα* S M L *τὴν εὐθύτητα* A. *πραΰτητα* scribi voluit Coraes ‖ 15 *καὶ τὴν ἀοργησίαν* A. utrobique articulum recepit Meineke ‖ 16 *Πέρσαις κτἑ.*] recurrunt ap. Maxim. c. 62 p. 674 (post v. 4—8). cf. Herodot. I 136 Strabo XV p. 733 | *Πέρσαι* L A[2] ‖ 17 *τις πατέρα* S M L *τις ἀπ'* (*ἀπ'* del. A[2]) *αὐτῶν πατέρα* A ‖ 18 *προστάξῃ βασιλεὺς* L *προστάξαι βασιλεὺς* S *προστάξῃ ὁ βασιλεὺς* M A | *τοῦ μαστιγῶσαι* A *τοῦ* del. A[2] ‖ 19 *βασιλεύς* S M L *ὁ βασιλεύς* A

βάνουσι παρὰ βασιλέως πολυτεκνίας. οἱ δὲ παῖδες παρ' αὐτοῖς ὥσπερ μάθημα τὸ ἀληθεύειν διδάσκονται.

Παρ' Ἰνδοῖς ἐάν τις ἀποστερηθῇ δανείου ἢ παρακαταθήκης, οὐκ ἔστι κρίσις, ἀλλ' αὑτὸν αἰτιᾶται ὁ πιστεύσας. ὁ δὲ τεχνίτου πηρώσας χεῖρα ἢ ὀφθαλμὸν θανάτῳ ζημιοῦται. τὸν δὲ μέγιστα ἀδικήσαντα ὁ βασιλεὺς κελεύει κείρασθαι, ὡς ἐσχάτης οὔσης ταύτης ἀτιμίας.

Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας ἢ τὰς εἰς πόλεμον εὐθέτους αἰσχρόν ἐστιν. ἑστιῶνται δὲ πάντες ἐν κοινῷ. τοὺς δὲ γέροντας αἰσχύνονται οὐδὲν ἧττον ἢ πατέρας. γυμνάσια δ' ὥσπερ ἀνδρῶν ἐστιν, οὕτω καὶ παρθένων. ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ οὐδὲ Σπαρτιάταις ξενιτεύειν. ταῖς δὲ αὑτῶν γυναιξὶ παρακελεύονται ἐκ τῶν εὐειδεστάτων κύεσθαι καὶ ἀστῶν καὶ ξένων. χρηματίζεσθαι δ' αἰσχρὸν Σπαρτιάτῃ. νομίσματι δὲ χρῶνται σκυτίνῳ· ἐὰν δὲ παρά τινι εὑρεθῇ χρυσὸς ἢ ἄργυρος, θανάτῳ ζημιοῦται. σεμνύνονται δὲ πάντες ἐπὶ τῷ ταπεινοὺς αὑτοὺς παρέχειν καὶ κατηκόους ταῖς ἀρχαῖς. μακαρίζονται δὲ μᾶλλον παρ' αὐτοῖς οἱ γενναίως ἀποθνήσκοντες ἢ οἱ εὐτυχῶς ζῶντες. οἱ δὲ παῖδες νομίμως περί τινα βωμὸν περιϊόντες μαστιγοῦνται, ἕως ἂν ὀλίγοι λειφ-

1 *-ουσιν* M | *περὶ* compend. L | *βασιλέως* S M L *τοῦ βασιλέως* A ‖ 2 *μάθημα* L *μαθήματα* S M *τινα μαθήματα* A *τι μάθημα* Meineke *μάθημά τι* Hirschig ‖ 3 cf. Strabo XV p. 709 | *Παρὰ* M L ‖ 4 *αὑτὸν* S A ut videtur, certe Tr. *αὐτὸν* M L ‖ 5 *πειράσας* sed *η* supra *ει* L ‖ 7 *κείρασθαι* sed *εί* ex *ή* corr. M[1] | *ὡς λίαν ἐσχάτης οὔσης τῆς τοιαύτης ἀτιμίας* solus A qui haec tmemata licenter interpolavit ‖ 8 *εἰς τὸν πόλεμον* A ‖ 9 *εὐθέτους* dedi ex M A L, om. S | *ἐστι* M | *ἐσθιῶνται* A[1] ‖ 10 *τοὺς γέροντας δὲ αἰσχ.* L | *αἰσχύνονται κατ' οὐδὲν* A | *ἢ τοὺς ἰδίους πατέρας* A, vide ad 7 ‖ 11 *καὶ τῶν παρθένων* (sic) A ‖ 12 *ξένοις*] initialem rubro addend. om. L | *οὐδὲ* Meineke: *οὔτε* libri ‖ 12. 13 *Σπαρτιάταις ἔθος ξεν-* A | *αὐτῶν* libri: corr. Meineke | *γυναιξὶν* M ‖ 14. 15 *Χρημ.*] *Χ* rubr. L | *σπαρτιάτηι* S *-τη* M *σπαρτιάταις* compend. L *τοῖς Σπαρτιάταις* A | *νομίσματι κτἑ.* e Xenoph. de rep. Lac. 7, 5 s. Nicolaum excerpsisse putat Cobet N. l. p. 713, *σκυτίνῳ* autem et *θανάτῳ* de suo addidisse | *νομίσμασι — σκυτίνοις* A ‖ 16 *σκυντίνω* M | *περί τινι* L ‖ 18 *αὑτοὺς* S A *αὐτοὺς* M L ‖ 19 *παρ'*] *π* in ras. S ut fort. *ὑπ'* fuerit ut in Tr. ‖ 20 *περὶ τὸν β.* A[1] ‖ 21 *περιόν-* L

θέντες στεφανωθῶσιν. αἰσχρὸν δ' ἐστὶ δειλῶν σύσκηνον ἢ συγγυμναστὴν [φίλον] γενέσθαι. κρίσις δὲ ταῖς γεροντίαις ἐπὶ τῷ τέρματι τοῦ βίου προτίθεται τοῖς τε εὖ ἢ κακῶς ζήσασιν. ὅταν δὲ στρατεύωνται ἔξω χώρας, πῦρ ἀπὸ τοῦ βωμοῦ τοῦ Ἀγήτορος Διὸς ἐναυσάμενος ⟨ὁ⟩ πυρφόρος λεγόμενος σύνεστι τῷ βασιλεῖ ἄσβεστον αὐτὸ τηρῶν. συνεκπέμπονται δὲ τῷ βασιλεῖ μάντεις καὶ ἰατροὶ καὶ αὐληταί, οἷς ἐν ταῖς μάχαις ἀντὶ σαλπίγγων ἀεὶ χρῶνται. μάχονται δ' ἐστεφανωμένοι. ὑπανίστανται δὲ τῷ βασιλεῖ πάντες πλὴν ἐφόρων. ὀμνύει τε πρὸ τῆς ἀρχῆς ὁ βασιλεὺς κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύσειν.

Κρῆτες πρῶτοι Ἑλλήνων νόμους ἔσχον Μίνωος θεμένου, ὃς καὶ πρῶτος ἐθαλασσοκράτησεν. προσεποιεῖτο δὲ Μίνως παρὰ τοῦ Διὸς αὐτοῦ μεμαθηκέναι, δι' ἐννέα ἐτῶν εἴς τι ὄρος φοιτῶν, ἐν ᾧ Διὸς ἄντρον ἐλέγετο, κἀκεῖθεν ἀεί τινας νόμους φέρων τοῖς Κρησί. μέμνηται δὲ τούτου καὶ Ὅμηρος, ἐν οἷς λέγει·

τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἔνθα γε Μίνως
ἐννέωρος βασίλευε, Διὸς μεγάλου ὀαριστής.

---

1 δειλῶν SL δηλῶν M δόλων A[1]: δειλῷ Cobet N. l. p. 732 ‖ 2 φίλον (sic MAL -λων S) seclusi tamquam glossema. ἢ φίλον prop. Gesn.[2] marg., inde ἢ superscr. A.[2] suspicionem confirmat Xenophon de re p. Laced. 9, quem exscripsit Nicolaus | δὴ supra lin. A[2] | τῆς γεροντίας scr. Mueller: ταῖς γεροντίαις (-τείαις MA) SMAL ‖ 3 προτίθεται Mueller: προστίθεται libri | τοῖς τὸ εὖ L | εὖ καὶ καλῶς Orelli ‖ 5 ἀγήτϋρος L | ὁ addidit Cobet N. l. p. 735. cf. Xen. de rep. Laced. 13, 2 ‖ 6 τῷ ἰδίῳ βασιλεῖ A | v. ἄσβεστον — 7 τῷ βασιλεῖ propter homoeoteleuton om. L | αὐτὸ A αὐτῷ SM ‖ 7 τῷ βασιλεῖ πάντες μάντεις A, cf. 9 s. ‖ 9 δ' ἐστεφανωμένοι SML δὲ στεφανωμένοι Tr. δὲ οἱ Λακεδαιμόνοι ἐστεφανωμένοι A | τῷ om. S ‖ 10 ἐφόρων SML τῶν ἐφόρων A ‖ 11 κατὰ] ἤτοι L | βασιλεύειν libri: corr. Meineke ‖ 12 πρω (τ cum ligatura) οἱ ἕλληνες (corr. ἕλλ-) L | τοῦ μίνωος A | θεμένου SMA θεμί̈ου sed ut error ex compendio vocis θεμένου ortus sit L ‖ 13 ὃς S, om. MAL, supra scr. A[2] ‖ 14 μίνως SL μόνοσ M ὁ μίνως A | ἐνέα S ‖ 16 κἀκεῖ τινας S sed θεν ἀεὶ supra scr. S[1] | κρητικοῖς A corr. A[2] ‖ 17 τούτου S: τούτων MAL ‖ 18 Od. XIX 178 s. | τοῖσι (alii τῇσι) δ' ἐνὶ libri Hom., et sic fere L ubi ἐνι sine acc., τοῖσδ' ἐνὶ S τοῖς δ' ἐνὶ A τοῖσ δὲ ενι

οἱ δὲ Κρητῶν παῖδες ἀγελάζονται κοινῇ μετ' ἀλλήλων σκληραγωγούμενοι, καὶ θήρας καὶ δρόμους τε ἀνάντεις ἀνυπόδητοι κατανύοντες, καὶ τὴν ἐνόπλιον Πυρρίχην ἐκπονοῦντες, ἥντινα πρῶτος εὗρε Πύρριχος Κυδωνιάτης [Κρὴς] τὸ γένος. συσσιτοῦσι δ' ἐν κοινῷ οἱ ἄνδρες τὴν αὐτὴν δίαιταν ἔχοντες ἐξ ἴσου πάντες. δῶρα δὲ αὐτοῖς ἐστιν ὅπλα τιμιώτατα.

26 (*41 Mein.) *Ἐκ τῶν Σερήνου.*

Οἱ Περσῶν βασιλεῖς πρὸ μὲν τῶν θυσιῶν περὶ εὐσεβείας διαλέγονται, πρὸ δὲ τοῦ πίνειν περὶ σωφροσύνης, πολεμεῖν δὲ μέλλοντες περὶ ἀνδρείας.

Πέρσαις νόμος ἦν, ὁπότε βασιλεὺς ἀποθάνοι, ἀνομίαν εἶναι πέντε ἡμερῶν, ἵν' αἴσθοιντο ὅσον ἄξιός ἐστιν ὁ βασιλεὺς καὶ ὁ νόμος.

27 (42 Mein.) *Ἐκ τῶν Πλουτάρχου Περὶ Ἴσιδος* (p. 354B).

Οἱ δὲ βασιλεῖς ἀπεδείκνυντο μὲν ἐκ τῶν ἱερέων ἢ τῶν μαχίμων, τοῦ μὲν δι' ἀνδρείαν τοῦ δὲ διὰ σοφίαν

M | *ἔνθα γε Μίνως* Gaisford: *ἔνθα μίνως γε* (*γ'* A) S M A *ἔνθα μίνως τε* L, fortasse ut *ἔνθα τε μίνως* scribendum sit quod habent libri Hom., *ἐνθάδε Μίνως* Strabo X p. 476 ‖ **19** *ὀαριστής* S A, Hom. *ὀάριστής* L *ὁ ἀριστὴσ* M *ὁ ἀριστεύς* Tr.

2 *θῆρας* S A[1] ‖ **3** *ἀνυπόδετοι* (*-θετοι* L) S M A L *-δυτοι* Tr.: *ἀνυπόδητοι* nescio quis | *καταδύοντες* A sed *ν* supra scr. A[1] | *πυρρίχην*] in marg. *πόθεν ὠνόμασται πυρρίχη* S[1] ‖ **4** *εὗρεν* M | *κυδωνειάτης* A[1] *ϊ* supra *ει* A[2] | *Κρὴς* seclusit Cobet mnemos. IX p. 128 ‖ **5** *συσσιτοῦσι* S A *συσι-* M *δυσσι-* L *σισσυ-* Tr. | *δὲ ἐν* M L ‖ **6** *δῶρα* S *δῶρον* M L, A[1] num *δῶρον* voluerit ambigit Mekler. *δῶρα* supra scr. A[2]. possis *δώρων* ‖ **8** ecl. cum lemm. hab. S M A L; *Ἐκ τῶν Σερίνου* S M A, *Σερΐνου* L. Prior pars iteratur Maxim. c. 62 p. 256 Rib. (*Ex Serini scriptis*) ‖ **9** *Οἱ* om. (rubr. addend. ?) L | *περὶ*] *ὑπὲρ* A, supra scr. *περὶ* A[2] ‖ **11** *ἀνδρείας* S M L: *ἀνδρειας* corr. A[1] | post *ἀνδρείας* spatiolum M ‖ **13** *ὁπόσον* ci. Hirschig ‖ **14** v. *καὶ ὁ νόμος* malim abesse ‖ **15** ecl. cum lemm. hab. S M A L; *λου* (with *τχ'* above) (*Π* om. rubricator) non plura L ‖ **17** *Ἡ* rubro, sed atramento rescriptum *Οἱ* L ‖ **18** *ἀνδρίαν* ut assolet A

γένους ἀξίωμα καὶ τιμὴν ἔχοντος. ὁ δ' ἐκ μαχίμων ἀποδεικνύμενος εὐθὺς ἐγίνετο τῶν ἱερέων, καὶ μετεῖχε τῆς φιλοσοφίας ἐπικρυπτομένης τὰ πολλὰ μύθοις καὶ λόγοις ἀμυδρὰς ἐμφάσεις τῆς ἀληθείας ἔχουσιν· ὥσπερ ἀμέλει καὶ παραδηλοῦσιν αὐτοὶ πρὸ τῶν ἱερῶν τὰς σφίγγας ἐπιεικῶς ἱστάντες, ὡς αἰνιγματώδη σοφίαν τῆς θεολογίας αὐτῶν ἐχούσης. τὸ δὲ ἐν Σάι τῆς Ἀθηνᾶς ἣν Ἶσιν νομίζουσιν, ἕδος, ἐπιγραφὴν εἶχε τοιαύτην 'ἐγώ εἰμι πᾶν τὸ γεγονὸς καὶ ὂν καὶ ἐσόμενον, καὶ τὸν ἐμὸν πέπλον οὐδείς πω θνητὸς ἀνεκάλυψεν'.

28 (43 Mein.) *Ἡροδότου ἱστορίας τετάρτης* (104).

Ἀγάθυρσοι ἁβρότατοι ἄνδρες εἰσὶ καὶ χρυσοφόροι τὰ μάλιστα, ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν μῖξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἔωσι καὶ οἰκήιοι ἐόντες πάντες μήτε φθόνῳ μήτε ἔχθεϊ χρέωνται ἐς ἀλλήλους.

29 (44 Mein.) *Πλάτωνος Νόμων β'* (p. 666A—C).

Ἆρ' οὖν νομοθετήσομεν πρῶτον μὲν τοὺς παῖδας μέχρι ἐτῶν ὀκτωκαίδεκα τὸ παράπαν οἴνου μὴ γεύεσθαι, διδάσκοντες ὡς οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν εἴς τε τὸ σῶμα

1 *ἀποδεδειγμένος* Plut. ‖ 2 *ἱερέων* A, Plut.: *ἱερῶν* S M L ‖ 3 *ἐπικρυπτομένης* S *-μένοις* M L *-όμενος* A *ἐπικεκρυμμένης* Plut. ‖ 4 *ἐμφάσεις τῆς ἀληθείας καὶ διαφάσεις ἔχουσιν* Plut. possis conicere *καὶ διαφάσεις* quod om. S M A L in archetypo libro intercidisse post *ἐμφάσεις* ‖ 7 *σάϊ* (sine acc. S) libri | *ἣν καὶ Ἶσιν* Plut. | *ἴσιν* libri nisi quod *ἴσην* L ‖ 9 *τὸν* bis scr. M ‖ 11 ecl. cum lemm. hab. S M A L;

Ἱροδότου (comp., *Ἱ* rubr.) *ἱστορία δ'* L ‖ 12 *ἀνδρῶν* Herodoti libri non nulli ‖ 13 *μιξιν* libri Stobaei | *ποιοῦνται* L ‖ 14 *ἔωσι* S A, Herodoti libri, *ἐῶσιν* M *ἔασι* L; *ἔωσι* delet in Herod. Mehler | *οἰκήϊοι* libri, sine acc. S, *οἰκ ϊοι* littera evanida vel erasa L | *ἐόντες* sed *ό* in ras. M[1] ‖ 15 *ἔχθει* libri nisi quod *ἄχθει* Tr. | *χρεῶνται* M | *ἐς* om. A | *ἀλλήλαις* Tr. ‖ 16 ecl. cum lemm. hab. S M A (post ecl. 43 Mein.), auctoris nomine non iterato L (post ecl. 10 Mein.), lemmate omisso Br (post ecl. 40 Mein.); *νόμων β'* libri sed *N* priorem rubro addend. om. L. adfert Galenus IV p. 809 Kühn ‖ 17 *ἆρ'* (*Ἄρ'* L) *οὖν* S M A L *ἆρ' οὐ* Br, Plat.; fortasse *ἆρ' οὐ νομοθ.* gnomologus olim et ipse | v. *τοὺς παῖδας* — p. 164,10 *λήθην γίγνεσθαι* adf. Athen. X p. 440 B addito Platonis nom. librique indiculo | *μέχρις* e Plat. Ald. Gesn.[1] ‖ 18 *γεύεσθαι· οὐ γὰρ χρὴ* Ath. 19 *ἐπὶ πυρὶ* A | *εἴς τε τὸ σ.* — p. 164,2 *μετὰ τοῦτο* om. Ath.

καὶ τὴν ψυχήν, πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι, τὴν ἐμμανῆ εὐλαβουμένους ἕξιν τῶν νέων· μετὰ τοῦτο οἴνου μὲν δὴ γεύεσθαι τοῦ μετρίου μέχρι τριάκοντα ἐτῶν, μέθης δὲ καὶ πολυοινίας τὸ παράπαν τὸν νέον ἀπέχεσθαι· τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν ἐν τοῖς ξυσσιτίοις εὐωχηθέντα καλεῖν τούς τε ἄλλους θεοὺς καὶ δὴ καὶ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν πρεσβυτέρων τελετὴν ἅμα καὶ παιδιάν, ἣν τοῖς ἀνθρώποις ἐπίκουρον τῆς τοῦ γήρως αὐστηρότητος ἐδωρήσατο τὸν οἶνον φάρμακον, ὥστε ἀνηβᾶν ἡμᾶς, καὶ δυσθυμίας † λήθην γίγνεσθαι μαλακώτερον ἐκ σκληροτέρου τὸ τῆς ψυχῆς ἦθος, καθάπερ εἰς πῦρ σίδηρον ἐντεθέντα γιγνόμενον, καὶ οὕτως εὐπλαστότερον εἶναι; πρῶτον μὲν δὴ διατεθεὶς οὕτως ἕκαστος ἆρ' οὐκ ἂν ἐθέλοι προθυμότερόν † τε, ἧττον αἰσχυνόμενος, οὐκ ἐν πολλοῖς ἀλλὰ ἐν μετρίοις, οὐκ ἐν ἀλλοτρίοις ἀλλ' ἐν οἰκείοις, ᾄδειν τε καὶ ὃ πολλάκις εἰρήκαμεν ἐπᾴδειν; — Καὶ πολύ γε.

30 (45 Mein.) *Ἐν ταὐτῷ* (p. 674 A—C).

---

2 *εὐλαβουμένους* (*-οις* A) libri Stobaei, Plat., Gal.: *εὐλαβούμενοι* Platonis Ald., ex Ald. Gesn.[1] marg. | *μετὰ τοῦτο* S M A L (dubito de Br): *μετὰ δὲ τοῦτο* tacite e Plat. Gesn.[1] ‖ **3** *δὴ* L Br, Plat.: *ἤδη* S M, om. A | *οἴνου δὲ μετρίου γεύεσθαι μέχρι τριάκοντα ἐτῶν* Ath. | *μέχρι τῶν λ ἐτῶν* A ‖ **4** *τὸ* om. A | *τὸν νέον ἀπέχεσθαι* L Br, Platonis cod. Paris. 1807 m. rec., Ath.: *ἀπέχεσθαι τὸν νέον* S M A, *τῶν νέων ἀπέχεσθαι* Platonis cod. Paris. 1807 m. pr. ‖ **6** *καὶ* ante *Διόνυσον* om. Ath. ‖ **7** *πρεσβυτέρων* S M A, Gal.: *πρεσβυτάτων* L Br, Platonis cod. Paris. 1807 *πρεσβυτῶν* Ath. | *τελευτὴν* Tr. ‖ **8** *παιδιὰν* L Br, Plat., Ath.: *παιδείαν* S M A | *τοῖς ἄλλοις ἀνθρ.* ex Platonis Ald. interpolavit Gesn.[1] ‖ **9** *ὥς τἀνεβῶν* L ‖ **10** *λήθην* (*λ* in ras. Br) libri Stob. Plat. Ath.: *λήθῃ* Burnet ‖ **11** *σκληροτάτου* compendiose L ‖ **12** *ἐντεθέντα* L Br, Plat.: *ἐκθέντα* S *ἐνθέντα* M A ‖ **13** v. *πρῶτον μὲν* — 17 *πολύ γε* quae addidi ex L Br, om. S M A et recte fortasse, nam praeterquam quod hic illic videri poterit florilegii Laur. conditor vel corrector ipsum denuo adiisse Platonem, a gnomologi consilio alienius est quod in his legitur *ὃ πολλάκις εἰρήκαμεν* | *ἆρ' οὖν κἂν* L ‖ **14** *τε*] *γε* Boeckh ‖ **15** *καὶ οὐκ* Plat. ‖ **16** ecl. cum lemm. hab. S M A L. adfert verba usque ad p. 165,14 *πᾶσα ἡ δίαιτα* intra amplius excerptum Eusebius praep. ev. XII 25 vol. II p. 111, 12 Dind.

Μηδέποτε μηδένα ἐπὶ στρατοπέδου γεύεσθαι τούτου τοῦ πόματος, ἀλλὰ ὑδροποσίᾳ συγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα, καὶ κατὰ πόλιν μήτε δούλην μήτε δοῦλον γεύεσθαι μηδέποτε, μηδὲ ἄρχοντας τοῦτον τὸν ἐνιαυτὸν ὃν ἂν ἄρχωσιν, μηδ' αὖ κυβερνήτας μηδὲ δικαστὰς ἐνεργοὺς ὄντας οἴνου γεύεσθαι τὸ παράπαν, μηδ' ὅστις βουλευσόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου ξυνέρχεται, μηδέ γε μεθ' ἡμέραν μηδένα τὸ παράπαν, εἰ μὴ σωμασκίας ἢ νόσων ἕνεκα, μηδ' αὖ νύκτωρ, ὅταν ἐπινοῇ τις παῖδας ποιεῖσθαι ἀνὴρ ἢ καὶ γυνή. καὶ ἄλλα δὲ πάμπολλα ἄν τις λέγοι, ἐν οἷς τοῖς νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθὸν οὐ ποτέος οἶνος· ὥστε κατὰ τὸν λόγον τοῦτον οὐδ' ἀμπέλων ἂν πολλῶν δέοι οὐδ' ᾗτινι πόλει, τακτὰ δὲ τὰ ἄλλα ⟨ἂν⟩ εἴη γεωργήματα καὶ πᾶσα ἡ δίαιτα, καὶ δὴ τά γε περὶ οἶνον σχεδὸν ἁπάντων ἐμμετρότατα καὶ ὀλίγιστα γίγνοιτ' ἄν. οὗτος, ὦ ξένοι, ἡμῖν, εἰ ξυνδοκεῖ, κολοφὼν ἐπὶ τῷ περὶ οἴνου λόγῳ ῥηθέντι εἰρήσθω.

---

2 *πόματος* S M A L, Platonis cod. Paris. 1807 m. recentior, Eus.: *πώματος* recte Platonis cod. Paris. 1807 m. pr. | *ὑδροποσίαις* L, Platonis cod. Paris. 1807 (ubi *ὑδροπω-*), Eus. | *συγγίγνεσθαι* S M A *ξυγγίγνεσθαι* (?) Plat. *ξυγγίν-* L *συγγίν-* Eus. ‖ 3 *καὶ* L, Plat., Eus.: om. S M A | *μήτε δούλην μήτε δοῦλον* S M A, Platonis cod. Paris. 1807: *μήτε δοῦλον μήτε δούλην* L Tr., Platonis Laur. et Vat., Eus. ‖ 5 *ὃν ἂν ἄρχωσι(ν)* L, Plat., Eus.: *ὃν ἄρχωσιν* S *ὃν ἄρχουσιν* M A ‖ 6 *μηδ'* (vel *μὴ δ'* vel *μὴ δὲ*) S M A, Eus.: *οὐδ'* L *οὐδὲ* Platonis cod. Paris. 1807 ‖ 7 *τινα ἀξίαν* solus A, frustra recepere Gaisford et Meineke | *ξυνέρχεται* S M A: *συνέρ-* L, Plat. Eus. ‖ 8 *εἰ* L, Plat. Euseb.: *ἢ* S M A ‖ 9 *μηδὲ* libri, sed *μηδ' αὖ* (vel potius *μὴ δ' αὖ*) L cum Platone et Eusebio ‖ 10 *ἢ καὶ* L sicut Plato et Eus.: *ἢ* S M A | *πάμπολλα* A L, Plat. Eus. *πάμπολα* M *πάνυ πολλά* S ‖ 11 *ἐν οἷς*] *ὡς* Eus. ‖ 12 *οὐδ' ἀμπέλων ἂν πολλῶν* S M A, Plat.: *οὐδ' Ἐ ἂν πολλῶν* (*Ἐ* rubr.) L *οὐδ' ἀμπελώνων ἂν πολλῶν* Eus. ‖ 13 *τὰ ἄλλα* S M A *τἄλλα* Eus.: *τἀτἄλλα* L iterum fere conspirans cum Platonis codice Paris. 1807 ubi *τά τἆλλ'*, id est *τά τ' ἄλλ'* | *ἂν εἴη* L, Plat., Eus.: *εἴη* S M *ᾖ* A ‖ 15 *οἶνον* S M A, Plat.: *οἴνων* L *οἴνου* Tr. | *ἐμμετρότατα* S M A L, Platonis cod. Laur. et Vat.: *ἐμμετριώτατα* Platonis cod. Paris. 1807 *ἐμπειρότατα* Tr. | *καὶ λίγιστα* M ‖ 17 post *εἰρήσθω* e Platonis Ald. temere *Καλῶς, καὶ ξυνδοκεῖ* inseruit Gesn.[1]

31 (46 Mein.) *Τοῦ αὐτοῦ Νόμων γ'* (p. 689E—690C).

Ἄρχοντας δὲ δὴ καὶ ἀρχομένους ἀναγκαῖον ἐν ταῖς πόλεσιν εἶναί που. — Τί μήν; — Εἶεν· ἀξιώματα δὲ δὴ τοῦ τε ἄρχειν καὶ ἄρχεσθαι ποῖά ἐστι καὶ πόσα, ἔν τε πόλεσι μεγάλαις καὶ σμικραῖς ἔν τε οἰκίαις ὡσαύτως; ἆρ' οὐχὶ ἓν μὲν τό τε πατρὸς καὶ μητρός; καὶ ὅλως γονέας ἐκγόνων ἄρχειν ἀξίωμα ὀρθὸν πανταχοῦ ἂν εἴη; — Καὶ μάλα. — Τούτῳ δέ γε ἑπόμενον γενναίους ἀγεννῶν ἄρχειν· καὶ τρίτον ἔτι τούτοις ξυνέπεται τὸ πρεσβυτέρους μὲν ἄρχειν δεῖν, νεωτέρους δὲ ἄρχεσθαι. — Τί μήν; — Τέταρτον δ' αὖ δούλους μὲν ἄρχεσθαι, δεσπότας δὲ ἄρχειν. — Πῶς γὰρ οὔ; — Καὶ πέμπτον γε οἶμαι τὸν κρείττονα μὲν ἄρχειν, τὸν ἥττω δὲ ἄρχεσθαι. — Μάλα γε ἀναγκαίαν ἀρχὴν εἴρηκας. — Καὶ πλείστην γε ἐν ξύμπασι τοῖς ζῴοις οὖσαν καὶ κατὰ φύσιν, ὡς ὁ Θηβαῖος ἔφη ποτὲ Πίνδαρος. τὸ δὲ μέγιστον, ὡς ἔοικεν, ἀξίωμα ἕκτον ἂν γίγνοιτο, ἕπεσθαι μὲν τὸν ἀνεπιστήμονα κελεῦον, τὸν δὲ φρονοῦντα ἡγεῖσθαί τε καὶ ἄρχειν. καίτοι τοῦτό γε, ὦ Πίνδαρε σοφώτατε, σχεδὸν οὐκ ἂν παρὰ φύσιν ἔγωγε φαίην γίγνεσθαι, κατὰ φύσιν δὲ τὴν τοῦ νόμου ἑκόντων ἀρχὴν ἀλλ' οὐ βίαιον πεφυκυῖαν.

---

1 ecl. cum lemm. hab. S M A L; pro lemm. *Τόμων* (*T* rubro) *γ'* non plura L ‖ 2 *ἐν* L, Plat.: om. S M A ‖ 3 *δὴ* sup. lin. S[1] ‖ 4 *ποῖα ἐστιν* et mox *πόλεσιν* M | *εἰσὶ* pro *ἐστι* A ‖ 5 *καὶ μικραῖς* in textu omissa suppl. in marg. A[1] | *σμικραῖς* L, Plat.: *μικραῖς* S M A | *ἔν τε* M L, Plat.: *καὶ* S A ‖ 6 *πατέρα τε καὶ μητέρα* Ficinus, *πατέρας τε καὶ μητέρας* Badham ‖ 8 *δέ γε* Plat.: *δέ σε* S M A *δὲ* L | *ἑπόμενος* A | *ἀγεννῶν* (sine spir. M) S M A, Plat. *ἀγγενῶν* L; *ἀγενῶν* Ast ‖ 9 *ξυνέσεται* A ‖ 10 *Τί μήν*; usque ad (11) *δὲ ἄρχειν* hic quidem omissa inseruntur 15 post *Πίνδαρος* omissis verbis *τί μήν*, adiectis tamen *καὶ μάλα* post *ἄρχειν* A ‖ 11 *πῶς γὰρ* — 12 *ἄρχειν* om. L ‖ 12 *καὶ* om. libri Plat. | *τὸ* libri Plat. ‖ 12. 13 *τὸν ἥττω* L, Platonis cod. Paris. 1807, ubi *τὸν* punctis notatum: *ἥττονα* S M A ‖ 13 *ἀναγκαίαν* S M A *ἀναγκαῖον* L *ἀναγκαῖον* (α sup.) Platonis cod. Paris. 1807. suspiceris igitur etiam Stobaei librorum archetypum fluctuatum esse inter *ἀναγκαίαν* et *ἀναγκαῖον* ‖ 15 *ἔβη* S | *Πίνδ.*] cf. fr. 169 Schr. ‖ 17 *κελεῦον* L, Plat.: *ἐκέλευον* S M A | *καί τοιγε* A ‖ 19 *φαίην ἔγωγε* A | *γίν-* L ‖ 20 *ἑκόντων* L, Plat.: *ἐχόντων* S M A

— Ὀρθότατα λέγεις. — Θεοφιλῆ δέ γε καὶ εὐτυχῆ τινα λέγοντες ἑβδόμην ἀρχὴν εἰς κλῆρόν τινα προάγομεν καὶ λαχόντα μὲν ἄρχειν, δυσκληροῦντα δὲ ἀπιόντα ἄρχεσθαι τὸ δικαιότατον εἶναί φαμεν. — Ἀληθέστατα λέγεις.

32 (47 Mein.) Τοῦ αὐτοῦ Νόμων δ' (p. 715B—E).

Λέγεται δὲ τοῦδ' ἕνεκα ταῦθ' ἡμῖν, ὡς ἡμεῖς τῇ σῇ πόλει ἀρχὰς οὔθ' ὅτι πλούσιός ἐστί τις δώσομεν, οὔθ' ὅτι τῶν τοιούτων ἄλλο οὐδὲν κεκτημένος, ἰσχὺν ἢ μέγεθος ἤ τι γένος· ὃς δ' ἂν τοῖς τεθεῖσι νόμοις εὐπειθέστατός τε ᾖ καὶ νικᾷ ταύτην τὴν νίκην ἐν τῇ πόλει, τούτῳ φαμὲν καὶ τὴν τῶν θεῶν ὑπηρεσίαν δοτέον εἶναι τὴν μεγίστην τῷ πρώτῳ, καὶ δευτέραν τῷ τὰ δεύτερα κρατοῦντι, καὶ κατὰ λόγον οὕτω τοῖς ἐφεξῆς τὰ μετὰ ταῦθ' ἕκαστα ἀποδοτέον εἶναι. τοὺς δ' ἄρχοντας λεγομένους νῦν ὑπηρέτας τοῖς νόμοις ἐκάλεσα οὔ τι καινοτομίας ὀνομάτων ἕνεκα, ἀλλ' ἡγοῦμαι παντὸς μᾶλλον εἶναι παρὰ τοῦτο σωτηρίαν τε πόλει καὶ τοὐναντίον. ἐν ᾗ μὲν γὰρ ἂν ἀρχόμενος ᾖ καὶ ἄκυρος νόμος, φθορὰν ὁρῶ τῇ τοιαύτῃ ἑτοίμην οὖσαν· ἐν ᾗ δὲ ἂν δεσπότης τῶν ἀρχόντων, οἱ δὲ ἄρχοντες δοῦλοι τοῦ νόμου, σωτηρίαν καὶ πάντα ὅσα οἱ θεοὶ πόλεσιν ἔδοσαν ἀγαθὰ γιγνόμενα καθορῶ. — Ναὶ μὰ Δία, ὦ ξένε·

---

1 *Πορθότατα* (*Π* rubro) compend. L ‖ 4 *εἶναί φαμεν* (*εἶναι φαμέν* L). *Ἀληθέστατα* (*Ἡ* rubro ante *Ἀλ.* L) *λέγεις* dedi ex L, Plat.: om. SMA ‖ 5 ecl. cum lemm. hab. SMAL; *νόμων δ'* lemmatis loco S nec plura L ubi *Νομ* (superscr. *οσ*) *δ"*: (*N* rubr.) ‖ 6 *Λέγεται* — 15 *ὀνομάτων ἕνεκα* om. MA | *τοῦδ'* L, Plat.: *τοῦθ'* S ‖ 8 *ἐκτημένος* Schanz ‖ 9 *εὐπειθέστατός τε ᾖ* scripsi cum Platone: *εὐπειθέστατός τ' εἴη* L *εὐπειθέστατος ᾖ* S ‖ 11 *θεῶν* SL sicut Platonis codd.: *νόμων* Schulthess *θεσμῶν* Orelli | *δοτέον εἶναι* in Platone deleri vult Badham ‖ 14 *δ'* primo om. Platonis cod. Par. 1807 | *λέγομεν οὓς* S ‖ 15 *ἐκάλεσα* L, Plat.: *ἐκαλέσαμεν* S | *οὔ τι* S, Plat.: *ὅτι* L ‖ 16 *παν* (superscr. *τ*) L | *περὶ* compend. L ‖ 17 *ᾗ μὲν* L, Plat.: *ἡμῖν* SMA | *ἂν* om. A ‖ 19 *δ' ἂν* L | *τῶν* L, Plat.: *ὧν τῶν* SMA | *δ' ἄρχοντες* L ‖ 20 *οἱ* om. Plat. ‖ 21 *ἀγαθὰ* post *ἔδοσαν* cum Platone libri Stobaei nisi quod post *πάντα* (20) collocatur Tr., inde vulg. ‖ 21 *Ναὶ* sed *N* om. rubro addendum L | *δι'* L

καθ᾽ ἡλικίαν γὰρ ὀξὺ βλέπεις. — Νέος μὲν γὰρ ὢν πᾶς ἄνθρωπος τὰ τοιαῦτα ἀμβλύτατα αὐτὸς αὑτοῦ ὁρᾷ, [ὁ] γέρων δὲ ὀξύτατα. — Ἀληθέστατα.

33 (48 Mein.) *Ἐν ταὐτῷ* (p. 720 E—721 D).

Φέρε δὴ πρὸς θεῶν, τίνα πρῶτον νόμον θεῖτ᾽ ἂν ⟨ὁ⟩ νομοθέτης; ἆρ᾽ οὐ κατὰ φύσιν τὴν περὶ γενέσεως ἀρχὴν πρώτην πόλεων πέρι κατακοσμήσει ταῖς τάξεσι; — Τί μήν; — Ἀρχὴ δ᾽ ἐστὶ τῶν γενέσεων πάσαις πόλεσιν ἆρ᾽ οὐχ ἡ τῶν γάμων σύμμιξις καὶ κοινωνία; — Πῶς γὰρ οὔ; — Γαμικοὶ δὴ νόμοι πρῶτοι κινδυνεύουσι τιθέμενοι καλῶς ἂν τίθεσθαι πρὸς ὀρθότητα πάσῃ πόλει. Παντάπασι μὲν οὖν. Λέγωμεν δὴ πρῶτον τὸν ἁπλοῦν, ἔχοι δ᾽ ἄν πως ἴσως ὧδε· γαμεῖν δέ, ἐπειδὰν ἐτῶν ᾖ τις τριάκοντα, μέχρι ἐτῶν πέντε καὶ τριάκοντα, εἰ δὲ μή, ζημιοῦσθαι χρήμασί τε καὶ ἀτιμίᾳ, χρήμασι μὲν τόσοις καὶ τόσοις, τῇδε καὶ τῇδε ἀτιμίᾳ. ὁ μὲν ἁπλοῦς ἔστω τις τοιοῦτος περὶ γάμων, ὁ δὲ διπλοῦς ὅδε· γαμεῖν δέ, ἐπει⟨δὰν⟩ ἐτῶν ᾖ τις τριάκοντα, μέχρι τῶν πέντε καὶ τριάκοντα, διανοηθέντα ὡς ἔστιν ᾗ τὸ ἀνθρώπινον γένος φύσει τινὶ μετείληφεν ἀθανασίας, οὗ καὶ πέφυκεν ἐπι-

---

1 *βλέπειν* L | *γὰρ ὢν* M L Tr., Plat.: *ὢν γὰρ ὢν* S *γαρ ὁρῶν* A ‖ 2 *αὐτοῦ* M L | *ὁ* S M A *'O* rubro L: om. Plat. ‖ 4 ecl. cum lemm. hab. S M A L ‖ 5 *τίν᾽ ἄρα πρῶτον* Plat. | *θεῖται ἂν* A ‖ 6 *ὁ* e Plat. add. Gesn.[1] ‖ 7 *κατακοσμήσειν* M | *τάξεσιν* M ‖ 8 ante *ἀρχὴ* legitur *'H* rubro L | *πάσαις ταῖς πόλεσιν* A ‖ 9 *οὐχὶ* (pro *οὐχ ἡ*) M | *καὶ ἡ κοινωνία* A ‖ 10 *δὴ* reposui ex S M L, Plat.: *δὲ* A | *κινδυνεύουσιν* M ‖ 11 *ἂν τίθεσθαι* L, Plat.: *ἀντιθέσθαι* S M A ‖ 12 *λέγομεν* primo L ‖ 14 *μέχρι ἐτῶν* reposui ex L, Plat.: *μέχρι τῶν* S M A ‖ 15 *χρήμασίν τε καὶ ἀτιμία* M sed *α* finale corr. M[1] ‖ 16 *τῇδε καὶ τῇδε* fere S M A *τῇ καὶ τῇδε* L, eadem ratione discrepat Platonis cod. Paris. 1807 (*τῇδε καὶ τῇδε*) cum libro Vaticano (*τῇ καὶ τῇ δὲ*). *τῇ δὲ καὶ τῇ* prop. Ast, *τῇδε δὲ καὶ τῇδε* Heindorf ‖ 17 *περὶ τῶν γάμων* A | *ὁ δὲ διπλοῦς* L, Plat.: *ὁ διπλοῦς δὲ* S M A | *ὅδε* L. Plat.: *ὧδε* S M A ‖ 18 *ἐπειδὰν* Plat.: *ἐπεὶ* libri Stob. sed cf. 13 | *μέχρι τῶν πέντε καὶ τριάκοντα* reposui ex S M A L Tr., Plat.: om. Gesn.[1] | *διανοηθέντα* om. Tr. | *ᾗ* L *ἡ* A *η* S M ‖ 19 *μετείληχεν* Tr. | *ἀθανασίας* om. Tr. ‖ 20 *οὗ* S L, Plat.: om. M A

θυμίαν ἴσχειν πᾶς πᾶσαν· τὸ γὰρ γενέσθαι κλεινὸν καὶ μὴ ἀνώνυμον κεῖσθαι τετελευτηκότα τοῦ τοιούτου ἐστὶν ἐπιθυμία. γένος οὖν ἀνθρώπων ἐστίν τι ξυμφυὲς τοῦ παντὸς χρόνου, ὃ διὰ τέλους αὐτῷ ξυνέπεται καὶ συνέψεται, τούτῳ τῷ τρόπῳ ἀθάνατον ὄν, τῷ παῖδας παίδων καταλειπόμενον ταὐτὸν καὶ ἓν ὂν ἀεὶ γενέσει τῆς ἀθανασίας μετειληφέναι· τούτου δὴ ἀποστερεῖν ἑκόντα ἑαυτὸν οὐδέποτε ὅσιον, ἐκ προνοίας δὲ ἀποστερεῖ ὃς ἂν παίδων καὶ γυναικὸς ἀμελῇ. πειθόμενος μὲν οὖν τῷ νόμῳ ἀζήμιος ἀπαλλάττοιτο ἄν, μὴ πειθόμενος δὲ αὖ, μηδὲ γαμῶν ἔτη τριάκοντα γεγονὼς καὶ πέντε, ζημιούσθω μὲν κατ' ἐνιαυτὸν τόσῳ καὶ τόσῳ, ἵνα μὴ δοκῇ τὴν μοναυλίαν οἱ κέρδος καὶ ῥᾳστώνην φέρειν, μὴ μετεχέτω δὲ τιμῶν, ὧν ἂν οἱ νεώτεροι ἐν τῇ πόλει τοὺς πρεσβυτέρους αὑτῶν τιμῶσιν ἑκάστοτε.

34 (49 Mein.) *Νόμων ε'* (p. 734E—736C).

Καθάπερ οὖν δή τινα ξυνυφὴν ⟨ἢ⟩ καὶ πλέγμα ἄλλ' ὁτιοῦν, οὐκ ἐκ τῶν αὐτῶν οἷόν τέ ἐστι τήν τε ἐφυφὴν καὶ τὸν στήμονα ἀπεργάζεσθαι, διαφέρειν δὲ ἀναγκαῖον τὸ τῶν στημονίων πρὸς ἀρετὴν γένος· ἰσχυρόν τε γὰρ καί τινα βεβαιότητα ἐν τοῖς τρόποις εἰληφός, τὸ δὲ μαλακώτερον καὶ ἐπιεικείᾳ τινὶ δικαίᾳ χρώμενον· ὅθεν δὴ τοὺς μεγάλας ἀρχὰς ἐν ταῖς πόλεσιν ἄρξοντας δεῖ διακρίνεσθαί τινα τρόπον ταύτῃ καὶ τοὺς σμικρᾷ παιδείᾳ βασανισθέντας ἑκάστοτε καὶ κατὰ λόγον. ἐστὸν γὰρ δὴ

---

1 *πᾶς* om. L ‖ 2 *τοῦ* (*του* L) *τοιούτου* L, Plat.: *τοιούτου* SM *τοιοῦτον* A | *ἀνθρώπων ἐστίν* (*ἔστί* L) L, Plat.: *ἐστὶν* (vel *ἔστιν*) *ἀνθρώπων* SMA ‖ 3 *τι* SMA, Plat.: *τοι* L ‖ 5 *ὄν* SL, Plat.: *ὢν* M *ὧν* A | *τὸν* pro *τῷ* A | *καταλιπόμενον* MA ‖ 9 *μὲν* om. L | 10 *μὴ δὲ* L, Plat. cod. Paris. *μηδὲ* ni fallor cett.: *μήτε* SMA | *γάμων* A ‖ 12 *οἱ* SA Plat.: *οἳ* M *οι* L *οἷόν* Tr. | *ῥαθυμίαν* Tr. ‖ 13 *καὶ μὴ* Plat. cod. Laur. et Vat. | *μὴ μετεχέτω* L, Plat.: *μη τε χω* M *μετέχω* A *μὴ μετέχοι* S ‖ 14 *αὑτῶν* Plat.: *αὐτῶν* libri Stob. ‖ 15 ecl. cum lemm. hab. S, om. MAL; exspectes ⟨*Τοῦ αὐτοῦ*⟩ *Νόμων ε'* ‖ 16 *ἢ* tacite e Plat. inseruit Gesn.[1] ‖ 19 *στημόνων* Plat. ‖ 21 *δὴ* ex *δεῖ* corr. S[1] ‖ 22 *τοὺς μεγάλας* S Platonis cod. Paris. 1807; *τοὺς τὰς* Platonis Laur. et Vat. *τοὺς τὰς μεγάλας* e Platonis Ald. Gesn.[1], inde Gaisford et Meineke 23 *σμικρὰς* Buecheler ‖ 24 *καὶ* om. Plat. | *ἔστον* ut videtur S

δύο πολιτείας εἴδη, τὸ μὲν ἀρχῶν καταστάσεις ἑκάστοις, τὸ δὲ νόμοι ταῖς ἀρχαῖς ἀποδοθέντες. τὸ δὲ πρὸ τούτων ἁπάντων δεῖ διανοεῖσθαι τὰ τοιάδε. πᾶσαν ἀγέλην ποιμὴν καὶ βουκόλος τροφεύς τε ἵππων καὶ ὅσα ἄλλα παραλαβὼν τοιαῦτα, οὐκ ἄλλως μή ποτε ἐπιχειρήσῃ θεραπεύειν ἢ πρῶτον μὲν τὸν ἑκάστῃ προσήκοντα καθαρμὸν καθάρῃ τῇ ξυνοικήσει, διαλέξας δὲ τά τε ὑγιῆ καὶ τὰ μὴ καὶ τὰ ⟨γενναῖα καὶ⟩ ἀγεννῆ, τὰ μὲν ἀποπέμψει πρὸς ἄλλας τινὰς ἀγέλας τὰ δὲ θεραπεύσει, διανοούμενος ὡς μάταιος ἂν ὁ πόνος εἴη καὶ ἀνήνυτος περί τε σῶμα καὶ ψυχάς, ἃς φύσις καὶ πονηρὰ τροφὴ διεφθαρκυῖα προσαπόλλυσι τὸ τῶν ὑγιῶν καὶ ἀκηράτων ἠθῶν τε καὶ σωμάτων γένος ἐν ἑκάστοις, ἄν τις τὰ ὑπάρχοντα μὴ διακαθαίρηται. τὰ μὲν δὴ τῶν ἄλλων ζῴων ἐλάττων τε σπουδὴ καὶ παραδείγματος ἕνεκα μόνον ἄξια παραθέσθαι τῷ λόγῳ, τὰ δὲ τῶν ἀνθρώπων σπουδῆς τῆς μεγίστης τῷ γε νομοθέτῃ διερευνᾶσθαι καὶ φράζειν τὸ προσῆκον ἑκάστοις καθαρμοῦ τε πέρι καὶ ξυμπασῶν τῶν ἄλλων πράξεων. αὐτίκα γὰρ τὸ περὶ καθαρμοὺς πόλεως ὧδ' ἔχον ἂν εἴη· πολλῶν οὐσῶν τῶν διακαθάρσεων αἱ μὲν ῥᾴους εἰσίν, αἱ δὲ χαλεπώτεραι, καὶ τὰς μὲν τύραννος μὲν ὢν καὶ νομοθέτης ὁ αὐτός, ὅσαι χαλεπαί εἰσι καὶ ἄρισται, δύναιτ' ἂν καθῆραι, νομοθέτης δὲ ἄνευ τυραννίδος καθιστὰς πολιτείαν καινὴν καὶ νόμους, εἰ καὶ τὸν πρᾳότατον τῶν καθαρμῶν καθήρειεν, ἀγαπώντως ἂν καὶ τὸ τοιοῦτον δράσειεν. ἔστι δ'

---

4 *ἄλλα τοιαῦτα παραλαβὼν* Plat. ‖ 5 *ἐπιχειρήσηι* (vel *-η*) S, idem Platonis Paris. 1807 sed *ηι* ex emend.: *ἐπιχειρήσει* recte Plat. Laur. et Vat. ‖ 6 *καθάρῃ* Tr., libri Platonis, *καθήρῃ* S; *καθαρεῖ* recte Ast ‖ 7 *ὑγιῆ* etiam Platonis cod. Paris. sed *ῆ* in ras. ‖ 8 *γενναῖα καὶ* tacite e Plat. addidit Gesn.[1] ‖ 12 *ὑγιῶν* Tr., Plat.: *ὑγειῶν* S | *γένος* supra lin. S[1] ‖ 12. 13 *ἐν ἑκάστοις τῶν κτημάτων, ἄν τις* Plat., idque e Platonis Ald. Gesn.[1], inde Gaisford et Meineke ‖ 13 *διακαθαίρηται* Plat., e Platonis Ald. Gesn.[1]: *διακαθήρηται* S ‖ 14 *ἐλάττων τε σπουδὴ* Plat.: *ἐλάττω τε σπουδῇ* S ‖ 16 *τῆς* om. Tr. | *γε* S: *τε* Plat. ‖ 19 *καθαρμοὺς* tacite e Plat. Gesn.[1]: *καθαρμοῦ* S ‖ 22 *εἰσι* S: *τ' εἰσὶν* Plat. *τέ εἰσι* tacite Platone duce Gesn.[1]

ὁ μὲν ἄριστος ἀλγεινός, καθάπερ ὅσα τῶν φαρμάκων τοιουτότροπα, ὁ τῇ δίκῃ μετὰ τιμωρίας εἰς τὸ κολάζειν ἄγων, θάνατον ἢ φυγὴν τῇ τιμωρίᾳ τὸ τέλος ἐπιτιθείς· τοὺς γὰρ μέγιστα ἐξημαρτηκότας, ἀνιάτους δὲ ὄντας, μεγίστην βλάβην οὖσαν πόλεως, ἀπαλλάττειν εἴωθεν. ὁ δὲ πραότερός ἐστι τῶν καθαρμῶν ὁ τοιόσδε ἡμῖν· ὅσοι διὰ τὴν τῆς τροφῆς ἀπορίαν τοῖς ἡγεμόσιν ἐπὶ τὰ τῶν ἐχόντων μὴ ἔχοντες ἑτοίμους αὑτοὺς ἐνδείκνυνται παρεσκευακότες ἕπεσθαι, τούτοις ὡς νοσήματι πόλεως ἐμπεφυκότι, δι' εὐφημίας ἀπαλλαγήν, ὄνομα ἀποικίαν τιθέμενος, εὐμενῶς ὅ τι μάλιστα ἐξεπέμψατο. παντὶ μὲν οὖν νομοθετοῦντι τοῦτο ἁμῶς γέ πως κατ' ἀρχὰς δραστέον, ἡμῖν μὴν ἔτι τούτων ἀτοπώτερα τὰ περὶ ταῦτ' ἐστὶ ξυμβεβηκότα νῦν· οὔτε γὰρ ἀποικίαν οὔτ' ἐκλογήν τινα καθάρσεως δεῖ μηχανᾶσθαι πρὸς τὸ παρόν, οἷον δέ τινων ξυρρεόντων ἐκ πολλῶν τὰ μὲν πηγῶν τὰ δὲ χειμάρρων εἰς μίαν λίμνην, ἀναγκαῖον προσέχοντας τὸν νοῦν φυλάττειν, ὅπως ὅ τι καθαρώτατον ἔσται τὸ ξυρρέον ὕδωρ, τὰ μὲν ἐξαντλοῦντας, τὰ δ' ἀποχετεύοντας καὶ παρατρέποντας. πόνος δ', ὡς ἔοικε, καὶ κίνδυνός ἐστιν ἐν πάσῃ πολιτικῇ κατασκευῇ· τὰ δ' ἐπειδήπερ λόγῳ γε ἐστὶ τὰ νῦν ἀλλ' οὐκ ἔργῳ πραττόμενα, πεπεράνθω τε ἡμῖν ἡ ξυλλογὴ καὶ κατὰ νοῦν ἡ καθαρότης αὐτῆς ἔστω ξυμβεβηκυῖα. τοὺς γὰρ κακοὺς τῶν ἐπιχειρούντων εἰς τὴν νῦν πόλιν ὡς πολιτευσομένους ξυνιέναι πειθοῖ πάσῃ καὶ ἱκανῷ χρόνῳ διαβασανίσαντες, διακωλύσωμεν ἀφικνεῖσθαι, τοὺς δ' ἀγαθοὺς εἰς δύναμιν εὐμενεῖς ἵλεῴ τε προσαγώμεθα.

---

5 *βλάβην οὖσαν* S: *δὲ οὖσαν βλάβην* Plat. *δὲ βλάβην οὖσαν* tacite Gesn.[1] ‖ 10 *ἐφημίας* Tr. ‖ 12 *ἀμωσγέπως* Tr., Platonis cod Paris. 1807: *ἀμοσγέπως* S ‖ 13 *ἀκοπώτερα* Ritter | *ἐστὶ* Tr. *ἐστι* S *ἔστιν* primo Platonis cod. Paris. 1807 ‖ 16 *ἐκ* seclusit Madvig Advers. I p. 441 ‖ 18 *ἔσται* Plat.: *ἐστι* S ‖ 19 *δ'* S *δὲ* Tr. ‖ 20 *ἐστιν ἐν* Tr., Plat. *ἐστι ἐν* S ‖ 20. 21 *κατασκευῇ πολιτικῇ* Plat. ‖ 21 *τὰ δ'* Tr. *τά δ'* S *τάδ'* libri Plat. | *ἐπείπερ* Plat. | *γε* e Plat. Gesn.[1]: *τε* S ‖ 25 *πείρᾳ πάσῃ* Badham ‖ 27 *εὐμενεῖς* supra lin. S[1]

35 (50—51 Mein.) *Τοῦ αὐτοῦ Νόμων ε´* (p. 742 A—C).

Μηδὲ ἐξεῖναι χρυσὸν μηδὲ ἄργυρον κεκτῆσθαι μηδένα μηδενὶ ἰδιώτῃ, νόμισμα δὲ ἕνεκα ἀλλαγῆς τῆς καθ᾽ ἡμέραν, ἣν δημιουργοῖς τε ἀλλάττεσθαι σχεδὸν ἀναγκαῖον, καὶ πᾶσιν ὁπόσων χρεία τῶν τοιούτων μισθοὺς μισθωτοῖς, δούλοις καὶ ἐποίκοις, ἀποτίνειν. ὧν ἕνεκά φαμεν τὸ νόμισμα κτητέον αὐτοῖς μὲν ἔντιμον, τοῖς δὲ ἄλλοις ἀνθρώποις ἀδόκιμον· κοινὸν δὲ Ἑλληνικὸν νόμισμα ἕνεκά τε στρατειῶν καὶ ἀποδημιῶν εἰς τοὺς ἄλλους ἀνθρώπους, οἷον πρεσβειῶν ἢ καί τινος ἀναγκαίας ἄλλης τῇ πόλει κηρυκείας, ἐκπέμπειν τινὰ ἂν δέῃ, τούτων χάριν ἀνάγκη ἑκάστοτε κεκτῆσθαι τῇ πόλει νόμισμα Ἑλληνικόν. ἰδιώτῃ δὲ ἂν ἄρα ποτὲ ἀνάγκη τις γίγνηται ἀποδημεῖν, παρέμενος μὲν τοὺς ἄρχοντας ἀποδημείτω, νόμισμα δὲ ἄν ποθεν ἔχων ξενικὸν οἴκαδε ἀφίκηται περιγενόμενον, τῇ πόλει αὐτὸ καταβαλλέτω πρὸς λόγον ἀπολαμβάνων τὸ ἐπιχώριον· ἰδιούμενος δὲ ἐάν τις φαίνηται, δημόσιόν τε γιγνέσθω καὶ ὁ ξυνειδὼς καὶ μὴ φράζων ἀρᾷ καὶ ὀνείδει μετὰ τοῦ ἀγαγόντος ἔνοχος ἔστω, καὶ ζημίᾳ πρὸς τούτοις μὴ ἐλάττονι τοῦ ξενικοῦ κομισθέντος νομίσματος. γα-

---

1 ecl. cum lemm. hab. S M A L; *ἐν ταυτῷ* pro lemm. S *Νόμ* (*οσ* supra) (*Ν* rubr.) addito numero, non plura L ‖ 2 *Μηδ᾽ ἐξεῖναι* L ‖ 3 *μηδὲν* L | *δ᾽ ἕνεκα* L ‖ 6 *ἀποτείνειν* L ‖ 7 post *κτητέον* distinguitur L | post *αὐτοῖς* nulla distinctio sed spatii aliquantulum M | *αὐτοῖς* bis scr. L | v. *μὲν ἔντιμον* — 12 *νόμισμα Ἑλληνικόν* primus edidi ex L, om. S M A ‖ 11 *ἐκπέμπειν* Plat.: *ἐκπέμπει* L | post *ἀνάγκη* distinxit L ‖ 12 *νόμισμα Ἑλληνικὸν* in Platone secludi vult Ast | v. *ἰδιώτῃ δὲ* nullo lemmate addito prioribus iunguntur in L (post *Ἑλληνικόν*) in S M A (post *αὐτοῖς*), frustra novam quasi eclogam lemmate carentem constituerunt editores exemplum Gesneri[1] secuti ‖ 13 *δὲ* S M, Plat.: *δ᾽* L om. A | *γίνηται* L | *τοῦ ἀποδημεῖν* A ‖ 14 *μὲν οὖν τοὺς* A ‖ 14. 15 *ἄν ποτ᾽ ἔχων* L ‖ 15 *περιγενόμενον* S M, Plat.: *περιγινόμενον* A *παραγενόμενον* L ‖ 16 *αὐτὸ* S L, Plat.: *αὐτῷ* in *αὐτὸ* corr. M[1] *αὐτῷ* A ‖ 17 *δὲ ἐάν* S M A *δ᾽ ἄν* L *δὲ ἄν* Plat. ‖ 18 *φωράζων τῇ ἀρᾷ καὶ τῷ ὀνείδει* sed prius *ω* verbi *φωράζων* punctis notatum A ‖ 20 *ἐλάττονι* L, Plat.: *ἔλαττον* S M A sed *ο* ut videtur A[1] ex *ω* corr.

μοῦντα δὲ καὶ ἐκδιδόντα μήτ' οὖν διδόναι μήτε δέχεσθαι προῖκα τὸ παράπαν μηδ' ἡντινοῦν, μηδὲ νόμισμα παρακατατίθεσθαι, ὅτῳ μή τις πιστεύει· μηδὲ δανείζειν ἐπὶ τόκῳ, ὡς ἐξὸν μὴ ἀποδιδόναι τὸ παράπαν τῷ δανεισαμένῳ μήτε τόκον μήτε κεφάλαιον.

36 (52 Mein.) *Τοῦ αὐτοῦ Νόμων ς'* (p. 757 A—758 A).

Δοῦλοι γὰρ ἂν καὶ δεσπόται οὐκ ἄν ποτε γένοιντο φίλοι, οὐδ' ἐν ἴσαις τιμαῖς διαγόμενοι φαῦλοι καὶ σπουδαῖοι· τοῖς γὰρ ἀνίσοις τὰ ἴσα ἄνισα γίγνοιτ' ἄν, εἰ μὴ τυγχάνοι τοῦ μέτρου· διὰ γὰρ ἀμφότερα ταῦτα στάσεων αἱ πολιτεῖαι πληροῦνται. παλαιὸς γὰρ λόγος ἀληθὴς ὤν, ὡς ἰσότης φιλότητα ἀπεργάζεται, μάλα μὲν ὀρθῶς εἴρηται καὶ ἐμμελῶς· ἥτις δ' ἐστί ποτε ἰσότης ἡ τοῦτο αὐτὸ δυναμένη, διὰ τὸ μὴ σφόδρα σαφὴς εἶναι σφόδρα ἡμᾶς διαταράττει. δυοῖν γὰρ ἰσοτήτοιν οὔσαιν ὁμωνύμοιν μέν, ἔργῳ δὲ εἰς πολλὰ σχεδὸν ἐναντίαιν, τὴν μὲν ἑτέραν εἰς τὰς τιμὰς πᾶσα πόλις ἱκανὴ παραγαγεῖν καὶ πᾶς νομοθέτης, τὴν μέτρῳ ἴσην καὶ σταθμῷ καὶ ἀριθμῷ, κλήρῳ ἀπευθύνων εἰς τὰς διανομὰς αὐτήν· τὴν δὲ ἀληθεστάτην καὶ ἀρίστην ἰσότητα οὐκέτι ῥᾴδιον παντὶ ἰδεῖν. Διὸς γὰρ δὴ κρίσις ἐστί, καὶ τοῖς ἀνθρώποις ἀεὶ σμικρὰ μὲν

---

1 *ἔρχεσθαι* L ‖ 2 *ἡντινοῦν* A *ἥντιν' οὖν* (ut primo cod. Par. Platonis) sed *η* ex *ο* S[1] *ἥν τιν' οὖν* M *ἡν τιοῦν* sed *ν* add. sup. *ο* L ‖ 3 *οὕτω* L ‖ 4 *τόγε* pro *τόκῳ* Tr. | *τῷ δανεισαμένῳ* om. L ‖ 5 *τὸ κεφ.* S M A ‖ 6 ecl. cum lemm. hab. S M A L; pro lemm. *Νόμοσ* (*N* rubro) adiecto numero L ‖ 7 v. *δοῦλοι* — 9 *σπουδαῖοι* Photius (Boethus) s. v. *φαῦλος* ‖ 8 *διαγόμενοι* S M A : *διαγορευόμενοι* L, Platonis codd. *διαγενόμενοι* Boethus idque probavit Cobet mnemos. II (a. 1862) p. 129 ‖ 9 *ἀνίσοις* L, Plat.: *ἴσοις* (*οι* sup.) S M A | *ἶσα* M L | *γίγνοιντ'* L ‖ 10 *τυγχάνοι* M A L, Plat. *τυγχάνῃ* corr. S[1] *τυγχάνῃ* Tr. | *στάσεων*] *θᾶσσον* Tr. ‖ 11 *λόγος* L, Plat.: *ὁ λόγος* S M A ‖ 12 *ὑπεργάζεται* Tr. ‖ 13 *δ'* L, Plat.: om. S M A | *ἡ* om. A, ceterum fallitur Gaisford ‖ 15 *οὔσαιν* sed *αιν* in corr. L | *ὁμωνύμοιν* L, Plat.: *ὁμώνυμοι* S M *ὁμώνυμον* A ‖ 16 *εἰς* L M, Plat.: om. S A ‖ 17 *ὁ νομοθέτης* A ‖ 18 *τὴν τῷ μέτρῳ* A | *μετρωίσην* M | *ἴσην* sed. *η* ex *ω* S[1] | *καὶ τῷ σταθμῷ* A | *καὶ ἀριθμῷ καὶ κλίρῳ* A ‖ 21 *ἐστίν* M | *ἀεὶ μὲν σμικρὰ ἐπαρκεῖ* A | *ἐπαρκεῖν* L

ἐπαρκεῖ, πᾶν δὲ ὅσον ἂν ἐπαρκέσῃ πόλεσιν ἢ καὶ ἰδιώταις, πάντα ἀγαθὰ ἀπεργάζεται· τῷ μὲν γὰρ μείζονι πλείω, τῷ δὲ ἐλάττονι σμικρότερα νέμει, μέτρια διδοῦσα πρὸς τὴν αὐτῶν φύσιν ἑκατέρῳ· καὶ δὴ καὶ τιμὰς μείζοσι μὲν πρὸς ἀρετὴν ἀεὶ μείζους, τοῖς δὲ τοὐναντίον ἔχουσιν ἀρετῆς τε καὶ παιδείας τὸ πρέπον ἑκατέροις ἀπονέμει κατὰ λόγον. ἔστι γὰρ δήπου καὶ τὸ πολιτικὸν ἡμῖν ἀεὶ τοῦτ' αὐτὸ τὸ δίκαιον· οὗ καὶ νῦν ἡμᾶς ὀρεγομένους δεῖ καὶ πρὸς ταύτην τὴν ἰσότητα, ὦ Κλεινία, ἀποβλέποντας, τὴν νῦν φυομένην κατοικίζειν πόλιν. ἄλλην τε ἄν ποτέ τις οἰκίζῃ πρὸς ταὐτὸ τοῦτο σκοπούμενον χρεὼν νομοθετεῖν, ἀλλ' οὐ πρὸς ὀλίγους τυράννους ἢ πρὸς ἕνα ἢ καὶ κράτος δήμου τι, πρὸς δὲ τὸ δίκαιον ἀεί, τοῦτο δ' ἐστὶ τὸ νῦν δὴ λεχθέν, τὸ κατὰ φύσιν ἴσον ἀνίσοις ἑκάστοτε δοθέν· ἀναγκαῖόν γε μὴν καὶ τούτοις παρωνυμίοισί ποτε προσχρήσασθαι πόλιν ἅπασαν, εἰ μέλλει στάσεων ἑαυτῇ μὴ προσκοινωνήσειν κατά τι μέρος· τὸ γὰρ ἐπιεικὲς καὶ ξύγγνωμον τοῦ τελέου καὶ ἀκριβοῦς παρὰ δίκην τὴν ὀρθήν ἐστι παρατεθραυσμένον, ὅταν γίγνηται· διὸ τῷ τοῦ κλήρου ἴσῳ ἀνάγκη προσχρήσασθαι δυσκολίας τῶν πολλῶν ἕνεκα, θεὸν καὶ ἀγαθὴν τύχην καὶ τότε ἐν εὐχαῖς ἐπικαλουμένους ἀπορθοῦν αὐτοὺς τὸν κλῆρον πρὸς τὸ δικαιότατον. οὕτω δὴ χρηστέον ἀναγκαίως μὲν τοῖν ἰσοτήτοιν ἀμφοῖν, ὡς δ' ὅ τι μάλιστα ἐπ' ὀλιγίστοις τῇ ἑτέρᾳ, τῇ τῆς τύχης δεομένῃ. ταῦτα οὕτω διὰ ταῦτα, ὦ φίλοι, ἀναγκαῖον τὴν μέλλουσαν σῴζεσθαι δρᾶν πόλιν.

---

1 *πᾶσαν δὲ ὅσον* A | *ἂν ἐπαρκέσῃ* L, Plat.: *ἐπαρκέσει* S M A | *ἰδιῶτεσ* M ‖ 2 *πάντ' ἀγαθὰ* L ‖ 3 *πλείονα* A | *τῶ δ' ἐλάττονι* L | *μικρ-* A ‖ 4 *τιμὰς* L, Plat.: *τιμαῖς* S M *ἐν τιμαῖς* A ‖ 5 *τοῖς δε* (sine acc.) L | 6 *ἀρετῆς δὲ καὶ* L | post *παιδείας* aliquid intercidisse putavit Stephanus, *ἧττους διδοῦσα* suppl. Ast ‖ 7 *αἰεὶ* L ‖ 9 *ταύτην τὴν* S M A, Plat.: *ταύτην* L | *κλινία* S ‖ 10 *δὲ ἂν* Tr. ‖ 11 *ταυτὸν* M ‖ 13 *αἰεὶ* L | *τῶ τό δ'* sic L | *ἐστὶν* M | *τὸ δὴ νῦν λεχθὲν* L ‖ 14 *ἶσον* M L ‖ 19 *ἐστιν* M | *παρατεθραυμένον* L sicut Plat. cod. Par. 1807 et pr. Vat. | *τῷ* om. L ‖ 20 *προχρήσασθαι* A ‖ 21 *τότ' ἐν* L ‖ 23 *μὲν* om. A | *τοῖν* fort. correctum ex *τὴν*, tum *ἰσοτήτοῖν* A ‖ 24 *ὡς* sed *ω* corr. ex *τὸ* S[1] | *ὀλίγοισ* M ‖ 25 *τῇ* om. L | *οὕτως* M L ‖ *ἀναγκαῖαν* sic L

37 (53 Mein.) *Ἐν ταὐτῷ* (p. 759 A—D).

Ἑλέσθαι δὲ δεῖ τρία μὲν ἀρχόντων εἴδη, περὶ μὲν τὸ νῦν δὴ λεχθὲν ἀστυνόμους ἐπονομάζοντα, τὸ δὲ περὶ ἀγορᾶς κόσμον ἀγορανόμους, ἱερῶν δὲ ἱερέας, οἷς μέν εἰσι πάτριαι ἱερωσύναι καὶ αἷς, μὴ κινεῖν· εἰ δέ, οἷον τὸ πρῶτον κατοικιζομένοις εἰκὸς γίγνεσθαι περὶ τὰ τοιαῦτα, ἢ μηδενὶ ἤ τισιν ὀλίγοις, οἷς μὴ καθεστήκοι καταστατέον ἱερέας τε καὶ ἱερείας νεωκόρους γίγνεσθαι τοῖς θεοῖς· τούτων δὴ πάντων τὰ μὲν αἱρετὰ χρή, τὰ δὲ κληρωτὰ ἐν ταῖς καταστάσεσι γίγνεσθαι, μιγνύντας πρὸς φιλίαν ἀλλήλοις δῆμον καὶ μὴ δῆμον ἐν ἑκάστῃ χώρᾳ καὶ πόλει, ὅπως ἂν μάλιστα ὁμονοῶν εἴη. τὰ μὲν οὖν τῶν ἱερέων, τῷ θεῷ ἐπιτρέποντα αὐτῷ τὸ κεχαρισμένον γίγνεσθαι, κληροῦν οὕτω τῇ θείᾳ τύχῃ ἀποδιδόντα, δοκιμάζειν δὲ τὸν ἀεὶ λαγχάνοντα πρῶτον μὲν ὁλόκληρον καὶ γνήσιον, ἔπειτα ὡς ὅ τι μάλιστα ἐκ καθαρευουσῶν οἰκήσεων, φόνου δὲ ἁγνὸν καὶ πάντων τῶν περὶ τὰ τοιαῦτα εἰς τὰ θεῖα ἁμαρτανομένων αὐτὸν καὶ πατέρα καὶ μητέρα κατὰ ταὐτὰ βεβιωκότας. ἐκ Δελφῶν δὲ χρὴ νόμους περὶ τὰ θεῖα πάντα κομισαμένους καὶ καταστήσαντας ἐπ' αὐτοῖς ἐξηγητάς, τούτοις χρῆσθαι. κατ' ἐνιαυτὸν δὲ εἶναι καὶ μὴ μακρότερον τὴν ἱερωσύνην ἑκάστην, ἔτη δὲ μὴ ἔλαττον ἑξήκοντα ἡμῖν εἴη γεγονὼς ὁ μέλλων καθ' ἱεροὺς νόμους

---

1 ecl. cum lemm. hab. S M A L ‖ 2 *δὲ* om. Plat. | *μὲν* (ante *ἀρχ.*) om. A ‖ 3 *ἄστρον* (superscr. *μους*) sed post *ν* littera rasa L ‖ 5 *πάτριοι* M | *ἃσ* L | *δὲ οἷον τὸ* L, Plat.: *δέοιντο* S M A ‖ 7 *μηδενὶ* L, Plat.: *μηδὲν* S M A | *ὀλίγοις ὅσια καθεστήκοι* ci. Orelli, *οἷς μὴ καθεστήκοι* delevit Schanz | *καταστέον* A ‖ 10 *μιγνῦντασ* M ‖ 11 *καὶ μὴ δῆμον* L, Plat.: om. S M A | *χῶρα* M ‖ 12 *ὁμονοῶν* L, Plat.: *ὁμονόων* S M A | *ᾖ* prop. Ast | *ἱερέων* S M A: *ἱερῶν* L, codd. Platonis ‖ 14 *αἰεὶ* L et *ἀεὶ* (superscr. *ι*) cod. Par. Platonis ‖ 17 *ἁγνῶν* A ‖ 18 *ἁμαρτανόμενον* M | *αὐτὸν* bis scr. M | *αὐτὸν* libri omnes ut Platonis codd., *αὐτόν τε* ex Platonis Aldina dederat Gesn.[1], inde vulg. | *ταυτ* (superscr. *ὰ*) L *ταὐτὰ* Plat.: *ταῦτα* M A Tr. dubito de S ‖ 21 *καὶ* iterat initio novae paginae (89r) L ‖ 22 *ἔτη* L, Plat.: *ἔτι* SM A

περὶ τὰ θεῖα ἱκανῶς ἁγιστεύσειν· ταῦτα δὲ καὶ περὶ τῶν ἱερειῶν ἔστω τὰ νόμιμα. τοὺς δ' ἐξηγητὰς τρὶς φερέτωσαν μὲν αἱ τέτταρες φυλαὶ τέτταρας, ἕκαστον ἐξ αὑτῶν, τρεῖς δέ, οἷς ἂν πλείστη γένηται ψῆφος, δοκιμάσαντας ἐννέα πέμπειν εἰς Δελφοὺς ἀνελεῖν ἐξ ἑκάστης τριάδος ἕνα· τὴν δὲ δοκιμασίαν αὐτῶν καὶ τοῦ χρόνου τὴν ἡλικίαν εἶναι καθάπερ τῶν ἱερέων.

38 (54 Mein.) *Ἐν ταὐτῷ* (p. 762 D—E).

Τούτων δὲ οἱ νομοφύλακες ἐπίσκοποι ἀκριβεῖς ἔστωσαν, ὅπως ἢ μὴ γίγνηται τὴν ἀρχὴν ἢ γιγνόμενα τῆς ἀξίας δίκης τυγχάνῃ. δεῖ δὴ πάντ' ἄνδρα διανοεῖσθαι περὶ ἁπάντων ἀνθρώπων, ὡς ὁ μὴ δουλεύσας οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου, καὶ καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι μᾶλλον ἢ τῷ καλῶς ἄρξαι, πρῶτον μὲν τοῖς νόμοις, ὡς ταύτην τοῖς θεοῖς οὖσαν δουλείαν, ἔπειτ' ἀεὶ τοῖς πρεσβυτέροις τε καὶ ἐντίμως βεβιωκόσι τοὺς νέους.

39 (55 Mein.) *Ἐν ταὐτῷ* (p. 765 D—766 C).

Λοιπὸς δὲ ἄρχων περὶ τὰ προειρημένα ἡμῖν ὁ τῆς παιδείας ἐπιμελητὴς πάσης θηλειῶν τε καὶ ἀρρένων. εἰς

---

1 *ἱκανῶν* A | *ταὐτὰ* tacite Burnet | *ἁγιστεύσειν* L et sic fere Platonis codd.: *ἁγιστεύειν* S M *ἀγχιστεύειν* A ‖ 2 *ἱερῶν* A | *τοὺς δὲ ἐξηγητὰς* L | *τρεῖς*, sed in marg. *τρις* cod. Par. Plat.: *τρεῖς* libri Stobaei ‖ 3 *φερέτωσαν* Platonis et Stobaei codd., nisi quod *φερέτω* L ‖ 4 *αὐτῶν* libri Stob. et Plat. ‖ 8 ecl. hab. S M A L; lemma accessit ex L, ubi *Ἐν* (*E* rubr.) *ταυτ* (superscr. *ῶ*): om. S M A ubi verba *τούτων δὲ* sine distinctione maiore cum prioribus cohaerent sicut in Tr. ‖ 9 *οἱ νομοφύλακες ἐπίσκοποι ἀκριβεῖς ἔστωσαν* L, codd. Platonis: *οἱ νομοφύλακες ἐν τούτω ἀκριβεῖς ἔστωσαν ἐπίσκοποι* S M A ‖ 11 *τυγχάνῃ* M A, Plat.: *τυγχάνει* S L | *δὴ* L, Plat.: *δὲ* S M A | *πάντ'* L, Plat.: *πάντα* S MA ‖ 12 *ἁπάντων* L, Plat.: *πάντων* S M A | verba *ὁ μὴ δουλεύσας* — 13 *ἄξιος ἐπαίνου* recurrunt infra ecl. 62, 50 Mein. | *οὐδ'* ex *οὐκ* corr. S[1] ‖ 14 *τῷ* ante *καλῶς* L ut Plat:. om. S M A ‖ 15 *ἔπειτα ἀεὶ* S M A: *ἔπει ει* (superscr. *τ*) L *ἔπειτα εἰ* codd. Plat. ‖ 16 *τοὺς νέους* in Platone delevit Ast ‖ 17 ecl. cum lemm. hab. S M A L ‖ 18 *Τοιπὸς* (*T* rubro) L | *ὁ τῆς* S M A, Plat.: *ὅταν* L ‖ *θηλειῶν τοὺσ ἀρρέναν* (voluit *ἀρρένων*) L

μὲν δὴ καὶ ὁ τούτων ἄρξων ἔστω κατὰ νόμους, ἐτῶν μὲν γεγονὼς μὴ ἔλαττον ἢ πεντήκοντα, παίδων δὲ γνησίων πατήρ, μάλιστα μὲν υἱέων καὶ θυγατέρων, εἰ δὲ μή, θάτερα· διανοηθήτω δὲ αὐτός τε ὁ προκριθεὶς καὶ ὁ προκρίνων ὡς οὖσαν ταύτην τὴν ἀρχὴν τῶν ἐν τῇ πόλει ἀκροτάτων ἀρχῶν πολὺ μεγίστην. παντὸς γὰρ δὴ φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὐτοῦ φύσεως κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόσφορον, τῶν τε ἄλλων φυτῶν καὶ τῶν ζῴων ἡμέρων καὶ ἀγρίων καὶ ἀνθρώπων· ἄνθρωπος δέ, ὥς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς, θειότατον ἡμερώτατόν τε ζῷον γίγνεσθαι φιλεῖ, μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον, ὁπόσα φύει γῆ. ὧν ἕνεκα οὐ δεύτερον οὐδὲ πάρεργον δεῖ τὴν παίδων τροφὴν τὸν νομοθέτην ἐᾶν γίγνεσθαι, πρῶτον δὲ ἄρξασθαι χρεὼν τὸν μέλλοντα αὐτῶν ἐπιμελήσεσθαι καλῶς αἱρεθῆναι, τῶν ἐν τῇ πόλει ὃς ἂν ἄριστος εἰς πάντα ᾖ, τοῦτον κατὰ δύναμιν ὅ τι μάλιστα αὐτοῖς καθιστάντα προστάττειν ἐπιμελητήν. αἱ πᾶσαι τοίνυν ἀρχαὶ πλὴν βουλῆς καὶ πρυτάνεων εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἐλθοῦσαι φερόντων ψῆφον κρύβδην, τῶν νομοφυλάκων ὅντιν' ἂν ἕκαστος

---

1 *ἔσται* A ‖ 2 *ἔλλαττον* A | *ἢ* seclusit Ast ‖ 4 *προκριθεὶς* M A L, Plat., etiam S, sed *προκρι* in rasura scr. S[1], littere *η* ante *θ* vestigium, *προκληθεὶς* Tr. ‖ 6 v. *παντὸς* — 8 *πρόσφορον* ex vetustiore gnomologio Clemens Al. strom. VI 24 p. 750 P. (Theodoret. therapeut. p. 313, 2 Raed.), *παντὸς* — 13 *φύει γῆ* etiam supra Stob. II 31, 110[i] W. | *γὰρ δὴ* L, Plat., om. Stob. II: *γὰρ* S M A, Clem. ‖ 7 *αὐτοῦ* libri sicut Par. Platonis, *ἑαυτοῦ* Clem. ‖ 8 *κυριώτατον* L ‖ 9 *τῶν ζώων τῶν ἡμέρων* A | *ἡμέρων* L hic et supra, Plat.: *ἡμέρων τε* (vel *τὲ* ut M) S M A | *καὶ* ante *ἀνθρ.* superscr. L ‖ 10 *ὡς φαμὲν* libri ut primo Par. Platonis | *μὴν* e *μὲν* corr. A[1] ‖ 11 *παιδείας μὲν ὀρθῆς τυχὸν* (-*ὸν* ex -*ῶν* corr. S[1]) S M A L, Plat.: *μὲν παιδείας τῆς ὀρθῆς τυχὼν* temere Gesn.[2], inde vulg. ‖ 15 *ἄρχεσθαι* L ‖ 16 *αὐτὸν* S | *αἱρεθῆναι* secl. Hermann ‖ 17 *τοῦτο* sed *ν* superadd. pr. m. L ‖ 18 *καθϊστάντα* L, Plat.: *καρστάντα* (?) S *καταστάντα* M Tr. *ἐπιστάντα* A ‖ 19 *πλὴν*] *πρὶν* Tr. ‖ 20 *τὸ* ex *τὰ* corr. M[1] ‖ 21 *νομοφυλακων* sine acc. A | *ὅτϊν'* L

ἡγῆται κάλλιστα ἂν τῶν περὶ παιδείαν ἄρξαι γενομένων· ᾧ δ᾽ ἂν πλεῖσται ψῆφοι ξυμβῶσι, δοκιμασθεὶς ὑπὸ τῶν ἄλλων ἀρχόντων τῶν ἑλομένων, πλὴν νομοφυλάκων, ἀρχέτω ἔτη πέντε, ἕκτῳ δὲ κατὰ ταὐτὰ ἄλλον ἐπὶ ταύτην τὴν ἀρχὴν αἱρεῖσθαι.

40 (56 Mein.) *Τοῦ αὐτοῦ Νόμων ζ* (p. 801 E—802 A).

Μετά γε μὴν ταῦτα ὕμνοι θεῶν καὶ ἐγκώμια κεκοινωνημένα εὐχαῖς ᾄδοιτ᾽ ἂν ὀρθότατα, καὶ μετὰ θεοὺς ὡσαύτως περὶ δαίμονάς τε καὶ ἥρωας μετ᾽ ἐγκωμίων εὐχαὶ γίγνοιντ᾽ ἂν τούτοις πᾶσι πρέπουσαι. — Πῶς γὰρ οὔ; — Μετά γε μὴν ταῦτ᾽ ἤδη νόμος ἄνευ φθόνων εὐθὺς γίγνοιντ᾽ ἂν ὅδε· τῶν πολιτῶν ὁπόσοι τέλος ἔχοιεν τοῦ βίου, κατὰ σώματα ἢ κατὰ ψυχὰς ἔργα ἐξειργασμένοι καλὰ καὶ ἐπίπονα καὶ τοῖς νόμοις εὐπειθεῖς γεγονότες, ἐγκωμίων αὐτοὺς τυγχάνειν πρέπον ἂν εἴη. — Πῶς δ᾽ οὔ; — Τούς γε μὴν ἔτι ζῶντας ἐγκωμίοις τε καὶ ὕμνοις τιμᾶν οὐκ ἀσφαλές, πρὶν ἂν ἅπαντά τις τὸν βίον διαδραμὼν τέλος ἐπιστήσηται καλόν· ταῦτα δὲ πάντα ἡμῖν ἔστω κοινὰ ἀνδράσι τε καὶ γυναιξὶν ἀγαθοῖς καὶ ἀγαθαῖς διαφανῶς γενομένοις.

---

1 *κάλλιστα ἂν* M A *κάλλιστ᾽ ἂν* Plat. *κάλιστα ἂν* S *μαλιστ᾽ ἂν* sic L ‖ 2 *ξυμβῶσιν* M | *ὑπὸ τῶν ἄλλων δοκιμασθεὶς* A ‖ 4 *ἔτη πέντε* L, Plat.: *ἐπὶ πέντε ἔτη* S M A | *ταυτα* sine acc. S *ταῦτα* M ‖ 5 *ταύτην τὴν* M L Plat.: *ταύτην* S A | *ἀρχὴν* M L, Plat.: *ἀρχὴν* (supra *ει*) S[1] *ἄρχειν* A ‖ 6 ecl. cum lemm. hab. S M A L; pro lemm. nil nisi *Νόμοσ ζ΄* L ‖ 8 *ᾄδοιτ᾽ ἂν* L, Plat.: *ἄδοιντ᾽ ἂν* (*ἄδοιντἂν* M) S M A ‖ 9 *περὶ*] *μετὰ* A ‖ 10 *γίγνοιντ᾽* S, M (ubi *γίγνοιντἂν* pro *γίγνοιντ᾽ ἂν*), *γένοντ᾽* A: *γίγνοιτ᾽* L | *πᾶσι* (-*σιν* M) S M L, Plat.: *ἅπασι* A | *εἶπε* ante *πῶς* additum in A ‖ 11 *Μετά*] *M* om. rubro addendum L | *μὲν* ut videtur L | *ταῦτ᾽ ἤδη* L, Plat.: *ταύτη δὴ* S M *ταύτην δεῖ* A | *νόμους* A ‖ 12 *εὐθὺς* L, Plat.: *ἐκτὸς* S M A | v. *τῶν πολιτῶν* — 20 *διαφανῶς γενομένοις* citat Eusebius praep. ev. XII 34 | *ὁκόσα* M ‖ 13 *σώματα — ψυχὰς*] *τὰ σώματα — τὰς ψυχὰς* A | *ἐξειργασμένοι ἔργα* A ‖ 14 *καὶ* ante *ἐπίπονα* om. L | *τε* ante *γεγον.* add. A ‖ 15 *Ὅπωσ* sed *Ὅ* rubro L ‖ 16 *γε* L, Plat.: *τε* S M A ‖ 19 *ἀνδράσιν τὲ* M | *γυναιξιν* sine acc. L ‖ 20 *γενομένοις* (compendiose L) L, Plat., Euseb.: *γενόμενα* S M A

41 (57 Mein.) *Τοῦ αὐτοῦ Νόμων θ´* (p. 856 C—D).

Πατρὸς ὀνείδη καὶ τιμωρίας παίδων μηδενὶ ξυνέπεσθαι, πλὴν ἐάν τινι πατὴρ καὶ πάππος καὶ πάππου πατὴρ ἐφεξῆς ὄφλωσι θανάτου δίκην.

42 (58 Mein.) *Ἐν ταὐτῷ* (p. 879 A).

Δοῦλος δ' ἐάν τις ἐλεύθερον ὀργῇ τρώσῃ, παραδότω τὸν δοῦλον ὁ κεκτημένος τῷ τρωθέντι χρῆσθαι ὅ τι ἂν ἐθέλῃ.

43 (contin. 58 Mein.) *Ἐν ταὐτῷ* (p. 879 B).

Ὃς δ' ἂν ἄκων ἄλλος ἄλλον τρώσῃ, τὸ βλάβος ἁπλοῦν ἀποτινέτω· τύχης γὰρ νομοθέτης οὐδεὶς ἱκανὸς ἄρχειν.

44 (59 Mein.) *Ἐν ταὐτῷ* (p. 879 B—D).

Ὧδε οὖν χρὴ περὶ τῶν τοιούτων πάντ' ἄνδρα καὶ παῖδα καὶ γυναῖκα ἀεὶ διανοεῖσθαι, τὸ πρεσβύτερον ὡς οὐ σμικρῷ τοῦ νεωτέρου ἐστὶ πρεσβευόμενον ἔν τε θεοῖσι καὶ ἐν ἀνθρώποις τοῖς μέλλουσι σῴζεσθαι καὶ εὐδαιμονεῖν. αἰκίαν οὖν περὶ πρεσβύτερον ἐν πόλει γενομένην ὑπὸ νεωτέρου ἰδεῖν αἰσχρὸν καὶ θεομισές· ἔοικε δὲ νέῳ παντὶ ὑπὸ γέροντος πληγέντι ῥᾳθύμως ὀργὴν ὑποφέρειν, αὑτῷ τιθεμένῳ τιμὴν ταύτην εἰς γῆρας. ὧδ' οὖν ἔστω· πᾶς ἡμῖν αἰδείσθω τὸν ἑαυτοῦ πρεσβύτερον ἔργῳ τε καὶ ἔπει·

---

1 ecl. cum lemm. hab. S M A L; pro lemm. *Νόμ̊ Θ̅* (*N* rubro) L ‖ 2 *ἑνὶ δὲ λόγῳ, πατρὸς κτέ.* Plat. verba *ἑνὶ δὲ λόγῳ — θανάτου δίκην* citat Eusebius praep. ev. XII 39 p. 611 | *ρ̅ὸ* (h. e. *Πρ̅ὸ*) L ‖ 3 *πλὴν ἐάν τίς τινι πατὴρ καὶ πάππος κτέ.* Euseb. | *πάππουσ* M ‖ 5 ecl. cum lemm. hab. S M A L ‖ 7 *χρήσασθαι ὅτι ἐὰν* L | *ἐθέλῃ* libri omnes praeter Tr., ubi *θέλῃ* ‖ 9 *ἐν ταυτῷ* quod recepi offert L, ubi recte ecloga tamquam nova constituta est: cum verbis prioribus ecloga coaluit lemmate detracto S M A ‖ 10 *δὲ* pro *δ' ἂν* A | *ἄλλος* quod in libris omnibus est, temere omittunt Gaisford et Meineke; *ἄλλως* ex Stephani coniectura Ast ‖ 11 *ἀποτιννύτω* A ‖ 13 ecl. cum lemm. hab. S M A L ‖ 14 *ὧδε* (*ὦ* rubro) M *Ὅδε* (*Ὅ* rubro) L ‖ 15 *τὸν πρεσβ.* Tr. ‖ 17 *ἀνθρώποις* M, L (compendiose), Plat.: *ἀνθρώποισι* S A ‖ 19 *ἔοικεν* M ‖ 20 *αὐτῷ* libri Stobaei ‖ 21 *τιθεμένην* A | *ὧδε* L | v. *πᾶς ἡμῖν* — p. 180, 2 *διευλαβείσθω* citantur ab Eusebio praep. ev. XII 36 ‖ 22 *ἔπει*] *λόγῳ* Euseb.

τὸν δὲ προέχοντα εἴκοσιν ἡλικίας ἔτεσιν, ἄρρενα ἢ θῆλυν, νομίζων ὡς πατέρα ἢ μητέρα διευλαβείσθω, καὶ πάσης τῆς δυνατῆς ἡλικίας αὐτὸν φυτεῦσαι καὶ τεκεῖν ἀπέχοιτ᾽ ἀεὶ θεῶν γενεθλίων χάριν.

45 (60 Mein.) *Ἐν ταὐτῷ* (p. 880 D—881 B).

Νόμοι δὲ, ὡς ἔοικεν, οἱ μὲν τῶν χρηστῶν ἀνθρώπων ἕνεκα γίγνονται, διδαχῆς χάριν τοῦ τίνα τρόπον ὁμιλοῦντες ἀλλήλοις ἂν φιλοφρόνως οἰκοῖεν, οἱ δὲ τῶν τὴν παιδείαν διαφυγόντων, ἀτεράμονι χρωμένων τινὶ φύσει καὶ μηδὲν τεγχθέντων, ὥστε μὴ οὐκ ἐπὶ πᾶσαν ἰέναι κάκην. οὗτοι τοὺς μέλλοντας λόγους ῥηθήσεσθαι πεποιηκότες ἂν εἶεν· οἷς δὴ τοὺς νόμους ἐξ ἀνάγκης ὁ νομοθέτης ⟨ἂν⟩ νομοθετοῖ, βουλόμενος αὐτῶν μηδέποτε χρείαν γίγνεσθαι. πατρὸς γὰρ ἢ μητρὸς ἢ τούτων ἔτι προγόνων ὅστις τολμήσει ἅψασθαί ποτε βιαζόμενος αἰκίᾳ τινί, μήτε τῶν ἄνω δείσας θεῶν μῆνιν μήτε τῶν ὑπὸ γῆς τιμωριῶν λεγομένων, ἀλλ᾽ ὡς εἰδὼς ἃ μηδαμῶς οἶδε, καταφρονῶν τῶν παλαιῶν καὶ ὑπὸ πάντων εἰρημένων, παρανομεῖ, τούτῳ δεῖ τινος ἀποτροπῆς ἐσχάτης. θάνατος μὲν οὖν οὐκ ἔστιν ἔσχατον, οἱ δ᾽ ἐν Ἅιδου τούτοισι λεγόμενοι πόνοι ἔτι τε τούτων εἰσὶ μᾶλλον ἐν ἐσχάτοις, καὶ ἀληθέστατα λέγοντες οὐδὲν ἀνύτουσι ταῖς τοιαύταις ψυχαῖς ἀποτροπῆς· οὐ γὰρ ἂν ἐγίγνοντό ποτε μητραλοῖαί τε καὶ

1 *ἔτεσιν* om. L ‖ 3 *αὐτὸν* L M *αὑτὸν* ut videtur S A | *φυτεῦσαι* libri Stobaei nisi quod *φυτῆσαι* compendiose L, *φιτῦσαι* Plat. | *ἀπέχοιτο αἰεὶ* L ‖ 5 ecl. cum lemm. hab. S M A L ‖ 8 *ἀλλήλοισι φιλοφρόνως* A ‖ 9 *χρώμενοι* A | *μηδὲ* S ‖ 10 *τεγχθέντων* Plat.: *τεχθέντων* S M A L *ταχθ-* Tr. | *οὐκ* om. L A | *κάκην* M ‖ 11 *λόγους ῥηθήσεσθαι* L, Plat.: *ῥηθήσεσθαι λόγους* S M A ‖ 12 *οἷς δὴ* — 13 *γίγνεσθαι* L, Plat.: om. S M A | *ἂν* addidi e Platone ‖ 14 *τολμήσειεν* S M A ‖ 16 *δείσας θεῶν* L, Plat.: *θεῶν δείσας* S M A | *ὑπὸ* L Tr., Plat., etiam in S *ὑπὸ*, sed fuerat ni fallor *ἐπὶ*, corr. S[1] (*ὑ* in ras.): *ἐπὶ* M A ‖ 19 *τοῦτο* L | *δὴ* A ‖ 20 *ἐσχάτου* L | *οὐδ᾽* pro *οἱ δ᾽* A | *ἐνάδου* L | *τούτοισιν* M ‖ 21 *εἰσὶ μᾶλλον* L, Plat.: *μᾶλλόν εἰσιν* (*μᾶλλον εἰσὶν* M) S M A | *καὶ* L, Plat.: om. S M A ‖ 22 *οὐδὲν ἀνύτουσι* M L, Plat.: *οὐδένανύτουσι* S *οὐδένα νύττουσι* A ‖ 23 *ἀποτροπαῖς* compendiose L | *οὐ γαρ ἂν* — p. 181, 1 *τόλμαι* L, Plat.: om. S M A | *ἐγίγνοντο* Plat.: *ἐγγίγνοιντο* L

τῶν ἄλλων γεννητόρων ἀνόσιοι πληγῶν τόλμαι· δεῖ δὴ τὰς ἐνθάδε κολάσεις περὶ τὰ τοιαῦτα τούτοισι τὰς ἐν τῷ ζῆν μηδὲν τῶν ἐν Ἅιδου λείπεσθαι κατὰ δύναμιν.

46 (deest Mein.) ⟨*Τοῦ αὐτοῦ*⟩ *Νόμων ια′* (p. 917 B—C).

Ὁ πωλῶν ὁτιοῦν ἐν ἀγορᾷ μηδέποτε δύο εἴπῃ τιμὰς ὧν ἂν πωλῇ, ἁπλῆν δὲ εἰπών, ἂν μὴ τυγχάνῃ ταύτης, ἀποφέρω⟨ν ὀρθ⟩ῶς ἂν ἀποφέροι πάλιν καὶ ταύτης τῆς ἡμέρας μὴ τιμήσῃ πλέονος μηδὲ ἐλάττονος, ἔπαινος δὲ ὅρκος τε περὶ παντὸς τοῦ πωλουμένου ἀπέστω. ἐὰν δέ τις ἀπειθῇ τούτοις, ὁ παρατυγχάνων τῶν ἀστῶν, μὴ ἔλαττον ἢ τριάκοντα γεγονὼς ἔτη, κολάζων μὲν τὸν ὀμνύντα ἀνατεὶ τυπτέτω τις, ἀφροντιστῶν δὲ καὶ ἀπειθῶν ἔνοχος ἔστω ψόγῳ προδοσίας νόμων.

47 (deest Mein.) *Ἐν ταὐτῷ* (p. 918 C—E).

Σμικρὸν γένος ἀνθρώπων καὶ φύσει ὀλίγον καὶ ἄκρᾳ τροφῇ τεθραμμένον, ὅταν εἰς χρείας τε καὶ ἐπιθυμίας τινῶν ἐμπίπτῃ, καρτερεῖν πρὸς τὸ μέτριον δυνατόν ἐστι, καὶ ὅταν ἐξῇ χρήματα λαβεῖν πολλά, νήφει καὶ πρότερον αἱρεῖται τοῦ πολλοῦ τὸ τοῦ μέτρου ἐχόμενον· τὰ δὲ τῶν ἀνθρώπων πλήθη πᾶν τοὐναντίον ἔχει τούτοις, δεόμενά τε ἀμέτρως δεῖται καὶ ἐξὸν κερδαίνειν τὰ μέτρια, ἀπλήστως αἱρεῖται κερδαίνειν. διὸ πάντα τὰ περὶ τὴν καπηλείαν καὶ ἐμπορίαν καὶ πανδοκείαν γένη ⟨δια⟩βέβληταί τε καὶ ⟨ἐν⟩ αἰσχροῖς γέγονεν ὀνείδεσιν· ἐπεὶ εἴ τις, ὃ μή ποτε γένοιτο οὐδ' ἔσται, προσαναγκάσειε· γελοῖον μὲν εἰπεῖν,

---

1 *πληγῶν* Plat.: *πλέον* L ‖ 2 *τούτοισσι* L ‖ 4 eclogam primus edidi ex L, om. S M A, in lemmate addidi *Τοῦ αὐτοῦ* et scripsi *Νόμων*, nil nisi *Νόμ ιᾶ* (*N* rubro) L ‖ 6 *τυγχάνῃ* Plat.: *τυγχα* L ‖ 7 *ἀποφέρων ὀρθῶς* Plat.: *ἀποφερω . . . . ῶς* L ‖ 8 *μὴ δὲ* L ‖ 9 *ορκοσ* L ‖ 11 *ὀμνῦντα* L | *ἀνατεὶ* sic L ‖ 14 ecl cum lemm. primus edidi ex L: om. S M A ‖ 15 *Σμικρὸν* Plat.: *Ὁ μικρὸν* (*Ὁ* rubr.) L | *ἄκρα τροφῆ* ut assolet L ‖ 17 *τὸ* Plat.: *τὸν* L ‖ 18 *ὅτ' ἂν* ut 16 L ‖ 19 *τοῦ* (ante *πολλοῦ*) mutatum ex *τὸ* L ‖ 21 *ἀπλήστως* Plat.: *ἀπλήτως* L ‖ 23 *διαβέβληταί τε* Plat.: *βέβλυταί τε* sed lacuna ante *βεβλ.* et *υ* correctum videtur in *η* L ‖ 24 *ἐν* Plat.: om. L; fortasse *κἀν αἰσχρ.* scribendum

ὅμως δὲ εἰρήσεται· πανδοκεῦσαι τοὺς πανταχῇ ἀρίστους ἄνδρας ἐπί τινα χρόνον, ἢ καπηλεύειν ἤ τι τῶν τοιούτων πράττειν, ἢ καὶ γυναῖκας ἔκ τινος ἀνάγκης εἱμαρμένης τοῦ τοιούτου μετασχεῖν τρόπου, γνοίημεν ἂν ὡς φίλον καὶ ἀγαπητόν ἐστιν ἕκαστον τούτων, καὶ εἰ κατὰ λόγον ἀδιάφθορον γίγνοιτο, ἐν μητρὸς ἂν καὶ τροφοῦ σχήματι τιμῷτο ⟨τὰ⟩ τοιαῦτα πάντα.

48 (deest Mein.) *Ἐν ταὐτῷ* (p. 934 D—935 C).

Μαίνονται μὲν οὖν πολλοὶ πολλοὺς τρόπους· οὓς μὲν νῦν εἴπομεν, ὑπὸ νόσων, εἰσὶ δὲ οἳ διὰ θυμοῦ κακὴν φύσιν ἅμα καὶ τροφὴν γενομένην, οἳ δὴ σμικρᾶς ἔχθρας γενομένης, πολλὴν φωνὴν ἱέντες κακῶς ἀλλήλους βλασφημοῦντες λέγουσιν, οὐ πρέπον εὐνόμων πόλεως γίγνεσθαι τοιοῦτον οὐδὲν οὐδαμῇ οὐδαμῶς. εἷς δὴ περὶ κακηγορίας ἔστω νόμος περὶ πάντας ὅδε· μηδένα κακηγορείτω μηδείς. ὁ δὲ ἀμφισβητῶν ἔν τισι λόγοις ἄλλος ἄλλῳ διδασκέτω καὶ μανθανέτω τόν τε ἀμφισβητοῦντα καὶ τοὺς παρόντας ἀπεχόμενος πάντως τοῦ κακηγορεῖν. ἐκ γὰρ τοῦ κατεύχεσθαί τε ἀλλήλοις ἐπαρωμένους καὶ δι' αἰσχρῶν ὀνομάτων ἐπιφέρειν γυναικείους ἑαυτοῖς φήμας, πρῶτον μὲν ἐκ λόγων, κούφου πράγματος, ἔργῳ μίση τε καὶ ἔχθραι βαρύταται γίγνονται· πράγματι γὰρ ἀχαρίστῳ, θυμῷ, χαριζόμενος ὁ λέγων, ἐμπιπλὰς ὀργὴν κακῶν ἑστιαμάτων, ὅσον ὑπὸ παιδείας ἡμερώθη ποτέ, πάλιν ἐξαγριῶν τῆς ψυχῆς τὸ τοιοῦτον, θηριούμενος ἐν δυσκολίᾳ ζῶν γίγνεται, πικρὰν τοῦ θυμοῦ χάριν ἀποδεχόμενος. μετεκβαίνειν δὲ αὖ πως εἰώθασι πάντες θαμὰ ἐν τοῖς τοιούτοις εἰς τό

---

1 *πανδοκεῦσαι* Plat.: *πανδοκεὺς* L ‖ 4 *γνοίημεν* Plat.: *γνοίη μὲν* L ‖ 5 *καταλόγον* L ‖ 6 litt. *ἀδιά* praeter spiritum et accentum evanida in L, supplevimus e Platone ‖ 7 *τὰ* addidi e Platone ‖ 8 ecl. cum lemm. primus edidi ex L, om. S M A ‖ 12 *κακῶς* Plat.: *καλῶς* L ‖ 13 *ἐν εὐνόμων πόλει* Plat. ‖ 14 *οὐδαμῇ* ut assolet L ‖ 16 *ἄλλοσ* sed *ο* ex corr. L ‖ 18 *κατεύχεσθαί τε* Plat.: *κατέρχεσθαί τε* L ‖ 19 *διαισχρῶν* L ‖ 21 *ἐκ λόγων, κούφου πράγματος* Plat.: *ἐκ λογ' κούφου πραγμάτων* L ‖ 22 *ἀχαρίστῳ* Plat.: *ἀχωρίστω* L ‖ 23 *ἐμπιμπλὰς* Plat. ‖ 27 *πῶς* L | *τὸ τί* L

τι γελοῖον περὶ τοῦ ἐναντίου φθέγγεσθαι· ὅ τις ἐθιζόμενος οὐδεὶς πώποτε ὃς οὐ τοῦ σπουδαίου τρόπου ἤ⟨τοι⟩ τὸ παράπαν διήμαρτεν ἢ μεγαλονοίας ἀπώλεσε μέρη πολλά. ὧν δὴ χάριν ἐν μὲν ἱερῷ τὸ παράπαν μηδεὶς τοιοῦτον φθέγξηται μηδέποτε μηδὲν μηδ' ἔν τισι δημοτελέσι θυσίαις, μηδ' αὖ ἐν ἄθλοις μηδ' ἐν ἀγορᾷ μηδ' ἐν δικαστηρίῳ μηδ' ἐν ξυλλόγῳ κοινῷ μηδενί· κολαζέτω δὲ ὁ τούτων ἄρχων ἕκαστον ἀνατεί, ἢ μηδέποτ' ἀριστείων πέρι φιλονεικήσῃ, νόμων ὡς οὐ κηδόμενος οὐδὲ ποιῶν τὰ προσταχθέντα ὑπὸ τοῦ νομοθέτου.

49 (61 Mein.) Ἐν ταὐτῷ (p. 930 C).

Παίδων δὲ ἱκανότης ἀκριβὴς ἄρρην καὶ θήλεια ἔστω τῷ νόμῳ.

50 (deest Mein.) ⟨Τοῦ αὐτοῦ⟩ Νόμων ⟨ι⟩β' (p. 955 C—D).

Τοὺς τῇ πατρίδι διακονοῦντάς τι δώρων χωρὶς χρὴ διακονεῖν, πρόφασιν δ' εἶναι μηδεμίαν μηδὲ λόγον ἐπαινούμενον, ὡς ἐπ' ἀγαθοῖς μὲν δεῖ δέχεσθαι δῶρα, ἐπὶ δὲ φλαύροις οὔ· τὸ γὰρ γνῶναι καὶ γνόντα καρτερεῖν οὐκ εὐπετές, ἀκούοντα δὲ ἀσφαλέστατον πείθεσθαι τῷ νόμῳ, μηδὲν ἐπὶ δώροις διακονεῖν. ὁ δὲ μὴ πειθόμενος ἁπλῶς τεθνάτω ἁλοὺς τῇ δίκῃ.

---

2 ἤτοι τὸ Plat.: ἢ τὸ (sic) L ‖ 5 μηδ' ἔν Plat.: μηδέν L ‖ 9 φιλονικ- Plat. ‖ 11 ecl. cum lemm. hab. SMAL; Ἐν ταυτῷ L nil nisi νόμων ια̅ S τοῦ αὐτοῦ νόμων ια̅ MA ‖ 12 ἄρρεν L ‖ 14 ecl. cum lemm. primus edidi ex L, om. SMA, nil nisi Νόμ^{οσ} β̅ L: supplevi et correxi ‖ 16 μηδεμίαν Plat.: μηδεμιᾶς L | μὴ δὲ L ‖ 20 δώροισιν Plat. ‖ 21 τεθνάτω Plat.: τεθνάναι L

CAPVT III.

ΠΕΡΙ ΔΗΜΟΥ.

deest.

CAPVT IV.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΑΙΣ ΠΟΛΕΣΙ ΔΥΝΑΤΩΝ.

1 *Εὐριπίδου Θησεῖ* (fr. 389 N.[2]).

Ἀνὴρ γὰρ ὅστις χρημάτων μὲν ἐνδεής,
δρᾶσαι δὲ χειρὶ δυνατός, οὐκ ἀνέξεται,
τὰ τῶν δ' ἐχόντων χρήμαθ' ἁρπάζειν φιλεῖ.

---

1. 2 caput quod in libris nostris deest legit Photius, qui titulum servavit. Pherecratis huic capiti infuisse versus apparet ex poetarum laterculo pinacographi Photiani, ut animadvertit Elter de Stob. cod. Phot. p. 58 et 29. legebatur igitur lemma *Φερεκράτους*, certe sic legitur in posteriore loco flor. IV p. 79 Mein. ipsi versus in reliquiis poetae hodie nobıs notis frustra quaeruntur. ceterum vix dubito quin una alterave earum eclogarum, quibus nunc de plebe agitur in aliis Stobaeani operis partibus (cf. Eur. fr. 92. 626 N.[2] al.), etiam in hoc capite olim lecta sit. nam ab eius modi iterationibus minime abhorret gnomologus

1. 2 titulum capitis servarunt Phot. S M A Br Tr. nisi quod *δυναστῶν* pro *δυνατῶν* M Mac. in quarta sede exhibet Photius, qui inde a tertio capite singulorum capitum numeros adscribere supersedit (cf. Stob. vol. I p. 10 W.). *λϑ′* dedit S *μγ′* Tr. denique *νϛ′* M A Mac. et hi quidem decepti magna ista foliorum traiectione, qua capitulorum dispositionem in M A Mac. librorum archetypo disturbatam esse enarravi proleg. vol. III p. XXX ss. ‖ **3** ecl. cum lemm. hab. S M A, sed *αἰγεῖ* post *ϑησεῖ* addunt M A. cf. quae adnotavimus in Stob. III 9, 5 p. 347, 8 ‖ **5** *δρᾶσαι δὲ* scr. Gesn.[1]: *δρά-σεται* S M A. *δρᾶσαί τε* igitur in archetypo | *οὐκ ἀφέξεται τὰ τῶν ἐχόντων χρήμαθ' ἁρπάζειν βίᾳ* scr. Nauck, sed interciderit versus post *ἀνέξεται* ‖ **6** *δ'* secl. Valckenaer

2 *Εὐριπίδου Πενθεῖ* (Bacch. 270 s.).

Θρασύς τε δυνατὸς καὶ λέγειν οἷός τ᾽ ἀνὴρ
κακὸς πολίτης γίνεται νοῦν οὐκ ἔχων.

3 *Τοῦ αὐτοῦ Γλαύκῳ* (fr. 644 N.[2]).

Ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς,
νοσεῖν τίθησι τὰς ἀμεινόνων φρένας
παράδειγμ᾽ ἐχόντων τὴν κακῶν ἐξουσίαν.

4 *Ἐν ταὐτῷ* (Ion. 605 s.).

Οἳ τὰς πόλεις ἔχοντες ἀξίωμά τε
τοῖς ἀνθαμίλλοις εἰσὶ πολεμιώτατοι.

5 *Εὐριπίδου Ὀρέστῃ* (907 ss.).

Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις φρονῶν κακῶς
πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα·
ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ᾽ ἀεί,
κἂν μὴ παραυτίκ᾽, αὖθίς εἰσι χρήσιμοι.

6 *Εὐριπίδου Ἑκάβης* (293 ss.).

Τὸ δ᾽ ἀξίωμα, κἂν κακῶς λέγῃ, τὸ σὸν
πείσει· λόγος γὰρ ἔκ τ᾽ ἀδοξούντων ἰὼν

---

1 ecl. cum lemm. hab. S M A, τ̆^{τ} αν πενθεῖ S. versus in Eur. damnat Dindorf ‖ 2 *τε* (ut Euripidis *P*) S M A: *δὲ* Eur. G ‖ 3 *γίνεται* S M ut libri Euripidis: *γίγνεται* A ut videtur, Eur. ‖ 4 ecl. cum lemm. hab. S M A, *γλεύκω* M ‖ 5 *κακός* corr. ex *κακῶς* S ‖ 6 *τὰς* Cobet Coll. cr. p. 226: *τῶν* S M A ‖ 7 *ἐχόντων τὴν* Cobet: *ἔχοντας τῶν* S M A ‖ 8 ecl. cum lemm. hab. S M A. nisi ipsum lemma vitium contraxit, aut post *Ἐν ταὐτῷ* interciderit ecloga ex Glauco vel Polyido petita una cum lemmate *τοῦ αὐτοῦ Ἴωνι*, aut ante *Ἐν ταὐτῷ* ecloga Ionis Euripideae, cui praefixum erat *Τοῦ αὐτοῦ Ἴωνι* ‖ 9 *οἳ τὰς π. ἔχουσι* Eur. | *κἀξιώματα* libri Euripidis. *ἔχουσιν, ἀξιώματος* prop. Badham ‖ 10 *ἀν^{ϑ}ταμίλλοις* A[1] *ἀνταμίλλοις* S *ἀνταμίλλοι* M ‖ 11 ecl. cum lemm. hab. S M (post ecl. 4) A (post ecl. 6); τ̆^{τ} αν (pro *Εὐρ.*) S. cf. Stob. III, 13, 10 H. ‖ 13 *πίθῃ* S ‖ 14 *βουλεύωσ᾽* A ‖ 15 *χρήσιμοι πόλει* Eur. ‖ 16 ecl. cum lemm. hab. S (post ecl. 5) M (post ecl. 13) A (post ecl. 4) Br (quattuor huius capitis eclogarum quasi primam). incerta igitur eclogae sedes. ab archetypi librario ut videtur primo omissam dein in margine suppletam alii alio loco inserebant. *Εὐριπίδου* om. S, *ἑκάβης* om. Br. cf. Gellius XI 4 Tzetzes exeg. in Il. p. 5 ‖ 17 *λέγῃς* Muretus ‖ 18 *πείσει*] *νικᾷ* Gell.

κἀκ τῶν δοκούντων αὐτὸς οὐ ταὐτὸν σθένει.

7 *Ἀλκμήνῃ* (fr. 94 N.[2]).

Τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος.

8 *Μενάνδρου* (fr. 578 K.).

Δεῖ τὸν πολιτῶν προστατεῖν αἱρούμενον
τὴν τοῦ λόγου μὲν δύναμιν οὐκ ἐπίφθονον,
ἤθει δὲ χρηστῷ συγκεκραμένην ἔχειν.

9 *Εὐριπίδου Ἀλκμήνης* (fr. 92 N.[2]).

Ἴστω τ' ἄφρων ὢν ὅστις ἄνθρωπος γεγὼς
δῆμον κολούει χρήμασιν γαυρούμενος.

10 *Εὐριπίδου Μηδείας* (222 ss.).

Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει.
οὐδ' ἀστὸν ᾔνεσ' ὅστις αὐθάδης γεγὼς
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.

11 *Σοφοκλέους* (fr. 852 N.[2]).

Πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ·
μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος.

12 *Εὐριπίδου Ἀλκμήνῃ* (fr. 99 N.[2]).

Τὸν εὐτυχοῦντα χρὴ σοφὸν πεφυκέναι.

---

1 Eust. in Il. p. 209. 723 | *καὶ τῶν* S | *αὐτὸς* libri: corr. Porson ‖ 2 ecl. cum lemm. hab. poetae nomine non iterato S, om. M A. sine lemm. recurrit flor. Mon. 126 ‖ 3 *τῶν δυνατῶν* flor. Mon. ‖ 4 ecl. cum lemm. hab. S (post ecl. 7) M A (post ecl. 5) ‖ 5 *αἱρούμενον* S A *αἰνούμενον* M ‖ 6 *δύναμιν* supra lin. S[1] | *ἐπὶ φθόνον* M ‖ 7 *ἤθη* in *ἤθει* corr. M[1] | *χρηστὰ* in *χρηστῷ* corr. M[1] ‖ 8 ecl. cum lemm. hab. M A, om. S ‖ 9 *τ'* M A: *δ'* tacite Gesn.[2] p. 302 | *ὅστις ὄλβιος γεγὼς* ci. Herwerden ad Eur. Ion. p. 152, non accedimus ‖ 10 *κωλύει χρήμασι* M | 11 ecl. hab. S, om. M A. lemma revocavi ex S. primus eclogae versus citatur in schol. Soph. O. C. 172 ‖ 15 ecl. cum lemm. hab. S M A ‖ 16 *πολλῶν καλῶν*] *πολλῶν πόνων* ci. Nauck de trag. gr. fr. obs. cr. p. 30, *πολλῶν κάλων* Bergk in Fleckeiseni ann. a. 1869 p. 186, *παντὸς κάλω* ego olim *Krit. bl.* p. 84 probante Ritschelio act. soc. philol. Lips. III 2 p. IX, reprobante Gomperzio *Beitr.* I p. 15 qui identidem commendabat *πόνων καλῶν*, etiam nuperrime *Beitr.* VIII (Vindob. a. 1905) p. 18. notionem *ἀνταγωνιστῶν* sim. olim praecessisse susp. Elter | *τῷ καλόν τι μωμένῳ* Nauck, sed *τῷ καλῶς τιμωμένῳ* (i. e. *δυνατῷ*) utique gnomol. ‖ 18 ecl. cum lemm. hab. S M A ‖ 19 *χρῆν* Meineke

13 *Εὐριπίδου Αἰόλῳ* (fr. 16 N.²).
Λαμπροὶ δ' ἐν αἰχμαῖς Ἄρεος ἔν τε συλλόγοις,
μή μοι τὰ κομψὰ ποικίλοι γενοίατο,
ἀλλ' ὧν πόλει δεῖ μεγάλα βουλεύοντες εὖ.

14 *Αἰσχύλου* (fr. 398 N.²).
Κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί.

15 *Σοφοκλέους* (Ant. 175 ss.).
Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ.
καὶ μείζον' εἴ τις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας.

16 *Ξενοφῶντος ἐν δ' Ἀπομνημονευμάτων* (c. 6, 5—6).
Ἀνθρώποις δὲ ἆρα ἔστιν ὃν ἄν τις τρόπον βούληται χρῆσθαι; Οὐκ ἀλλὰ καὶ περὶ τούτους ὁ εἰδὼς ἃ ἐστι νόμιμα, καθ' ἃ δεῖ πρὸς ἀλλήλους χρῆσθαι. Οὐκοῦν οἱ

---

1 ecl. cum lemm. hab. S M A; *τ̆ αυ*$^{\tau}$ (pro *Εὐρ.*) S. cf. Aristot. polit. III 4 p. 1277ᵃ 19 *καὶ Εὐριπίδης φησὶ 'μή μοι τὰ κόμψ', ἀλλ' ὧν πόλει δεῖ'* ‖ 2 *λαμπροῦ δ' ἐν αἰσχραῖσ* M | *ἄρεως* S ‖ 3 *ποικίλ*ᵅ A ‖ 4 *μεγάλα βουλεύοντες εὖ* S M *μέγα βουλεύοντες ἀεὶ* A unde Gaisford *μεγάλα βουλεύοιντ' ἀεὶ* ‖ 5 ecl. cum lemm. hab. S A (post ecl. 13) M (post ecl. 6) ‖ 7 ecl. cum lemm. hab. S M A. Antigonae v. 175—190 citat Demosth. de falsa leg. p. 418. 419 ‖ 13 *τοῦ* M A, *τοι* Demosthenis S ‖ 15 *μείζον' εἴ τις* A Tr. *μείζονα εἴ τις* S *μεῖζον ἀεί τις* M *μεῖζον ὅστις* Sophoclis L pr. *μείζον'* (*μειζων* Demosthenis S) *ὅστις* Dem. | *αὑτοῦ* S, Dem.: *αὐτοῦ* M A Tr., Sophoclis L ‖ 19 *στίχ-* M | *τοῖς* A | *σωτηρίας, Οὔτ' ἂν κτἑ.* pergit Soph. ‖ 20 ecl. cum hab. S, om. M A ‖ 22 *ὁ εἰδὼς ἃ* in Xen. secludunt Hirschig, alii ‖ 23 post *χρῆσθαι* quod addunt libri Xenophontis *νόμιμος ἂν εἴη*, frustra Stobaeo inseruit Gesn.¹ f. 311ᵛ, sed vide quae adnotavit Gilbert ad Xen.

κατὰ ταῦτα χρώμενοι ἀλλήλοις ὡς δεῖ χρῶνται; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ γε ὡς δεῖ χρώμενοι καλῶς χρῶνται; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵ γε τοῖς ἀνθρώποις καλῶς χρώμενοι καλῶς πράττουσι τἀνθρώπεια πράγματα; Εἰκός, ἔφη. Οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι δίκαια οὗτοι ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Δίκαια δὲ οἶσθα, ἔφη, ὁποῖα καλεῖται; Ἃ οἱ νόμοι κελεύουσιν, ἔφη. Οἱ ἄρα ποιοῦντες ἃ οἱ νόμοι κελεύουσι δίκαιά τε ποιοῦσι καὶ ἃ δεῖ; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες δίκαιοί εἰσι; Οἶμ' ἔγωγε, ἔφη. Οἴει οὖν τινας πείθεσθαι τοῖς νόμοις μὴ εἰδότας ἃ οἱ νόμοι κελεύουσιν; Οὐκ ἔγωγ', ἔφη. Εἰδότας δὲ καὶ ἃ δεῖ ποιεῖν οἴει τινὰς οἴεσθαι δεῖν μὴ ταῦτα ποιεῖν; Οὐκ οἴομαι, ἔφη. Οἶδας δέ τινας ἄλλα ποιεῖν, εἰ οἴονται ποιεῖν ἐθέλοντας δεῖν; Οὐκ ἔγωγε, ⟨ἔφη⟩. Οἱ ἄρα τὰ περὶ ἀνθρώπους νόμιμα εἰδότες οὗτοι τὰ δίκαια ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες δίκαιοί εἰσι; Τίνες γὰρ ἄλλοι; ἔφη. Ὀρθῶς ἄν ποτε ἄρα ὁριζοίμεθα δικαίους εἶναι τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμιμα; Ἔμοιγε δοκεῖ, ἔφη.

17 *Θουκυδίδου ἱστοριῶν ε'* (89).

Ἐπισταμένους πρὸς εἰδότας ὅτι δίκαια μὲν ἐν τῷ ἀνθρωπίνῳ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται, δυνατὰ δὲ οἱ προὔχοντες πράσσουσι καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσιν.

---

3 *τοῖς ἀνθρώποις* tacite e Xen. Gesn.[1] *τοὺς ανους* S ‖ **4** *εἰκός γ', ἔφη* Xen. ‖ **6** *ἔφη, οἶσθα* Xenophontis liber Paris. 1740 ‖ **7** *ἔφη* post *κελεύουσιν* om. Xenophontis aliquot libri ‖ **12** *δὲ ἁ δεῖ* Xen. ‖ **13** *ποιεῖν ταῦτα* Xenophontis plurimi | *οἶμαι* Xen. | *οἶδας* S sicut Xenophontis libri, Priscianus XVIII 243 vol. II p. 329 H. ‖ **14** *ἄλλα ποιεῖν* S, Priscian.: *ἄλλα ποιοῦντας* libri Xenophontis | *εἰ* S: *ἢ* Xenophontis libri, *ἢ ἃ* Priscian. | *ποιεῖν ἐθέλοντας* ignorant libri Xenophontis. 'glossa marginalis fuit ad *ποιεῖν* pertinens' monet Gilbert ‖ **15** *ἔφη* tacite e Xen. inseruit Gesn.[1] malim *ἔγωγ', ἔ⟨φη⟩* ‖ **18** *ὁριζοίμεθα ὁριζόμενοι* tacite e Xen. Gesn.[1] ‖ **20** ecl. cum lemm. hab. SMA; *ἱστορίας ε̄* M. *ὅτι — ξυγχωροῦσι* Dion. Hal. Thuc. iud. p. 391, 9 Vs. et Raderm. ‖ **21** *εἰδότας*] *ειδο* ex *ανους* ni fallor corr. S[1] ‖ **22** *ἀνθρωπείῳ* Thuc. fuerat fort. *ἀνθρωπίω* in exemplari gnomologi

18 *Ἀριστοτέλους* (epist. ad Philipp. 1 p. 172 Herch.).

Δεῖ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχὰς ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι, ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται.

19 *Ἐπικτήτου* (fr. 57 p. 476 Schenkl).

Ὥσπερ οἱ ἐπὶ τῶν λιμένων πυρσοὶ δι᾽ ὀλίγων φρυγάνων πολλὴν ἀνάψαντες φλόγα ταῖς ἀλωμέναις ἀνὰ τὸ πέλαγος ναυσὶν ἱκανὴν ἐργάζονται βοήθειαν, οὕτω καὶ ἀνὴρ λαμπρὸς ἐν πόλει χειμαζομένῃ αὐτὸς ὀλίγοις ἀρκούμενος μεγάλα τοὺς πολίτας εὐεργετεῖ.

20 *Ἐκ τοῦ Πλουτάρχου Εἰ πολιτευτέον πρεσβυτέρῳ* (p. 783 E).

Τῶν μέντοι πολιτικῶν ἀνδρῶν καλὸν ἐντάφιον ἡ πολιτεία· τοῦτο γὰρ ʽἔσχατον δύεται κατὰ γᾶς᾽ ὥς φησι Σιμωνίδης, ὁ τῶν καλῶν ζῆλος. οὐ γὰρ τὸ φιλότιμον κατὰ Θουκυδίδην ἀγήρων μόνον, ἀλλὰ μᾶλλον τὸ κοινω-

---

1 ecl. cum lemm. hab. SMA, lemm. om. Br. eadem sententia legitur corp. Par. 112 Elt. (*Ἀριστοτέλους* praefixit cod. Par. suppl. 690), et post sententiam Aristoteli adscriptam recurrit Maxim. c. 9 p. 559, *τοῦ αὐτοῦ* autem addit Maximi cod. Laur. XI, 14 teste Rose Ar. pseudep. p. 608 ‖ 2 *δεῖ γὰρ τοὺς κτὲ.* epist. | *δι᾽ αὐτὰς* (τὰς) *ἀρχὰς* (*τὰς* inser. A²) A ‖ 3 *διὰ τὰς ἀρετὰς* SM *δι᾽ ἀρετὰς* A: *διὰ τῶν ἀρχῶν* epist. inepte, vide Bernays *Die dial. des Aristot.* p. 164 ‖ 4 *τυχης* sine acc. S ‖ 5 ecl. cum lemm. hab. SMA ‖ 6 *φριγάνων* (υ) A¹ ‖ 10 *τοῖς πολίταις* A¹, corr. A² ‖ 11 ecl. cum lemm. hab. SMA; *ἐκ τοῦ* om. S. malim *Πλ. ἐκ τοῦ Εἰ π. π.* cf. flor. 54, 43 Mein. ‖ 13 longe recedit gnomologus a Plutarcho. hic enim: *πολιτεία δὲ δημοκρατικὴ καὶ νόμιμος ἀνδρὸς εἰθισμένου παρέχειν αὐτὸν οὐχ ἧττον ἀρχόμενον ὠφελίμως ἢ ἄρχοντα καλὸν ἐντάφιον ὡς ἀληθῶς τὴν ἀπὸ τοῦ βίου δόξαν τῷ θανάτῳ προστίθησι· τοῦτο γὰρ κτὲ.* ‖ 14 *fort. etiam τοῦτο γὰρ poetae est* Bergk P. l.⁴ III p. 417 | *γᾶς* Plut.: *γᾶν* libri Stobaei ‖ 15 inter *Σιμωνίδης* et *ὁ τῶν κ. ζ.* haud pauca omisit gnomologus qui etiam in proximis suo arbitrio breviavit verba scriptoris et interpolavit | Thuc. II 44, 4: *τὸ γὰρ φ. ἀ. μ.*, ubi vide quae adnotavit Hude ‖ 16 *ἀγήρων* ut videtur S, si fidere licet Mekleri silentio: *ἀγείρων* MA Tr. | inde a verbis *ἀλλὰ μᾶλλον* maior est excerptoris cum Plutarcho congruentia | *κοινωνικὸν* sed *ω* in corr. ut videtur utque super *ω* aliquid rasum sit M¹

νικὸν καὶ πολιτικόν, ὃ καὶ μύρμηξιν ἄχρι τέλους παραμένει καὶ μελίτταις. οὐδεὶς γὰρ πώποτε κηφῆνα εἶδεν ἐκ μελίττης γινόμενον, ὥσπερ ἀξιοῦσι τοὺς πολιτικούς, ὅταν παρακμάσωσιν, οἴκοι καθημένους σιτεῖσθαι.

21 *Ἐκ τῶν κοινῶν Ἀριστοτέλους διατριβῶν.*

Αἱ πλεῖσται στάσεις διὰ φιλοτιμίαν ἐν ταῖς πόλεσι γίγνονται· περὶ τιμῆς γὰρ οὐχ οἱ τυχόντες, ἀλλ' οἱ δυνατώτατοι διαμφισβητοῦσι.

22 *Δημοσθένους* (fr. 38 Sauppe).

Δημοσθένης εἶπε 'πάντων ἐστὶ δυσχερέστατον τὸ πολλοῖς ἀρέσκειν'.

23 *Τοῦ αὐτοῦ* (fr. 39 Sauppe).

Δημοσθένης δυοῖν ἔφησεν οὔσαιν ὁδοῖν, τῆς μὲν ἐπὶ τὸ βῆμα τῆς δὲ εἰς ᾅδου, μᾶλλον ἂν ἑλέσθαι τὴν εἰς ᾅδου τὸν εὖ φρονοῦντα.

24 *Πλάτωνος ἐκ τῆς πρὸς Ἀρχύταν ἐπιστολῆς* (p. 357 E—358 B).

Τὰ δὲ παρὰ σοῦ διῆλθον ἡμῖν, λέγοντες ὑποδυσφορεῖν

---

1 *ὃ* Plat.: *οὗ* (*οὖ* S) libri Stobaei ‖ 2 ante *μελίτταις* habet *πολίταις* sed expunctum A | *γὰρ* reposui ex A, Plut.: *δὲ* S M | *πώποτε* om. libri Plutarchi | *καιφῆνα* A | *εἶδεν* (*ἴδεν* M) libri Stobaei: *οἶδεν* libri Plut. qui offerunt praeterea *οὐδεὶς γὰρ οἶδεν ὑπὸ γήρως κηφῆνα γενομένην μέλιτταν, ὥσπερ ἔνιοι τοὺς πολιτικοὺς ἀξιοῦσιν* ‖ 3 *γϊνόμενον* S M sed *ι* ex *ει* (incertum utra manus) in S *γιγνόμενον* A; fort. *γενόμενον* ‖ 4 *οἴκοι σιτουμένους καθῆσθαι καὶ ἀποκεῖσθαι* Plut. | *σιτίσθαι* M ‖ 5 ecl. cum lemm. hab. S M A. cf. quae adnotavi Stob. v. III p. 716, 4 ‖ 9 ecl. sine lemm. hab. S, addito lemmate M A. cf. corp. Par. 454 Elt. (*τοῦ αὐτοῦ* [i. *Ἀριστίππου*] *ἀποφθέγματα*): *ἔλεγε δὲ* (praecedit Demosth. apophth.) *ὅτι τὸ πᾶσιν ἀρέσαι δυσχερέστατόν ἐστιν.* in apophthegmatis formam redacta est sententia gnomol. Vat. 221 (*Ὁ αὐτὸς ἐρωτηθεὶς κτέ.*), ubi vide quae collegit Sternbach. Ps.-Demosthenis epist. III 27 p. 1481 memor fuerat Wyttenbach (Plut. t. VI part. I p. 103): *τὸ μὲν γὰρ πᾶσιν ἀρέσκειν τὸν συμβουλεύοντα καὶ τὰ κοινὰ πράττοντα ἀδύνατον.* Demosthenis dictum aliud quasi ex Aristotelis 'chriis' repetitur Stob. III 29, 90, an hoc ex 'diatribis'? cf. ecl. 21 ‖ 12 ecl. sine lemm. hab. S, addito lemmate M A. cf. gnomol. Paris. 68 Sternb. *Δημοσθένης εἶπε δυοῖν οὔσαιν ὁδῶν* (sic) *κτέ.* Plut. Demosth. 26 ‖ 13 *οὔσαιν* S M *εἶναι* A ‖ 16 ecl. cum lemm. hab. S M A; *ἀρχέταν* M

σε ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. ὅτι μὲν οὖν ἥδιστόν γ' ἐστὶν ἐν τῷ βίῳ τὸ τὰ αὑτοῦ πράττειν, ἄλλως τε καὶ εἴ τις ἔχοι τοιαῦτα πράττειν οἷα καὶ σύ, σχεδὸν παντὶ δῆλον· ἀλλὰ κἀκεῖνο δεῖ ⟨σ'⟩ ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν, ἀλλὰ τῆς γενέσεως ἡμῶν τὸ μέν τι ἡ πατρὶς μερίζεται, τὸ δέ τι οἱ γεννήσαντες, τὸ δὲ οἱ λοιποὶ φίλοι, πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν βίον ἡμῶν καταλαμβάνουσι. καλούσης δὲ τῆς πατρίδος αὐτῆς πρὸς τὰ κοινά, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν· ἅμα γὰρ συμβαίνει καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις, οἳ οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς τὰ κοινὰ προσέρχονται.

25 *Ζαλεύκου.*

Ζάλευκος ὁ τῶν Λοκρῶν νομοθέτης τοὺς νόμους ἔφησε τοῖς ἀραχνίοις ὁμοίους εἶναι· ὥσπερ γὰρ εἰς ἐκεῖνα ἐὰν μὲν ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται· ἐὰν δὲ σφὴξ ἢ μέλιττα, διαρρήξασα ἀφίπταται· οὕτω καὶ εἰς τοὺς νόμους ἐὰν μὲν ἐμπέσῃ πένης, συνέχεται· ἐὰν δὲ πλούσιος ἢ δυνατὸς λέγειν, διαρρήξας ἀποτρέχει.

---

2 *ἥδιστόν γ' ἐστιν* (*γέστιν* M) S M *ἥδιστόν ἐστιν* A, Ps.-Plat., *ἥδιστον γάρ ἐστιν* Tr. | *τὸ τὰ* M A *τῷ τὰ* S *τὰ* Tr. | *αὐτοῦ* M ‖ 3 *ἔχοι* S M *ἔχει* A; *ἕλοιτο* Ps.-Plat. ‖ 4 *δεῖ* ex corr. S[1] | *σε* (praetuli *σ'*) tacite e Platonis Ald. inseruit Gesn.[1] ‖ 10 *ξυμβ-* Ps.-Plat. ‖ 11 *φαύλοις* S sed per compendium quod paene cum eo confundi possit quo significari solet genetivus, inde *φαύλων* Tr. | *δὲ* pro *οὐκ* A ‖ 13 ecl. sine lemm. hab. S Br, addito lemm. M A. recurrit corp. Par. 495 (*γνώμη Ζάλευκος* sic) Elt., breviata gnomol. Byz. n. 67 p. 177, ubi vide quae collegit Wachsmuth. Anacharsidi vel Soloni adscribitur apophthegma Plut. Sol. c. 5 Diog. Laert. I 58 ‖ 14 *Ζάλευκος* om. corp. Par. | *τοὺς νόμους τοῖς ἀραχνίοις εἶπεν εἶναι* corp. Par. ‖ 15 *ὥσπερ γὰρ εἰς ἐκεῖνα* om. S | *ὥσπερ*] *καὶ* corp. Par. ‖ 16 *μὲν* om. corp. Par. | *μῦα* corp. Par. | *σφὴξ* S: *σφίγξ* M A[1] Br *σφὶξ* (sed post *φ* una litt. rasa, *σ* add. m.[1] codicis Paris. 1168) corp. Par. ‖ 17 *μέλισσα* corp. Par. | *διαρήξασα* S | *ἀφαπτᾶται* corp. Par. | *οὕτως* corp. Par. | *εἰς τοὺς* M A, compendium (quod dubitans *ἔχεται* interpretatur Mekler) S *ἐπὶ τοὺς* Tr. *ἐν τοῖς* corp. Par. ‖ 18 *νόμοις* corp. Par. | *ἐὰν*] ab *ἐ* rubr. novam inc. sent. corp. Par. | *ἐὰν μὲν* usque ad fin. om. S ‖ 19 *λέγει* corp. Par. *λέγειν* om. A

26 *Μητροδώρου* (fr. 60 Koerte).

Ἐν πόλει μήτε ὡς λέων ἀναστρέφου μήτε ὡς κώνωψ· τὸ μὲν γὰρ ἐκπατεῖται, τὸ δὲ καιροφυλακεῖται.

27 *Δημοκρίτου* (fr. 49 Diels[2]).

Χαλεπὸν ἄρχεσθαι ὑπὸ χερείονος.

28 *Ἀντισθένους* (apophth. 13 Winck.).

Ἀντισθένης ἐρωτηθείς, πῶς ἄν τις προσέλθοι πολιτείᾳ, εἶπε 'καθάπερ πυρί, μήτε λίαν ἐγγύς, ἵνα μὴ καῇς, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃς'.

29 *Χρυσίππου* (fr. mor. 694 Arn.).

Χρύσιππος ἐρωτηθείς, διὰ τί οὐ πολιτεύεται, εἶπε· διότι εἰ μὲν πονηρὰ πολιτεύεται, τοῖς θεοῖς ἀπαρέσει· εἰ δὲ χρηστά, τοῖς πολίταις.

30 *Πλάτωνος ἐκ τοῦ Λάχητος* (p. 180 B).

Ὡς ὅ γε ἔλεγεν Λυσίμαχος ἄρτι περὶ τοῦ πατρὸς τοῦ αὑτοῦ καὶ τοῦ Μελησίου, πάνυ μοι δοκεῖ εὖ εἰρῆσθαι καὶ εἰς ἐκείνους καὶ εἰς ἡμᾶς καὶ εἰς ἅπαντας ὅσοι τὰ τῶν πόλεων πράττουσιν, ὅτι αὐτοῖς σχεδόν τι ταῦτα

---

1 ecl. cum lemm. hab. S M A ‖ 2 *ἀναστρέφου* S A *ἀνατρ-* M Tr. ‖ 4 ecl. cum lemm. hab. S M A. recurrit sententia Democrat. 15 ‖ 5 *χείρονος* S *χέρονος* M A *χερείονος* Democratis cod. Pal. ‖ 6 ecl. sine lemm. hab. S, addito lemmate M A. eisdem verbis legitur ecloga (*Ἀντισθένης — ῥιγώσῃς*) gnomol. Paris. 69 Sternb. (cf. ibid. 123), paululum variata gnomol. Vatic. 8 Sternb. *Ὁ αὐτὸς* (sc. *Ἀντισθένης*) *ἐρωτηθεὶς ὑπό τινος, πῶς ἂν προσέλθοι πολιτείᾳ, εἶπεν· μήτε λίαν ἐγγύς, ἵνα μὴ κατακαῇ, μήτε πόρρω, ἵνα μὴ ῥιγοῖ.* praeter Sternbachii adnotationem vide etiam Wachsmuth *Wiener, apophthegmensamml.* 98 ‖ 10 ecl. sine lemm. hab. S Br, add. lemmate M A. $\overset{\text{ον}}{\text{χρωσσίπ}}$ sed *σ* alterum ex *ι* corr. M. iteratur ecloga (*Χρύσιππος — πολίταις*) gnomol. Paris. 70 Sternb. cf. Aristoteles rhet. II 23, 15 ‖ 11 $\overset{\pi}{\text{χρυσι}}$ S ‖ 12 *πονηρά τις* Gesn.[1], inde vulg. | *πολιτεύεται* M A Br *πολιτεύηται* S: *πολιτεύομαι* gnomol. Par. hoc si verum est, in proximis scribendum *ἀπαρέσω* vel *ἀπαρέσκω*, nam *ἀπαρέσκει* gnomol. Par. ‖ 14 ecl. cum lemm. hab. S M A ‖ 15 *ἔλεγεν ὁ Λυσ.* Plat. ‖ 16 *αὑτοῦ* Platonis B: *αὐτοῦ* libri Stob., Platonis alii | *καὶ*] *τε καὶ* Plat. ‖ 18 *ταῦτα* Tr., Platonis B: *ταὐτὰ* Platonis T, *ταυτὰ* ut videtur S M A

συμβαίνει ἃ οὗτος λέγει καὶ περὶ παῖδας καὶ περὶ τἄλλα τὰ ἴδια ὀλιγωρεῖσθαί τε καὶ ἀμελῶς διατίθεσθαι.

31 *Πλάτωνος ἐκ τοῦ Γοργίου* (p. 466 D—469 C).

Λέγω τοίνυν σοι ὅτι δύο ταῦτ' ἐστὶ τὰ ἐρωτήματα, καὶ ἀποκρινοῦμαί γέ σοι πρὸς ἀμφότερα. φημὶ γάρ, ὦ Πῶλε, ἐγὼ καὶ τοὺς ῥήτορας καὶ τοὺς τυράννους δύνασθαι μὲν ἐν ταῖς πόλεσι σμικρότατον, ὥσπερ νῦν δὴ ἔλεγον· οὐδὲν γὰρ ποιεῖν ὧν βούλονται ὡς ἔπος εἰπεῖν, ποιεῖν μέντοι ὅ τι ἂν αὐτοῖς δόξῃ βέλτιστον εἶναι. — Οὐκοῦν τοῦτ' ἐστὶν τὸ μέγα δύνασθαι; — Οὔχ, ὥς γέ φησιν ὁ Πῶλος. Ἐγὼ οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε. — Μὰ τὸν κύνα, οὐ σύ γε, ἐπεὶ τὸ μέγα δύνασθαι ἔφης ἀγαθὸν εἶναι τῷ δυναμένῳ. — Φημὶ γὰρ οὖν. — Ἀγαθὸν οὖν οἴει εἶναι, ἐάν τις ποιῇ ταῦτα ἃ ἂν δοκῇ αὐτῷ βέλτιστα εἶναι, νοῦν μὴ ἔχων; καὶ τοῦτο καλεῖς σὺ μέγα δύνασθαι; — Οὐκ ἔγωγε. — Οὐκοῦν ἀποδείξεις τοὺς ῥήτορας νοῦν ἔχοντας καὶ τέχνην τὴν ῥητορικὴν ἀλλὰ μὴ κολακείαν, ἐμὲ ἐξελέγξας; εἰ δέ με ἐάσεις ἀνέλεγκτον, οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται, εἰ δὲ δύναμίς ἐστιν, ὡς σὺ φῄς, ἀγαθόν, τὸ δὲ ποιεῖν ἄνευ νοῦ ἃ δοκεῖ καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι· ἢ οὔ; — Ἔγωγε. — Πῶς ἂν οὖν οἱ ῥήτορες μέγα δύναιντο ἢ οἱ τύραννοι ἐν ταῖς πόλεσιν, ἐὰν μὴ Σωκράτης ἐξελεγχθῇ ὑπὸ Πώλου ὅτι ποιοῦσιν ἃ βούλονται; — Οὗτος ἀνήρ — Οὔ φημι ποιεῖν

2 *τὰ* om. libri Platonis | *ὀλιγωρεῖσθαι*] *ὀλιγωρεῖν* Badham, *ὀλιγώρως* Schanz ‖ **3** ecl. cum lemm. hab. S M A; *τοῦ αὐτοῦ* pro *πλάτ.* Tr. *τῶν* pro *τοῦ* A ‖ **4** *ταῦτά ἐστι* Tr. | *τὰ* om. Platonis nonnulli ‖ **7** *νῦν δὴ* om. A | *ἔλεγον*] *ἔλεγε* S ‖ **8** *ὧν βούλονται* M A,
ἂν
Plat.: *ὧν ἂν βούλωνται* S ‖ **9** *ὅτι αὐτοῖς* S¹ | *βέλτιον* Tr. | *βέλτιστον εἶναι* secl. Cobet ‖ **10** *τοῦτο ἔστιν* Plat. | *μεγάλα* Tr. | *φησιν ὁ πῶλος* S *φησὶ πωσ ὦλοσ* sed *ὦλοσ* in ras. M *φησι ποσῶλος* A *φησιν Πῶλος* Plat. ‖ **12** *κύνα* om. Plat. | *ἐπεὶ τὸ*] *ἔπειτα ὅς* A | *φῄς* Baiter ‖ **14** *ἐὰν τις* — 15 *εἶναι* suppl. A m. ant. in marg. | *βέλτιστα εἶναι* secl. Cobet ‖ **15** *σὺ* om. libri Platonis praeter Vindob. 55 ‖ **16**ss. *ἀποδείξας . . . ἐξελέγξεις* Hirschig ‖ **17** *κολακίαν* Tr. ‖ **18** *ἐάσῃς* Tr. ‖ **20**s. *εἰ δὲ* S M A *ἢ δὲ* Plat. *εἰ δὴ* Heindorf ‖ **24** *πόλλου* M

αὐτοὺς ἃ βούλονται· ἀλλά με ἔλεγχε. — Οὐκ ἄρτι ὡμολόγεις ποιεῖν ἃ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι τούτου πρόσθεν; — Καὶ γὰρ νῦν ὁμολογῶ. — Οὐκ οὖν ποιοῦσιν ἁ βούλονται; — Οὔ φημι. — Ποιοῦντες ἃ δοκεῖ αὐτοῖς; — Φημί. — Σχέτλιά γε λέγεις καὶ ὑπερφυῆ, ὦ Σώκρατες. — Μὴ κατηγόρει, ὦ λῷστε Πῶλε, ἵνα προσείπω σε κατὰ σέ· ἀλλ' εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, ἐπίδειξον ὅτι ψεύδομαι, εἰ δὲ μή, αὐτὸς ἀποκρίνου. — Ἀλλ' ἐθέλω ἀποκρίνεσθαι, ἵνα καὶ εἰδῶ ὅ τι λέγεις. — Πότερον οὖν σοι δοκοῦσιν οἱ ἄνθρωποι τοῦτο βούλεσθαι ὃ ἂν πράττωσιν ἑκάστοτε, ἢ ἐκεῖνο οὗ ἕνεκα πράττουσιν τοῦθ' ὃ πράττουσιν; οἷον οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν πότερόν σοι δοκοῦσιν τοῦτο βούλεσθαι ὅπερ ποιοῦσιν, πίνειν τὸ φάρμακον καὶ ἀλγεῖν, ἢ ἐκεῖνο, τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσι; — Δῆλον ὅτι τὸ ὑγιαίνειν. — Οὐκοῦν καὶ οἱ πλέοντές τε καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι οὐ τοῦτ' ἐστὶν ὃ βούλονται, ὃ ποιοῦσιν ἑκάστοτε; τίς γὰρ βούλεται πλεῖν καὶ κινδυνεύειν καὶ πράγματα ἔχειν; ἀλλ' ἐκεῖνο οἶμαι οὗ ἕνεκα πλέουσι, πλουτεῖν· πλούτου γὰρ ἕνεκα πλέουσι. — Πάνυ γε. — Ἄλλο τι οὖν οὕτω καὶ περὶ ἁπάντων; ἐάν τις πράττῃ ἕνεκά του, οὐ τοῦτο βούλεται ὃ πράττει, ἀλλ' ἐκεῖνο οὗ ἕνεκα πράττει; — Ναί. —

---

2 *βέλτιστα εἶναι* secl. Cobet | *τούτου πρόσθεν* delet Schleiermacher ‖ 4 *ποιοῦντες*] *ποιοῦσι* A | *ποιοῦντες δὲ* Platonis plurimi; *ποιοῦντές γε* ci. H. Richards ‖ 5 *γε* S M A, Olympiodorus: om. libri Platonis ‖ 6 *ὦ λῷστε Πῶλε, ἵνα προσείπω σε κατὰ σέ* Hermog. rhet. gr. II p. 437, 24 Sp. | *λῶιστε* S *λώϊστε* M A ‖ 8 *ἀποκρίνασθαι* A ‖ 9 *καὶ* om. A | *εἰδῶ*] *ἴδω* A ‖ 11 post *ἐκεῖνο* praecipit v. *τὸ ὑγιαίνειν οὗ ἕνεκα πίν.* (14) sed del. A | *ὃ*] *ὅπερ* A ‖ 12 *σοι* non om. A (ut adnotavit Gaisf.) ‖ 13 *τοῦτο βούλεσθαι ὅπερ ποιοῦσιν, πίνειν τὸ φάρμακον*] *ὅπερ ποιοῦσιν τοῦτο βούλεσθαι* (*εὐ* supra scr., *εύ* A[1]) *τὸ πίνειν τὰ φάρμακα* A ‖ 14 *τοῦ ὑγ.* A ‖ 15 post *ὑγιαίνειν* ex Platonis Ald. addidit *οὗ ἕνεκα πίνουσιν* Gesn.[1]; om. S M A | *τε καὶ* S M A sic ut Platonis plerique: *καὶ* Tr. ‖ 18 *πλεῖν τε καὶ* Plat. ‖ 19 *οἶμαι οὗ*] *οὗ οἶμαι* A | *τούτου* pro *πλούτου* cod. Paris. 1985 fide Gaisfordi, v. *πλούτου — πλέουσι* secl. Cobet ‖ 20 *ἀλλ' ὅτι* A ‖ 21 *πάντων* libri Platonis praeter Vindob. 55 | *τίς τι πράττῃ* scripserim cum Plat.

Ἆρ᾽ οὖν ἔστι τι τῶν ὄντων ὃ οὐχὶ ἤτοι ἀγαθόν γε ἐστὶν ἢ κακὸν ἢ μεταξὺ τούτων, οὔτε ἀγαθὸν οὔτε κακόν; — Πολλὴ ἀνάγκη, ὦ Σώκρατες. — Οὐκοῦν λέγεις ἀγαθὰ μὲν σοφίαν καὶ ὑγίειαν καὶ πλοῦτον καὶ τἄλλα τὰ τοιαῦτα, κακὰ δὲ τὰ ἐναντία τούτων; — Ἔγωγε. — Τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ ἆρα τοιάδε λέγεις, ἃ ἐνίοτε μὲν μετέχει τοῦ ἀγαθοῦ, ἐνίοτε δὲ τοῦ κακοῦ, ἐνίοτε δὲ οὐδετέρου, οἷον καθῆσθαι καὶ βαδίζειν καὶ τρέχειν καὶ πλεῖν, καὶ οἷον αὖ λίθους καὶ ξύλα καὶ τἄλλα τὰ τοιαῦτα; οὐ ταῦτα λέγεις; ἢ ἄλλ᾽ ἄττα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά; — Οὔκ, ἀλλὰ ταῦτα. — Πότερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν ὅταν πράττωσιν, ἢ τἀγαθὰ τῶν μεταξύ; — Τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν. — Τὸ ἀγαθὸν ἄρα διώκοντες καὶ βαδίζομεν ὅταν βαδίζωμεν, οἰόμενοι βέλτιον εἶναι, καὶ τὸ ἐναντίον ἕσταμεν ὅταν ἑστῶμεν, τοῦ αὐτοῦ ἕνεκα, τοῦ ἀγαθοῦ· ἢ οὔ; — Ναί. — Οὐκοῦν καὶ ἀποκτείνυμεν, εἴ τινα ἀποκτείνυμεν, καὶ ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα, οἰόμενοι ἄμεινον εἶναι ἡμῖν ταῦτα ποιεῖν ἢ μή; — Πάνυ γε. — Ἕνεκα ἄρα τοῦ ἀγαθοῦ ἅπαντα ταῦτα ποιοῦσιν οἱ ποιοῦντες. — Φημί. — Οὐκοῦν ὡμολογήσαμεν, ἃ ἕνεκά του ποιοῦμεν, μὴ ᾽κεῖνα βούλεσθαι, ἀλλ᾽ ἐκεῖνο οὗ ἕνεκα ταῦτα ποιοῦμεν; — Μάλιστα. — Οὐκ ἄρα σφάττειν βουλόμεθα οὐδ᾽ ἐκβάλλειν ἐκ τῶν πόλεων οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως, ἀλλ᾽ ἐὰν μὲν ὠφέλιμα ᾖ ταῦτα, βουλόμεθα πράττειν αὐτά, βλαβερὰ δ᾽ ὄντα οὐ βουλόμεθα. τὰ γὰρ ἀγαθὰ βουλόμεθα, ὡς φῂς σύ, τὰ δὲ

---

1 ὃ] ἢ A ‖ 3 ἀγαθὰ SMA εἶναι ἀγαθὸν libri Platonis ‖ 4 σοφίαν τε καὶ Platonis libri fere omnes | ὑγείαν SM ὑγίειαν A ‖ 7 τοῦ (ante κακοῦ) om. Gesn.[2], inde vulg. ‖ 9 λίθους τε καὶ A ‖ 10 ἀλλάττα ὶ (sic) καλεῖς M ‖ 15 βελτίονες A ‖ 17 ἀποκτείνυμεν S, Plat.: ἀποκτειν . . μεν duarum litt. spatio relicto M. reppererat nimirum ἀποκτείνοιμεν, quod falsum esse intellexit, certe ἀποκτείνοιμεν A | ἀποκτείνυμεν S ut Platonis BT, ἀποκτεῖν . . μεν fere ut in prioribus M, καὶ ἀποκτείνομεν A ‖ 18 χρήματα] κτήματα A ‖ 20 ταῦτα πάντα A ‖ 22 μη κεῖνα M ‖ 26 αὐτὰ om. S, qui distinguit ante ταῦτα ut etiam A

μήτε κακὰ μήτε ἀγαθὰ οὐ βουλόμεθα, οὐδὲ τὰ κακά. ἦ γάρ; ἀληθῆ σοι δοκῶ λέγειν, ὦ Πῶλε, ἢ οὔ; τί οὐκ ἀποκρίνῃ; — Ἀληθῆ. — Οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν, εἴ τις ἀποκτείνει τινὰ ἢ ἐκβάλλει ἐκ πόλεως ἢ ἀφαιρεῖται χρήματα, εἴτε τύραννος ὢν εἴτε ῥήτωρ, οἰόμενος ἄμεινον εἶναι αὐτῷ, τυγχάνει δὲ ὂν κάκιον, οὗτος δήπου ποιεῖ ἃ δοκεῖ αὐτῷ; ἦ γάρ; — Ναί. — Ἆρ' οὖν καὶ ἃ βούλεται, εἴπερ τυγχάνει ταῦτα κακὰ ὄντα; τί οὐκ ἀποκρίνῃ; — Ἀλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται. — Ἔστιν οὖν ὅπως ὁ τοιοῦτος μέγα δύναται ἐν τῇ πόλει ταύτῃ, εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι κατὰ τὴν σὴν ὁμολογίαν; — Οὐκ ἔστιν. — Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, λέγων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει ἃ δοκεῖ αὐτῷ μὴ μέγα δύνασθαι μηδὲ ποιεῖν ἃ βούλεται. — Ὡς δὴ σύ, ὦ Σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖναί σοι ποιεῖν ὅ τι δοκεῖ σοι ἐν τῇ πόλει μᾶλλον ἢ μή, οὐδὲ ζηλοῖς ὅταν ἴδῃς τινὰ ἢ ἀποκτείναντα ὃν ἔδοξεν αὐτῷ ἢ ἀφελόμενον χρήματα ἢ δήσαντα; — Δικαίως λέγεις ἢ ἀδίκως; — Ὁπότερ' ἂν ποιῇ, οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν; — Εὐφήμει, ὦ Πῶλε. — Τί δή; — Ὅτι οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν οὔτε τοὺς ἀθλίους, ἀλλ' ἐλεεῖν. — Τί δέ; οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων; — Πῶς γὰρ οὔ; — Ὅστις ἀποκτείννυσιν ὃν ἂν δόξῃ αὐτῷ, δικαίως ἀποκτεινύς, ἄθλιος δοκεῖ σοι εἶναι καὶ ἐλεεινός; — Οὐκ ἔμοιγε, οὐδὲ μέντοι ζηλωτός. — Οὐκ ἄρτι ἄθλιον ἔφησθα εἶναι; — Τὸν ἀδίκως γε,

1 *μήτε ἀγαθὰ μήτε κακὰ* Plat. ‖ 2 *ἦ γὰρ ἀληθῆ* S M A distinxit Schleiermacher | *τί οὐκ ἀποκρίνῃ* del. Deuschle ‖ 4 *ἀποκτείνῃ* corr. ut videtur A[1] ‖ 6 *αὑτῷ* Beck | *τυγχάνει δὲ ὂν κάκιον* del. Hirschig ‖ 9 *ἀποκρίνει* M ‖ 11 *ταύτῃ* del. Findeisen ‖ 12 *ἐγὼ* oscitanter om. Gesn.[2] ‖ 19 *ζηλωτὸς* Platonis pauci ‖ 22 *δὲ* A *δαὶ* S M | *οὕτω σοι*] *οὕτωσ ποι* M ‖ 23 *ὅστις οὖν ἀποκτείννυσιν* Plat., e Plat. Gesn.[1] ‖ 24 *ἀποκτείννυσιν* et *ἀποκτεινύς* singulis *ν* S M, alterum *ν* supra lin. add. A[1] ‖ 25 *οὐδὲ*] *οὐδὲν* oscitanter Gesn.[1] ‖ 26 post *ἔφησθα* (sic) haec praecipiunter rursus deleta ab A[1] *πρὸς τόν γε δικαίως ἀζήλωτον· ἢ ποῦ ὁ γε ἀποθνήσκων πῶς δὴ ὦ σώκρατες* *εἶναι τὸν ἀδίκως γε κτέ.*

ὦ ἑταῖρε, ἀποκτείναντα, καὶ ἐλεεινόν γε πρός· τὸν δὲ δικαίως ἀζήλωτον. — Ἦ που ὅ γε ἀποθνήσκων ἀδίκως ἐλεεινός τε καὶ ἄθλιός ἐστιν; — Ἧττον ἢ ὁ ἀποκτεινύς, ὦ Πῶλε, καὶ ἧττον ἢ ὁ δικαίως ἀποθνήσκων. — Πῶς δή, ὦ Σώκρατες; — Οὕτως, ὡς μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδικεῖν. — Ἦ γὰρ τοῦτο μέγιστον; οὐ τὸ ἀδικεῖσθαι μεῖζον; — Ἥκιστά γε. — Σὺ ἄρα βούλοι' ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν; — Βουλοίμην μὲν ἂν ἔγωγε οὐδέτερα· εἰ δὲ ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν.

---

1 ἀποκτείνοντα SM ἀποκταίνοντα A: ex Plat. tacite corr. Gesn.[1] | γε] δὲ Platonis plurimi | τὸν δὲ Plat., inde tacite Gesn.[1]: τόν γε SMA ‖ 3 ἀποκτειννὺς A ‖ 5 δή SMA: δῆτα Plat., e Plat. Gesn.[1]; fort. δῆτ' ‖ 8 μὲν om. A | ἂν ἔγωγε om. Simplicius ‖ 9 οὐδέτερον Simplicius | ἀναγκαῖο ν εἴη SMA, Plat.: ἀνάγκη Simplicius

CAPVT V.

ΠΕΡΙ ΑΡΧΗΣ ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΟΠΟΙΟΝ ΧΡΗ ΕΙΝΑΙ ΤΟΝ ΑΡΧΟΝΤΑ.

1 *Εὐριπίδου ἐκ Συλέως* (fr. 692 N.²).

Τοῖς μὲν δικαίοις ἔνδικος, τοῖς δ' αὖ κακοῖς
πάντων μέγιστος πολέμιος κατὰ χθόνα.

2 *Εὐριπίδου Ἡρακλειδῶν* (179).

Τίς ἂν δίκην κρίνοιεν ἢ δοίη λόγον,
πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς;

3 (7 Mein.) *Μενάνδρου* (fr. 636 K.).

Ὁ προκαταγιγνώσκων δὲ πρὶν ἀκοῦσαι σαφῶς
αὐτὸς πονηρός ἐστι πιστεύσας κακῶς.

4 (8 Mein.) *Χαιρήμονος* (fr. 31 N.²).

Σοφῶν γὰρ ἀνδρῶν τὰς ἁμαρτίας καλῶς
κρίνειν, τὸ δ' εἰκῇ καὶ μετὰ σπουδῆς κακόν.

5 (9 Mein.) *Εὐριπίδου ἐξ Αὔγης* (fr. 270 N.²).

Οὐ τῶν κακούργων οἶκτος, ἀλλὰ τῆς δίκης.

6 (10 Mein.) *Τοῦ αὐτοῦ Σκίρωνι* (678 N.²).

Ἔστι τοι καλὸν
[*τοὺς*] *κακοὺς κολάζειν.*

7 (11 Mein.) *Μενάνδρου* (fr. 579 K.).

Ἡ νῦν ὑπό τινων χρηστότης καλουμένη

---

1. 2 *Περὶ ἀρχῆς καὶ περὶ τοῦ ὁποῖον χρὴ εἶναι τὸν ἄρχοντα* Photius et sic etiam nostri libri, nisi quod *ἀρχῆς καὶ περὶ* om. Mac., *περὶ* om. S M A Tr., *περὶ τοῦ* om. Br. numerum *μ'* adscr. S, *μδ'* Tr. *νζ'* M A Mac. ‖ 3 ecl. cum lemm. hab. S M A, nil nisi *εὐριπίδου* pro lemm. A ‖ 6 ecl. cum lemm. hab. S M A, *τοῦ αὐτοῦ* compend. nec plura S ‖ 7 *κρίνειεν* Portus | *γνοίη* Eur. ‖ 8 *ἐκμάθης* compendiose M ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 6 Mein.) M A (post ecl. 2 Mein.) ‖ 10 *προκαταγινώσκων* S ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 15 ecl. cum lemm. hab. S M A, post ecl. 5 Mein. ponitur versus cum lemm. *ἔτ αν* (τ supra) S. *αυγης* compend. M *αὐγῆς* A. sententia non integra ‖ 17 ecl. cum lemm. hab. S M A, sine lemm. Br, om. Tr. *εὐριππί* (δ supra) in lemm. M. cf. *The Amherst Pap.* II 17 p. 9 ubi *κακους κολαζειν* in iambi initio ‖ 18 *τοι*] *τι* Br ‖ 19 *τοὺς* seclusit Grotius ‖ 20 ecl. cum lemm. hab. S M A ‖ 21 *ὑπό τινος* Tr.

μεθῆκε τὸν ὅλον εἰς πονηρίαν βίον·
οὐδεὶς γὰρ ἀδικῶν τυγχάνει τιμωρίας.

8 (12 Mein.) *Πινδάρου* (Nem. IV 51).

Ἐπεὶ
ῥέζοντά τι καὶ παθεῖν ἔοικε.

9 (13 Mein.) *Σοφοκλέους ἐν Ἰνάχῳ* (fr. 260 N.[2]).

Ἐπήνεσ'· ἴσθι δ', ὥσπερ ἡ παροιμία,
ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ.

10 (14 Mein.) *Μοσχίωνος* (fr. 5 p. 813 N.[2]).

Μόνον σὺ θυμοῦ χωρὶς ἔνδεξαι λόγους
οὓς σοὶ κομίζω· τὸν κλύοντα γὰρ λαβὼν
ὁ μῦθος εὔνουν οὐ μάτην λεχθήσεται.

11 (3 Mein.) *Εὐριπίδου* (fr. 1049 N.[2]).

Ἐγὼ γὰρ ὅστις μὴ δίκαιος ὢν ἀνὴρ
βωμὸν προσίζει, τὸν νόμον χαίρειν ἐῶν
πρὸς τὴν δίκην ἄγοιμ' ἂν οὐ τρέσας θεούς·
κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί.

12 (6 Mein.) *Σοφοκλέους Τυροῖ* (fr. 604 N.[2]).

Ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός.

13 (4 Mein.) *Εὐριπίδου Ἱκετίδων* (875 ss.).

Φίλων δὲ χρυσὸν πολλάκις δωρουμένων

---

1 *μετέθηκε* prop. Hirschig | *πονηρίαν* ci. Gesn.[1]: *ἀπορίαν* libri ‖ 3 ecl. cum lemm. hab. S, om. MA. Theophilus ad Autol. II 37 *Πίνδαρος καὶ αὐτὸς ἔφη 'ἐπεὶ ῥέζοντά τι κ. π. ἔοικεν'* eodem nimirum gnomologio usus ac Stobaeus. citat locum etiam schol. Soph. El. 1026 *τοῦτο δὲ Πινδαρικόν 'ἐπεὶ — ἔοικεν'* | *ἐπεὶ ῥέζοντα* libri. Pind.: *ἐπηρεάζοντα* S ut Sophoclis cod. L ‖ 6 ecl. cum lemm. hab. S, om. MA ‖ 9 ecl. cum lemm. hab. S, om. MA ‖ 11 *οὓς συ* S *οὕς σοι* Tr. ‖ 13 ecl. cum lemm. hab. S (post ecl. 2 Mein.) MA (post ecl. 11 Mein.). *τοῦ αὐτοῦ* quod compendiose adscriptum est in S, dubites utrum ad hanc eclogam an ad 2 pertineat. post *Εὐριπίδου* interciderit *Οἰδίποδος*. nam testantur *χρησμοὶ τῶν Ἑλληνικῶν θεῶν* ed. Buresch *Klaros* p. 124 *ὅτι Εὐριπίδης ἐν Οἰδίποδι τῷ δράματι αὐτοῦ φησι· κακὸν ⟨γὰρ⟩ ἄνδρα χρὴ κακῶς πράσσειν ἀεί* ‖ 18 ecl. cum lemm. hab. S (post ecl. 9 Mein.) MA (post ecl. 3 Mein.), *τυρώ* S *τυρῶ* M *τυροῖ* A ‖ 19 *ἄκων* (*ἄ* rubro) M ‖ 20 ecl. cum lemm. hab. S (post ecl. 3 Mein.) MA (post ecl. 6 Mein.); *τοῦ αὐτοῦ* compend. S

οὐκ εἰσεδέξατ᾽ οἶκον οὐδὲ τοὺς τρόπους
δούλους παρέσχε χρημάτων πεισθεὶς ὕπο.
τοὺς δ᾽ ἐξαμαρτάνοντας, οὐχὶ τὴν τύχην,
ἤχθαιρ᾽· ἐπεί τοι κοὐδὲν αἰτία πέλει
κακῶς ἀκούειν διὰ κυβερνήτην κακόν.

14 (5 Mein.) ***Τοῦ αὐτοῦ*** *Ὀρέστῃ* (696 ss.).

Ὅταν γὰρ ὀργῇ δῆμος εἰς θυμὸν πέσῃ,
ὅμοιον ὥσπερ πῦρ κατασβέσαι λάβρον.
εἰ δ᾽ ἡσύχως τις αὐτὸν ἐντείνοντι μὲν
χαλῶν ἕποιτο καιρὸν εὐλαβούμενος,
ἴσως ἂν ἐκπνεύσειεν· † ὅταν δ᾽ ἀνῇ πνοάς,
τύχοις ἂν αὐτοῦ ῥαδίως ὅσον θέλεις.

15 *Ἀπολλοδώρου* (Com. III p. 291 K.).

Δεῖ τὸν ἀκροατὴν καὶ συνετὸν ὄντως κριτὴν
πρὸ τοῦ λεγομένου τὸν βίον διασκοπεῖν,
ποῖός τις ὁ λέγων καὶ πόθεν καὶ τὴν ἀκμὴν
ἐκ παιδὸς αὐτοῦ πρὸς τί καταθέμενος
αὑτοῖ προδότης κακός τε τῆς ὥρας φύλαξ·
μάλισθ᾽ ὁ τοιοῦτος ἀνατρέπει πᾶσαν πόλιν.

---

1 *οἶκον* ex *οἴκων* S¹ | *οὐδὲ*] *ὥστε* Eur. ‖ 2 *παρασχεῖν* Eur. | *πεισθεὶς* primo omiserat A, inseruit A¹. *ζευχθεὶς* Eur. ‖ 3 *τούς τ᾽* libri Euripidis | *τὴν πόλιν* Eur. ‖ 4 *ἤχθαιρεν* S M | *ἔπι τοι κοὐδὲν* fere S *ἔπι τοῖ κουδὲν* M *ἔπι τοι κοὐδέν* A *ἐπεί τι* (vel *τοι*) *γ᾽ οὐδέν* libri Euripidis | *πόλις* Eur. ‖ 5 *κακῶς κλύουσα* Eur. vide modo quam temere poetae verba adulterarit gnomologus ‖ 6 ecl. cum lemm. hab. S M A; *εὐριππί* (δ supra scr.) pro *τοῦ αὐτοῦ* M ‖ 7 *ὅταν γὰρ ἡβᾷ δῆμος* (*θυμὸς* ci. Nauck) *εἰς ὀργὴν πεσών* Eur. ‖ 8 *ὥστε* Eur. ‖ 9 *αὐτῷ τις* Brunck ‖ 10 *χαλῶν ὑπείκοι* Eur. ‖ 11 *ἐκπνεύσειεν* S A cum Euripidis libris fere omnibus: *ἐκπνεύσει᾽* M | *ὅταν* S M A ut libri Euripidis. recte *ἢν* Nauck ‖ 12 *ὅσ᾽ ἂν θέλῃς* bene Nauck ‖ 13 ecl. cum lemm. hab. S (post ecl. 14 Mein.) M A (post ecl. 5 Mein.) ‖ 14 *ὄντος* A ‖ 15 *πρὸ τῶν λεγομένων* Cobet V. l.² p. 640 ‖ 16 *αὐτοῦ*] *εὐθὺς* ci. Herwerden | *προστι* M | *καταθέμενος* S M A: *πρὸς τί* ⟨*ἦν*⟩ *καταθέμενος* scr. Grotius, *πρὸς τί κατατεθειμένος* Meineke sed merito dubitans ipse, vid. Nauck *Mél. Gréco-R.* VI p. 120, *πρὸς τί καταθέμενος* ⟨*ἔχει*⟩ prop. Kock ‖ 18 *αὑτοῦ* Tr.: *αὐτοῦ* S M A. protasis loco esse verba *αὐτοῦ — φύλαξ* putat Kock

οὐδὲν γὰρ αἰσχρόν ἐστιν αὐτὸν ἀποτυχεῖν.
πράττουσι πάντα· τὴν γὰρ αἰσχύνην πάλαι
πᾶσαν ἀπολωλέκασι καθ' ἑτέρας θύρας.
ὅθεν ἐπιχειρεῖ πάντ' ἀπηρυθριακότως
ἕκαστος αὐτῶν, πρὸς δὲ πάντ' ἐστὶν θρασύς,
ψεύδετ', ἐπιορκεῖ, μαρτυρεῖ, δικορραφεῖ,
κλέπτει, τελωνεῖ, ῥᾳδιουργεῖ· τὸ δὲ πέρας,
οὐ πόλιν ὅλην, φυλὴν δὲ μαλακὸς ἀνατρέπει.
ἐπεὶ κατὰ μέρος τὰς πόλεις, ὦ φίλε, θεῶ,
ὑπὸ † λεσπριδίων εἰσὶν γὰρ ἀνατετραμμέναι.
σκόπει· νεῶν δὲ κατάλογον δόξεις μ' ἐρεῖν.

16 *Πλάτωνος ἐκ τοῦ Γοργίου* (p. 478 D).

Οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας; — Ἦν γάρ. — Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη.

17 *Λυσίου* (fr. 87 p. 376 Th.).

Τὴν αὐτὴν γνώμην ἔχειν δικάζοντας ἄξιον, ἥνπερ νομοθετοῦντας.

18 *Αἰσχίνου* (c. Ctesiph. 16).

Χρὴ τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα καὶ τὸν νόμον·

---

1 ante hunc versum complura intercidisse putat Meineke. certe obscura sunt v. *αὐτὸν ἀποτυχεῖν*, nec sufficit *αὐτοῖς* quod proposuit Gesn.[1] malim *αὐτῶν ἀποτυχόν*, *nil turpe est quod eos praeterierit* ‖ 4 *ἀπηρυθριακότως* (sicut corr. Halm) S M A: *ἀπερυθριακότως* Tr. ‖ 5 *παντ' εστι* M ‖ 6 *ψεύδεται* A ‖ 7 *πέρας αὐτοῦ* A ‖ 8 *ὅλην πόλιν, οὐ φυλὴν* prop. Madvig. mihi suspectus est versus, cf. quae scripsi lect. Stob. p. 8 s. | *δ' ὁ* coni. Meineke | *μαλακοσ* M *μάλακ' ὅσ* S *μάλακ' ὅς* A *μαλακῶς* Tr. ‖ 10 *λεσπριδίων* S A[1] *λεπριδίων* M; *λαισποδιῶν* (*Λαισπ-* male Kock) prop. Salmasius | *εἰσὶ γὰρ* S. *γάρ εἰσιν* mavult Iacobs, *ὡς εἰσιν* Hirschig ‖ 11 *νεων* sine acc. S M *νεῶν* A | *με ἐρεῖν* S M *μ' αἱρεῖν* A ‖ 12 ecl. cum lemm. hab. S M A. cf. Stob. IV 1, 149 p. 96, 16 H. ‖ 13 *μεγάλου* libri supra ‖ 15 *γίγνεται* M: *γίνεται* S A ‖ 16 ecl. cum lemm. hab. S M A ‖ 19 ecl. cum lemm. hab. S M A. adfert locum Alexander *Περὶ σχημ.* (rhet. gr. III) p. 28, 29 Sp., priorem partem usque ad *ὁ ῥήτωρ* sed Aeschinis nomine commemorato Plinius ep. IX 26, 11 ‖ 20 *χρὴ τὸ αὐτὸ* S M A: *χρὴ γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τὸ αὐτὸ* Aesch. *χρὴ γὰρ τὸ αὐτὸ* Alex. *δεῖ γὰρ ταὐτὸ* Plin.

ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφιῇ ο νόμος, ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ διδόναι χρὴ τὴν ψῆφον, μὴ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ.

19 *Ἀντιφῶντος* (De caede Her. 91 p. 91 Blass[2]).

Εἰ δέοι τι ἁμαρτεῖν, τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον ἢ τὸ ἀδίκως ἀπολέσαι· τὸ μὲν γὰρ ἁμάρτημά ἐστι· τὸ δὲ ἀδίκως ἀποκτεῖναι ἀσέβημα.

20 *Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος* (p. 8 D).

Ἐπεὶ ἐκεῖνό γε δήπου, ὦ θαυμάσιε, οὐδεὶς οὔτε θεῶν οὔτε ἀνθρώπων τολμᾷ λέγειν, ὡς οὐ τῷ γε ἀδικοῦντι δοτέον δίκην.

21 *Ἐκ τοῦ Ἰσοκράτους πρὸς Δημόνικον* (10 p. 37 b).

Εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν.

22 *Σόλωνος.*

Ἄρχε πρῶτον μαθὼν ἄρχεσθαι· ἄρχεσθαι γὰρ μαθὼν ἄρχειν ἐπιστήσῃ.

23 *Βίωνος.*

Βίων ἔφη δεῖν τὸν ἀγαθὸν ἄρχοντα παυόμενον τῆς ἀρχῆς μὴ πλουσιώτερον ἀλλ' ἐνδοξότερον γεγονέναι.

---

1 *ἀφίῃ* (vel *-ῇ*) M A ut Aeschinis haud pauci, Alex. *ἀφιῇ* Plin.: *ἀφίησιν* S ut Aeschinis nonnulli | *ὁ* (ante *νόμος*) om. M A ‖ 2 *χρὴ διδόναι* Aesch., Alex. | *μὴ* S M A, Alex.: *οὐ* Aesch. ‖ 4 ecl. cum lemm. hab. S M A ‖ 5 *καὶ μὴν εἰ* Ant., | *δέοι ἁμαρτεῖν ἐπὶ τῷ* codices Antiphontis; *δέοι ἁμαρτεῖν τι, τὸ* ci. Maetzner ‖ 6 *ἢ* (*ἡ* M *τὸ* S M, *τοῦ* (sed sine acc.) A idque recepere Gaisford et Meineke) *ἂν ᾖ τὸ* libri Antiphontis, *ἂν εἴη τοῦ* Dobraeus | *μὴ δικαίως ἀπολέσαι* Ant. | *ἁμάρτημα μόνον ἐστί* Antiphontis cod. Oxoniensis ‖ 6. 7 *τὸ δὲ ἀδίκως ἀποκτ.*] *τὸ δὲ ἕτερον*] *καὶ* Ant. ‖ 8 ecl. cum lemm. hab. M A, om. S ‖ 10 *οὐ τῷ γε ἀδικοῦντι δοτέον δίκην* Plat. *οὔτε γε ἀδικοῦντι δ. δ.* A *οὐ τῷ γε ἀδικοῦντι οὐ δ. δ.* M ‖ 12 ecl cum lemm. hab. S M A, *ἐκ τοῦ* om. S. recurrit gnoma gnomol. Byz 81 (Bar. 79) W. vide etiam quae adnotavit E. Drerup ‖ 13 *μηδενὶ ἀνδρὶ πονηρῷ χρῶ πρὸς τ. δ.* gnomol. Byz. ‖ 16 ecl. cum lemm. hab. S M A. iteratur ecl. corp. Par. 505 Elt. (*Σόλωνος*). cf. quae adnotavi supra Stob. III 1, 172 *β'* p. 114, 12 ‖ 18 *ἐπιστήσει* S ‖ 19 ecl. sine lemm. hab. S, addito lemmate M A. Ps.-Isocr. ad Demon. p. 37 *ἐκ τῶν κοινῶν*

24 *Ἀγάθωνος.*

Ἀγάθων ἔφη τὸν ἄρχοντα τριῶν δεῖ μεμνῆσθαι· πρῶτον μὲν ὅτι ἀνθρώπων ἄρχει, δεύτερον ὅτι νόμους ἄρχει, τρίτον ὅτι οὐκ ἀεὶ ἄρχει.

25 *Ἰσαίου* (ed. Schoem. p. 168 fr. IV).

Ὅσοι τοὺς ἀδικοῦντας κολάζουσιν, οὗτοι τοὺς ἄλλους ἀδικεῖσθαι κωλύουσιν.

26 *Πλουτάρχου ἐκ τοῦ Περὶ Ἴσιδος* (p. 355 A).

Ἐν δὲ Θήβαις εἰκόνες εἰσὶν ἀνακείμεναι δικαστῶν ἄχειρες, ἡ δὲ τοῦ ἀρχιδικαστοῦ καταμύουσα τοῖς ὄμμασιν, ὡς ἄδωρον ἅμα τὴν δικαιοσύνην καὶ ἀνέντευκτον οὖσαν.

27 *Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς ἢ Φιλοτέκνου* (p. 414, 11 Dind.).

Ὅτι μοι δοκεῖ ὁ ἄρχων ἐκεῖνος ἐπαληθεύειν τοὔνομα τῆς ἀρχῆς, ὅστις δυσάλωτος μὲν ὑπὸ χρυσίου, εὐάλωτος δὲ ὑπὸ λόγου, ἐλευθερίας δὲ ἐραστής, μεγαλοφροσύνην δὲ ἐπαινῶν φυλάττεται ἐγγὺς οὖσαν τὴν αὐθάδειαν.

28 *Εὐσεβίου* (fr. 41 Mullach).

Τὸν τοῖς ἄλλοις ἐπιστατέοντα καὶ ἐπιτάσσοντα χρὴ

ἐπιμελειῶν ἀπαλλάττον μὴ πλουσιώτερος ἀλλ' ἐνδοξότερος comparavi proleg. in Telet. p. LXX, ubi Bio quo pacto illud dicere potuerit, si tamen dixit, studui extricare. nunc vide etiam Wendland *Anaximenes von Lamps.* (Berol. a. 1905) p. 100

1 ecl. sine lemm. hab. S, addito lemmate M A. iteratur ecloga corp. Par. 543 Elt. (*Ἀγάθωνος*), sine lemm. gnomol. Paris. 124 Sternb. ‖ 2 *ἔφη*] *εἶπε* gnomol. Paris. ‖ 3 *μὲν* om. gnomol. Paris. sed nec demi *μὲν* nec in proximis membris *δὲ* addi necesse | *κατὰ τοὺς νόμους* gnomol. Paris. ‖ 5 ecl. cum lemm. hab. S M A. recurrit ecloga corp. Par. 2 Elt. ‖ 8 ecl. cum lemm. hab. S M A Br; *Πλουτάρχου* pro lemmate Br ‖ 10 *μύουσα* S ‖ 12 ecl. cum lemm. hab. S M A;
ου τ π
Θεμιστι (*ου* compend.) *ἐκ μετριο* nec plura S. nisi ipsius gnomologi subest error, intercidit ecloga *ἐκ τοῦ Μετριοπαθοῦς ἢ Φιλοτέκνου* una cum lemmate servatae. servata enim pertinet ad orationem quae inscribitur *Ἡ ἐπὶ τῷ λόγῳ διάλεξις* ‖ 16 *τοῦ λόγου* A | *ἐραστής* Them.: *ἐργάτης* libri Stobaei ‖ 18 ecl. cum lemm. hab. S M A ‖ 19 *τοῖσι ἄλλοισι* Meineke | *ἐπιστατεύοντα* libri: corr. Cobet mnemos. IX p. 128

οὐ τῇ ἐξουσίῃ μούνῃ τοῦ ἐπιστατέειν τε καὶ ἐπιτάσσειν, ἀλλὰ ἀξίῃ καὶ γνώμῃ προέχειν τῶν ἐπιτασσομένων.

29 *Τοῦ αὐτοῦ* (fr. 42 Mull.).

Πρὸς τοὺς παρὰ δίκην ζώοντας ἔπειτα ἀξιεῦντας ἄλλων ἡγέεσθαι ἀπειθέες ἄνθρωποι. εὐπειθείην δὲ εὐπετέα ἐπὶ τὰ παραγγελλόμενα ἑωυτῷ καὶ ἄλλῳ παρὰ τῶν ἀρχομένων παρασκευάζει ἅπας ὅ γε παρ' ἑωυτοῦ τὰ δέοντα σπουδῇ ποιέειν ἐπιστάμενος καὶ παράδειγμα τῶν περ χρὴ πρήσσειν τοῖς ὑποτεταγμένοις ἑωυτὸν παρεχόμενος.

30 *Τοῦ αὐτοῦ* (fr. 43 Mull.).

Ἄρχοντος ἀγαθοῦ κέρδος μοῦνον τοῦτο οἰκήιον καὶ μυρίων κερδέων ἄλλων ἀντάξιον, πάντα μιν πρήσσειν, ὥστε καὶ παρὰ τὸν καιρὸν τῆς ἀρχῆς καὶ πανσαμένῳ οἱ πάντα χρηστὰ καὶ δικαιοσύνην παρὰ τῶν ἀρχθέντων μαρτυρέεσθαι.

31 *Τοῦ αὐτοῦ* (fr. 44 Mull.).

Ἀνὴρ ἄρχων, καὶ ἰδιώτης δὲ ἅπας, ἴστω ἀπὸ τῆς φύσιος τῶν πρηγμάτων, ὁκοῖα ἂν αὐτὰ παρέχηται, τοιαύτης καὶ τῆς ἐπ' αὐτοῖσι μνήμης ἤτοι ἀγαθῆς ἢ πονηρῆς

---

1 *ἐξουσίᾳ* A | *μούνῃ* S ex *μόνῃ* ut videtur corr. M¹ *μόνῃ* A | *ἐπιστατέειν* S *ἐπιστατεύειν* M A ‖ 2 *ἀξίῃ* Orelli opusc. sent. II p. 376: *ἀξίᾳ* S M A ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 4 *ζῶντας* S ‖ 5 *εὐπειθίην* ex *-θείην* (sic) corr. S *εὐπειθίην* M *εὐπειθείην* A *εὐπειθήην* Tr. p. 272; *-θηίην* Gaisford ‖ 6 *παραγγελόμενα* S, idem mox *παρὰ τῶν ἀρχομ.*, non solum *παρὰ ἀρχομ.*, ut rettulit Gaisford ‖ 7 *ἑωυτοῦ* S *ἑαυτοῦ* M *ἑωυτῶ* (sic) A ‖ 8 *παραδείγματα* A quem non sequi debebat Meineke ‖ 9 *τοῖσι ὑποτεταγμένοισι* Meineke | *ἑωυτὸν* S A *ἑαυτὸν* M; *ἑωυτῶ* per errorem codici A tribuit Gaisford quo deceptus *ἑωυτῷ* scripsit Meineke, immo v. *παράδειγμα — ἑωυτὸν παρεχόμενος* erant coniungenda ‖ 11 ecl. cum lemm. hab. S M A ‖ 14 *πανσαμένῳ οἷ* (debuit *οἱ*) cod. Paris. 1985 m. alt. ex em. ut testatur Gaisford: *πανσάμενοιοι* (sic) S *πανσάμενοι οἱ* M A¹ *πανσομένῳ* A² *πανσάμενον* Tr. ‖ 17 ecl. cum lemm. hab. S M A ‖ 18 *ἀνὴρ δὲ* A, frustra recipit Meineke ‖ 19 *φύσιος* sed *ιος* in ras. corr. M¹ ut videtur | *πρηγμάτων* S A *πραγμάτων* M Tr. | *ὁκοῖα* S *ὀνκοῖα* M *οὐχ οἷα* A ‖ 20 *τῆς*] *τοῖς* (sic) A | *αὐτοῖσι* tacite Meineke: *αὐτοῖς* S M A | *πονηρᾶς* A

τευξόμενος· καὶ τοῦτο ἐπιφρασθεὶς οὕτω κρινέτω, ἐπ᾽ ὁκοτέρην τῶν ὁδῶν καὶ τὴν ἐπ᾽ ὁκοτέρην τῶν μνημέων ἄγουσαν τρέψηται, καὶ κοίην αὐτέων τῶν μνημέων αὐτῷ ἄμεινον προτιμῆσαι.

32 *Τοῦ αὐτοῦ* (fr. 45 Mull.).

Ἀρχὴν ἔχων μὴ ἀπομνησικάκεε πρὸς τοὺς ἐν διχοστασίῃ σοι πρότερον γεγενημένους· οὐ γὰρ ὅκως ἀμύνηαι ἔχθρην ἐπὶ τὴν ἀρχὴν εἶ ἀραιρημένος, ἀλλ᾽ ὅκως καὶ τῆς παρ᾽ ἄλλων ἐπιβουλῆς ἀσφαλέας καὶ ἀνεπιβουλεύτους φυλάξῃς τοὺς ὑπὸ σοὶ τεταγμένους, καὶ ὅκως τοῦ ὀρθοῦ φύλαξ ἔῃς καὶ θεοῦ μεγάλης, Δικαιοσύνης, ὑπηρέτης τε καὶ ἐξηγητής. ὥστε παρὰ τὰ αὐτῇ δοκέοντα ποιέων καὶ αὐτῆς καταψευδόμενος, ὡς ἐς θεὸν μεγίστην ἁμαρτάνων, καὶ παρ᾽ αὐτῆς καὶ τῶν περὶ αὐτὴν τεταγμένων δαιμόνων ἐφόρων τε καὶ τιμωρῶν εἶναι τῶν ποιευμένων μῆνιν προσδέχεο.

33 *Τοῦ αὐτοῦ* (fr. 46 Mull.).

Μεταξὺ ἐχθρῶν δικάζων τοῦ δικαίου γίνεο ἐξεταστής

---

1 *κρινέτω* L. Dindorf Thes. l. gr. v. *κυρέω*: *κυρεέτω* SMA | *ἐπ᾽ ὁκοτέραν* S *ἐποκοτέρην* M *ἐπ᾽ ὀκοτέρην* A ‖ 2 *ἐπ᾽ ὁκοτέραν* S *ἐπικοτέρην* M *ἐπ᾽ ὀκοτέρην* A ‖ 3 *τρέψηται* SMA *τρέπηται* Tr. p. 272. structura epica | *κοινὴν* SA *κοιὴν* (ni fallor) M: corr. Eldick spec. susp. p. 14, cf. Koen ad Greg. Cor. p. 444 ed. Schaef. | *τῶν μνημέων* abundare sensit Meineke ‖ 4 *προτιμῆσαι* SA[1] sed superscr. *θαι* A[2] *προτιμῆσθαι* M Tr., *προτετιμῆσθαι* scr. Meineke coll. ecl. 33 ‖ 5 ecl. cum lemm. hab. SMA ‖ 7 *πρότερον* bis scr. A | *ὅκως* SA *ὅκουσ* M | *ἀμύνηαι* Halm lect. Stob. p. 35: *ἀμύνεε* SMA[1] *ἀμύνεαι* A[2] ‖ 8 *ἔχθρην* Gesn.[2]: *ἐχρῆν* SMA[1] *ἐχθροὺς* A[2] | *παρηρημένος* SM *παρῃρημένος* (ους) A[1] *εἶ ᾑρημένος* superscr. A[2]: *ἀρῃρημένος* Koen ad Greg. Cor. p. 95 ed. Schaef. *ἀραιρημένος* Gaisford qui recte monuit verbum substantivum desiderari, unde *εἶ ἀρῃρημένος* Halm | *ὅπως* A ‖ 9 *ἐπιβ. ἀσφ. καὶ ἀνεπιβ.* verbositatis Eusebii molestioris insigne exemplum ‖ 10 *φυλαξεις* (η) A[1] | *ὅκως* M *ὅπως* SA (sic) ‖ 11 *εἴης* SMA: corr. Halm ‖ 14 *δαιμόνων* om. Tr. non debuit in suspicionem vocare Meineke, cf. Orelli op. sent. II p. 737 ‖ 15 *εἶναι* SMA *τὴν* A[2]; an *ἰέναι*? | *ποιευμένων* Meineke: *ποιουμένων* SMA ‖ 16 *προσδέκεο* optat Meineke vol. IV p. LXVII ‖ 17 ecl. cum lemm. hab. SMA ‖ 18 *γίνεο* Meineke: *γίνου* S *γίγνου* MA

καὶ πρὸς τοῦτο ῥέπε τῇ κρίσει· δικαιοσύνη γὰρ καὶ δαίμων ὁ τούτων ἔφορος τοῦ ἔχθρῃ χαρίζεσθαι προτετιμῆσθαι δικαιότεροι.

34 *Τοῦ αὐτοῦ* (fr. 47 Mull.).

Ἐν ἀρχῇ ἐὼν ἔπειτα ἔχθρης μεμνημένος τῇ χείρονι μοίρᾳ σεωυτὸν νεμέεις καὶ τῆς ἀπαιτεομένης ἐν τῷ ἄρχοντι σεμνότητος σεωυτὸν ἀποστερήσεαι παρὰ τῶν ξυνεπισταμένων ὅτι ἔχθρῃ ⟨ἐν⟩διδοῖς ἀντὶ τῶν σεμνοτάτων οὐνομάτων [ἀντὶ δικαστοῦ καὶ ἄρχοντος] τὸ εὐδιαβλητότατον οὔνομα ἀντιλαβὼν τῶν δικαζομένων ἐχθρὸς κεκλήσεαι.

35 *Τοῦ αὐτοῦ* (fr. 48 Mull.).

Τοῦ ἐπιτιμᾶν τινι θανάτου ζημίην τὴν ἐξουσίην εἶναι ἡγέομαι οὐκ ἐν τῷ κύριόν τινα εἶναι τούτου τοῦ καταψηφίσασθαι, ἀλλ᾽ ἐν τῷ οἷόν τε εἶναι τὸν ἔχοντα

---

1 *κρίσει* S M A; *κρίσι* Meineke ‖ 2 *τούτων* S M A; *ταύτης* ci. Gesn.[2] p. 309 marg. idque recepit Meineke, recte, nisi fuit fort. *δικαιοσύνη γὰρ ⟨καὶ ἀληθείη⟩ καὶ δαίμων ὁ τούτων ἔφ.* sim. | *προτετιμᾶσθαι* A ‖ 4 ecl. cum lemm. hab. S M A ‖ 5 *ἔπειτα* (non -τε) etiam Stob. III p. 720, 6 ‖ 6 *μοίρα* S A *μοῖρα* sed *οῖ* male exaratum et fort. in corr. M | *σεαυτὸν* M ‖ 7 *ἑωυτὸν* S *ἑαυτὸν* M *σεωυτὸν* A[2] | *ἀποστερήσεις ⟨καὶ⟩ παρὰ* scr. Mullach ‖ 8 *ἐνδιδοῖς* scripsi: *διδοῖς* libri | $\overset{\tau}{\alpha\nu}$ (utrum $\overset{\tau}{\alpha\nu}$ an $\overset{\tau}{\alpha\nu}$ voluerit dubium) S *ἀντὶ* M A[1], *σαυτὸν ἀντὶ* A[2] quo non deuti debuit Meineke scribens *διδοῖς σεωυτόν, ἀντὶ* ‖ 9 *οὐνομάτων — οὔνομα*] *οὔνομα* igitur, non *ὄνομα*, in Herodoto suo reppererit Eusebius, cf. G. Meyer *Gr. gramm.*[3] p. 140 | *ἀντὶ* S M A[1] lineola induxit A[2] cui obsecutus est Meineke. rectius nescio an tamquam glossema deleri voluerit v. *ἀντὶ δικ. καὶ ἀρχ.* Valckenaer. *δικάστεω* scripsit Meineke ‖ 10 *ὄνομα* A ‖ 11 *κεκλήσεαι* Koen ad Greg. Cor. p. 411 ed. Schaef.: *κεκλῆσθαι* S M A ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 13 *τοῦ* S A: *τὸ* M ‖ 14 *τούτον τὸ* S M A[1] *τούτον τοῦ* quod prop. Gesn.[2] p. 309 marg., corrigere voluisse videtur A[2]. *τούτου* [*τοῦ καταψηφίσασθαι*] auctore Valckenaerio scr. Meineke ambigens tamen num *τούτου* potius expungendum sit. *τοῦ τοῦτο καταψ.* ci. Iacobs animadv. in Stob. p. 256. ego malim *τοῦ τοῦτον* (sc. *τὸν θάνατον*) *καταψ.* vel *αὐτοῦ τοῦ καταψ.*

τὴν ἐξουσίην ἑωυτοῦ κρατέειν ἐν οὕτω ἀσφαλεστάτῃ ὀφειλεύσῃ εἶναι κρίσει, ὥστε καὶ ἐς ὁμογενέας, εἴ τι ἁμαρτηθείη, καὶ τὴν οὐκ οἷά τέ ἐστι ἔτι ἀνακαλέσασθαι γινομένης τῆς ἁμαρτάδος.

36 *Τοῦ αὐτοῦ* (fr. 49 Mull.).

Ἃ τοῖς ἄλλοισιν ὡς φαῦλα ἐπιτιμᾷς, ταῦτα πρότερος αὐτὸς ποιέειν φυλάσσεο.

37 *Τοῦ αὐτοῦ* (fr. 50 Mull.).

Ἄνθρωποι ἀνθρώπων ἐπὶ κατηγορίας ἀφικνέονται οἱ μὲν ἐκ συγκειμένων ψευδέων ἐγκλημάτων οἱ δὲ ἀληθέα κατηγορέοντες, οἱ δ' αὖ ἐπαινέουσιν, οἱ μὲν τὰ ἐόντα μαρτυρέοντες οἱ δὲ παρὰ τὸ ἀληθὲς χαριζόμενοι. ἄριστον ὦν ἐν τοῖσι τοιούτοισι καὶ ἰδιώτῃ καὶ ἄρχοντι μήτε αὐτὸν πιστεύειν αὐτόθεν μήτε ἀπιστέειν παντελέως, ἐκ δὲ τῶν πρηγμάτων ἐξεταζομένων ὅκως χρὴ περὶ αὐτῶν διανοέεσθαι καὶ τὸ ἀτρεκὲς αὐτῶν μανθάνειν.

38 *Τοῦ αὐτοῦ* (fr. 51 Mull.).

Ἀρχὴν ἔχων κόσμεε, αὐτὸς δὲ μὴ μεταβάλλεο. οὐ γὰρ

---

1 *ἑαυτοῦ* M | *κρατεῖν* A | *ὀφειλεούσῃ* SMA: *ὀφειλεύσῃ* Gaisford. verbum *ὀφειλέω* altero Eusebii testimonii defendi poterit, certe *ὀφειλευμένης* supra libri Stob. III 28, 16 p. 621, 1 H. sed fort. recte ut supra *ὀφειλομ-* Cobet, sic hic *ὀφειλούσῃ* Mullach. cf. Stob. IV 1 p. 92, 10 adn. *ὀφειλέω* tuebatur Buttmann *Ausf. sprachl.* II p. 54. proxima non expedio, nec sufficiunt quae prop. Meineke *κρατέειν ἐν ἀσφαλεστάτῃ ὀφειλεύσῃ κρίσι ἐς ὁμογενέας καὶ τὴν εἴ τι ἁμαρτηθείη οὐκ οἷά τε* ‖ 2 *κρίσι* Meineke | *ἀναρτηθείη* M ‖ 3 *οὐκοῖα τέ* SM *οὐχ οἷά τε* A | *ἐστιν* SMA | *γινομένης* SM *γιγν-* A *γενομένης* ci. Meineke ‖ 5 ecl. cum lemm. hab. SMA. similes congessit sententias Brunco act. semin. philol. Erlang. III p. 364, cf. inprimis Thales Diogenis Laert. I 36, Ps.-Is. ad Demon. 5 p. 17 ‖ 6 *τοῖσι ἄλλοισι* scr. Meineke ‖ 8 ecl. cum lemm. hab. SMA ‖ 9 *ἀπικν-* Meineke v. IV p. LXVII ‖ 10 *ψευδῶν* SMA: corr. Meineke ‖ 11 *κατηγορέοντες* M *καταγ-* SA | *ἐπαινέουσι* Mullach ‖ 13 *ὦν* Meineke: *οὖν* libri | *τοῖς τοιούτοις* SMA: corr. Meineke | *αὐτὸν* abundare monuit Meineke ‖ 14 *παντελέως* S *παντελῶς* MA ‖ 15 *πρηγμάτων* SA (sic), *πρηχμάτων* M | *ὅκως* S *ὅπως* MA ‖ 16 *αὐτὸ* A (sic) ‖ 17 ecl. cum lemm. hab. SMA ‖ 18 *οὐ γὰρ* — (15) *καταθήσεαι* om. S | *οὐδὲ γαρ* M *οὐ γὰρ* A; *οὕτω γὰρ οὐδὲ* ci. Valckenaer

προσλελάβηκάς τι οὐκ ἐὸν οὐδὲ πανόμενος ἔλασσόν τι τῶν πρὶν ἢ † ει λαβεῖν εἶχες, εἰ πενόμενος τὴν ἀρχὴν καταθήσεαι.

39 *Τοῦ αὐτοῦ* (fr. 52 Mull.).

Ἀρχὴν λαβὼν μὴ ἐπαίρεο, ὡυτὸς δὲ διατέλεε· οὕτω γὰρ καὶ ἀποθέμενος οὐκ ἀπαραιρῆσθαι τοῦ σεμνύνοντός σε νομισθήσεαι.

40 *Τοῦ αὐτοῦ* (fr. 53 Mull.).

Ἀνὴρ ἀγαθὸς ἔθνεός τευ ἢ πόλιος ἀρχὴν εἰληφὼς οὐκ ἕνεκα τῶν δημοσίων χρημάτων καὶ τοῦ δωροδοκέεσθαι καὶ τοῦ παρὰ τῶν πλουσίων χρηματίζεσθαι, ἔοικε τῷ ἀνδρὶ παρακαταθήκην εἰληφότι μεγάλων χρημάτων· ὥσπερ γὰρ καὶ ἐκεῖνος οὐκ ἐπὶ τῷ κατασχεῖν λαμβάνει οὐδὲ κτῆμα ἴδιον ποιήσασθαι τὰ δοθέντα ἀλλ' ὥστε φυλάξαι καὶ ἀποδοῦναι σῷα τῷ παραθεμένῳ, ἐπεὰν ἀπαιτέηται· οὕτω δὲ καὶ αὐτὸν χρὴ οὐκ ἐπὶ κέρδεσιν οἰκείοις ἀλλ' ἐπὶ σωτηρίῃ καὶ φυλακῇ πάντα πρήσσειν τῶν ἀρχομένων, ὥστε αὐτοὺς τὸ ἐς ἑωυτὸν ἧκον ἀσινέας καὶ εὐθηνέοντας ἀποδοῦναι τῷ καταπεπιστευκότι.

---

1 *ἐὸν* Valckenaer: *ὼν* sine spir. M *ὂν* A | *ἐλασσῶν τι* M || 2 *κει* (vel *ηει*) M *ἢ εἰ* A. exspectes *πρὶν ἢ τὴν ἀρχὴν λαβεῖν* | *πενόμενος* Valckenaer: *γενόμενος* M A. omitto quae proposuit Iacobs animadv. in Stob. p. 256 et quae scripsit Mullach || 4 ecl. sine lemm. hab. S, addito lemmate M, om. A || 5 *ὡυτὸς* S *οὕτοσ* M || 6 *ἀφηρῆσθαι* SM; *ἀπαραιρῆσθαι* quod scripsi coniecit Meineke, cf. p. 205, 8 || 8 ecl. sine lemm. hab. S, addito lemm. M A || 10 *οὐκ* (χ supra) S[1] *οὐκ* M *οὐχ* A | *ἕνεκά γε* S *ἕνεκα* M A, abiecit igitur *γε* Meineke. non recte olim Orelli op. sent. II p. 737 *οὐχ ἕνεκα γε* ⟨*τοῦ*⟩ *τῶν δημοσ. χρ.* ⟨*ἀπολαύειν*⟩ || 11 *ἔοικέ τῳ* (debuit *τεῳ*) Halm lect. Stob. p. 35, *ἔοικέ τοι* ci. Meineke || 12 *παρακαταθήκησ* sed *σ* in *ν* corr. M[1] | *χρημάτων* S *πραγμάτων* M *χρὴ πρηγμάτων* (sic) A[1] || 13 *τὸ κατασχεῖν* SM *τῶ κατασχεῖν* A || 14 *ἀλλ' ὥστε* S *ὥστε δὲ* M A || 15 *σῷα τῷ*] *τῶ αὐτῶ* M | *παρακαταθεμένῳ* ci. Meineke | *ἐπεὶ ἐὰν* A || 16 *κέρδεσιν οἰκείοις* SMA; *κέρδεσι οἰκηίοισι* Meineke. sufficit *κέρδεσιν οἰκηίοις*. cf. p. 204, 12 || 18 *ἐς* tacite Meineke: *εἰς* S M A | *ἑαυτὸν* M | *ἀσινέας* Schaefer melet. cr. p. 69: *ἀσινέοντας* SMA. *ἀσινέας ὄντας* (debebat *ἐόντας*) prop. Valckenaer fort. recte

41 *Τοῦ αὐτοῦ* (fr. 54 Mull.).

Ἀνὴρ ἀνυποίστους καὶ ἀγρίας καὶ ἀμέτρους ζητέων τὰς τιμωρίας καὶ ταῖς κατὰ νόμον οὐκ ἀρκεόμενος θυμῷ ἀλόγῳ ξυγχωρέων καὶ γυναικείως ἐμπικραινόμενος, οὐκ αἰσθάνεται ἔξω τῆς δίκης ἐς τὸ ὁμογενὲς ἐξυβρίζων, ἀγνοέει δὲ τὸ μέγιστον, καὶ τόπερ χρὴ εἰδέναι πάντα τὸν μέλλοντα ἀνθρώπου καταδικᾶν, ὅτι καὶ ὁ θάνατος αὐτὸς παρὰ τῶν πρώτως δικαιωσάντων οὐκ ὥς τι κακὸν ἐπετιμήθη, ἀλλ' ὡς ἔσχατον καὶ ἐν φαρμάκου λόγῳ κατὰ τῶν οὐ δυναμένων τῆς κακίης ἐλευθερωθῆναι, ὅκως, ἐπειδὴ οὐκ οἷά τε ἦν ἄλλως, τούτῳ γε ὦν τῷ τρόπῳ ἀπολυθέντες τοῦ ἐνταῦθα δεσμοῦ αὐτῆς πορίσωνται φυγήν.

42 *Πυθαγόρου.*

Ποίει ἃ κρίνεις εἶναι καλά, κἂν ποιῶν μέλλῃς ἀδοξεῖν. φαῦλος γὰρ κριτὴς παντὸς καλοῦ πράγματος ὄχλος. διόπερ ὧν ἂν τῶν ἐπαίνων καταφρονῇς, καὶ τῶν ψόγων καταφρόνει.

---

1 ecl. cum lemm. hab. S M A ‖ 2 *ἀργίουσ* M | *ζητέων* sed *ω* ex *οι* corr. M[1] ‖ 3 *τῇσι* Mullach ‖ 4 *συγχωρέων* A | *γυναικηίως* Meineke: *γυναικείως* S M A | *ἐνπικραινόμενος* M ‖ 5 *εἰς* A | *ἐξυβρίζων*] post h. v. distinctio et spatii aliquantulum M ‖ 6 *ἀγνοέει* Meineke: *ἀγνοεῖ* S M A | *καὶ τόπερ* Meineke: *καί τοι περ* S M A | *ανου̅* (sic) S ‖ 7 *καταδικᾶν* Wesseling ad Herodot. I 97: *καταδικαν* S M A ‖ 8 *δικαιωσάντων* S M *δικαιωθέντων* A, unde *δίκαια θέντων* corr. Meineke, paulo melius *παρὰ τῶν πρώτων ⟨τὰ⟩ δίκαια θέντων* Cobet N. l. p. 616, sed nihil mutandum. *δικαιόω* etiam ab Herodoto adhibetur notione *puniendi* ‖ 9 *ἐπετιμήθη* S *ἐπιτιμήθη* M *ἐπιτιμηθῇ* (sic) A | *ἀλλ' ὡς* etiam A, non ut adnotavit Gaisford, cf. tamen ad 11 ‖ 11 *οὐχ οἷά τε* S A *οὐκ οἷά τε* M | *ἄλλως* S *ἀλλ' ὡσ* M *ἀλλὰ ὡς* A | *γε οὖν* S *γοῦν* M *γοῦν* A; *γῶν* Meineke ‖ 12 *τοῦ* om. S | *ἐνθαῦτα* Mullach | *αὐτῆς* S *αὐτοῖς* M A | *πορίσωνται* S *πορίσονται* M A ‖ 13 ecl. cum lemm. hab. S M A. recurrit sententia in Pythagoreorum gnomis Vindob. a Schenkelio edit. (*Wien. stud.* VIII p. 262ss.) 82 (*ποίει — ὄχλος*) 111 (*φαῦλος — καταφρόνει*) Demophil. sent. Pyth. 35 (*ποίει — ὄχλος*). cf. Sexti sent. 299 et quae ibi adnotavit Elter ‖ 14 *ποία* (pro *ποίει ἃ*) M, Pyth. Vindob. | *ἀδοξήσειν* Pyth. Vindob., Demoph. ‖ 15 *παντὸς* om. Pyth. Vindob., Demoph. ‖ 16 *καταφρονεῖς* (om. *ἂν*) Sext., Pyth. Vindob. | *τὸν ψόγον* Pyth. Vindob.

43 *Δημοκρίτου* (fr. 261 Diels²).

Ἀδικουμένοισι τιμωρεῖν κατὰ δύναμιν χρὴ καὶ μὴ παριέναι· τὸ μὲν γὰρ τοιοῦτον δίκαιον καὶ ἀγαθόν, τὸ δὲ μὴ τοιοῦτον ἄδικον καὶ κακόν.

44 *Δημοκρίτου* (fr. 262 Diels²).

Καὶ οἳ φυγῆς ἄξια ἔρδουσιν ἢ δεσμῶν, ἢ θωιῆς ἄξιοι, καταψηφιστέον, καὶ μὴ ἀπολύειν· ὃς δ' ἂν παρὰ νόμον ἀπολύῃ κέρδει ὁρίζων ἢ ἡδονῇ, ἀδικεῖ, καί οἱ τοῦτο ἐγκάρδιον ἀνάγκη εἶναι.

45 *Τοῦ αὐτοῦ* (fr. 263 Diels²).

Δίκης καὶ ἀρετῆς μεγίστην μετέχει μοῖραν ὁ [τιμὰς] ἀξίας τὰς μεγίστας τάμνων.

46 *Τοῦ αὐτοῦ* (fr. 264 Diels²).

Μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ μηδέ τι μᾶλλον ἐξεργάζεσθαι κακόν, εἰ μέλλει μηδεὶς εἰδήσειν ἢ ⟨εἰ⟩ οἱ πάντες ἄνθρωποι· ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῇ ψυχῇ καθεστάναι, ὥστε μηδὲν ποιεῖν ἀνεπιτήδειον.

---

1 ecl. cum lemm. hab. MA, om. S ‖ 2 *ἀδικουμένοισι* MA: *ἀδικεομ-* Burchard; *ἀδικούμενοι ἀδικουμένοισι* scr. Gesn.² nescio quo errore, unde profectus iterum erravit ed. tert. p. 310 marg. | *τιμωρέειν* Mullach ‖ 3 *τοιοῦτο* M ‖ 5 ecl. cum lemm. hab. S, om. MA ‖ 6 *θωιῆς* Burchard: *θοίνης* S; *εὐθύνης* Boissonade anecd. Gr. IV p. 367 *ποινῆς* Gesn.¹ f. 316ᵛ marg. | *ἄξιοι* secl. Hirschig, Natorp ‖ 7 *καταψηφισματέον* S: corr. Mullach Democr. p. 305 | *νόμον* Iacobs animadv. in Stob. p. 257: *νοῦν* S ‖ 8 *ἀπολύει* S: corr. Orelli opusc. sent. I p. 104 ‖ 10 ecl. cum lemm. hab. SMA ‖ 11 *μεγίστην* sup. lin. S¹ | *τιμὰς* delendum esse vidit Meineke | *τιμὰς ἀξίας τὰς μεγίστας* SMA *τιμᾶς ἀξίας* Tr. ‖ 12 *ταμνῶν* M | post *τάμνων* inseruit *τοῖς ἀξιωτάτοις* probabiliter Diels. *ὁ τιμὰς ἀξίως τὰς μεγίστας ταμιεύων* prop. Th. Gomperz *Beitr.* IV (Vindob. a. 1890) p. 4 ‖ 13 ecl. cum lemm. hab. SMA. cf. Democritus Stobaei III 31, 7 Democrat. 50 ‖ 14 *μηδέττι* ex *μηδέν τι* fecit M¹ | *τοὺς ⟨ἄλλους⟩ ἀνθρώπους* scr. Diels idque verum putaverim, nisi fort. praestat *τοὺς ἄλλους* (pro *τοὺς ανους*) rescribere coll. Stob. III 31, 7. tamen negat necessariam esse notionem *ἄλλους* Gomperz *Beitr.* VIII (Vindob. a. 1905) p. 30 | *ἑαυτοῦ* M ‖ 15 *μέλλοι* SM *μέλλει* A ‖ 16 *εἰ* suppl. Gaisford: om. libri, etiam A. *ἢ εἰ πάντες* Burchard | *ἑαυτὸν* M ‖ 17 *καθιστάναι* Orelli

47 Τοῦ αὐτοῦ (fr. 265 Diels^2).

Τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον ἢ τῶν εὖ πεποιημένων. καὶ γὰρ δίκαιον οὕτως· ὥσπερ ⟨γὰρ τὸν⟩ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδιδόντα κακῶς ἀκούειν καὶ πάσχειν, οὕτω καὶ τὸν ἄρχοντα. οὐ γὰρ ἐπὶ τούτῳ ἡρέθη ὡς κακῶς ποιήσων, ἀλλ᾽ ὡς εὖ.

48 Τοῦ αὐτοῦ (fr. 266 Diels^2).

Οὐδεμία μηχανὴ τῷ νῦν καθεστῶτι ῥυθμῷ μὴ οὐκ ἀδικέειν τοὺς ἄρχοντας, ἢν καὶ πάνυ ἀγαθοὶ ἔωσιν. οὐδενὶ γὰρ ἄλλῳ ἔοικεν ἢ † ἑωυτῷ τὸν αὐτὸν ὑφ᾽ ἑτέροισι γίγνεσθαι· δεῖ δέ κως οὕτω καὶ ταῦτα κοσμηθῆναι, ὅκως ὁ μηδὲν ἀδικέων, ἢν καὶ πάνυ ἐτάζῃ τοὺς ἀδικέοντας, μὴ ὑπ᾽ ἐκείνοις γενήσεται, ἀλλά τις ἢ θεσμὸς ἤ τι ἄλλο ἀμυνεῖ τῷ τὰ δίκαια ποιεῦντι.

49 Θουκυδίδου ἱστορίας πρώτης δημηγορίας Κορινθίων β΄ (69, 1).

Οὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ᾽ ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ ἀληθέστερον αὐτὸ δρᾷ.

---

1 ecl. cum lemm. hab. S M A Br; πυθ̄γρ (cf. ecl. 42) Br || 2 μεμνέαται S μέμνηνται M A Br || 3 post οὕτως fortius distinxit Mullach || 4 γὰρ addidit Diels, τὸν Hirschig | τὰς om. Br || 7 ἄλλωσ M || 8 ecl. cum lemm. hab. S M A || 9 καθεστεῶτι S καθεστῶτη M καθεστῶτι A Tr. || 10 ἀγαθοὶ ἔωσιν (ἐωσιν S) S A ἀγαθοιέωσιν M || 11 ἢ ἑαυτῶ M. ἢ τῷ (τῷ pro ἑωυτῷ ci. Halm) τὸν αἰετὸν ἐπ᾽ ἑρπετοῖσι γίνεσθαι prop. Th. Gomperz *Beitr.* III (Vindob. a. 1876) p. 26 idque iterum commendavit *Beitr.* VIII p. 22s. oblocutus Dilesii de his verbis sententiae | τὸν S τῶν M A τὸ Diels | αὐτὸν S αὐτῶν M A | ὑφ᾽ Iacobs lect. Stob. p. 19: ἐφ᾽ libri | ἑτέροισι αὖ γίγνεσθαι Halm lect. Stob. p. 37 idque recepit Diels. ἑτέροισι γίγνεσθαι libri, etiam A ubi ἑτέροι σϊ γίγνεσθαι, erravit Gaisford || 12 ὅκως S ὅπως M A || 14 ἐκείνοις Diels: ἐκείνους libri | γενήσεται Halm: γενέσθαι (sine acc. S) libri | ἄλλό τι A || 15 ἀμύνει A | ποιεῦντι S ποιοῦντι M A || 16 ecl. cum lemm. hab. S M A || 18 δουλωσάμενος Thuc.: δουλωσόμενος S M A | ὁ γὰρ δυνάμενος — δρᾷ schol. anon. in Aphthon. II 21, 6; respexit schol. Demosth. XXIV 149

50 *Στωϊκῶν.*

Φασὶ μηδὲ συγγνώμην ἔχειν μηδενὶ τὸν νοῦν ἔχοντα. τοῦ γὰρ αὐτοῦ συγγνώμην ἔχειν καὶ νομίζειν τὸν ἡμαρτηκότα μὴ παρ' αὑτὸν ἡμαρτηκέναι, πάντων ἁμαρτανόντων παρὰ τὴν ἰδίαν κακίαν· διὸ καὶ δεόντως λέγεσθαι τὸ μηδὲ συγγνώμην ἔχειν τοῖς ἁμαρτάνουσιν. οὐκ ἐπιεικῆ δέ φασιν εἶναι τὸν ἀγαθὸν ἄνδρα, τὸν γὰρ ἐπιεικῆ παραιτητικὸν εἶναι τῆς κατ' ἀξίαν κολάσεως καὶ τοῦ αὐτοῦ εἶναι ἐπιεικῆ τε εἶναι καὶ ὑπολαμβάνειν τὰς ἐκ τοῦ νόμου τεταγμένας κολάσεις τοῖς ἀδικοῦσι σκληροτέρας εἶναι καὶ τὸ ἡγεῖσθαι παρὰ τὴν ἀξίαν ἀπονέμειν τὰς κολάσεις τὸν νομοθέτην.

51 *Ἐκ τῆς Σωπάτρου ἐπιστολῆς πρὸς Ἡμέριον τὸν ἀδελφὸν τὸ Πῶς δεῖ πράττειν τὴν ἐγκεχειρισμένην αὐτῷ ἡγεμονίαν.*

Τίς οὖν οὕτω κατὰ τὸν Σιμωνίδου λόγον τετράγωνος ὃς κατὰ πᾶσαν τύχην καὶ πραγμάτων μετάστασιν ἀσφαλῶς ἑστήξεται, συναρμόζων μὲν ἑαυτὸν τοῖς τε ἄρχουσι καὶ ἀρχομένοις καὶ πρὸς ἑαυτὸν ἁρμόζων ἅπαντας, πᾶσαν δὲ πάντων διαφορὰν πρὸς ἕνα τὸν τοῦ καλοῦ συνυφαίνων λόγον; τίς δὲ ἀνδρῶν καὶ πραγμάτων πολυειδεῖ δουλεύων φύσει τὸ τῆς ψυχῆς ἀδούλωτον διαφυλάξει

---

1 ecl. cum lemm. hab. SMA. legitur excerptum intra Stoicorum placita Stob. II 7, 11[d] p. 95, 24ss. W. cf. Diog. Laert. VII 123 ‖ 3 *τοῦ* S: *τὸ* MA | *συγγνώμην τε ἔχειν* tacite supra Wachsmuth, sed *τε* om. SMA ‖ 4 *αὑτὸν* Tr.: *αὐτὸν* SM et libri supra, *αὐτὸν* in *αὐτῶν* corr. M[1] *αὐτῶν* A ‖ 5 *τὸ* an *τῷ* voluerit S aegre diiudices ‖ 6 *μηδὲν* libri supra | *ἔχειν* libri hic et supra, *δέχεσθαι* primo S sed induxit S[1] et supra scr. *ἔχειν* ‖ 7 *παραιτικὸν* libri hic et supra: corr. Gesn.[1] ‖ 10 *σκληροτέρας* SA ut libri supra, *σκληρωτέρασ* M *σμικροτέρας* Tr. | *καὶ τῷ* S ‖ 13 ecl. cum lemm. hab. SMA. fortasse scribendum *ἐπιστολῆς ⟨τῆς⟩ πρὸς Ἡμ.* | *ἡμέριον* A: *ἡμετέριον* SM. *Ἱμέριον* proposuit Gaisford ‖ 14 *τ* (o superscr.) M *τὸ* A om. S ‖ 15 *αὐτῶν* M ‖ 16 Simonid. fr. 5 Bergk P. l. III[4] p. 386 ‖ 18 *συναρμώζων* M ‖ 19 *ἀρχομ.* SM *τοῖς ἀρχομ.* A ‖ 20 *δὲ* SM *δὲ καὶ* A ‖ 21 *τίς δὲ ἀνδρῶν* — p. 213, 1 *τὸν λόγον* om. A | *δὲ* M *δαὶ* S ‖ 22 *διαφυλάξει*, sed *ει* ex *η* ut videtur corr. M[1]

φρόνημα; τῷ μέν γε τὸν λόγον διατιθεμένῳ χαλεπὸν οὐδὲν ἐκ τῶν ἄκρων παραγγελμάτων τὸν ὄρθιον τῆς ἀρετῆς ᾄδειν νόμον, τῷ δ' εἰς πράξεις ἀληθινὰς τοὺς λόγους ἐντείνειν μέλλοντι τὸν ἐκ τῶν δοθέντων ἄριστον ἀντὶ τοῦ πρώτου τὴν φύσιν δοκιμάζειν ὁ τῆς ὑποθέσεως προστάττει λόγος.

52 Ἐν ταὐτῷ.

Τιμῆς μὲν ὁπόσης ἐν γράμμασί τε καὶ προσηγορίαις καὶ πάσῃ τῇ φαινομένῃ ταύτῃ τοῦ βίου δραματουργίᾳ οἱ μείζους τῶν ἀρχόντων μεταποιοῦνται, μὴ ὅπως ἐλλείπων τὸ μέτρον, ἀλλ' εἰ δυνατὸν καὶ πρὸς πλεονάζων φαίνου. γελοῖον γὰρ περὶ ὀνομάτων διαφερόμενον τῶν πραγμάτων, ἐφ' οἷς τὰ ὀνόματα κεῖται, μηδεμίαν ἔχειν φροντίδα· καὶ τῆς ψευδωνύμου τιμῆς ἀφιέμενον ὀλίγου μὲν ἄγαν ἑαυτὸν ἀξιοῦντα φαίνεσθαι, τοῖς δ' ἀρχομένοις πολλὴν ἐνίοτε βλάβην προξενεῖν. Τῶν δ' ἔργων ἃ μὲν οὐκ ἔστι προσταττόντων ἀρνήσασθαι, τῷ τρόπῳ καὶ χρόνῳ τῆς πράξεως πειθοῖ τε ἐμμελεῖ τὸ φαινόμενον ἐπαχθὲς παραμυθητέον. ἔνια δ' οὐκ ἔστιν ἀναγκασθῆναι, φησὶν Ἀριστοτέλης, οὐδ' εἰ τὸν λεγόμενον Ταντάλου λίθον ἐπηρτημένον τις ἔχοι, ἀλλ' ὑπομενετέον πάντα ἑτοίμως τὸ δρᾶν κακῶς πρὸ τοῦ παθεῖν κακῶς εὐλαβουμένῳ. ἃ δ' οὐκ ἔχει μὲν ἀπαραίτητον τὴν ἀποπλήρωσιν, λαθεῖν δὲ ἢ ἀγνοῆσαι τοὺς ἐπιτάξαντας συνέβη, διδασκαλίαν ἐμμελῆ † προσαγωνίζεσθαι παρασκευάζων μὴ 'μφανῶς ἐπισκήπτων·

3 πράξεις τὰς ἀληθινὰς A ‖ 7 ecl. cum lemm. hab. S A, eclogam etiam M spatio rubricae non relicto, rubricator igitur etiam vocis Τιμῆς litteram initialem omisit ‖ 10 μή πως A | ἐλλεῖπον m. pr. ni fallor corr. ex ἐλλείπων in A ‖ 11 καὶ πρὸς A καὶ S M ‖ 14 τῆς A om. S M | ἀφιέμενον Meineke: ἐφιέμενον S M A μὴ ἐφιέμενον Hirschig ‖ 16 post προξενεῖν distinctio maior et spatii aliquantulum in M ‖ 17 προστάξεως ci. Elter ‖ 19 Ἀριστοτέλης] in Aristotele haec non repperi ‖ 20 τὸν (sine acc. A) M A τὸ S ‖ 21 ὑπομενετέον Tr.: ὑπομενητέον (sine spir. M) S M ὑπομονητέον A cf. Croenert mem. Herc. p. 269 adn. 2 ‖ 22 ἃ δ' S M ἅ τινα δ' A ‖ 24 προσαγωνίζεσθαι S προσάγων ἔσεσθαι M προσάγων γνώσεσθαι A. non expedio ‖ 25 παρασκεύαζε dubitanter ci. Meineke | μὴ ἐμφανῶς prop. Meineke: μὴ φανῶς S M A; μὴ φανῇς scr. Gesn.[1]

βαρὺ γὰρ ἔλεγχος ἐμφανὴς τοῖς ἐν ἐξουσίᾳ· ἀλλ' ὡς εἰδότας ὑπομιμνήσκων ἢ προβάλλων εἰς κρίσιν ἢ πυνθανόμενος, ἃ γιγνώσκων οὐδὲν ἧττον αὐτὸς τυγχάνεις, καὶ φιλοτίμους μὲν ὄντας τιμῇ καὶ θεραπείᾳ προσάγου, τῶν δὲ ἀρχομένων ἐπιστρεφομένους τῆς προαιρέσεως ὑπομίμνησκε.

53 *Ἐν ταὐτῷ.*

Ἔστω δέ ποτε καὶ παρρησίας ἐλευθερίου καιρός, ἥτις μὴ βλάβην τοῖς ἀρχομένοις παρασκευάζειν μέλλει. τὸ μὲν γὰρ αὐτόν τινα, ἤν τι καὶ δέῃ, παθεῖν αἱρετώτερον τῆς λεγομένης εὐπραξίας πολλάκις· τὸ δ' ἐφ' οἷς ἂν αὐτὸς νεανιεύεσθαι δόξῃ λαθεῖν τοσούτους προδόντα κενοδοξίας ἐσχάτης ὑπεύθυνον ἀποφαίνει.

54

Αἰδοῦ πρὸς τὰς διημαρτημένας τῶν πολλῶν ἀποβλέπειν δόξας, τὸν δ' ἀπὸ τῆς ἀληθείας λόγον πάντων ἐπίπροσθεν ἄγε· καὶ οὔτε φαινομένην εὐπρέπειαν μετὰ βλάβης τῶν ἀρχομένων αἱρεῖσθαι οὔτε δοκοῦσαν ἀδοξίαν ἐπ' ὠφελείᾳ τῶν ὑπηκόων φεύγειν, εἰ μὴ τῆς τυχούσης φαντασίας, ἀλλὰ τῆς ἀρίστης ζωῆς μεταποιεῖσθαι μέλλοιμεν. τὴν μὲν πολιτικὴν τιμὴν ἡ τῆς πολιτείας ἀπονέμει τάξις τοῖς μείζοσι παρὰ τῶν ἐλαττόνων· τὴν δὲ ἄλλην θεραπείαν ἢ τυχεῖν αὐτῆς ⟨ἀξίως⟩ ἀξιώσουσιν ἢ δι' ὠφέ-

---

1 *ὡς* SM *ὥσπερ* A ‖ **2** *ἢ* (ante *πυνθ.*) SM *ἢ καὶ* A ‖ **3** *ἃ* SM *ἅ τινα* A | *καὶ τούτους φιλοτίμους* A ‖ **5** *ἐπιστρεφόμενος* A ‖ *ὑπομίμνησκε* SM *ὑπομιμνήσκει* A unde *ὑπομνήσει* Meineke ‖ **7** ecl. cum lemm. hab. SMA; *ἐν τ̄ αυτ̄* S *ἐν τῷ αὐτῷ* A ‖ **8** *Ἔστι* scr. Meineke ‖ **9** *παρασκευάζειν τοῖς ἀρχομένοις* S ‖ **11** *λεγομένης ἐστιν εὐπραξίας* A ‖ **13** *ἀποφαίνει* SM *ἀποφαίνειν* Tr. *ἀποφαίνοι* A ‖ **14** ecl. sine lemmate hab. SMA. cum priore cohaeret sine distinctione maiore vel rubr. in M. *Ἐν ταὐτῷ* tacite de suo addidit Gaisford ‖ **15** *Δεῖ δ' οὐ* non bene prop. Meineke | *τοὺς διημαρτημένους* A | *τῶν πολλῶν* — 16 *τῆς ἀληθείας* om. MA ‖ **17** *ἐπίπρο*θ A | *ἄγε* reposui ex S: *ἄγει* M *ἄγειν* A | post *εὐπρέπειαν* inseruerim *πρέποι ἂν* ‖ **22** *τῶν* om. Tr. ‖ **23** *ἢ* A *ῆ* S *ἡ* M | *αὐτῆς* MA *αὐτοῖς* S | *ἀξίως* addidi

λειαν τῶν ἀρχομένων ἐν εἴδει φαρμάκου προσάγομεν. ἐπεὶ κολακείας μὲν τὰ φαῦλα ἐπαινεῖν αὐτῆς ἕνεκα μόνης τῆς ἀρεσκείας, πολιτικῆς δὲ φρονήσεως τοῖς ἐν δυνάμει καθομιλεῖν πρὸς ὠφέλειαν ἀνθρώπων. ὁ μὲν γὰρ κόλαξ τὴν πονηρὰν ἀποδέχεται πρᾶξιν οὐδένα ὠφελῆσαι μέλλων, ὁ δ', ἵνα τῆς πονηρᾶς ἀπαγάγῃ προθέσεως, φιλότιμον ὄντα ἐπαινέσει. ὥσθ' ὁ μὲν δι' ὧν ἐπαινεῖ βλάπτει τὸν ἐπαινούμενον καὐτὸς καθ' ἑαυτοῦ πονηρίας ἐσχάτης ἐκφέρει δεῖγμα, ὁ δ' εἰς τὸ πράττειν ἄξια ἐπαίνου τῷ τρόπῳ τῆς θεραπείας ἐπάγεται.

55 *Ἐν τῷ αὐτῷ.*

Καὶ γίγνου μὲν ἄξιος τῆς ἀρχῆς οὐ θέσει πολιτείας, ἀλλ' ἀρετῆς καὶ προαιρέσεως τῇ πρὸς τοὺς ἀρχομένους ὑπεροχῇ· πλέον δ' ἔχειν ἑκάστου τῶν ὑπηκόων ταῖς κοιναῖς ὑπὲρ ἁπάντων ἐπιμελείαις καὶ τῇ μεμεριμνημένῃ τῶν ὅλων ἐπιστασίᾳ γίγνωσκε.

Οὓς δὲ ἠγνόεις πρότερον καὶ σαυτῷ προσήκειν οὐδὲν ὑπελάμβανες, πλὴν ὅσον ὡς ἄνθρωπος τὴν κοινὴν φύσιν ἀνθρώπων αἰδούμενος, τούτους ὡς ἤδη γνωρίμους καὶ φίλους ἅπαντας † θεώμενος εἶναι. Ὁμήρῳ γοῦν οὐκ ἀπέχρησε πατέρα ἁπλῶς τῶν ἀρχομένων τὸν ἄρχοντα προσειπεῖν· καίτοι τί ποτ' ἂν εὑρεθείη τούτου πρᾳότερον ἀνθρώποις ὄνομα; ἀλλὰ καὶ τὸν ἤπιον φέρων ἐπέθηκε τῷ πατρί, ὁμοῦ μὲν γονεῦσιν ὁμοῦ δὲ ἄρχουσιν ἀγαθοῖς ταύτην πρέπειν τὴν προσηγορίαν ἡγούμενος.

---

1 *προσάγωμεν* dubitans prop. Meineke ‖ 2 *μόνης* fortasse delendum esse monet Meineke. non accedo ‖ 3 *τοῖς* S *τοὺς* M A ‖ 5 *ἀποδέξεται* mavult Meineke propter *ἐπαινέσει* ‖ 7 *ἐπαινέσῃ* Tr. ‖ 8 *καὶ αὐτὸς* A ‖ 11 ecl. cum lemm. hab. S M A; *ἐν τ̄ αυτ̄* S *ἐν τῶ αὐτῶ* M *ἐν ταυτῶ* ut videtur A ‖ 12 *γίνου* A | *τῆς ἀρχῆς* S M A; *τοῦ ἄρχειν* Tr. ‖ 16 *γίνωσκε* A ‖ 17 ab his verbis novus articulus incipit in libris, certe in S M, sed lemmate non addito ‖ 20 post *θεώμενος εἶναι* aliquid intercidisse statuit Gesn.[1], fortasse vitium loci in his ipsis verbis latere putat Meineke | *Ὁμήρῳ κτἑ.*] cf. Od. II 46s. *ὅς ποτ' ἐν ὑμῖν τοίσδεσσιν βασίλευε, πατὴρ δ' ὣς ἤπιος ἦεν* ‖ 23 *τὸν ἤπιον* S *τὸ νήπιον* M A[1]

Τὴν μὲν οὖν ὡς ἀρχομένων πρόνοιαν κοινὴν ἀπονέμειν πᾶσι, τοῖς δ' ἐκ πείρας φαινομένοις χρηστοῖς δευτέραν τὴν ἐκ τῶν τρόπων οἰκειότητα προστιθέναι προαιροῦ. καὶ ὑπεροψίαν μὲν καὶ τὰς συνερίθους ταύτῃ κακίας, ἀλαζονείαν καὶ αὐθάδειαν, ὡς μικροπρεπεῖς ψυχῆς διαθέσεις ἀποδιδράσκωμεν· τὸ γὰρ ἑαυτῶν ἐπιλανθάνεσθαι διὰ τὴν ἐφήμερον τῆς ἀρχῆς φαντασίαν πολλὴν διανοίας ἀπελέγχει σμικρότητα. οὐ μὴν τὰς ἐπονειδίστους ταύτας τῆς κακίας ὑπερβολὰς ἀποδιδράσκοντες πρὸς θάτερον τῆς πονηρίας ἄκρον αἰσχρῶς ἂν μεταπίπτοιμεν, εὐτέλειαν καὶ ταπεινότητα ἤθους, φαῦλα ἀντὶ φαύλων τῶν πρόσθεν ἠθῶν ἀνταλλαττόμενοι· ἀλλ' ἥμερον χρὴ καὶ σεμνὸν τοῖς ὑπηκόοις δοκεῖν τε καὶ εἶναι τὸν ἀληθῶς ἄρχοντα.

56 *Ἐν ταὐτῷ.*

Δεῖ δὲ μήτε ὀργῇ προσομιλεῖν τοῖς ἀρχομένοις μήτε ἀνεπίπληκτον τοῖς ἁμαρτάνουσι τὴν προαίρεσιν καταλείπειν. τὸ μὲν γὰρ οὐδὲν τῶν μαινομένων διαφέρειν τὸν ἄρχοντα δείκνυσι, τὸ δ' εὐχέρειαν ἁμαρτημάτων τοῖς ὑπηκόοις ἐντίκτει.

Ἀνεξίκακον δὲ ὁμοῦ καὶ μισοπόνηρον σεαυτὸν ἐπιδείκνυε, τῷ μὲν [γὰρ] ἠρέμα κολάζειν τὴν ἀνεξικακίαν, τῷ δ' ἀπεχθάνεσθαι τοῖς κακοῖς τὴν μισοπονηρίαν ἐλέγχων, ἵνα τὸ μὲν φεύγειν τὰ φαῦλα, τὸ δὲ μὴ λίαν ἀπαραμύθητον εἶναι τοῖς ἐπταικόσι τὴν τύχην ἀποδεικνύῃ.

Ἀφεκτέον δὲ καὶ σκωμμάτων τοῖς ὡς ἀληθῶς ἄρχουσιν, ἢ καθαιρήσει τις τὸ σεμνὸν τῆς ἀρχῆς γελωτοποιεῖν πειρώμενος.

---

1 quasi novum excerptum incipit in S sed lemmate omisso ut in libris reliquis ‖ 5 *τῆς ψυχῆς* A ‖ 7 *διὰ τὴν*] *τὴν* ex *τὸ* S¹ in margine ℞ S¹ ‖ 11 *τῶν πρόσθεν ἠθῶν* delenda videntur Meinekio ‖ 14 ecl. cum lemm. hab. S M A, sine lemmate Br; *ἐν τῷ αὐτῷ* A ‖ 19 post *ἐντίκτει* distinctio maior et spatii aliquantulum in M ‖ 20 *ὁμοῦ* om. Br ‖ 21 *γὰρ* quod male repetitum videtur ex 17 tacite secl. Gesn.¹ | in *κολάζειν* corr. *ο* ex *ρ* S¹ | *ἀνεξικίαν* S ‖ 23 *μέν σε φεύγειν* dubitans prop. Meineke ‖ 24 *τὴν ψυχὴν* ci. Valckenaer, secludi mavult *τὴν τύχην* Meineke. fortasse praestat *ἵνα τοῦ μὲν φεύγειν τὰ φαῦλα, τοῦ δὲ μὴ λίαν — τὴν τέχνην ἀποδεικνύῃ* | *ἀποδεικνύει* Br ‖ 26 *τις*] *τί* M

Καὶ λοιδοριῶν καθαρευτέον· ἰδιωτικῆς γὰρ ἀκροχολίας τοῦτο σύμβολον.

Νουθετήσεις δὲ καὶ παραινέσεων τὸ διττὸν εἶδος, πῆ μὲν σφοδρῶς καθαπτόμενον πῆ δὲ προσηνῶς θεραπεῦον, γνωρίσματα ἐμοὶ δοκεῖν ἐπιεικοῦς ἄρχοντος.

57 *Ἐν ταὐτῷ.*

Συνάρμοζε δὲ τοῖς ἤθεσιν ἑκάστων τὸν πρόσφορον τῆς ἐπιστασίας τρόπον, τοῖς μὲν ἐπιεικέσιν ἐμμελῶς, τοῖς δ' ὑπτίοις συντόνως, αὐστηρῶς δὲ τοῖς θρασέσι, πράως δὲ τοῖς εὐλαβεστέροις προσιών.

58 *Ἐν ταὐτῷ.*

Δεῖ δὲ ἀπείργειν μὲν τῶν ἁμαρτημάτων ἀνάγκῃ πειθὼ συναρμόσαντα, σφαλεῖσι δὲ σύμμετρον τῆς δίκης ἐπάγειν τὴν ἐπανόρθωσιν, ὅσα μὲν μικρὰ καὶ συνήθη τῶν ἁμαρτημάτων ἀγνοεῖν δοκοῦντα (οὔτε γὰρ ἐπὶ πᾶσιν ἁπλῶς καὶ τοῖς τυχοῦσιν ἐπεξιέναι οὔτε γιγνώσκοντα παρορᾶν ὠφέλιμον), τὰ δὲ ἤδη τοῖς ἀρχομένοις ἐπαχθῆ ταῖς ἐκ τῶν νόμων θεραπείαις ἰώμενον.

59 *Ἐν ταὐτῷ.*

Καὶ βούλου μὲν ἁμαρτημάτων τὴν ψυχὴν ὡς δυνατὸν καθαρεύειν· ἐννόει δὲ ὡς σύμφυτον τὸ ἁμαρτάνειν ἀνθρώποις· ὥσθ' ἕως τις ὡς ἀναμαρτήτους κολάζῃ, τὸ μέτρον ὑπερβαίνει τῆς κατὰ φύσιν ἐπανορθώσεως. ἀπόδειξον δὲ σαυτὸν τῆς ἀρχῆς πρέποντα κόσμον, ἀλλὰ μὴ ταῖς ἔξωθεν καὶ ἐφημέροις σκιαγραφίαις καλλωπίζου.

60 *Ἐν ταὐτῷ.*

Χάριτας μὲν τὸ δίκαιον ὑπερβαινούσας οὐδ' ὀνομαστέον ἐμοὶ δοκεῖν χάριτας· τὰς δὲ τῆς δικαιοσύνης φίλας

1 *ἰδιωτικκοῖς* Tr. ‖ 3 *νουθετήσεων* Br ‖ 4 *θεραπεῦον* sed post *ο* una litterula rasa in M ‖ 6 ecl. sine lemm. hab. S Br, addito lemmate M A ‖ 11 ecl. sine lemm. hab. S, addito lemm. M A, *ἐν τῷ αὐτῷ* A ‖ 16 ⟨*οὐδὲν*⟩ *παρορᾶν* ci. Elter ‖ 17 *τῶν ἀρχομένων* Tr. ‖ 19 ecl. sine lemm. hab. S, adiecto lemmate M A; *ἐν τῷ αὐτῷ* A ‖ 22 *κολάζει* A sed *η* supra *ει* scr. m. pr. ‖ 24 *τρέποντα* Tr. ‖ 25 *συγγραφίαις ἢ σκιαγραφίαις* A ‖ 26 ecl. sine lemm. hab. S, addito lemmate M A, *ἐν τῷ αὐτῷ* A ‖ 28 *δοκεῖν* M, supra lin. S[1], *δοκεῖ* A | *τοὺς* an *τὰς* maluerit, idem mox *φίλους* an *φίλας*, non patet in M. *τὰς* S *ταῖς* A

οὐδεὶς ἂν ὃς οὐκ ἀπὸ δρυός ἐστιν ἢ πέτρας ἑκὼν ἀρνησάμενος τύχοι. ἐπεὶ γὰρ πολλάκις ὁ νόμος πικροτέρας τῶν ἁμαρτημάτων ὁρίζει τὰς τιμωρίας, τὸ λεγόμενον ἐπιεικὲς δίκαιον, τὴν αὐστηρὰν τῶν νόμων φωνὴν παραμυθούμενον, ἀμεμφὴς ἐμοὶ δοκεῖ χαρίτων ἀληθινῶν καὶ ἐλευθέρων πρόφασις. τὸ μὲν οὖν περὶ τὰ συναλλάγματα τῆς δίκης ἐπανορθωτικὸν ἐκφεύγει παντελῶς τὸ τῶν χαρίτων γένος, τὸ δ' ἐπὶ τοῖς ἐγκλήμασι κείμενον οὐκ ἀναίνεται τὸ πρᾶον καὶ φιλάνθρωπον τῶν χαρίτων πρόσωπον.

61 *Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ νόμου καὶ δικαιοσύνης.*

Δεῖ δὲ τὸν ἀλαθινὸν ἄρχοντα μὴ μόνον ἐπιστάμονά τε καὶ δυνατὸν ἦμεν περὶ τὸ καλῶς ἄρχεν, ἀλλὰ καὶ φιλάνθρωπον· ἄτοπον γὰρ ἦμεν ποιμένα μισοπρόβατον καὶ τοιοῦτον οἷον καὶ δυσμενῶς ἔχεν τοῖς αὑτῶ θρεμμάτεσσι. δεῖ δ' αὐτὸν καὶ νόμιμον ἦμεν· οὕτω γὰρ ἐσσεῖται τὰν τῶ ἄρχοντος ἐπίστασιν ἔχων. διὰ μὲν γὰρ τᾶς ἐπιστάμας κρίνεν ὀρθῶς δυνασεῖται, διὰ δὲ τᾶς δυνάμιος κολάζεν, διὰ δὲ τᾶς χρηστότατος τὸ εὐεργετέν, διὰ δὲ τῶν νόμων τὸ ποτὶ τὸν λόγον πάντα ταῦτα ποιέν. ἄριστος δέ κ' εἴη ἄρχων ὁ ἀγχοτάτω τῷ νόμῳ· οὗτος δέ

---

1 cf. Hom. Od. XIX 163 ‖ 5 *ἀμερφὴσ* M ‖ 8 *τὸ* M A *καὶ τὸ* S ‖ 10 ecl. cum lemm. habet S M A. *πυθαγορίου* S (sine acc. S) M A ‖ 12 *ἀλαθινον* Tr. *ἀληθινὸν* S M A ‖ 13 *εἶναι* A | v. *περὶ τὸ καλῶς ἄρχεν* seclusit Hirschig | *ἄρχεν* S *ἄρχειν* M A ‖ 14 *φιλανθρώπως* libri: corr. Hirschig | *μισοπρόβατον* S *μιστοπρ-* M *μισθοπρ-* A[1] ‖ 15 *δυσμενῶς* (*δυσσμ-* M) libri: *-μενέως* Meineke | *ἔχειν* libri: corr. Meineke | *αὑτοῦ* SA
σ
αὐτοῦ M: corr. Meineke | *θρεμμάτεσιν* M[1] *-άτεσι* S A ‖ 16 *ἦμεν* M *εἶναι* A | *ἐσσεῖται* S M *ἐσεῖται* A ‖ 17 *ταν* M | *ἐπιστασίαν* prop. Meineke | *γὰρ* om. A | *τὰσ* M | *ἐπιστήμας* S ‖ 18 *κρίνειν* A ‖ 19 *χρηστότατος* (*-τατος* ex *-τητος* S[1]) S A *χραστότατος* M | *τὸ* secludi voluit Hirschig, non recte. nisi novum verbum intercidit, variatur structura, cf. Soph. Tr. 545 | *εὐεργετέν* Orelli: *εὐεργετεῖν* S M A ‖ 20 *ταῦτα* om. Gesn.[2] | *ποιέν* Orelli: *ποιεῖν* S M A ‖ 21 *δέ κ' εἴη* S *δίκ'' εἴη* M *δέ κεν εἴη* A | *ἀγχοτάτω* S A *ἀγχωτάτω* M. *ὁ ἄγχιστα τῶ νόμω ὢν* Iacobs, inde *ὢν* (debuit saltem *ἐών*) recepit Mullach | *τῷ* om. S | *τῶ νόμῳ* (sic A) an *τῶ νόμω* fuerit dubites | *δέ κεν εἴη* A

κ' εἴη ὁ μηθὲν αὑτῶ ἕνεκα ποιέων ἀλλὰ τῶν ὑπ' αὐτόν, ἐπειδήπερ οὐδὲ νόμος αὑτῶ ἕνεκα, ἀλλὰ τῶν ὑπ' αὐτόν.

62 *Ἰαμβλίχου.*

Πᾶν γὰρ τὸ τιμώμενον αὔξεται, ἐλαττοῦται δὲ τὸ ἀτιμαζόμενον· καὶ τοῦτό ἐστι τὸ διαφανέστατον σημεῖον ἀρχῆς εὖ διοικουμένης. προτρέπει τε γὰρ τοὺς ἀρχομένους ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα, ⟨ὡς⟩ καὶ τὴν ἐπιβάλλουσαν ἀξίαν ἑκάστοις διανέμει, καὶ πληροῖ τὰς πόλεις τῶν ἀρίστων ἐπιτηδευμάτων.

63 *Ὑπερίδου* (fr. 204 Bl.[3]).

Ἀρχομένων δεῖ τῶν ἀδικημάτων ἐμφράσσειν τὰς ὁδούς· ὅταν δ' ἅπαξ ῥιζωθῇ κακία καὶ παλαιὰ γένηται, καθάπερ σύντροφος ἀρρωστία, χαλεπὸν αὐτὴν κατασβέσαι.

64 *Πλάτωνος ἐκ τοῦ Δημοδόκου* (p. 383 A—C).

Πῶς γὰρ ἂν τις ἢ δίκην καλῶς δικάσαι ἢ ἀνθρώπους κατὰ τρόπον κρῖναι δύναιτο, μὴ ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσας; τοὺς γὰρ λόγους παραβαλλομένους, ὥσπερ τὴν πορφύραν καὶ τὸ χρυσίον, ἄμεινον κρίνεσθαι. ἢ τίνος ἕνεκεν ἢ χρόνον ἀμφοτέροις δίδοσθαι τοῖς ἀντιδίκοις, ἢ ὀμνύειν τοὺς δικαστὰς ἀκροάσασθαι ὁμοίως ἀμφοτέρων, εἰ μὴ ὑπελάμβανεν ὁ νομοθέτης τὰς δίκας δικαιότερον ἂν καὶ βέλτιον κρίνεσθαι ὑπὸ τῶν δικαστῶν; σὺ δέ μοι

---

1 *μηδὲν* Meineke | *αὑτῶ* an *αὐτῶ* voluerit M aegre dignoscas ‖ *ὑπαντον* sic S ‖ 2 *αὑτῶ* A *αὐτῶ* S M ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 5 *τὸ* A: om. S M ‖ 6 *ἀρχῆς εὖ* S M *τῆς ἀρχῆς εὖ* A; *ἀρχῆς τῆς εὖ* Gaisford et Meineke | *προτρέπει κτὲ.*] cf. Iambl. protr. p. 10, 23 Pist. ‖ 7 *ὡς* addidi; *εἰ* suppl. Elter ‖ 8 *ἑκάστοις ἀξίαν* Voss. idque recepit Meineke ‖ 9 *πολιτευμάτων* inutiliter prop. Meineke ‖ 10 ecl. cum lemm. hab. S M A. Lycurgi potius quam Hyperidis stilum prodi monet Blass coll. Lycurg. § 124. sententias eius consimiles non collegi, tamen saepius me legere memini, interim cf. Seneca ad Marciam de cons. 1, 7 epist. 50, 5 ‖ 11 *δεῖ* ex *δὴ* corr. M[1] | *ἐμφράσσειν* S M *συμφράσσειν* A; *ἐμφράττειν* Blass ‖ 12 *ῥιζωθῇ* sed *ῇ* e corr. M[1] | *ἡ κακία* Sauppe. ceterum mire miscentur imagines (*ἐμφράσσειν — ῥιζωθῇ — κατασβέσαι*), ut pessime interpolatus videatur locus et insanabilis Cobeto mnemos. IX p. 129 ‖ 14 ecl. cum lemm. hab. S M A; in lemm. *δημδ* addita compendii nota S ‖ 18 *τινὸσ* M ‖ 20 *ἀκροάσεσθαι* Bekker

δοκεῖς οὐδὲ τοῦτο τὸ ὑπὸ τῶν πολλῶν λεγόμενον ἀκηκοέναι. Τὸ ποῖον; ἔφη.

Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. *καίτοι οὐκ ἂν οὕτω τοῦτο περιεφέρετο, εἰ μὴ καλῶς ἐλέγετο καὶ ὡς προσήκει. ξυμβουλεύω οὖν σοι, ἔφη, τοῦ λοιποῦ μὴ προπετῶς οὕτω τοὺς ἀνθρώπους μήτε μέμφεσθαι μήτε ἐπαινεῖν.*

65 *Ἀντιφῶντος.*

Οὐ δίκαιον οὔτε ἔργῳ ἁμαρτόντα ῥήματι σωθῆναι οὔτε ἔργῳ ὀρθῶς πράξαντα διὰ ῥῆμα ἀπολέσθαι· τὸ μὲν γὰρ ῥῆμα τῆς γλώσσης ἁμάρτημά ἐστι, τὸ δὲ ἔργον τῆς γνώμης.

66 *Δημοσθένους* (c. Aphob. XXVII p. 835).

Δίκαιόν ἐστιν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παρὰ λόγον δυστυχοῦντας.

67 *Βίαντος.*

Βίας θανάτῳ μέλλων καταδικάζειν ἐδάκρυσεν. εἰπόντος δέ τινος 'τί παθὼν αὐτὸς καταδικάζεις καὶ κλαίεις;' εἶπεν 'ὅτι ἀναγκαῖόν ἐστι τῇ μὲν φύσει τὸ συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.'

---

1 *τὸ* revocavi ex S M A, Ps.-Plat.: om. Tr. ‖ 2 *ὁποῖον* A ‖ 3 versus a multis citatur. testimonia collegit Bergk poet. lyr.[4] II p. 93 ad Pseudo-Phocyl. v. 87, Rzach Hesiodi carm. p. 412 | *πρὶν ἂν ἀμφοῖν* Aristoph. vesp. 724 schol. Arist. vesp. 725 Plut. mor. p. 1034 E *πρὶν ἄμφω* Ps.-Phoc. pars codd., Luciani Calumn. n. temere cred. 8 ‖ 8 ecl. cum lemm. hab. S M A, sine lemmate Br ‖ 9 *ἁμαρτῶντα* M | *σωθῆναι οὕτω* A ‖ 10 *πραξαντα* sine acc. S ‖ 11 *γλώσσης* S *γλώττης* M A Br | *ἐστιν* M ‖ 13 ecl. cum lemm. hab. S M A ‖ 14 *δίκαιοι δ' ἔστ' ἐλεεῖν — τοὺς παραλόγως δυστυχοῦντας* Dem. ‖ 16 ecl. sine lemm. hab. S, addito lemmate M A; *βία* M. recurrit ecloga corp. Par. 459 Elt. (*γνῶμαι Βίαντος*), paululum variata gnomol. Paris. 112 Sternb. Antagorae Rhodio tribuitur gnomol. Vat. 112, ubi vide quae collegit Sternbach ‖ 17 *Ὁ αὐτὸς καταδικάζειν τινὸς θανατικὴν ψῆφον μέλλων ἐδάκρυσεν* gnom. Vat. *Βίας θανατικὴν κρίνων κρίσιν ἐδάκρυσεν* gnomol. Paris. | *θανάτου* corp. Par. ‖ 18 *αὑτὸς* Meineke: *αὐτὸς* libri, gnomol. Vat. | post *αὐτὸς* inseritur *καὶ* A[2] | *τί παθὼν αὐτὸς καταδικάζων κλαίεις* corp. Par. gnomol. Par. dixit de his verbis Dressler in Fleckeis. ann. 1881 p. 392

68 Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας (Plut. v. VII p. 115 Bernard.).

Μάρτυς δ' ἄριστος ὁ μηθὲν μὲν εὖ παθών, ἀπὸ δὲ τῆς εἰς ἄλλους εὐνοίας κρίνων.

69 Ὀβρίμου ⟨ὑπὲρ⟩ Πρωτογόνου κρινομένου φαρμάκων.

Ἀεὶ δὲ ἐν πάσαις μὲν ταῖς δίκαις ἐξετάζειν χρὴ τὰ βεβιωμένα, μάλιστα δ' ἐν τοῖς τοιούτοις τῶν ἀγώνων ἐν οἷς ὁ βίος ἐστι τὸ ἔγκλημα.

70 Ἰαμβλίχου ἐκ τῶν Προτρεπτικῶν εἰς φιλοσοφίαν λόγων (c. 2 p. 9, 10 Pist.).

Καθάπερ τῷ ὑποπύῳ βέλτιον τὸ κάεσθαι τοῦ διαμένειν, οὕτω καὶ τῷ μοχθηρῷ τὸ τεθνάναι τοῦ ζῆν.

71 (73 Mein.) Τοῦ αὐτοῦ.

Ἡ κακὴ κρίσις παντὸς κακοῦ αἰτία.

72 Δημοσθένους (XLV p. 1121. LVII p. 1313).

Μᾶλλον ἄξιον ὀργίλως ἔχειν τοῖς μετ' εὐπορίας πονηροῖς, ἢ τοῖς μετ' ἐνδείας. τοῖς μὲν γὰρ ὁ τῆς ἀνάγκης χρεία φέρει τινὰ συγγνώμην παρὰ τοῖς ἀνθρωπίνως λογιζομένοις· οἱ δ' ἐκ περιουσίας πονηροὶ οὐδεμίαν δικαίαν πρόφασιν ἔχουσι. πολλὰ δ' οὖν κακὰ πράγματα τοῖς

---

1 ecl. sine lemm. hab. S, addito lemmate M A. scribendum ⟨Πλουτάρχου⟩ ἐκ τῆς ἐπιστολῆς τῆς π. φ. sicut libri offerunt infra p. 258, 16. τῆς ante περὶ φ. dedi ex M, om. A. ἐκ τῆς περὶ φιλίας ἐπιστολῆς habet S ecl. 53, 11 Mein. ‖ 3 Κριτὴς δ' ἄρ. Meineke | παθων sine acc. S ‖ 5 ecl. cum lemm. hab. S M A. ὑπὲρ inseruit Meineke v. IV p. LXVIII coll. ecl. 122, 15 Mein. ‖ 9 ecl. cum lemm. hab. S M A; ἰαμβλι (χ superscr.) nec plura S. εἰς M: πρὸς A ‖ 11 τῷ M, Iambl.: τὸ S om. A | ἐμπύῳ Iambl. | καίεσθαι Iambl. ‖ 12 οὕτω om. Iambl. ‖ 13 ecl. cum lemm. ἰαμβλίχου hab. S (post ecl. 72 Mein.), cum lemm. τοῦ αὐτοῦ M A (post ecl. 70 Mein.). recurrit sententia Pyth. Vindob. 37 (*Wien. stud.* VIII p. 269) Pyth. Syr. 35, alii sententiae adhaerens gnomol. Byz. 72 p. 178 Wachsm. ‖ 15 ecl. cum lemm. hab. S (post ecl. 70 Mein.) M A (post ecl. 73 Mein.) ‖ 18 συγγνώμην τινα A | τῶν ἀ. λογιζομένων Tr. ‖ 19 ἐκ περιουσίας, ὥσπερ οὗτος, πονηροὶ οὐδεμίαν πρόφασιν δικαίαν ἔχοιεν εἰπεῖν Dem. ‖ 20 πολλὰ δ' οὖν κακὰ gnomologus temere haec prioribus adnectens: πολλὰ δουλικὰ καὶ ταπεινὰ Dem., ubi mox ἐφ' οἷς ἐλεοῖντ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, δικαιότερον

ἐλευθέρους ἡ πενία βιάζεται ποιεῖν, ἐφ' οἷς ἂν ἐλεοῖντο δικαιότερον ἢ προσαπολλύοιντο.

73 (71 Mein.) *Διονυσίου ὑπὲρ τῶν παίδων.*

Ἀξιοπιστότερός ἐστιν ἀντιδίκων καταψευδομένων ἀληθεύων πατήρ.

74 *Ἰαμβλίχου ἐκ τῆς Ἐπιστολῆς τῆς πρὸς Δυσκόλιον.*

Προηγεῖται δ' ὡς ἀληθῶς ἄρχων μειζόνως αὐτῶν καὶ ἔτι βελτιόνως, ⟨ὃς⟩ τὴν μεγαλοπρεπῆ δόσιν τῶν ἀγαθῶν παρέχει χορηγίαν τε ἄπλετον τοῦ βίου καὶ σωτηρίαν πλείστην καὶ ζωῆς ῥαστώνην ἐντίθησιν. καὶ γὰρ δὴ καὶ τοῦτό ἐστι τέλος ἄρχοντος σπουδαίου τοὺς ἀρχομένους ποιεῖν εὐδαίμονας· καὶ τότε δὴ διαφερόντως εὐσθενεῖ ὁ προεστηκὼς τῶν ὑφ' ἑαυτοῦ διοικουμένων, ὅταν οἱ ἐπιτρέψαντες αὐτῷ ἑαυτοὺς μακαρίως διάγωσιν. οὐ γὰρ δὴ κεχώρισται τὸ κοινὸν συμφέρον τοῦ ἰδίου· πολὺ δὲ μᾶλλον ἐν τῷ ὅλῳ καὶ τὸ καθ' ἕκαστα λυσιτελοῦν περιέχεται καὶ σῴζεται ἐν τῷ παντὶ τὸ κατὰ μέρος ἐπί τε τῶν ζῴων καὶ τῶν πόλεων καὶ τῶν ἄλλων φύσεων.

75 *Ἐν ταὐτῷ.*

Ἄγαμαι δ' ἔγωγε καὶ τὴν μεγαλοφροσύνην καὶ τὴν μεγαλοπρέπειαν ἐν ἅπασι τοῖς τῆς ἀρχῆς ἔργοις, καὶ διαφερόντως ἐν ταῖς τῶν ἀνθρώπων εὐεργεσίαις, ὅταν μήτε ἀκριβολογῶνται μήτε φείδωνταί τινος ἐν ταῖς δόσεσι μήτε ὥσπερ ἐν πλάστιγγι ζυγοῦ ἴσα ἀντὶ ἴσων ἀντικαταλλάττωνται, εὐγενῶς δὲ τὰς χάριτας ὀρέγωσι, μὴ μόνον ἐκ πίθου αὐτὰς προχέοντες, ὡς οἱ ποιηταὶ λέγουσιν, μηδ' ἄλλοις τισὶν ὀργάνοις τοιούτοις εἴσω κατεχομένας,

---

3 ecl. cum lemm. hab. M A (post ecl. 72 Mein.), om. S ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 73 Mein.) M A (post ecl. 71 Mein.); *τ̆ αὐ* (τ supra) nec plura S, *δυσκώλιον* M ‖ 7 *ἄρχειν* Tr. ‖ 8 *βέλτιον ὡς* (*ὥστε* A) libri: corr. et suppl. P. Thomas Herm. XIV 316. *ὅστις* Hirschig ‖ 12 *εὐσθενεῖ* M *εὐσθενεῖ τε* S A ‖ 13 *ἑαυτοὺς* Meineke: *γε αὐτοὺς* S M A ‖ 14 *διάγουσιν* M ‖ 19 ecl. cum lemm. hab. S M A Br; *ἐν ταυτῷ* S M *ἐν τῷ αὐτῷ* A *πυθαγόρου* Br ‖ 22 *ἐν ταῖς τῶν — ἀκριβολογῶνται* om. S ‖ 23 *φείδωνταί τε* A ‖ 24 *ἀντικαταλλάτωνται* S *ἀντικαταλάττ-* M A *ἀντικαταλλάσσ-* Br ‖ 25 *δὲ* Meineke: *τε* libri | *μὴ μὲν ἐκ π.* ci. Meineke ‖ 27 ante *μηδ'* add. *ἀλλὰ* A. sed etiam v. proxima obscura necdum sanata

γυμνὰς δὲ καὶ ἀπαρακαλύπτους καὶ χωρὶς τῶν ἔξωθεν παραπετασμάτων συνεχεῖς ἐχομένας ἀλλήλων προτείνωσι χρηστῶς καὶ εὐμενῶς, οἷα δὴ καὶ χαρίεντα. τῶν χαρίτων γὰρ δὴ τοιοῦτον κόσμον στέφανον ἂν εἰκότως εἴποιμι τῆς ἀρχῆς.

76 *Τοῦ αὐτοῦ ἐκ τῆς Ἐπιστολῆς τῆς πρὸς Ἀγρίππαν.*

Ἐπίφθονος εἶναι δοκεῖ τοῖς πολλοῖς ἡ ὑπεροχὴ τῆς ἀρχῆς, καὶ τὸ ὑπέρογκον μισητὸν αὐτοῖς καθίσταται· ἀλλ᾽ ὅταν χρηστότητι καὶ φιλανθρωπίᾳ κραθῇ τὸ σεμνὸν καὶ αὐστηρὸν τῆς ἐπικρατείας, ἐμμελὲς καὶ πρᾶον καὶ προσηνὲς καὶ εὐπρόσιτον καθίσταται. καὶ τοῦτο μάλιστα τὸ εἶδος ἡγεμονίας φιλεῖται ὑπὸ τῶν ἀρχομένων.

77 *Τοῦ αὐτοῦ.*

Λέγεται μὲν εἶναι πάντων βασιλεὺς ὁ νόμος· ὁ δὲ αὐτὸς δοκεῖ καὶ προστάττειν τἀγαθὰ καὶ τἀναντία ἀπαγορεύειν. τί δὴ οὖν οἰόμεθα τὴν παρισουμένην πρὸς αὐτὸν εὐνομίαν οἵῳ δὴ κάλλει τινὶ προέχειν μεγέθει τε ἡλίκῳ [δικαιοσύνῃ] ὑπερβάλλειν πάντα πράγματα; ὅσα γὰρ δήπου καὶ οἷα γένη καὶ εἴδη τῶν ἀρετῶν ἐστι, κατὰ τοσαῦτα καὶ τοιαῦτα διήκει κάλλη τὰ τῶν νόμων ἐπιτάγματα, καὶ δὴ καθ᾽ ὅλας τὰς διοικήσεις τῶν πόλεων καὶ τοὺς ὅλους τῶν ἀνθρώπων βίους διατείνει τὸ ἀπ᾽ αὐτῶν ὄφελος. ἔστι μὲν οὖν κοινὸν ἀγαθὸν ὁ νόμος, καὶ ἄνευ τούτου οὐδὲν ἂν ποτε γένοιτο τῶν ἀγαθῶν· δεῖ γε μὴν

---

1 *γυμνοὺς* A | *ἀπερικ-* e corr. Br ‖ 2 *προτίνωσιν* M ‖ 3 *χαριέντως. τὸν* e corr. Br, fort. recte ‖ 6 ecl. cum lemm. hab. S M A; *Τοῦ αὐτοῦ ἐξ ἐπιστολῆς* nec plura Tr. ‖ 8 *ἀρετῆς* S ‖ 9 *τὸ σεμνὸν κραθῇ* S ‖ 10 *αὐστηρὸν καὶ τῆς* M A *καὶ* del. A^2 ‖ 11 *ἀπρόσιτον* Tr. ‖ 12 *εὐδαιμονίας* (pro *ἡγεμονίας*) scriptum del. A^1 ‖ 13 ecl. cum lemm. hab. S M A. cf. Praechter *Hierokles* p. 42 adn. 1 ‖ 14 cf. Pind. fr. 169 p. 458 Schr. ‖ 15 *ἐναντία* A^1 *τὰ ἐναντία* A^2 ‖ 16 *πρὸς αὐτὸν* S M *αὐτὸν* A *αὐτῷ* cod. Paris. 1985 teste Gaisford ‖ 17 post *εὐνομίαν* addi vult *καὶ δικαιοσύνην* cum Bakio Meineke vol. IV p. LXVIII | *οἵα* vel *οἷα* M | *προέχειν* tacite Gesn.[1]: *προσέχει* S M *προσέχειν* A^1 sed *ν* expunctum ‖ 18 *δικαιοσύνῃ* eiciendum esse vidit Bake ad Cic. de legg. I 6, 18 | *καὶ* ante *δικαιοσύνη* add. S, om. M A | *πάντα τὰ* A^1 ‖ 20 *κάλλη τὰ* scripsi: *κάλλιστα* libri. *καὶ τὰ* Pflugk ‖ 22 *ἀπὸ τῶν αὐτῶν* A

τὸν προϊστάμενον τῶν νόμων ἄρχοντα εἰλικρινῶς ἀποκεκαθαρμένον εἶναι πρὸς αὐτὴν τὴν ἄκραν τῶν νόμων ὀρθότητα, καὶ μήτε παραγωγαῖς ἢ φενακισμοῖς ἐξαπατᾶσθαι δι' ἄγνοιαν, μήτε βιαζομένοις τισὶ συγχωρεῖν, μήτε ἀδίκῳ προφάσει μηδεμιᾷ δελεάζεσθαι. τὸν γὰρ σωτῆρα καὶ φύλακα τῶν νόμων ἀδιάφθορον εἶναι δεῖ εἰς δύναμιν ἀνθρωπίνην.

78 *Κάτωνος πρεσβυτέρου* (Ps. - Plut. reg. et imp. apophth. p. 198 E).

Κάκιστον ἔλεγεν ἄρχοντα εἶναι τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον.

79 *Ἐπικτήτου* (fr. 58 p. 476 Schenkl).

Ὥσπερ εἰ ναῦν κυβερνᾶν ἐπεχείρεις, πάντως ἂν τὴν κυβερνητικὴν ἐξεμάνθανες τέχνην . . . . . ἐξέσται γάρ σοι ὥσπερ ἐκεῖσε πᾶσαν ⟨ναῦν⟩, οὕτω κἀνθάδε πᾶσαν κυβερνᾶν πόλιν.

80 *Τοῦ αὐτοῦ* (fr. 59 Sch.).

Εἰ πρόκειταί σοι τὴν πόλιν ἀναθήμασι κοσμεῖν, σεαυτῷ πρῶτον ἀνάθες τὸ κάλλιστον ἡμερότητος καὶ δικαιοσύνης καὶ εὐποιίας ἀνάθημα.

---

2 *παρ' αὐτὴν* Tr. ‖ 4 *βιαζομένους* Tr. ‖ 5 *μήτε μιᾷ* S M A: tacite corr. Gesn.[1] ‖ 8 ecl. cum lemm. hab. S M A Br, in lemmate compendiose *διονυσίου* ad ecl. 71 Mein. ut videtur aberrans Br. de sententia cf. Stob. IV 7, 26 Ciceronis paradox. V 1 ‖ 10 *ἔλεγεν ἄρχοντα* (ut coniecerat Nauck) Br: *ἔλεγε τὸν ἄρχοντα* S M A. *κάκιστον δὲ ἔλεγεν ἄρχοντα εἶναι κτἑ.* Ps.-Plut. ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 13 *ἐπιχειρεῖς* A ‖ 14 post *τέχνην* membrum alterum intercidisse vidit Gesn.[1] f. 321r in interpretatione, unde temptavit Meineke *τέχνην, ⟨οὕτω καὶ πόλιν κυβερνᾶν μέλλων τὴν πολιτικὴν ἐκμάνθανε τέχνην·⟩ ἐξέσται γὰρ κτἑ.* ego *τέχνην, ⟨οὕτως εἰ βούλει πόλεως προΐστασθαι τὴν πολιτικὴν ἐκμάνθανε τέχνην·⟩ ἐξέσται κτἑ.* sim. ‖ 14 *ναῦν* inseruit Meineke, *τὴν ναῦν* minus recte Gesn.[1] idque defendit Schweighaeuser coniciens in fine *πᾶσαν κυβιστᾶν ⟨τὴν⟩ πόλιν* | *πᾶσαν κυβερνᾶν* S M *κυβερνᾶν πᾶσαν μέλλων* A ‖ 17 ecl. cum lemm. hab. S M A. cf. Stob. II 31, 53 p. 210, 15 W. gnomol. Byz. 18 et quae adnotavit Wachsmuth ‖ 18 *πρόκειται* (non *πρόσκειται*, ut enotavit Gaisford) etiam A

81 *Τοῦ αὐτοῦ* (fr. 60 Sch.).

Εὖ ποιήσεις σὺ τὰ μέγιστα τὴν πόλιν, εἰ μὴ τοὺς ὀρόφους ὑψώσεις, ἀλλὰ τὰς ψυχὰς αὐξήσεις. ἄμεινον γὰρ ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχὰς ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα.

82 *Τοῦ αὐτοῦ* (fr. 61 Sch.).

Μὴ τοῖς ἐξ Εὐβοίας καὶ Σπάρτης λίθοις τοὺς τοίχους τῆς κατασκευῆς ποίκιλλε, ἀλλὰ γὰρ τῇ ἐκ τῆς Ἑλλάδος παιδείᾳ τὰ στέρνα τῶν πολιτῶν καὶ τῶν πολιτευομένων διακόσμει. ʽγνώμαις γὰρ ἀνδρῶν εὖ οἰκοῦνται πόλεις᾽ ἀλλ᾽ οὐ λίθοις καὶ ξύλοις.

83 *Τοῦ αὐτοῦ* (fr. 62 Sch.).

Ὥσπερ εἰ λέοντας ἐβούλου τρέφειν, οὐκ ἄν σοι τῆς πολυτελείας τῶν ζωγρείων ἔμελεν, ἀλλὰ τῆς πράξεως τῶν ζῴων, οὕτως εἰ πολιτῶν πειρᾷ προΐστασθαι, μὴ τοσοῦτον τῆς πολυτελείας τῶν ἀναστημάτων φρόντιζε, ὁπόσον τῆς ἀνδρείας τῶν ἐνδιατριβόντων ἐπιμελοῦ.

84 *Τοῦ αὐτοῦ* (fr. 63 Sch.).

Καθάπερ ἀγαθὸς πωλοδάμνης οὐ τῶν πώλων τοὺς μὲν ἀγαθοὺς τρέφει, τοὺς δὲ δυσηνίους λιμώττειν ἐᾷ, ἀλλὰ τρέφει μὲν ἐπίσης ἄμφω, κολάζει δὲ μᾶλλον θάτερον ἐξισοῦν θατέρῳ βιαζόμενος μέρει, οὕτω καὶ κηδεμονικὸς ἀνὴρ καὶ πολιτικῆς ἐπιστήμων δυνάμεως τῶν πολιτῶν τοὺς μὲν εὐγνώμονας ποιεῖν ἐπιχειρεῖ, τοὺς δὲ ἔμπαλιν

---

1 ecl. cum lemm. hab. S M A, sine lemm. Br ‖ 2 *σὺ* om. Br ‖ 3 *ὑψώσῃς* S *ὑψώσεις* M A Br ‖ 5 *φολεύειν* M ‖ 6 ecl. cum lemm. hab. S M A, sine lemm. Br ‖ 7 *τοῖς τῆς ἐξ Εὐβ.* operarum sphalma Gesn.[2] p. 316, voluit *τοῖς ἐκ τῆς Εὐβ.* quod accuratius responderet verbis *τῇ ἐκ τῆς Ἑλλ.* ‖ 8 *τῇ κατασκευῇ* (vel -*ῇ*) S M A Br: corr. Meineke | *γὰρ* om. Br | *ἐκ* in ras. Br ‖ 10 Eur. fr. 200 N.[2] (Stob. flor. 54, 5 Mein.). malim *εὖ ⟨μὲν⟩ οἰκ.* ex Eur. | cf. Plut. apophth. Lac. p. 210 E aliaque quae collegit Schenkl Arrian. Epict. diss. append. p. 472 ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 13 *ἄν*] *ἃ* M ‖ 14 *πολιτελ-* A | *ζωγριων* sine acc. S *ζωγριῶν* M A; *ζωγρείων* Meibom | *ἔμελεν* M *ἔμελλεν* S A ‖ 17 *ἀνδρίας* A ‖ 18 ecl. cum lemm. hab. S M A ‖ 22 *βιαζόμενον* compendiose S | *καὶ* ante *κη-* om. A ‖ 24 *⟨εὖ⟩ποιεῖν* scribere solent editores cum Hieronymo Wolf, sed iungenda esse *εὐγνώμονας ποι-*

οὐ καθάπαξ διαφθείρεσθαι, ἀλλὰ τροφῆς μὲν ἀμφοῖν ἥκιστα φθονεῖ, παιδεύει δὲ καὶ σφοδρότερον ἐπισπέρχει τὸν ἀντιβαίνοντα τῷ λόγῳ καὶ τῷ νόμῳ.

85 *Τοῦ αὐτοῦ* (fr. 64 Sch.).

Καθάπερ οὔτε κλαγγῇ χὴν οὔτε βληχῇ καταπλήσσεται πρόβατον, οὕτω μηδὲ πλήθους ἀνοήτου σε δεδιττέσθω φωνή.

86 *Τοῦ αὐτοῦ* (fr. 65 Sch.).

Ὥσπερ πλῆθος ἀκρίτως αἰτοῦν τί σε τῶν ἰδίων οὐ δυσωπεῖ, οὕτω μηδὲ ὄχλον ἀδίκως σε δυσωποῦντα διατραπῇς.

87 *Τοῦ αὐτοῦ* (fr. 66 Sch.).

Ὅπερ ἐπιβάλλει τῇ πόλει, τοῦτο εἴσφερε φθάνων, καὶ οὐδέποτε αἰτηθήσῃ τὰ μὴ ἐπιβάλλοντα.

88 *Τοῦ αὐτοῦ* (fr. 67 Sch.).

Ὥσπερ ὁ ἥλιος οὐ περιμένει λιτὰς καὶ γοητείας, ἵνα ἀνατείλῃ, ἀλλ' εὐθὺς λάμπει καὶ πρὸς ἁπάντων ἀσπάζεται, οὕτω μηδὲ σὺ περίμενε κρότους καὶ ψόφους καὶ ἐπαίνους ἵν' εὖ ποιήσῃς, ἀλλ' ἑκοντὴς εὐεργέτει, καὶ ἴσα τῷ ἡλίῳ φιληθήσῃ.

89 *Πλάτωνος ἐκ τοῦ Λάχητος* (p. 184 E).

Ἐπιστήμῃ γὰρ οἶμαι δεῖ κρίνεσθαι ἀλλ' οὐ πλήθει τὸ μέλλον καλῶς κριθήσεσθαι.

εῖν ἐπιχειρεῖ (i. e. *παιδείᾳ τρέφει*) commonet Elter Epicteti et Mosch. sent. (Bonnae ed. a. 1892) p. 22

1 *διαφθείρεσθαι ⟨ἐᾷ⟩, ἀλλὰ* scr. Meineke ‖ 2 *ἐπισπέρχει* ex *ἐπεισπ-* (sic Tr.) corr. S^1 ‖ 4 ecl. cum lemm. hab. S M A. 'a leonibus (83) ad equos (84), iam ad anseres ovesque descendimus; scite mehercule suadet ut tamquam anser inter anseres, ovis inter oves incedas' Elter l. c. festive has nugas irridens ‖ 6 *οὕτως οὐδὲ* Tr. ‖ 8 ecl. cum lemm. hab. S A, lemmate non iterato M ‖ 9 *ἀκρίτως* S M
δων
ἀκρίτως A^2. ariolatur Meineke flor. v. IV p. LXVIII ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 15 ecl. cum lemm. hab. S M A ‖ 17 *ἁπάντων* S M *ἑταίρων* sed supra scr. *ἁπάντων* m. antiqua A ‖ 19 *ἴσα* S *ἶσα*
ον
M *ἴσως* A^2 ‖ 21 ecl. cum lemm. hab. S M A ‖ 23 *κριθ.*] *κρίνεσθαι* Platonis cod. T

90 *Ἐν ταὐτῷ* (p. 197 E).

Πρέπει μέν που, ὦ μακάριε, τῷ τῶν μεγίστων προστατοῦντι μεγίστης φρονήσεως μετέχειν.

91 *Πλάτωνος ἐκ τοῦ Πρωταγόρου* (Gorg. p. 474 B).

Ἐγὼ γὰρ δὴ οἶμαι καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι.

92 (94 Mein.) *Τοῦ αὐτοῦ Νόμων ιβ'* (p. 944 D).

Τὸν γὰρ κακὸν ἀεὶ δεῖ κολάζειν, ἵν' ᾖ ἀμείνων, οὐ τὸν δυστυχῆ.

93 (92 Mein.) *Τοῦ αὐτοῦ ἐκ τοῦ Πρωταγόρου* (p. 324 A—B).

Οὐδεὶς γὰρ κολάζει τοὺς ἀδικοῦντας πρὸς τούτῳ τὸν νοῦν ἔχων καὶ τούτου ἕνεκα, ὅτι ἠδίκησεν, ὅστις μὴ ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται· ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται, οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγένητον θείη, ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ μήτε αὐτὸς οὗτος μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα.

94 (93 Mein.) *Ἐν ταὐτῷ* (Gorg. p. 486 E—487 A).

Ἐννοῶ γὰρ ὅτι τὸν μέλλοντα βασανιεῖν ἱκανῶς ψυχῆς [τε] πέρι ὀρθῶς τε ζώσης καὶ μὴ τρία ἄρα δεῖ ἔχειν ἃ σὺ πάντ' ἔχεις, ἐπιστήμην τε καὶ δόξαν καὶ παρρησίαν.

---

1 ecl. cum lemm. hab. S M A ‖ 2 *μέν που,* S M A . . . *που* Platonis papyrus Oxy. (II p. 125): *μέντοι* Platonis codd. | *τῷ* om. Plat. | *τὴν μεγίστην* Tr. ‖ 4 ecl. cum lemm. hab. S M A. *πρωταγόρου* S M A. suspiceris igitur intercidisse eclogam ex Protagora petitam una cum lemmate *Γοργίου.* iteratur ecl. Maxim. c. 5 p. 188 Rib. (post ecl. *Platonis*) ‖ 8 ecl. cum lemm. hab. S (post ecl. 93 Mein.) M A (post ecl. 91 Mein.) ‖ 11 ecl. cum lemm. hab. S (post ecl. 91 Mein.) M A (post ecl. 94 Mein.). *ἐν ταυτῷ* nec plura S ut ecloga ex Protagora petita intercidisse videri possit. de sententia cf. Plat. de legg. XI p. 934 A Seneca de ira I 19, 7 ‖ 12 *τούτω* M A, Plat.: *τοῦτο* S ‖ 13 *μὴ*] *μὲν* A ‖ 19 ecl. cum lemm. hab. S M A. vide ne interciderit altera Protagorae ecloga una cum lemmate *Πλάτωνος* (vel *Τοῦ αὐτοῦ*) *ἐκ τοῦ Γοργίου* ‖ 21 *πέρι* Plat.: *τε πέρι* S M A | *ἄρα*] *ἅμα* Deuschle, *ἄττα* Thompson | *ἃ σὺ πάντ'* (*πάντα* pars codd. Platonis) S M, libri Platonis: *ἅ τινα σὺ πάντως* A ‖ 22 *δόξαν* S M A, Platonis libri: *νοιαν* corr. Platonis cod. Ven. 189

95 *Πλάτωνος Πολιτείας γ'* (p. 389 B—D).

Ἀλλὰ μὴν καὶ ἀλήθειάν γε περὶ πολλοῦ ποιητέον. εἰ γὰρ ὀρθῶς ἐλέγομεν ἄρτι, καὶ τῷ ὄντι θεοῖσι μὲν ἄχρηστον ψεῦδος, ἀνθρώποις δὲ χρήσιμον ὡς ἐν φαρμάκου εἴδει, δῆλον ὅτι τό γε τοιοῦτον ἰατροῖς δοτέον, ἰδιώταις δὲ οὐχ ἁπτέον. Δῆλον, ἔφη. Τοῖς ἄρχουσι δὴ τῆς πόλεως, εἴπερ τισὶν ἄλλοις, προσήκει ψεύδεσθαι ἢ πολεμίων ἢ πολιτῶν ἕνεκα ἐπ' ὠφελείᾳ τῆς πόλεως, τοῖς δ' ἄλλοις πᾶσιν οὐχ ἁπτέον τοῦ τοιούτου· ἀλλὰ πρός γε δὴ τοὺς τοιούτους ἄρχοντας ἰδιώτῃ ψεύσασθαι ταὐτὸν καὶ μεῖζον ἁμάρτημα φήσομεν ἢ κάμνοντι πρὸς ἰατρὸν ἢ ἀσκοῦντι πρὸς παιδοτρίβην περὶ τῶν τοῦ αὑτοῦ σώματος παθημάτων μὴ τἀληθῆ λέγειν, ἢ πρὸς κυβερνήτην περὶ τῆς νεώς τε καὶ τῶν ναυτῶν μὴ τὰ ὄντα λέγοντι ὅπως ἢ αὐτὸς ἤ τις τῶν ξυνναυτῶν πράξεως ἔχει. Ἀληθέστατα, ἔφη. Ἂν ἄρ' ἄλλον τινὰ λαμβάνῃ ψευδόμενον ἐν τῇ πόλει

τῶν οἳ † δημιουργοὶ ἔασιν,
μάντιν ἢ ἰητῆρα ⟨κακῶν⟩ ἢ τέκτονα δούρων,

κολάσει ὡς ἐπιτήδευμα εἰσάγοντα πόλεως ὥσπερ νεὼς ἀνατρεπτικόν τε καὶ ὀλέθριον. Ἐάνπερ, ἦ δ' ὅς, ἐπὶ λόγῳ ἔργα τελῆται.

---

1 ecl. cum lemm. hab. SMA, sine lemm. Br.; τ̆ $\overset{τ}{αν}$ pro *πλάτωνος* S. *γ'* dedi ex SM: ξ̄ A ‖ 5 *τοῖς ἰατροῖς* A ‖ 7 *ὕπερ* A, corr. A² ‖ 8 *τοῖς πόλεως* A | *δὲ ἄλλοις* MBr ‖ 9 *τοὺς τοιούτους ἄρχοντας* Br, Platonis nonnulli: *τοὺς ἄρχοντας* SMA ut primo Platonis Par. 1807 ‖ 10 *τῷ ἰδιώτῃ* A ‖ 11 *πρὸς τὸν ἰατρὸν* A ‖ 12 *αὑτοῦ* Plat.: *αὐτοῦ* libri Stobaei ‖ 13 *μὴ τἀληθῆ* Br, Plat.: *μή τ' ἀληθῆ* ut videtur S, certe Tr. *μήτ' ἐσ ἀληθῆ* MA ‖ 14 *νεώς τε* Br, Plat.: *νηός τε* SMA. cf. 19 | *τῶν* Br, Plat., om. SMA | *ναυτῶν μὴ τὰ ὄντα* SBr, Plat.: *ναυτον μη τα οντα* sic M *ναῦ τὸν μὴ ὄντα* A | *λέγοντα* A ‖ 15 *ἤ τι τῆς τῶν* Br | *πράξεως ἔχει*] his verbis finitur ecloga in Br ‖ 16 *ἄρα* M | *λαμβάνῃ*] sc. *ὁ ἄρχων* ‖ 17 *δημιουργοὶ ἔασι* SA *δημιουργηέασιν* M *δημιοεργοὶ ἔασιν* Hom. Od. XVII 383. *δημιουργοὶ* etiam libri Plat., nec non gnomologus, puto, metri neglegens ‖ 18 *μάντην* MA | *ἠιτῆρα* M | *κακῶν* ex Hom. inseruit Gesn.² | *δούρων* S, Plat.: *δού.* (sic) M *δοῦλον* A¹ corr. A² ‖ 19 $\overset{τ}{εισαγον}$ sine sp. et acc. M ‖ 20 *ἐπί γε λόγῳ* Plat.

96 Ἐν ταὐτῷ (p. 408 C—410 A).

Ἀλλὰ περὶ τοῦδε τί λέγεις, ὦ Σώκρατες; ἆρα οὐκ ἀγαθοὺς δεῖ ἐν τῇ πόλει κεκτῆσθαι ἰατρούς; εἶεν δ' ἂν που μάλιστα τοιοῦτοι ὅσοι πλείστους μὲν ὑγιεινούς, πλείστους δὲ νοσώδεις μετεχειρίσαντο, καὶ δικασταὶ αὖ ὡσαύτως οἱ παντοδαπαῖς φύσεσιν ὡμιληκότες. Καὶ μάλα, εἶπον, ἀγαθοὺς λέγω. ἀλλ' οἶσθα οὓς ἡγοῦμαι τοιούτους; Ἐὰν εἴπῃς, ἔφη. ⟨Ἀλλὰ πειράσομαι, ἦν δ' ἐγώ· σὺ μέντοι οὐχ ὅμοιον πρᾶγμα τῷ αὐτῷ λόγῳ ἤρου. Πῶς; ἔφη.⟩ Ἰατροὶ μέν, εἶπον, δεινότατοι ἂν γένοιντο, ⟨εἰ⟩ ἐκ παίδων ἀρξάμενοι πρὸς τὸ μανθάνειν τὴν τέχνην ὡς πλείστοις τε καὶ πονηροτάτοις σώμασιν ὁμιλήσαιεν καὶ αὐτοὶ πάσας νόσους κάμοιεν καὶ εἶεν μὴ πάνυ ὑγιεινοὶ φύσει. οὐ γὰρ οἶμαι σώματι σῶμα θεραπεύουσιν· οὐ γὰρ ἂν αὐτὰ κακὰ εἶναι ἐνεχώρει ποτὲ καὶ γενέσθαι· ἀλλὰ ψυχῇ σῶμα, ἢ οὐκ ἐγχωρεῖ κακὴν γενομένην τε καὶ οὖσαν εὖ τι θεραπεύειν. Ὀρθῶς, ἔφη. Δικαστὴς δέ γε, ὦ φίλε, ψυχῇ ψυχῆς ἄρχει, ἢ οὐκ ἐγχωρεῖ ἐκ νέας ἐν πονηραῖς ψυχαῖς τεθράφθαι τε καὶ ὡμιληκέναι καὶ πάντα ἀδικήματα αὐτὴν ἠδικηκυῖαν ⟨διεξεληλυθέναι⟩, ὥστε ὀξέως ἀφ' ἑαυτῆς τεκμαίρεσθαι τὰ τῶν ἄλλων ἀδικήματα οἷον κατὰ σῶμα νόσους· ἀλλ' ἄπειρον αὐτὴν καὶ ἀκέραιον δεῖ κακῶν ἠθῶν νέαν οὖσαν γεγονέναι, εἰ μέλλει καλὴ κἀγαθὴ οὖσα κρίνειν ὑγιῶς τὰ δίκαια. διὸ δὴ καὶ εὐήθεις νέοι ὄντες οἱ ἐπιεικεῖς φαίνονται καὶ εὐεξαπάτητοι ὑπὸ τῶν ἀδίκων, ἅτε οὐκ ἔχοντες ἐν αὑτοῖς παραδείγματα ὁμοιοπαθῆ τοῖς πονηροῖς. Καὶ μὲν δή, ἔφη, σφόδρα γε αὐτὸ

1 ecl. cum lemm. hab. S M A; ἐν ταυτῷ S ἐν τῷ αὐτῷ M A ‖ 2 Ἀλλὰ περὶ τοῦδε — p. 230, 8 σὺ ἠρώτας om. M A ‖ 7 οὓς e Platone Gesn.[2]: ὡς S ‖ 8 v. ἀλλὰ πειράσομαι — 9 πῶς; ἔφη Gesnero praeeunte inserui e Plat., omissa sunt in S propter homoeoteleuton ‖ 10 εἰ Plat., om. S ‖ 11 τὸ] τῷ Platonis plurimi ‖ 12 ὁμιλήσειαν Plat. ‖ 13 νόσους Tr., Plat.: νοὺς S | εἶναι Tr. ‖ 15 αὐτὰ ἐνεχώρει κακὰ εἶναί ποτε Plat. | εἶναι κακά (voluit ε. κ.) S: εἶναι κακὰ Tr. ‖ 16 et 18 ἥ Platonis Venetus 185: ἢ S ut Platonis Parisinus 1807 ‖ 18 ἐν χωρεῖ ἐκ νέα ἐν Tr. ‖ 20 διεξεληλυθέναι e Platone inseruit Gesn.[1] ‖ 24 κρινεῖν Platonis cod. ‖ 26 ὁμοιοπαθῆ Plat.: ὁμοπαθῆ S

πάσχουσι. Τῷ τοι, ἦν δ' ἐγώ, οὐ νέον ἀλλὰ γέροντα δεῖ τὸν ἀγαθὸν δικαστὴν εἶναι, ὀψιμαθῆ γεγονότα τῆς ἀδικίας οἷόν ἐστιν, οὐκ οἰκείαν ἐν τῇ αὑτοῦ ψυχῇ ἐνοῦσαν ᾐσθημένον, ἀλλ' ἀλλοτρίαν ἐν ἀλλοτρίαις μεμελετηκότα ἐν πολλῷ χρόνῳ διαισθάνεσθαι οἷον πέφυκε κακόν, ἐπιστήμῃ, οὐκ ἐμπειρίᾳ οἰκείᾳ κεχρημένον. Γενναιότατος γοῦν, ἔφη, ἔοικεν εἶναι ὁ τοιοῦτος δικαστής. Καὶ ἀγαθός, ἦν δ' ἐγώ, ὃ σὺ ἠρώτας· ὁ γὰρ ἔχων ψυχὴν ἀγαθὴν ἀγαθός. ὁ δὲ δεινὸς ἐκεῖνος καὶ καχύποπτος, ⟨ὁ⟩ πόλλ' αὐτὸς ἠδικηκὼς καὶ πανοῦργός τε καὶ σοφὸς οἰόμενος εἶναι, ὅταν μὲν ὁμοίοις ὁμιλῇ, δεινὸς φαίνεται ἐξευλαβούμενος, πρὸς τὰ ἐν αὑτῷ παραδείγματα ἀποσκοπῶν· ὅταν δὲ ἀγαθοῖς καὶ πρεσβυτέροις ἤδη πλησιάσῃ, ἀβέλτερος αὖ φαίνεται, ἀπιστῶν παρὰ καιρὸν καὶ ἀγνοῶν ὑγιὲς ἦθος, ἅτε οὐκ ἔχων παράδειγμα τοῦ τοιούτου. πλεονάκις δὲ πονηροῖς ἢ χρηστοῖς ἐντυγχάνων σοφώτερος ἢ ἀμαθέστερος δοκεῖ εἶναι αὑτῷ τε καὶ ἄλλοις. Παντάπασι μὲν οὖν, ἔφη, ἀληθῆ. Οὐ τοίνυν, ἦν δ' ἐγώ, τοιοῦτον χρὴ τὸν δικαστὴν ζητεῖν τὸν ἀγαθόν τε καὶ σοφόν, ἀλλὰ τὸν πρότερον· πονηρία μὲν γὰρ ἀρετήν τε καὶ αὑτὴν οὔποτ' ἂν γνοίη, ἀρετὴ δὲ φύσεως παιδευομένης χρόνῳ ἅμα αὑτῆς τε καὶ πονηρίας ἐπιστήμην λήψεται. σοφὸς οὖν οὗτος, ὡς ἐμοὶ δοκεῖ, ἀλλ' οὐχ ὁ κακός [τι] γίγνεται. Καὶ

1 *τῷ τοι* S *τοιγάρτοι* Platonis nonnulli ‖ 3 *οἰκείαν* Plat.: *οἰκίαν* S | *αὑτοῦ* Plat.: *αὐτοῦ* S ‖ 5 *διαισθάνεσθαι* Plat.: *δεῖ αἰσθάνεσθαι* S ‖ 7 *ἀγαθός γε* Plat. ‖ 8 *ἠρώτας* S, Plat.: *ἐρωτᾷς* Tr. | *ὁ γὰρ ἔχων*] hinc incipiunt M A ‖ 9 *καχύποπτος* S, Plat.: *καχύπωπτος* sed *ω* in *ο* corr. M[1] *ταχύποπτος* A | *ὁ* e Platone indidit Gesn.[1] ‖ 11 *ὁμοίοις* S, Plat.: *οενμοιοισ* ut videtur M *ἐν τοῖς ὁμοίοις* A; in M A librorum archetypo igitur *ἐν ὁμοίοις* | *δινοσ* M ‖ 13 *ἀγαθὸσ* M | *βέλτερος* A[1] ‖ 14 *ἀπιστων παρα* sine acc. M | *καιρὸν* Plat.: *λῆρον* S M A ‖ 15 *παράδειγμα τοῦ* reposui e Plat.: *παραδείγματος* S M A sed supra *τοσ* aliquid rasum M; *παραδείγματα τοῦ* e Platonis Aldina Gesn.[1] | *δὲ* Plat.: *τε* libri Stobaei ‖ 15. 16 *τέπὶ πονηροῖσ* (-*οῖσ* ex -*ᾶσ* corr. M[1]) M ‖ 16 *σοφότερος* A ‖ 17 *αὐτοι* M *αὐτῷ* A | *παντάπασι μὲν οὖν* usque ad fin. om. M A ‖ 20 *αὑτὴν* Plat.: *αὐτὴν* S ‖ 21 *ἅμα* Plat.: *ἀλλὰ* S ‖ 23 *μοι* Platonis plerique | *ὁ κακὸς* Plat.: *ὁ κακός τι* S

ἐμοί, ἔφη, ξυνδοκεῖ. Οὐκοῦν καὶ ἰατρικήν, οἵαν εἴπομεν, μετὰ τῆς τοιαύτης δικαστικῆς κατὰ πόλιν νομοθετήσεις, αἳ τῶν πολιτῶν σοι τοὺς μὲν εὐφυεῖς τὰ σώματα καὶ τὰς ψυχὰς θεραπεύσουσι, τοὺς δὲ μή, ὅσοι μὲν κατὰ τὸ σῶμα τοιοῦτοι, ἀποθνήσκειν ἐάσουσι, τοὺς δὲ κατὰ τὴν ψυχὴν κακοφυεῖς τε καὶ ἀνιάτους καὶ αὐτοὶ ἀποκτενοῦσι; Τὸ γοῦν ἄριστον, ἔφη, αὐτοῖς τε τοῖς πάσχουσι καὶ τῇ πόλει οὕτω πέφανται.

97 (99 Mein.) *Ἐκ τοῦ Πλουτάρχου Πρὸς ἡγεμόνα ἀπαίδευτον* (p. 779F—780A).

Ὁ δὲ ἐκ φιλοσοφίας τῷ ἄρχοντι πάρεδρος καὶ φύλαξ ἐγκατοικισθεὶς λόγος, ὥσπερ εὐεξίας τῆς δυνάμεως τὸ ἐπισφαλὲς ἀφαιρῶν, ἀπολείπει τὸ ὑγιαῖνον. ἀλλὰ νοῦν οὐκ ἔχοντες οἱ πολλοὶ τῶν βασιλέων καὶ ἀρχόντων μιμοῦνται τοὺς ἀτέχνους ἀνδριαντοποιούς, οἳ νομίζουσι μεγάλους φαίνεσθαι τοὺς κολοσσούς, ἂν διαβεβηκότας σφόδρα καὶ διατεταμένους καὶ κεχηνότας πλάσωσι· καὶ γὰρ οὗτοι βαρύτητι φωνῆς καὶ βλέμματος τραχύτητι καὶ δυσκολίᾳ τρόπων καὶ ἀμιξίᾳ διαίτης ὄγκον ἡγεμονίας καὶ σεμνότητα μιμεῖσθαι δοκοῦσι.

98 (100 Mein.) *Ἐν ταὐτῷ* (p. 780B).

Δεῖ δέ, ὥσπερ ὁ κανὼν αὐτός, ἀστραβὴς γενόμενος καὶ ἀδιάστροφος, οὕτως ἀπευθύνει τὰ λοιπὰ τῇ πρὸς αὐτὸν ἐφαρμογῇ καὶ παραθέσει συνεξομοιῶν, παραπλησίως

4 *θεραπεύσουσι(ν)* S, Plat.: *-εύουσι* Tr. | *τὸ* om. Plat. ‖ **5** *τοιοῦτοι* ex *τοιοῦτον* aut hoc ex illo correxit S¹ *τοιοῦτοι* Plat.: *τοιοῦτον* Tr. ‖ **6** *τε* om. Plat. ‖ **9** ecl. cum lemm. hab. S (post ecl. 98 Mein.) M A (post ecl. 96 Mein.) ‖ **12** *ωσπιρ* M ‖ **13** *ἀπολίπει* M | *νοῦν οὐκ* S, Plut.: *νοῦν* M A¹ *οὐκ* add. A² ‖ **15** *ἀνδριαντοποιοὺς* sed supra *α* alt. et post prius *ο* aliquid rasum M | *νομίζουσιν* M | *μεγάλους καὶ ἁδροὺς φαίνεσθαι* Plut. idque etiam gnomologum dedisse suspicor homoeoteleuton intuens ‖ **16** *φανεῖσθαι* ex em. A², commendavit Madvig | *ἂν διαβεβηκότας* ex *ἀναβεβ.* corr. S¹ ‖ **17** *διακεχηνότας* A ‖ **18** *ταχύτητι* A ‖ **19** *ἡγεμονίας* Plut.: *οἰκονομίας* libri Stob. ‖ **21** ecl. cum lemm. hab. S M A, *ἐν ταυτῷ* S M *ἐν τῷ αὐτῷ* ut videtur A ut in proximis ‖ **22** *ο κᾶν* M | *ἀστραβὴς* S, Plut., sine acc. M: *ἀστραβὸς* A ‖ **23** *ἀπευθύνει* Plut., A² marg.: *ἐπευθύνει* S M A ‖ **24** *αὐτὸν* Bernardakis | *συνεξομοιῶν* S M A: *συνεφομοιῶν* libri Plutarchi

τὸν ἄρχοντα πρῶτον ἀρχὴν κτησάμενον ἐν ἑαυτῷ καὶ κατευθύναντα τὴν ψυχὴν καὶ καταστησάμενον τὸ ἦθος οὕτω συναρμόττειν τὸ ὑπήκοον· οὔτε γὰρ πίπτοντος [τρέχειν] ⟨... οὔτε ...⟩ ἢ τάττειν ἀτακτοῦντος ἢ ἄρχειν μὴ ἀρχομένου.

99 (101 Mein.) *Ἐν ταὐτῷ* (p. 780 E).

Ἀλλὰ τῶν τοιούτων καὶ τοσούτων ἃ θεοὶ χαρίζονται δώρων καὶ ἀγαθῶν οὐκ ἔστιν ἀπόλαυσις οὐδὲ χρῆσις ὀρθὴ δίχα νόμου καὶ δίκης καὶ ἄρχοντος. δίκη μὲν οὖν νόμου τέλος ἐστί, νόμος δὲ ἄρχοντος ἔργον, ἄρχων δὲ εἰκὼν θεοῦ τοῦ πάντα κοσμοῦντος.

100 (102 Mein.) *Ἐν ταὐτῷ* (p. 782 B—C. D).

Ἐν μὲν τοῖς ταπεινοῖς καὶ ἀσθενέσι καὶ ἰδιώταις τῷ ἀδυνάτῳ δεδεμένον τὸ ἀνόητον εἰς τὸ ἁμαρτάνειν, ὥσπερ ἐν ὀνείρασι φαύλοις τοῖς πάθεσι τὴν ψυχὴν διαταράττει συνεξαναστῆναι ταῖς ἐπιθυμίαις μὴ δυναμένην· ἡ δὲ ἐξουσία παραλαβοῦσα τὴν κακίαν νεῦρα τοῖς πάθεσι προστίθησι. καὶ τὸ Διονυσίου ἀληθές ἐστιν· ἔφη γὰρ ἀπολαύειν μάλιστα τῆς ἀρχῆς, ὅταν ταχέως ὃ βούλεται

---

1 *πρῶτον αὐτὸν τὴν ἀρχήν* Plut. ‖ 3 *πίπτοντός ἐστιν ὀρθοῦν οὔτε διδάσκειν ἀγνοοῦντος οὔτε κοσμεῖν ἀκοσμοῦντος ἢ τάττειν κτἑ.* Plut. *τρέχειν* ut inficetum supplementum secl. Elter. addidi *οὔτε* et signavi lacunam ‖ 4 *ἢ τάττειν* SM, Plut. *οὔτε τάττειν* A² ‖ 6 ecl. cum lemm. hab. SMA; *ἐν ταυ*$^{\tau}$ S ‖ 7 *τοιούτων παὶ τοσούτων* libri Stob.: *τοσούτων καὶ τηλικούτων* Plut. ‖ 12 ecl. cum lemm. hab. SMA; *ἐν ταυ*$^{\tau}$ S ‖ 13 *μὲν γὰρ τοῖς ἀσθενέσι καὶ ταπεινοῖς καὶ ἰδιώταις* Plut. ‖ 14 *δεδεμένον*] *μιγνύμενον* libri Plutarchi | v. *εἰς τὸ ἁμαρτάνειν* corrupta esse aut manca manifestum. possis *τὸ ἀνόητον ⟨ἀργὸν⟩ εἰς τὸ ἁμαρτάνειν* sim. *εἴργει τὸ ἁμαρτάνειν* ci. Bernardakis, discrepat Plutarchus, ubi editur *τὸ ἀνόητον εἰς τὸ ἀναμάρτητον τελευτᾷ*, quamquam *τελευτᾷ* in codicibus suis omitti adnotat Bernardakis ‖ 15 *ὀνείρασιν* M | *τοῖς πάθεσι* libri Stobaei: *τις ἀνι* et litterarum minimum septem lacuna in libris nonnullis Plutarchi, unde *τοῖς ἀνιάτοις πάθεσι* prop. Bernardakis ‖ 16 *τῆς ἐπιθυμίας* S | *δυναμένην* Plut.: *δυναμένη* SMA ‖ 17 *νεῦρα τοῖς* SMA: *ἀνιάτοις* libri Plut. | *πάθεσιν* M ‖ 18 *τὸ τοῦ Διονυσίου* Plut. ‖ 19 *ἀπολάβειν* A | *ἃ βούλεται* Plut.

ποιῇ. μέγας οὖν ὁ κίνδυνος βουλεύσασθαι ἃ μὴ δεῖ τὸν ἃ βούλεται ποιεῖν δυνάμενον. ὀξὺν ἡ κακία ⟨διὰ⟩ τῆς ἐξουσίας δρόμον ἔχουσα πᾶν πάθος ἐξωθεῖ, ποιοῦσα τὴν ὀργὴν φόνον, τὸν ἔρωτα μοιχείαν, τὴν πλεονεξίαν δήμευσιν, ἐὰν μὴ βάρος ἔχων ὁ λόγος ἐπιθλίβῃ καὶ πιέζῃ τὴν ἐξουσίαν.

101 (97 Mein.) *Ὀβρίμου ὑπὲρ Σεβήρου.*

Πολλὰ γὰρ αὐτὰ μὲν καθ' ἑαυτὰ λεγόμενα ἕτερα ἔδοξε, συγκριθέντα δὲ ταῖς αἰτίαις ἀλλοιότερα ἐνομίσθη.

102 (98 Mein.) *Δημοσθένους Ὀλυνθιακῶν β'* (II p. 25).

Τηνικαῦτα δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας, τοὺς μὲν ἀξίους ἐπαίνου τιμᾶν, τοὺς δὲ ἀδικοῦντας κολάζειν.

103 *Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ* (p. 311 A).

Τὰ μὲν γὰρ σωφρόνων ἀρχόντων ἤθη σφόδρα μὲν εὐλαβῆ καὶ δίκαια καὶ σωτήρια, δριμύτητος δὲ καί τινος ἰταμότητος ὀξείας καὶ πρακτικῆς ἐνδεῖται. Δοκεῖ γοῦν δή.

104 *Πλάτωνος Νόμων ιβ'* (p. 957 C—958 A).

Πρὸς ἅπαντα χρὴ τὸν μέλλοντα δικαστὴν ἴσον ἔσεσθαι κατὰ δίκην βλέπειν τε καὶ κεκτημένον γράμματα αὐτῶν πέρι μανθάνειν· πάντων γὰρ μαθημάτων κυριώτατον μανθάνοντα βελτίω γίγνεσθαι τὰ περὶ τοὺς νόμους κείμενα, εἴπερ ὀρθῶς εἴη τεθέντα, γίγνοιτ' ἄν, ἢ μάτην

---

1 *ὁ* om. M | *βουλεύσασθαι* S M A *βούλεσθαι* Plut. | *ἃ μὴ δεῖ* M A, Plut.: *ἃ δεῖ* S *ἃ δῇ* Tr. ‖ 2 post *δυνάμενον* offert *αὐτίκ' ἔπειτά γε μῦθος ἔην, τετέλεστο δὲ ἔργον* (Hom. Il. XIX 242) Plut. | *ὀξὺν ἡ* Plut.: *ὀξὺ ἡ* S M A *ὀξὺ δὲ ἡ* A² | *διὰ* inserui e Plut. ‖ 4 *φόνον* Plut.: *φθόνον* libri Stob. | *μυχειαν* M | *δήμευσϊν* in *-σειν* corr. A¹ | post *δήμευσιν* haud pauca quae leguntur apud Plut. amputavit gnomol. ‖ 5 *ἂν* Plut. | *ὁ λογισμὸς* Plut. | *ἐπιθλίβῃ καὶ θλίψει πιέξῃ* A ‖ 7 ecl. cum lemm. hab. S (post ecl. 96 Mein.) M A (post ecl. 102 Mein.); *ὀβρίμου* supra lin. M rubr. *σευΐρου* M ‖ 8 *πολλὰ μὲν αὐτὰ* (om. *μὲν* post *αὐτὰ*) A ‖ 9 *ἀλλοιώτερα* A; *ἀναλογώτερα* ci. Elter. an *ὁμοιότερα*? ‖ 10 ecl. cum lemm. hab. S M A ‖ 13 ecl. cum lemm. hab. M A (post ecl. 98 Mein.), om. S ‖ 16 *δοκεῖ γοῦν δὴ καὶ τάδε* Plat. ‖ 17 ecl. cum lemm. hab. S M A; *πλάτ*^{ω} *νόμ ΙΒ* S ‖ 18 *ἅπαντα* S M A: *ἃ πάντα* Plat. ‖ 20 *αὐτὸν* radendo corr. ex *αὐτῶν* ut videtur M | *πάντων μὲν γὰρ* A | *κυριώτατον* (*κυριό-* M) S M A: *κυριωτάτου τὸν* Plat. Par. et Vat. *κυριώτατα τοῦ τὸν* Plat. Vat. m. alt. ‖ 22 *γίγνοιντ'* ex *-οιτ'* corr. S¹

τοὔνομα νῷ προσῆκον κεκτῇτ᾽ ἂν ὁ θεῖος ἡμῖν καὶ θαυμαστὸς νόμος. καὶ δὴ καὶ τῶν ἄλλων λόγων, ὅσοι τε ἐν ποιήμασιν ἔπαινοι καὶ ψόγοι περί τινων λέγονται καὶ ὅσοι καταλογάδην, εἴτ᾽ ἐν γράμμασιν εἴτε καθ᾽ ἡμέραν ἐν ταῖς ἄλλαις πάσαις ξυνουσίαις διὰ φιλονεικίας τε ἀμφισβητοῦνται καὶ διὰ ξυγχωρήσεων ἔστιν ὅτε καὶ μάλα ματαίων, τούτων πάντων ἂν βάσανος εἴη σαφὴς τὰ τοῦ νομοθέτου γράμματα, ἃ δεῖ κεκτημένον ἐν αὐτῷ, καθάπερ ἀλεξιφάρμακα τῶν ἄλλων λόγων, τὸν ἀγαθὸν δικαστὴν αὐτόν τε ὀρθοῦν καὶ αὖ τὴν πόλιν, τοῖς μὲν ἀγαθοῖς μονὰς τῶν δικαίων καὶ ἐπαύξησιν παρασκευάζοντα, τοῖς δὲ κακοῖς ἐξ ἀμαθίας καὶ ἀκολασίας καὶ δειλίας καὶ ξυλλήβδην πάσης ἀδικίας εἰς τὸ δυνατὸν μεταβολήν, ὅσοις ἰάσιμοι δόξαι τῶν κακῶν· οἷσι δὲ ὄντως ἐπικεκλωσμέναι, θάνατον ἴαμα ταῖς οὕτω διατεθείσαις ψυχαῖς διανέμοντες, ὃ δικαίως εἴη πολλάκις ἂν εἰρημένον, ἄξιοι ἐπαίνου γίγνοιντ᾽ ἂν τῇ πάσῃ πόλει τοιοῦτοι δικασταὶ καὶ δικαστῶν ἡγεμόνες.

105 *Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Δίωνα ἐπιστολῆς* (p. 321 B).

Ἐνθυμοῦ δὲ καὶ ὅτι δοκεῖς τισιν ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι· μὴ οὖν λανθανέτω σε

---

1 *νῷ* Plat.: *ῶ* S *ῷ* M *ῷ* A | *κεκτῇτ᾽* Ast: *κέκτητ᾽* vel *κέκτηται* libri Stobaei et Platonis | *ἡμῖν ὁ θεῖος* Tr., primo etiam S sed correxit signis supra positis ‖ 2 *ὅσοι* sed *οι* in ras. corr. M² ‖ 3 *ποιήσει καὶ ποιήμασιν* A ‖ 6 *ξυγχωρήσεων* sed *ν* ex *σ* corr. M¹ | *ἐστὶν οὔτε* M ‖ 8 *ἃ δὴ κεκτ.* A | *αὐτῶ* M | *αὐτόν τε* Plat.: *αὐτόν τε* fere libri Stobaei ‖ 10 *αὖ τὴν* A *αὐτὴν* S M: *τὴν* recte Plat. ‖ 11 *μονὰς* Plat.: *μόνας* S M A ‖ 12 *καὶ δειλίας* om. libri Platonis ‖ 14 *μεταβολὴν* S, Plat.: *μεταβολη* M *μεταβολή* A Tr. | *ιασοιμι* M | *δόξαι* Plat.: *δόξει* S M A | *οἷσι δὲ ὄντως* Plat.: *οἷσι δεόντως* S *οισηα δεοντ* (ο supra) M *οἷς ἦν δεόντος* A ‖ 15 *ἐπικεκλωσμέναι* Plat.: *ἐπικεκλωμέναι* S *ἐπικεκλωμένη* M A *ἐπικεκλώμεναι* Tr. ‖ 16 *ἂν* ante *εἴη* scripsit (ut Tr.), post expunxit S ‖ 17 *ἄξιοι* Plat.: *ἄξιον* S M A | *γίγνοιντ᾽* Plat.: *γίγνοιτ᾽* S M A ‖ 19 ecl. cum lemm. hab. S M A ‖ 21 *θεραπευτικὸς* S, Ps.-Plat.: *θεραπευτικῶσ* M et primo A in *-ὸς* corr. supra lin. A² | *εἶναι* S, Ps.-Plat.: *ειν και* (sine acc.) M *εἶναι καὶ* A

ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις καὶ τὸ πράττειν ἐστίν, ἡ δ' αὐθάδεια ἐρημίᾳ ξύνοικος.

106 *Ξενοφῶντος ἐκ τοῦ Οἰκονομικοῦ* (4, 19).

Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν ἑκόντες ἕπωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν.

107 *Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ* (p. 305 B—C).

Ἴθι δὴ καὶ τὴν τῶν δικαστῶν [τὴν] τῶν ὀρθῶς δικαζόντων θεασώμεθα δύναμιν. — Πάνυ μὲν οὖν. — Ἆρ' οὖν ἐπὶ πλέον τι δύναται τοῦ περὶ τὰ ξυμβόλαια πάνθ' ὅσα κεῖται νόμιμα παρὰ νομοθέτου βασιλέως παραλαβοῦσα, κρίνειν εἰς ἐκεῖνα σκοποῦσα τά τε δίκαια ταχθέντ' εἶναι καὶ ἄδικα, τὴν αὑτῆς ἰδίαν ἀρετὴν παρεχομένη τοῦ μήθ' ὑπό τινων δώρων μήθ' ὑπὸ φόβων μήτ' οἴκτων μήθ' ὑπό τινος ἄλλης ἔχθρας μηδὲ φιλίας ἡττηθεῖσα παρὰ τὴν τοῦ νομοθέτου τάξιν ἐθέλειν ἂν τἀλλήλων ἐγκλήματα διαιρεῖν; — Οὔκ, ἀλλὰ σχεδὸν ὅσον εἴρηκας ταύτης ἐστὶ τῆς δυνάμεως ἔργον.

108 *Ξενοφῶντος ἐν τῷ η' τῆς Κύρου παιδείας* (c.1, 1).

Πολλάκις μὲν δή, ὦ ἄνδρες, καὶ ἄλλοτε κατενόησα ὅτι ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ· οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς

---

1 *δια τοῦ* (*τοῦ* ex *τὸ* S[1]) S M, Ps.-Plat.: *διὰ τὸ* A ‖ **2** *ἐρημίᾳ* Ps.-Plat.: *ἐρημίας* libri Stobaei ‖ **3** ecl. cum lemm. hab. S M A ‖ **4** *τε καὶ μήριον* A corr. A[1] | *ἄρχοντος* ex *ἄρχεται* corr. A[2] ‖ **5** *ἀρετὴν* Tr. | *εἶν καὶ ᾧ* M | *πείθωνται* Xen. ‖ **7** ecl. cum lemm. hab. S M A ‖ **8** *τῶν ὀρθῶς* Plat.: *τὴν τῶν ὀρθῶς* (*ὀρθῶς* ex *ὀρθῶν* S[1]) S M A ‖ **9** *θεασόμεθα* M ‖ **10** *πάνθ' ὁπόσα* Plat. ‖ **11** *παραλαμβοῦσα* Tr. ‖ **13** *αὑτῆς* S, Plat.: *αὐτῆς* ut videtur M A ‖ **14** *μήθ' ὑπὸ φόβων* S, Plat.: *μήθεσ ὑπο* (sine acc.) *φ.* M *μηθὲς ὑπὸ φ.* A ‖ **15** *μήθ' ὑπό τινος* S, Plat.: *μήθεσ* (*μηθὲς* A) *ὑπό τινος* M A | *μηδὲ* A, Plat. *μὴ δὲ* M *μήτε* S ‖ **16** *ἂν τἀλλήλων* S (coronis in ras. S), Plat.: *ἀνταλλήλων* M *ἂν τ' ἀλλήλων* Tr. *ἀντὶ ἀλλήλων* A | **17** *ἄλλα* M ‖ **19** ecl. cum lemm. hab. S M A ‖ **20** *ἀλλὰ πολλάκις* Xen. | *πολλοὺς* *δδ* (pro *πολλάκις*) A | *ὦ ἄνδρες* M A *ω* S *ὧδε* Tr. | *κατενόησα* S, Xen.: *κατενόησαν* M A

τἀγαθὰ ἐπιλείψῃ, Κῦρός τε μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν ἀφ᾽ ὧν ἂν μάλιστα εὐδαιμονοῦντες διατελοίημεν.

109 *Ξενοφῶντος ἐκ τοῦ Ἱέρωνος* (9, 1—8. 10).

Ἐπιμέλειαί γε μέντοι μοι δοκοῦσιν αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι. τὸ μὲν γὰρ διδάσκειν τε ἅ ἐστι βέλτιστα καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν ⟨καὶ⟩ τιμᾶν, αὕτη μὲν ἡ ἐπιμέλεια διὰ χαρίτων γίγνεται, τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα λοιδορεῖν τε καὶ ἀναγκάζειν καὶ ζημιοῦν καὶ κολάζειν, ταῦτα δὲ ἀνάγκη δι᾽ ἀπεχθείας μᾶλλον γίγνεσθαι. ἐγὼ οὖν φημι ἀνδρὶ ἄρχοντι τὸ μὲν ἀνάγκης δεόμενον ἄλλοις προστακτέον εἶναι κολάζειν, τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι δι᾽ ἑαυτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα. καὶ γὰρ ὅταν χοροὺς βουλώμεθα ἡμῖν ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν, ἀθροίζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς καὶ ἄλλοις διδάσκειν καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. οὐκοῦν εὐθὺς ἐν τούτοις τὰ μὲν ἐπιχάριτα διὰ τοῦ ἄρχοντος ἐγένετο, τὰ δὲ ἀντίτυπα δι᾽ ἄλλων. τί οὖν κωλύει καὶ τἄλλα τὰ πολιτικὰ οὕτω περαίνεσθαι; ..... καὶ ἆθλα προτεθείη

---

1 *τὰ ἀγαθὰ* M ‖ 2 *μάλιστ᾽* M | *ἀφ᾽ ὧν μάλιστ᾽ ἂν εὐδαιμ. διατελοῖμεν* Xen. ‖ 3 ecl. cum lemm. hab. S M A; *ῑ αν ἐκ ἱέρων* S ‖ 4 *γε* om. Xen. | *μέντοι μοι* M A, Xen.: *μέν μοι* sed *μ* in *μοι* ex *τ* corr. S[1] *μέν μοι* Tr. ‖ 6 *τε* om. Xen. | *ἃ βέλτιστά ἐστι* A | *ἐργαζόμενον* A ‖ 7 *καὶ* e Xen. indidit Gesn.[2], etiam A[2] ‖ 8 *τῶν — ποιούντων* A ‖ 9 *κἀναγκ-* M ‖ 10 *ἔγωγε οὖν* A ‖ 11 *τὸν* ante *ἀνάγκης* in Xen. addunt auctore H. Stephano. dissentit Cobet qui deleri mavult *κολάζειν* N. l. p. 564 | *προστατέον* Tr. ‖ 14 *ἡμῖν βουλώμεθα* Xen. ‖ 15 *προστίθησιν* A ‖ 16 *προτέτακται* A Tr. ‖ 18 *τὰ μὲν ἐπιχάριτα* (*ἐπὶ χ.* Tr.) S M A: *τὸ μὲν ἐπίχαρι* Xen., A[2] | *τοῦ* om. operarius ed. Gaisford. Lips., inde etiam Meineke | *τὰ* om. A[1], add. A[2] ‖ 19 *ἄλλων* S, Xen.: *ἄλλου* M A[1] | v. *τί οὖν κωλύει* — p. 237, 18 *ἐπιτελεῖσθαι* om. M A ‖ 20 post *περαίνεσθαι* quae offert Xen. *διῄρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις αἱ μὲν κατὰ φυλάς, αἱ δὲ κατὰ μόρας, αἱ δὲ κατὰ λόχους, καὶ ἄρχοντες ἐφ᾽ ἑκάστῳ μέρει ἐφεστήκασιν. οὐκοῦν εἴ τις καὶ τούτοις ὥσπερ τοῖς χοροῖς* tacite e Xen. inseruit Gesn.[1], om. S. indicavi lacunam | *καὶ* om. Xen. | *προτιθείη καὶ εὐοπλίας καὶ εὐταξίας καὶ ἱππικῆς* Xen.

εὐταξίας, εὐοπλίας, ἱππικῆς καὶ ἀλκῆς ⟨τῆς⟩ ἐν τῷ πολέμῳ καὶ δικαιοσύνης ⟨τῆς⟩ ἐν τοῖς συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονεικίας ἐντόνως ἀσκεῖσθαι. καὶ νὴ Δία ὁρμῷντό γ' ἂν θᾶσσον ὅποι δέοι τιμῆς ὀρεγόμενοι καὶ χρήματα θᾶσσον ἂν εἰσφέροιντο, ὁπότε τούτου καιρὸς εἴη, καὶ τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ εἰθισμένον διὰ φιλονεικίας πράσσεσθαι, ἡ γεωργία καὶ αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη τοῖς μάλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐρρωμένως τρεπομένοις πολλὰ ἂν ἀγαθὰ περαίνοιτο. καὶ γὰρ ⟨αἱ⟩ πρόσοδοι αὔξοιντ' ἄν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτοῖ. καὶ μὴν κακουργίαι γε ἧσσον τοῖς ἐνεργοῖς ἐμφύονται. ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος οὐκ ἀτίμητος ἔσται, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι τὸ σκοπεῖσθαί τι ἀγαθόν. καὶ ὅταν πολλοῖς περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρίσκεσθαί τε μᾶλλον καὶ ἐπιτελεῖσθαι.

110 *Λυσίου* (fr. 88 p. 376 Th.).

Εἰ μὲν οἷόν τ' ἦν ἐκ τῶν προτέρων λόγων τὰ δίκαια γιγνώσκειν, οὐδὲν ἂν ἔδει τοὺς φεύγοντας ἀπολογεῖσθαι

1 *τῆς* hic et in proximo versu addidi e Xen. | *τῷ* om. Xen. ‖ 2 *συμβολαίοις* S (isque compend.), Xen.: *συμβόλοις* Tr. ‖ 3 *εὐτόνως* Tr. | *καὶ ναὶ μὰ Δία* Xen. ‖ 4 *θᾶττον* Xen. | *ὅποι* Xen.: *ὅπου* S *ὕπου* Tr. ‖ 5 *θᾶττον* Xen. | *εἰσφέροιεν* Xen. | *τούτου* Tr., Xen.: *τούτων* S ‖ 7 *φιλονεικίαν* Xen. | *πράττ-* Xen. | *καὶ* om. Xen. | *αὐτὴ* Xen.: *αὕτη* S ‖ 8 *προτιθείη κατ' ἀγροὺς καὶ κατὰ κώμας τοῖς κάλλιστα τὴν γ.* Xen. ‖ 11 *αἱ* addidi e Xen. | *αὔξοιντ'* Xen.: *αὔξαιντ'* S. num *αὐξάνοιντ'*? ‖ 12 *σὺν τῇ ἀσχολίᾳ*] *τῇ ἀσχολίᾳ* Xenoph. codex Paris. 1643. *ἂν τῇ ἀσχολίᾳ* Cobet | *συμπαρομαρτεῖ* Xenoph. cod. Ambros. E 11. *συμπαρομαρτοίη* Cobet ‖ 13 *ἧττον* Xen. | post *ἐμφύονται* quae habet Xenoph., om. S, frustra e Xen. gnomologo intulit Gesn.[1] ‖ 14 *κατὰ πάντα* Victorius recte | *ὅτι ὁ* S, Xen.: *ὅτι* (om. *ὁ*) Tr. | *ἀγαθόν τι* Xen.: *ἀγαθόν τις* S ‖ 16 *τὸ σκοπεῖσθαι* S: *τὸ σκοπεῖν* Xenoph. cod. Paris. 1642 *τοῦ σκοπεῖν* Xenoph. cet. ‖ 17 *καὶ ὅταν γε πολλοῖς* Xen. | *μέλῃ* S, Xen.: *μέλλῃ* Tr. ‖ 18 *τε* S, Xen.: om. Tr. | *ἐπιμελεῖσθαι* Xenoph. plurimi ‖ 19 ecl. cum lemm. hab. SMA ‖ 20 post *μὲν* litura (qua exstincta est fort. litt. *π*) in S ‖ 21 *γινώσκειν* S

ἀλλ' ἀκριτὶ ἀποθνήσκειν· ἐπεὶ δὲ τὰ ψευδῆ λέγειν δυνατόν ἐστι τοῖς κατηγοροῦσι, δίκαιον ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσαντας τηνικαῦτα τὴν περὶ τοῦ δικαίου ψῆφον φέρειν.

111 *Τοῦ αὐτοῦ* (fr. 89 p. 376 Th.).

Προσήκει δ' ὑμῖν περὶ ψυχῆς δικάζουσι μὴ παρανομεῖν, ἀλλ' εὐσεβεῖν· μηδὲ θορύβῳ τὰ πράγματα κρίνειν, ἀλλὰ σιωπῇ τὰ δίκαια γιγνώσκειν.

112 *Πυθαγόρου.*

Οἱ μὴ κολάζοντες τοὺς κακοὺς βούλονται ἀδικεῖσθαι τοὺς ἀγαθούς.

---

1 *ἀκριτὶ* S M *ἀκρατὶ* A; *ἀκρίτους* scr. Cobet ‖ 2 *δικαὶ* M ‖ 5 ecl. cum lemm. hab. S M A ‖ 6 *ὑμῖν* S M: *ἡμῖν* A Tr. | *ψυχῆς* Bekker: *φυγῆς* (sine acc. M) S M A ‖ 8 *γινώσκειν* S ‖ 9 ecl. cum lemm. hab. S M A cf. Inc. auctoris de mor. 114 et quae adnotavit Woelfflin p. 145 ‖ 10 *βούλονται* S A: *βάλλονται* M | *ἀδικ.*] *α* in corr. M[1] sed quid voluerit non dispicio

CAPVT VI.

ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Η ΜΟΝΑΡΧΙΑ.

1 *Ὁμήρου* (Il. II 204).

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς.

2 *Τοῦ αὐτοῦ* (Il. II 196).

Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων.
τιμὴ δ' ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς.

3 *Εὐριπίδου Φοινίσσαις* (503 ss.).

Ἐγὼ γὰρ οὐδέν, μῆτερ, ἀποκρύψας ἐρῶ,
ἄστρων ἂν ἔλθοιμ' αἰθέρος πρὸς ἀντολὰς
καὶ γῆς ἔνερθε δυνατὸς ὢν δρᾶσαι τάδε,
τὴν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα.

4 *Τοῦ αὐτοῦ Φοινίσσαις* (524 s.).

Εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι
κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών.

---

2 titulum tradunt Photius S M A Mac. Br Tr. sed *κάλλιστος* M A. numero *μα'* insignitur caput in S *με'* in Tr. *νη'* in M A Mac. ‖ 3 ecl. sine lemm. hab. S Br, addito lemmate M A ‖ 4 *πολυκυρανίη* et mox *κύρανος* A ‖ 6 ecl. sine lemm. hab. S, addito lemmate M A ‖ 9 *δὲ* om. Tr. | *ἐστὶν* M ‖ 8 *ἐστιν* M | *φιλει δε ἑ* M | *μητίετα* M, sine acc. S *μητιέτα* ut videtur A, certe Tr. ‖ 9 ecl. cum lemm. hab. S M A. tres versus extremos adfert Plutarchus de fraterno am. p. 481 A ‖ 11 *αἰθέρος* S M A: *ἡλίου* Eur. cum schol. et Plutarcho ‖ 14 ecl. cum lemm. hab. S M A, *τ̆ $\overset{τ}{αν}$ ἔτι* pro lemm. S. v. *εἴπερ — κάλλιστον ἀδικεῖν* citat Plutarchus de aud. poet. p. 18 D de tuenda san. p. 125 D, verba *εἴπερ γὰρ ἀδικεῖν χρή* Plutarchus Niciae et Crassi comp. c. 4. cf. Cicero de off. III 21, 82. Stobaei cum Plutarchi de aud. poet. libello concordantia ad gnomologicas origines illustrandas utitur Elter De gnomol. Gr. hist. atque orig. part. I p. 37

5 *Τοῦ αὐτοῦ Ἀρχελάῳ* (fr. 250 N.²).

Τυραννίδ' ἣ θεῶν δευτέρα νομίζεται·
τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ' ἄλλ' ἔχει.

6 *Τοῦ αὐτοῦ Αἰγεῖ* (fr. 8 N.²).

Ἀνδρὸς † ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν.

7 *Ἡσίοδος ἐν Θεογονίᾳ* (96 s.).

Ἐκ δὲ Διὸς βασιλῆες· ὃ δ' ὄλβιος, ὅν τινα Μοῦσαι φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.

8 *Πλάτωνος ἐκ τοῦ Κλειτοφῶντος* (p. 408 B).

Ἔστιν ἄρα καθάπερ πλοίου παραδόντι τὰ πηδάλια τῆς διανοίας ἄλλῳ, τῷ μαθόντι τὴν κυβερνητικήν, ἣν δὴ σὺ πολιτικήν, ὦ Σώκρατες, ἐπονομάζεις πολλάκις, τὴν αὐτὴν δὲ ταύτην δικαστικήν τε καὶ δικαιοσύνην ὡς ἔστιν λέγων.

9 *Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι* (§ 15 p. 29 d).

Αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι τὰς ἰσότητας τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι, καὶ τοῦτο εὐδοκιμεῖ παρ' αὐταῖς, ἐὰν μηδὲν ἕτερος ἑτέρου δύνηται

---

16 ecl. cum lemm. hab. M A, om. S, sed vide ad ecl. 6 ‖ **2** *τυραννίδα ἠθῶν β̄* M *τυραννίδα ἡ θεῶν β̄* A: corr. Gaisford ‖ **3** ante *οὐκ* littera rasa A | *τὰ δ' ἄλλ'* Grotius Dict. poet. p. 181: *τἄλλα δ'* (τ superscr.) M A ‖ **4** ecl. hab. S M A, lemma M A. *τ αυ ἀρχε* (ε cum ligatura) S quod pertinet ad ecl. 5 in S omissam ‖ **5** *ἀνδρὸς ὑπ'* S M A: *ἀνδρὸς δ' ὑπ'* tacite Gesn.¹ f. 324ᵛ, et fortasse recidit suo more particulam gnomologus de metro securus. *ἀνδρὸς πρὸς* proposui Act. soc. philol. Lips. II p. 11 | *καλὸν* superscr. *ὡς* A¹ | **6** ecl. cum lemm. hab. S M A, sine lemm. Br; *ἐν* om. S ‖ **7** *ἐκ δὲ Διὸς βασιλῆες* citatur saepius, vide quae collegit Rzach | *ὃν* ex *ὧν* corr. M¹ ‖ **8** *φίλωνται* Hes.: *φιλῶνται* libri Stob. | *γλυκερηοῖ* M | *οἱ* in *δ'* corr. Br¹ | *αὐδὴ ῥέει* A corr. A¹ ‖ **9** ecl. cum lemm. hab. S M A. non bene rem administravit gnomologus in medio Platonis enuntiato ab *ἔστιν ἄρα* exorsus, sed, ne nescias, orationem supra interruptam (Stob. III 1, 58 p. 24, 12 H.) hic ille ad finem perduxit ‖ **10** *ἐστὶν* Plat. ‖ **11** *τὴν τῶν ἀνθρώπων κυβερνητικὴν* Plat. ‖ **13** *δὲ*] *δὴ* recte Plat. plurimi ‖ **15** ecl. cum lemm. hab. S M A Br; *οἱ* pro *ἢ* M, *ἢ Κύπριοι* om. S, nil nisi *ἰσοκράτους* pro lemm. Br ‖ **18** *παρὰ ταῖς* A | *ἐὰν* (*ἐσὰν* A) libri Stob. ut deteriores Isocr.: *ἢν* Is. | *ἕτερος ἑτέρου μηδὲν* colloc. A

πλέον ἔχειν, ὃ τοῖς πονηροῖς συμφέρον ἐστίν. αἱ δὲ μοναρχίαι πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ, δευτέρῳ δὲ τῷ μετ᾽ ἐκεῖνον, τρίτῳ δὲ καὶ τετάρτῳ καὶ τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον. καὶ ταῦτ᾽ εἰ μὴ πανταχοῦ καθέστηκεν, ἀλλὰ τό γε βούλημα τῆς πολιτείας τοιοῦτόν ἐστι.

10 *Τοῦ αὐτοῦ* (§ 16 p. 29e).

Καὶ μὴν εἰ δεῖ διορᾶν καὶ τὰς φύσεις τῶν ἀνθρώπων καὶ τὰς πράξεις, ἅπαντες ἂν τὰς τυραννίδας μᾶλλον ὁμολογήσαιεν. καίτοι τίς οὐκ ἂν εὔξαιτο τῶν εὖ φρονούντων τοιαύτης πολιτείας μετέχειν, ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὤν, μᾶλλον ἢ φέρεσθαι μετὰ τοῦ πλήθους μὴ γιγνωσκόμενος, ὁποῖός τίς ἐστιν;

11 *Τοῦ αὐτοῦ* (§ 16 p. 30a).

Ἀλλὰ μὴν καὶ πραοτέραν τοσούτῳ δικαίως αν αὐτὴν εἶναι κρίναιμεν, ὅσῳ περ ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον ἢ πολλαῖς καὶ παντοδαπαῖς διανοίαις ζητεῖν ἀρέσκειν.

12 *Τοῦ αὐτοῦ* (§ 17 p. 30b).

Οἱ μὲν τοίνυν κατ᾽ ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες πρότερον ἰδιῶται γίγνονται πρὶν αἰσθέσθαι τι τῶν τῆς πόλεως καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν· οἱ δ᾽ ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλὰ ταῖς ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν.

13 *Τοῦ αὐτοῦ* (§ 18 p. 30c).

Ἐπειθ᾽ οἱ μὲν πολλῶν καταμελοῦσιν εἰς ἀλλήλους

---

2 *νέμουσιν* (ut supra *ζητοῦσιν*) M ‖ **3** *τῷ* A Br, Isocratis cod. Vrbin. pr.: *τὸ* S M ‖ **3** *ἐκεῖνο* M A Br | *τοῖς ἄλλα* M ‖ **5** *τῆς πολιτείας, πανταχοῦ τοιοῦτον ἐστίν* Br ‖ **6** ecl. cum lemm. hab. S M A; ecl. 10—18 lemmate *τοῦ αὐτοῦ ὅλον* comprendit S ‖ **7** *καὶ μὲν δὴ διορᾶν* Isocratis cod. Vrbin. ‖ **9** *δέξαιτο* Is. cod. Vrbin. ‖ **11** *γιν-* S M ‖ **13** ecl. cum lemm. hab. S M A, lemmate non iterato Br; de S vide ad ecl. 10 ‖ **14** *πραοτέραν τὸ τοσούτω* M | *αὐτὴν* ex *αὐτῷ* corr. A[1] ‖ **15** *κρίνοιμεν* Is. ‖ **16** *τὸν νοῦν μᾶλλον* om. Br ‖ **18** ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 47, 10 ‖ **19** *κατ᾽ νιαυτὸν* M ‖ **22** *ἣν* M ‖ **23** *ἀλλ᾽ οὖν ταῖς γ᾽ ἐμπειρίαις* Is. ‖ **24** ecl. cum lemm. hab. S M A, lemma *τοῦ αὐτοῦ*: in marg. sinistro rubr. (ut in ecl. 10) M, de S vide ad ecl. 10

ἀποβλέποντες, οἱ δ' οὐδενὸς ὀλιγωροῦσιν, εἰδότες ὅτι πάντα δεῖ δι' αὑτῶν γίγνεσθαι.

14 *Τοῦ αὐτοῦ* (§ 18 p. 30 c).

Πρὸς δὲ τούτοις, οἱ μὲν ⟨ἐν⟩ ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλονεικίας λυμαίνονται τοῖς κοινοῖς· οἱ δ' ἐν ταῖς μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσιν, περὶ ἁπάντων ὡς οἷόν τε ἐστὶ τὰ βέλτιστα πράττουσιν.

15 *Τοῦ αὐτοῦ* (§ 19 p. 30 d).

Ἔπειθ' οἱ μὲν ὑστεροῦσι τῶν πραγμάτων· τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν, ἐπειδὰν δὲ εἰς τὰ συνέδρια συνέλθωσι, πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους ἢ κοινῇ βουλευομένους· οἱ δ' οὔτε συνεδρίων οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες οὐκ ἀπολείπονται τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν.

15a *Τοῦ αὐτοῦ* (§ 20 p. 30 e).

Ἔτι δὲ οἱ μὲν δυσμενῶς ἔχουσι, καὶ βούλοιντ' ἂν καὶ τοὺς πρὸ αὑτῶν ἄρχοντας καὶ τοὺς ἐφ' αὑτοῖς ὡς κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν' ὡς μεγίστην δόξαν αὐτοὶ λαμβάνωσιν· οἱ δὲ διὰ παντὸς τοῦ βίου κύριοι τῶν πραγμάτων ὄντες εἰς ἅπαντα τὸν χρόνον καὶ τὰς εὐνοίας ἔχουσι.

16 *Τοῦ αὐτοῦ* (§ 21 p. 31 a).

Τὸ δὲ μέγιστον· τοῖς γὰρ κοινοῖς οἱ μὲν ὡς ἰδίοις,

1 *οἵ* M ‖ 2 *δι' αὑτῶν* Is.: *δι' αὐτῶν* S M A ‖ 3 ecl. cum lemm. hab. S M A, lemmate non iterato Br; de S vide ad ecl. 10 ‖ 4 *ἐν* tacite ex Is. Gesn.[1] f. 324ᵛ: om. S M A Br ‖ 5 *σφὰς* M | *φιλονεικίας* S M A Br: *φιλοτιμίας* libri Is. *φιλονικίας* Blass in Is. ‖ 7 *περὶ ἁπάντων* M Br *ἢ περὶ ἁπάντων* S A: *πάντων* primo Isocr. cod. Vrbin. ubi ex em. *περὶ πάντων* ‖ 8 *τὰ* om. Isocr. cod. Vrbin. ‖ 9 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 10 ‖ 10 *ὑστερίζουσιν* Isocratis cod. Vrbin. ‖ 12 *συνέλθωσιν* M ‖ 13 *οἵ* M ‖ 18 *Τοῦ αὐτοῦ* inserui M A libros secutus, de S vide ad ecl. 10 ‖ 19 ante *δυσμενῶς* temere ex Isocratis vulg. addidit *πρὸς ἀλλήλους* Gesn.[1] | *ἔχουσιν* M | *βούλοντ'* M | *αὐτῶν* libri Stobaei ‖ 20 *τοὺς* A, Is.: *τοῦ* M *τὸν* S | *ἐφ' ἑαυτοῖς* A ‖ 21 *λάβωσιν* Isocratis cod. Vrbin. ‖ 23 *ἔχουσιν* M ‖ 24 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 10

οἱ δὲ ὡς ἀλλοτρίοις προσέχουσι τὸν νοῦν, καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν οἱ μὲν τῶν ἀστῶν τοῖς τολμηροτάτοις, οἱ δὲ ἐξ ἁπάντων ἐκλεξάμενοι τοὺς φρονιμωτάτους, καὶ τιμῶσιν οἱ μὲν τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους, ⟨οἱ δὲ τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους⟩.

17 *Τοῦ αὐτοῦ* (§ 22 p. 31 b).

Οὐ μόνον δὲ ἐν τοῖς ἐγκυκλίοις καὶ τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασι. καὶ γὰρ παρασκευάσασθαι δυνάμεις καὶ χρήσασθαι ταύταις, ὥστε καὶ λαθεῖν καὶ ὀφθῆναι, καὶ τοὺς μὲν πεῖσαι, τοὺς δὲ βιάσασθαι, τοὺς δὲ ταῖς ἄλλαις θεραπείαις προσαγαγέσθαι μᾶλλον αἱ τυραννίδες τῶν ἄλλων πολιτειῶν οἷαί τε εἰσί· καὶ ταῦτα ἐκ τῶν ἔργων ἄν τις οὐχ ἧττον ἢ τῶν λόγων πιστεύσειεν.

18 *Τοῦ αὐτοῦ* (Nicocl. § 55 p. 38 c).

Μὴ μόνον δὲ τὰς φύσεις αἰτίας νομίζετε τοῦ χαλεποὺς ἢ πράους εἶναι τοὺς τυράννους, ἀλλὰ καὶ τὸν τρόπον τὸν τῶν πολιτῶν· πολλοὶ γὰρ ἤδη διὰ τὴν κακίαν τὴν τῶν ἀρχομένων τραχύτερον ἢ κατὰ τὴν αὑτῶν γνώμην ἄρχειν ἠναγκάσθησαν.

19 *Δημοκρίτου* (fr. 267 Diels[2]).

Φύσει τὸ ἄρχειν οἰκήιον τῷ κρέσσονι.

---

1 *προσέχουσιν* M ‖ 3 *τοῖς φρονιμωτάτοις* Isocratis cod. Vrbin. ‖ 5 v. *οἱ δὲ — ἐπισταμένους* tacite ex Is. addidit Gesn.[1], om. S M A ‖ 6 ecl. cum lemm. hab. S M A, lemmate non iterato Br; de S vide ad ecl. 10 ‖ 7 *Οὐ μόνον* (om. *δ'*) primo Isocratis cod. Vrbin. ‖ 10 *-ασιν* M | *δυνάμεις* Br, Is.: *δύναμις* S M A ‖ 11 *καὶ φθῆναι* recte Coraes ‖ 12 inter *βιάσασθαι* et *τοὺς δὲ* quod offert Is. *παρὰ δὲ τῶν ἐκπρίασθαι* om. S M A Br, tacite ex Is. addidit Gesn.[1], fort. recte ‖ 14 *εἰσιν* M ‖ 16 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 10 ‖ 17 *δὲ* quod ignorat Is. irrepserit ex v. 7 | *αἰτίας* reposui ex Is.: *αὐτὰς* S M A | *νομίζεται* A | *τοῦ* ex *τοὺς* corr. S | *χαλεπους* (*ὡς* supra) A[1] ‖ 18 *πραοτέρους* Isocratis cod. Vrbin. ‖ 19 *διὰ τὴν τῶν ἀρχομένων κακίαν τραχύτερον* Is. ‖ 20 *αὐτῶν* M ‖ 21 *ἄρχειν* om. S ‖ 22 ecl. cum lemm. hab. M A, om. S

20 *Ἐκ τῶν Σερήνου ἀπομνημονευμάτων.*

Ὅτε Κροῖσος ἦρχε Λυδῶν, τὸν ἀδελφὸν μεθ' αὑτοῦ κατέστησεν ἄρχοντα· προσελθὼν δέ τις τῶν Λυδῶν 'ὦ βασιλεῦ' εἶπε 'πάντων ἐπὶ γῆς καλῶν ὁ ἥλιος τοῖς ἀνθρώποις αἴτιός ἐστι, καὶ οὐδὲν ἂν εἴη τῶν ἐπὶ γῆς μὴ τοῦ ἡλίου ἐπιλάμποντος· ἀλλ' εἰ θέλουσι δύο ἥλιοι γενέσθαι, κίνδυνος πάντα συμφλεχθέντα διαφθαρῆναι. οὕτως ἕνα μὲν βασιλεύοντα δέχονται Λυδοὶ καὶ σωτῆρα πιστεύουσιν εἶναι, δύο δὲ ἅμα οὐκ ἂν ἀνάσχοιντο'.

21 *Κρισπίνου κατὰ Διονυσίου.*

Ὅτι βασιλέως μὲν καὶ τὸ βλέμμα ἀρκεῖ μόνον· κἂν ἴδῃ μόνον, τὸ ἀληθὲς βεβασάνισται.

22 *Ἐκφάντου ⟨Πυθαγορείου⟩ ἐκ τοῦ Περὶ βασιλείας.*

Ἐπὶ δὲ γᾶς ἄνθρωποι ἀπῳκισμένον χρῆμα καὶ πολὺ τᾶς καθαρωτέρας φύσιος ἐλαττούμενον καὶ πολλᾷ τᾷ γᾷ βαρυνόμενον, ὡς ἀπὸ τᾶς ματρὸς αὐτὸ μόγις ἐπᾶρθαι ⟨ἄν⟩, αἰ μὴ θεόμοιρός τις ἐμπνοίησις ἐλέῳ ζώω συνᾶψεν αὐτὸ τῷ κρέσσονι μέρει δεικνῦσα τὰν ἱερὰν τῶ γεννάτορος πότοψιν, ὡς ἀδύνατον ἐκείναν θεάσασθαι. ἐν δὲ τᾷ γᾷ

---

1 ecl. cum lemm. hab. S M A Br; *σερίνου* S M A *δῆμο*[κλ] Br cf. ecl. 19 ‖ 2 *μεθ' ἑαυτοῦ* A ‖ 3 *ὦ βασιλεῦ* om. A ‖ 5 fort. *ἂν ⟨φαν⟩είη* | *τῶν* om. A ‖ 8 *βασιλέα ὄντα* Tr. ‖ 9 *ἂν* om. A ‖ 10 ecl. cum lemm. hab. S M A, et A quidem in marg. sed m. ant., etiam lemma eclogae insequentis. lemma aut omisit aut non repperit in suo codice pinacographus Photii, cf. Elter de Stob. cod. Phot. p. 60 ‖ 13 ecl. cum lemm. hab. S M A; addidi *Πυθαγορείου* coll. p. 271, 13 ‖ 15 *τὰσ* pro *τᾶς* M | *καθαρωτάτας* A | *ἐλλαττούμενον* A. *ἐλαττεύμενον* scr. Meineke | *πολλᾶ* S *πολλᾷ* (ut scripserat Meineke) A: *πολλὰ* M Tr. ‖ 16 *ματρὸς* M: *μητρὸς* S A | *αὐτῶ* libri: *αὐτὸ* Gesn.[1] f. 325v | *επαρθα*[αι] S *επαρθια* M *ἐπαρθῑ* A *ἐπάρθαι* Tr. *κα* vel *αν* addi voluit Meineke ‖ 17 *μη* S | *θεομοιρήστις* S *θεομοίρησ τις* M A: corr. L. Dindorf | *ἐλαίῳ* A | *αὐτὸ* (acc. in ras.) M ut proposuit Gaisford: *αὐτῶ* (vel -*ῷ*) S A ‖ 18 *κρείσσονι* S M A *κλείσσονι* Tr. | *ἱερὰν* libri, non *ἱαρὰν*, cf. Boisacq *Les dialectes doriens* p. 35 ‖ 19 *ποτὄψιν* S A *ποτόψιν* M: corr. Gesn.[1] | v. *ἐν δὲ τᾷ γᾷ* — 245, 5 *χρώμενος ἑαυτῷ* recurrunt infra IV 7, 64 (*Ἐκφάντου Πυθαγορείου ἐκ τοῦ Περὶ βασιλείας*) intra maius excerptum

καὶ παρ᾽ ἁμῖν ἀριστοφυέστατον μὲν ἄνθρωπος, θειότερον δὲ ὁ βασιλεὺς ἐν τᾷ κοινᾷ φύσει πλεονεκτῶν τῷ κρέσσονι. τὸ μὲν σκᾶνος τοῖς λοιποῖς ὅμοιος, οἷα γεγονὼς ἐκ τᾶς αὐτᾶς ὕλας, ὑπὸ τεχνίτα δ᾽ εἰργασμένος λῴστω, ὃς ἐτεχνίτευσεν αὐτὸν ἀρχετύπῳ χρώμενος ἑαυτῷ ... ὡς εἴθε ἦν τᾶς ἀνθρωπίνας φύσιος δυνατὸν ἀφελὲν τὸ καὶ πειθοῦς τινος δέεσθαι· τόδε γὰρ τᾶς ἐπιγῄω φαυλότατος ⟨τὸ⟩ λείψανον, καθ᾽ ἂν ἐπίκαρον ὂν τὸ ζῷον αὐτᾶς οὐκ ἀμοιρεῖ· αἰ δέ πού τις καὶ ἐν αὐτῷ θειότερος ἢ κατ᾽ ἄλλα συσταίη, ποτ᾽ οὐδὲν ἂν τᾶς πειθοῦς δέοιτο.

23 *Πλάτωνος ἐκ τῆς πρὸς τοὺς οἰκείους Δίωνος ἐπιστολῆς* (p. 354 A—C).

Λέγω γὰρ δὴ διαιτητοῦ τινα τρόπον διαλεγόμενος ὡς δυοῖν, τυραννεύσαντί τε καὶ τυραννευθέντι, ὡς ἑνὶ ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμβουλήν· καὶ νῦν δὲ ὅ γ᾽ ἐμὸς λόγος ἂν εἴη ξύμβουλος τυράννῳ παντὶ φεύγειν μὲν τοὔνομά τε

---

1 *παρ᾽ ἁμῖν* (vel *ἁμὶν*) Gaisford: *παραμεινα* SM *παρὰ μείν* A *παραμεῖναι* Tr., *παρ᾽ ἁμῖν* libri infra | *ἄνθρωπος* libri utrobique. nec opus est articulo. si tamen addas concinnitatis causa, *ἅνθρ-* scribendum more Attico (sic legitur nonnumquam in titulis Doricis), vix *ὤνθρ-* ut voluit Meineke. cf. Theocr. XV 83 Wil. | *θειότατον* minus apte libri Stob. IV 7 p. 272, 10 cf. *πλεονεκτῶν τ. κρ.* ‖ 2 *ἐν τε κοινᾷ* libri IV 7 | *τῷ κρέσσονος* Stob. IV 7. graecum utrumque, cf. Kuehner-Gerth *Ausf. gr.*[3] II 1 p. 392 ‖ 3 *τὰσ αὐτὰσ* M ‖ 4 *ἐτεχνήτευσεν* M A ‖ 5 *αὐτὸν* (ut infra libri) Tr. ex *ἑαυτὸν* corr. S *ἑαυτὸν* M A | ante *ὡς εἴθε* plura interciderint, quam ut liqueat quomodo quae supersunt cum prioribus fuerint coniuncta. accedit quod v. *ὡς εἴθε* — 8 *οὐκ ἀμοιρεῖ* leguntur etiam infra IV 7, 65 H. intra alium sententiarum conexum sed ex eadem *Περὶ βασιλείας* dissertatione petita | *τᾶς* S *τὰσ* M *τῆς* A ‖ 6 *ἀφελεν* sine acc. S M *ἀφελεῖν* A ‖ 7 *τὰσ* M | *ἐπιγῄω* scripsi: *ἐπιγείω* libri hic, *ἐπιγείου* infra | *φαυλότητος* A | *τὸ* inserui ex IV 7, 65 ‖ 8 *καθαν* M | *ἐπίκηρον* S *ἐπίκαρον* M A *ἐπίκαιρον* S infra | *ταύτας* Stob. infra | *αἳ δεί* A ‖ 11 ecl. cum lemm. hab. S M A, *Πλάτωνος* om. M. *πρὸς τοὺς Δίωνος οἰκείους* Stobaeus supra III 4, 113 et infra IV 7, 59, *πρὸς τοὺς οἰκείους Δίωνος* etiam IV 2, 21. illi ordini favet Ps.-Platonis formula *Πλάτων τοῖς Δίωνος οἰκείοις τε καὶ ἑταίροις εὖ πράττειν* ‖ 14 *ἕνι* (*ἕνι* etiam M) *ἐκ παλαιανέμην* S

καὶ τοὖργον τοῦτο, εἰς βασιλείαν δέ, εἰ δυνατὸν εἴη, μεταβαλεῖν. δυνατὸν δέ, ὡς ἔδειξεν ἔργῳ σοφὸς ἀνὴρ καὶ ἀγαθὸς Λυκοῦργος, ὃς ἰδὼν τὸ τῶν οἰκείων γένος ἐν Ἄργει καὶ Μεσσήνῃ ἐκ βασιλέων εἰς τυράννων δύναμιν ἀφικομένους καὶ διαφθείραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέρους ἑκατέραν, δείσας περὶ τῆς αὑτοῦ πόλεως ἅμα καὶ γένους, φάρμακον ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχὴν καὶ τὸν τῶν ἐφόρων δεσμὸν τῆς βασιλικῆς ἀρχῆς σωτήριον, ὥστε γενεὰς τοσαύτας ἤδη μετ' εὐκλείας σῴζεσθαι, νόμος ἐπειδὴ κύριος ἐγένετο βασιλεὺς τῶν ἀνθρώπων, ἀλλ' οὐκ ἄνθρωποι τύραννοι νόμων.

24 *Ἡροδότου Ἱστορίας τρίτης Δαρείου δημηγορίας* (80. 82).

Ὀτάνης μὲν ἐκέλευεν ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα. Ἐμοὶ δὲ τὰ μὲν εἶπε Μεγάβυζος ἐς τὸ πλῆθος ἔχοντα δοκέει ὀρθῶς λέξαι, τὰ δὲ ἐς ὀλιγαρχίην οὐκ ὀρθῶς. τριῶν γὰρ προκειμένων, καὶ πάντων τῶν λέγω ἀρίστων ἐόντων, δήμου τε ἀρίστου καὶ ὀλιγαρχίης καὶ μουνάρχου, πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου οὐδὲν ἄμεινον ἂν φανείη· γνώμῃ γὰρ τοιαύτῃ χρώμενος ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος, σιγῷτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω μάλιστα. ἐν δὲ ὀλιγαρχίῃ πολλοῖσιν ἀρετὴν ἐπασκέουσιν

---

1 *μεταβαλεῖν* S A, Ps.-Plat.: *μεταλαβεῖν* M Tr. ‖ 4 *μεσήνη* (-*νῃ* A) M A Tr., dubito de S ‖ 5 *αὐτοὺς* A ‖ 6 *ἑκατέρους* sed *ο* ex *α* S[1] | *ἑαυτοῦ* ni fallor voluit primo, dein ipse se corrigens *αὑτοῦ* M ‖ 8 *δεσμῶν* S ‖ 9 *γενεᾶς* M A ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 14 *Ὀτάνης* Her.: *Ὀστάνης* S M A. cf. infra 49, 29 Mein. | *ἐς* om. A | *περσῆσι* M ‖ 15 cum in lemmate Darii tantummodo orationis mentio fiat, nihil intercidisse putaverim in gnomologio post *πρήγματα*. quamquam clarior res esset, si haec saltem ex Her. superaddidisset gnomologus: *πρήγματα. ⟨τρίτος δὲ Δαρεῖος ἀπεδείκνυτο γνώμην λέγων⟩ ἐμοὶ δὲ κτέ.* sed pro re nata certi nihil licet adfirmare. ipsius Otanis orationem maximam partem infra dedit Stobaeus 49, 29 Mein. | *μεγάβυξος* S ‖ 17 *τῶν λέγω* S M, Herodoti libri: *τῷ λόγῳ* A quod non recte Stobaeo vindicant Herodoti editores, vel in Her. recepit Stein ‖ 18 *δῆμος τὲ* M ‖ 19 *μουνάρχου* SMA, Her.: *μον-* Tr. ‖ 21 *χρεώμενος* Her. | *ἐπιτροπεύει* A[1] *οι* superscr. A[1] ‖ 22 *σιγω͜το τε αν* sic M ‖ 23 *ἀρετῆς* A

ἐς τὸ κοινὸν ἔχθεα ἴδια ἰσχυρὰ φιλέει ἐγγίνεσθαι· αὐτὸς γὰρ ἕκαστος βουλόμενος [κορυφαῖος εἶναι γνώμησί τε νικᾶν ἐς ἔχθεα μεγάλα ἀλλήλοισιν ἀπικνέονται, ἐξ ὧν στάσιες ἐγγίνονται, ἐκ δὲ τῶν στασίων φόνος· ἐκ δὲ τοῦ φόνου ἀπέβη εἰς μουναρχίην,] καὶ ἐν τούτῳ διέδεξε, ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ ἄρχοντος ἀδύνατον μὴ οὐ κακότητα ἐγγίνεσθαι· κακότητος τοίνυν ἐγγινομένης, ἐς τὰ κοινὰ ἔχθεα μὲν οὐκ ἐγγίνεται τοῖσι κακοῖσι, φιλίαι δὲ ἰσχυραί· οἱ γὰρ κακοῦντες τὰ κοινὰ συγκύψαντες ποιέουσι. τοῦτο δὲ τοιοῦτο γίνεται ἐς ὃ ἂν προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ. ἐκ δὲ αὐτῶν θωμάζεται οὗτος δὴ ὑπὸ τοῦ δήμου, θωμαζόμενος ἐφάνη ἐὼν μούναρχος· καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος, ὡς ἡ μουναρχίη κράτιστον. ἑνὶ δ' ἔπει πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο καὶ τεῦ δόντος; κότερα παρὰ δήμου ἢ ὀλιγαρχίης ἢ μουνάρχου; ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν.

---

4 *στάσιες* Herodoti meliores: *στάσεις* S M A, Herodoti alii, vide verba prox. | *στασίων* Herodoti libri meliores, A, *στάσιων* M: *στάσεων* S, Herodoti alii ‖ 5 *διέδεξε* S M, Herodoti meliores: *διέδοξεν* A, Herodoti deteriores, *διέδειξεν* Tr. ‖ 6 post *ἄριστον* distinctio maior spatiique aliquantulum in M | *ἀδύνατα* Her. ‖ 7 *ἐγγενέσθαι* non recte Herodoti libri vetustiores ‖ 8 *ἐς τὰ κοινὰ* in Her. delevit Krueger ‖ 9 *συγκρύψαντες* (nonnulli *συγκρί-*) libri Herodoti | *ποιεῦσι* Her. ‖ 10 *προστάς τις* M, Her.: *προστατις* sine acc. S *προστάτις* Tr. *προστάς τις* (σ suprascr.) A[1] ‖ 11 *θωμάζεται* (vel *θωυμ-*) *οὗτος δὴ ὑπὸ τοῦ δήμου, θωμαζόμενος* (vel *θωυμ-*) *δὲ ἀν' ὧν ἐφάνη μούναρχος ἐών· καὶ ἐν τούτῳ* Her. | *θωμάζεται* Her.: *θαυμάζεται* S M A, vide verba proxima ‖ 12 *τοῦ* om. A | *θωμαζόμενος* M *θωυμ-* S A | *ἐὼν μούναρχος* S M A *μούναρχος ἐὼν* Herodoti libri recentiores *ὁ μούναρχος* Herodoti vetustiores; *μούναρχος* Cobet ‖ 13 *οὗτος*] *οὕτω* prop. Gomperz | *μουναρχίη* S M A, Her. *μον-* Tr. ‖ 14 *ἑνὶ δὲ ἔπεϊ* Her.: *ἕνι δ' ὑπὸ* S *ἕνι δ' ἔπι* M *ἕνι δ' ἐπὶ* A ‖ 15 *παρὰ τοῦ δήμου* Herodoti libri vetustiores ‖ 17 post *περιστέλλειν* addit *χωρίς τε τούτου πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ· οὐ γὰρ ἄμεινον* Her., ex Her. tacite Stobaeo inseruit Gesn.[1]

25 *Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ* (p. 276 B—E).

Ἐπιμέλεια δέ γε ἀνθρωπίνης ξυμπάσης κοινωνίας οὐδεμία ἂν ἐθελήσειεν ἑτέρα μᾶλλον καὶ προτέρα τῆς βασιλικῆς φάναι καὶ κατὰ πάντων ἀνθρώπων ἀρχῆς εἶναι τέχνη. — Λέγεις ὀρθῶς. — Μετὰ ταῦτα δέ γε, ὦ Σώκρατες, ἆρα ἐννοοῦμεν ὅ τι πρὸς αὐτῷ δὴ τῷ τέλει συχνὸν αὖ διημαρτάνετο; — Τὸ ποῖον; — Τόδε, ὡς ἄρ' εἰ καὶ διενοήθημεν ὅ τι μάλιστα τῆς δίποδος ἀγέλης εἶναί τινα θρεπτικὴν τέχνην, οὐδέν τι μᾶλλον ἡμᾶς ἔδει βασιλικὴν αὐτὴν εὐθὺς καὶ πολιτικὴν ὡς ἀποτετελεσμένην προσαγορεύειν. — Τί μήν; — Πρῶτον μέν, ὃ λέγομεν, τοὔνομα μετασκευωρήσασθαι, πρὸς τὴν ἐπιμέλειαν μᾶλλον προσαγαγόντας ἢ τὴν τροφήν, ἔπειτα ταύτην τέμνειν· οὐ γὰρ σμικρὰς ἂν ἔχοι τμήσεις ἔτι. — Ποίας; — Ἧι τε τὸν θεῖον ἄν που διελοίμεθα νομέα χωρὶς καὶ τὸν ἀνθρώπινον ἐπιμελητήν. — Ὀρθῶς. — Αὖθις δέ γε τὴν ἀπονεμηθεῖσαν ἐπιμελητικὴν δίχα τέμνειν ἀναγκαῖον ἦν. — Τίνι; — Τῷ βιαίῳ τε καὶ ἑκουσίῳ. — Τί δή; — Καὶ ταύτῃ που τὸ πρότερον ἁμαρτάνοντες εὐηθέστερα τοῦ δέοντος εἰς ταὐτὸν βασιλέα καὶ τύραννον ξυνέθεμεν, ἀνομοιοτάτους ὄντας αὐτούς τε καὶ τὸν τῆς ἀρχῆς ἑκατέρου τρόπον. — Ἀληθῆ.

---

1 ecl. cum lemm. hab. S M A ‖ 2 *γε* om. Platonis B ‖ 3 *θελήσειεν* Tr. | *προτέρα* Tr. ex *πρότερα* corr. S *πρότερα* M A *πραοτέρα* (sine acc. B) Platonis B T; *προτέρα* verum esse vidit Stallbaum ‖ 5 *γε* om. A | *ἄρα* M ‖ 6 *αὖθις διημαρτάνετο* A ‖ 7 *τὸ δὲ* divisim S M A sed sine acc. S ‖ 11 *ὃ λέγομεν* S M A *ἐλέγομεν* Platonis B *ὃ ἐλέγομεν* (sed *ὃ* supra versum) Platonis T ‖ 14 *ἂν ἔχοι* A, Plat.: *ἀνέχοι* S, sine acc. M | *τὸν θεῖον* M A, Plat.: *τὸ θεῖον* S ‖ 15 *που τε διελ.* A | *διειλόμεθα* Plat. ‖ 20 *εἰς τὸν αὐτὸν* A

CAPVT VII.

ΥΠΟΘΗΚΑΙ ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

1 *Εὐριπίδου Πλεισθένει* (fr. 626 N.^{2}).

Δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος
μήτ' αὖ κακώσῃς, πλοῦτον ἔντιμον τιθείς,
μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτὲ
μηδ' αὖξε καιροῦ μείζον', οὐ γὰρ ἀσφαλές,
μή σοι τύραννος λαμπρὸς ἐξ αὐτοῦ φανῇ.
κόλουε δ' ἄνδρα παρὰ δίκην τιμώμενον·
πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.

2 (6 Mein.) *Σοφοκλῆς Οἰδίποδι* (tyr. 54 ss).

Ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
σὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν·
ὡς οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς
ἔρημος, ἀνδρῶν μὴ ξυνοικούντων πόλιν.

3 (7 Mein.) *Μενάνδρου* (fr. 637 K.).

Καλόν γε βασιλεὺς τῇ μὲν ἀνδρείᾳ κρατῶν,
τὰ δὲ τοῦ βίου δίκαια διατηρῶν κρίσει.

4 (2 Mein.) *Εὐριπίδου* (fr. 1050 N.^{2}).

Ἀλλ' οὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ,

---

1. 2 Inscriptionem Photio congruam offerunt S M A Mac. Tr., numerus *μβ'* adscriptus est in S, *μϛ'* in Tr., *νθ'* in M A Mac. ‖ **3** ecl. cum lemm. hab. S M A; ecl. 1—5 Mein. lemmate *ευριπιδου* comprendit S. de Euripidea huius eclogae origine dubitat Wilamowitz Herm. XL 133 ‖ **4** *κρατοσ* M sed omnino neglegentior hic M in accentibus adpingendis ‖ **5** *κάκωσησ* M. *παρώσῃς* prop. Gomperz ‖ **6** *δήμῳ χρηστὸν* ci. Meineke, *δήμῳ ἀρεστὸν* Vitelli ‖ **7** *μείζον'* Badham: *μεῖζον* (*μειζον* M) S M A ‖ 8 *ἀστοῦ* Pierson ‖ **9** *κόλουε* Pierson: *κώλυε* libri ‖ **11** ecl. cum lemm. hab. S (post ecl. 5 Mein.) M A (post ecl. 1 Mein.) ‖ **12** *ὡς εἴπερ* libri, nisi quod *ὥσπερ* A^1 *ἀλλ' εἴπερ* Suidas (s. v. *κενόν*) ‖ **13** *ξὺν* Soph. | *συναδράσι* M | *κενὸν* Suid. ‖ **15** *ξυνοικούντων ἔσω* Soph. inde *ἔσω* superscr. A^2 ‖ **16** ecl. cum lemm. hab. S M A ‖ **17** *ἀνδρεία* S: *ἀνδρία* (*-ίᾳ* A) M A ‖ **18** *δικαία* M ‖ **19** ecl. cum lemm. hab. S (post ecl. 1 Mein.) M A (post ecl. 7 Mein.), de lemmate in S vide ad ecl. 1

οὐδ' ἄνδρα χρηστὸν νεῖκος αἵρεσθαι κακοῖς.
τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις.

5 (8 Mein.) *Ὁμήρου* (Il. II 24s.).

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε.

6 (4 Mein.) *Εὐριπίδου Ἀντιγόνης* (fr. 171 N.[2]).

Δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἁνδάνειν.

7 (11 Mein.) *Θεοκρίτου* (XIV 60 ss.).

Τὰ δ' ἄλλα δ' ἀνήρ τις ἐλευθέρῳ οἷος ἄριστος,
εὐγνώμων, φιλόμουσος, ἐρωτικός, εἰς ἄκρον ἁδύς,
εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον,
πολλοῖς πολλὰ διδούς, αἰτεύμενος οὐκ ἀνανεύων,
οἷον χρὴ βασιλῆ'· αἰτεῖν δὲ χρὴ οὐκ ἐπὶ παντί.

8 (9 Mein.) *Ὁμήρου* (Il. II 53. Od. II 234. IV 690 s.).

Βουλὴν μὲν πρῶτον μεγαθύμων ἷζε γερόντων.
Λαῶν οἷσι ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν.
Οὔτε τινὰ ῥέξας [κακὸν] ἐξαίσιον οὔτε τι εἰπὼν
ἐν δήμῳ· ἥ τ' ἐστὶ δίκη θείων βασιλήων.

---

1 *ἄρασθαι* prop. Wecklein ‖ 3 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) M A (post ecl. 2 Mein.) ‖ 5 *καὶ* om. M | *τόσα* S ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 3 Mein.) M A (post ecl. 8 Mein.) ‖ 7 *τοῖσι* scr. Gesn.[1]: *τοῖς* S M A ‖ 8 ecl. cum lemm. hab. S (post ecl. 10 Mein.) M A (post ecl. 4 Mein.) ‖ 9 *τἄλλα δ' ἀνὴρ ποῖός τις; ἐλευθέρῳ οἷος ἄριστος* fere Theocriti libri (*ἐλ. — ἄριστος* nonnulli recte omittunt) idque etiam gnomologus repperisse videtur, sed nil mutarim in Stobaeo nisi *τὰ δ' ἄλλα δ'* in *τἄλλα δ'*. consulto enim abiecit *ποῖος* ne opus esset personarum distinctione. [*τἄλλα δ'*] *ἀνὴρ οἷός τ[ις* . . . *Berl. klassikert.* V 1 p. 55 ‖ 10 *ηδυσ* (*α* supra) M[1] ‖ 13 *οἷα* Theocr. | *βασιλῆα* Gesn.[2]: *βασιλέα* S *βασιλεῖα* (-*εία* A) M A | *δεῖ* Theocr. | post *χρὴ* inseruit *δ'* A[2] ‖ 14 ecl. cum lemm. hab. S (post ecl. 8 Mein.) M A (post ecl. 11 Mein.). vix recte coniunctos hos versus offerunt libri. immo habes tres vel si Hesiodi addas locum quattuor de regibus sententias vetustioris florilegii ex ordine litterarum dispositi ‖ 15 *βουλὴν μὲν* S A *βουλη μεν* M: *βουλὴν* (sic Zenod.) vel *βουλὴ* (sic Aristoph. et Aristarchus) *δὲ* Hom. cf. etiam *Pap. Oxyrh.* IV 687 p. 134 ‖ 16 *λαῶν οἷσι* S, Hom.: *λαὸν οἷσιν* M *λαοῖσιν οἷσιν* A ‖ 17 *κακὸν* seclusi ut ex interpolatione ortum | *ἐξαίσιον* Hom.: *ἔξετον* S *ἐξετον* M *ἔξετον* A ‖ 18 *ήτ* (*ἥ τ'* Tr.) S *ειτ* M *εἴτ'* A

9 (10 Mein.: Hesiodi Theog. 88 ss.)

Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι
ῥηιδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσι.

10 (3 Mein.) *Εὐριπίδου Ἀντιόπης* (fr. 194 N.[2]).

Ὁ δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος
πόλει τ' ἄριστος· μὴ τὰ κινδυνεύματα
αἰνεῖτ'· ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ
τολμῶντα λίαν οὔτε προστάτην χθονός.

11 (5 Mein.) *Εὐριπίδου* (Soph. fr. 13 N.[2]).

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.

12 *Ἡσιόδου Θεογονίας* (79 ss.).

Καλλιόπη τ' εἴδει προφερεστάτη ἐστὶν ἁπασέων·

---

1 eclogam cum priore sine lemmate cohaerentem hab. S M A. plenior tamen distinctio post *βασιλήων* in M. leguntur versus intra maius excerptum etiam supra Stob. II 4, 1 p. 26, 12 W. lemmate detracto. eosdem citat Aristides II p. 132, 12 Dind., verba *τοὔνεκα — ἐχέφρονες* etiam schol. Soph. Phil. 137 p. 355, 1 P. ‖ 2 *οὕνεκα λαοῖς* Hes., Stob. supra: *οὕνεκ'* (*ουνεκ'* M *οὔνεκ'* A) *ἄλλοις* hic S M A ‖ 3 *τελεύσει* hic A ‖ 4 *παρεφάμενοι* hic M *παραιφάμενος* hic A ‖ 5 ecl. cum lemm. hab. S (post ecl. 2) M A (post ecl. 10), de S vide ad ecl. 1 ‖ 6 *φίλοισί τ'* S *φίλοισιν* M A ‖ 7 *τ' ἄριστος* S M A. alii alia proposuere, velut *τ' ἀρεστός* Nauck, *τε πιστός* F. G. Schmidt, *τ' ἀρωγός* Wecklein, *τε χρηστός* Vitelli ‖ 8 *ναυτίλων* Tr. ‖ 10 ecl. cum lemm. hab. S (post ecl. 4) M A (post ecl. 3). Euripidi tribuit versum Plato Theag. p. 125 B, qui respicit eundem Euripidis nomine adposito Reip. VIII p. 568 A, dubitans Euripidi Themistius p. 72 C. Sophoclis esse locum ex Aiace Locro petitum testantur Gellius XIII 19, 1, Aristides vol. II p. 373 Dind., Zenobius cent. V, 98, schol. Ar. Thesm. 21, schol. Plat. p. 936 a 36, fab. n. om. Libanius Epist. 33. sine po. et fab. n. hab. Demetrius Cydon. Epist. 10 in Boiss. Anecd. nov. p. 280, proverb. append. cent. IV 76, Suid. v. *σοφοί*, Macar. ‖ 11 *τῶν σοφῶν συνουσίᾳ*] *τῇ σοφῶν μετουσίᾳ* Demetr. Cydon. ‖ 12 ecl. cum lemm. hab. S (post ecl. 11 Mein.) M A (post ecl. 5 Mein.). ex scriptorum testimoniis Rzachii diligentia collectis repeto pauca eaque lectionum discrepantia memorabiliora ‖ 13 *Καλλιόπη θ'· ἣ δὲ* Hes. *ἣ δὴ* Macrobius in Cic. Somn. Scip. II 3, 2 p. 592, 14 et 23 Eyss.[2] *ἣ σφέων* Diodorus IV 7, 2 *ἣ καὶ* Ioannes Diaconus 303 Fl.

ἡ γὰρ ⟨καὶ⟩ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
ὅν τινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο
γινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἀοιδήν,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.

13 *Δημοκρίτου* (fr. 268 Diels[2]).

Φόβος κολακείην μὲν ἐργάζεται, εὔνοιαν δὲ οὐκ ἔχει.

14 *Μουσωνίου* (fr. XXXI H.).

Οὐ πολὺν διάγουσι χρόνον οἱ πρὸς τοὺς ὑπηκόους ὑπὲρ ὧν ἂν πράττωσι μὴ τὸ 'καθήκει μοι' λέγειν μεμελετηκότες, ἀλλὰ τὸ 'ἔξεστί μοι'.

---

1 *ἡ γὰρ καὶ* Hes., Dio Prus. II 24 vol. I p. 21, 10 Arn.: *ἣ γὰρ* S M A; *ἡ μὲν γὰρ* tacite Gesn.[1] ‖ 2 *τιμήσωσιν* M, *τιμήσωσι* Dio: *τιμήσουσι* S A, et sic fere libri Hesiodi, Themistius IX 122a p. 145 XXXI 355c p. 429 Dind. ‖ 3 *γινόμενον* S M: *γιγνόμενον* A. *γεινόμενον* Hes. ‖ 4 ante *τῶ μὲν* post distinctionem interponit *Δημοκρίτου* A[1] (del. A[2]), unde mox ad ecl. 13 *τοῦ αὐτοῦ* | *γλώσσῃι* ex *-ην* corr. S[1] | *χείουσιν* Hes.: *χέουσιν* S M A[1] *χεί-* A[2] *προχέουσιν* Tr. | *ἀοιδὴν*] *ἐέρσην* Hes. ‖ 5 *ἔπη* (ex *ἔπε'* ut videtur corr. M[1]) *ἐκ* S M A *ἔπε' ἐκ* Hes. | *δέ νυ* S A *δεν οἱ* M: *δέ τε* Hes. ‖ 6 ss. leguntur etiam supra Stob. II 4, 1 p. 26, 8 W. lemmate detracto | *ἐς αὐτὸν* S M A, Hes.: *δ' ἐς* (*εἰς* A) *αὐτὸν* libri Stobaei II ‖ 7 *δίκης* (*δικησ* M) S M supra Stob. II, ibidem *δίκαις* A | *δασφάλεωσ* hic M ‖ 8 *αἶψά* (*αἴψα* hic M) *τε* S M A hic et supra cum Hesiodi libris deterioribus sicut Epictetus diss. II 12, 16 p. 139 Sch. Aristides II 132, 5 Dind. *αἶψά κε* (ut proposuerat Peppmueller) Hesiodi pap. Paris. recte | *νίκοσ* M in Stob. II | *ἐπιστάμενος* S M A supra Stob. II ‖ 9 ecl. hab. S M A; *δημοκρίτου* S M, *τοῦ αὐτοῦ* A de quo vide ad ecl. 12. recurrit sententia gnomol. Byz. 89 W. (Bar. 88) et gnomol. ined. cod. Pal. 356 f. 152 n. 68. addatur floril. Schenkelii (*Wien. stud.* XI p. 36) 136 ‖ 10 *κολακείην* S M A *-κίην* Tr. *-κείαν* gnom. Byz., cod. Pal., flor. Schenk. *-κηίην* Gaisford et Meineke | *εὔνοιαν* libri *-νοίην* Mullach | *οὐκ ἔχει* Stob. *οὐ κέκτηται* gnom. Byz., cod. Pal., flor. Schenk. *οὐκέτι* male Meineke ‖ 11 ecl. cum lemm. hab. S M A ‖ 13 *πράττωσιν* M

15 *Τοῦ αὐτοῦ* (fr. XXXII H.).

Μὴ θέλε ἐπιτάσσειν τὰ καθήκοντα τοῖς συγγιγνώσκουσί σοι τὰ μὴ καθήκοντα πράττοντι.

16 *Τοῦ αὐτοῦ* (fr. XXXIII H.).

Πειρατέον καταλλακτικὸν μᾶλλον τοῖς ὑπηκόοις ἢ φοβερὸν θεωρεῖσθαι· τῷ μὲν γὰρ σεμνότης, τῷ δὲ ἀπήνεια παρακολουθεῖ.

17 *Ἀναξιλάου.*

Ἀναξίλαος ὁ ῾Ρηγίου τύραννος ἐρωτηθεὶς ὑπό τινος, τί τῆς τυραννίδος μακαριώτερον, ἔφη ʽτὸ μηδέποτε εὐεργετοῦντα νικηθῆναιʼ.

18 *Ξενοφῶντος.*

Ξενοφῶν ὁ Σωκρατικὸς φιλόσοφος ἔφη τῷ βασιλεῖ κάλλιον εἶναι τὸ τῶν χαρίτων ἀπολιπεῖν ἢ τροπαίων πλῆθος.

19 *῾Ηροδότου ἱστορίας γ′* (127).

Ἔνθα γὰρ σοφίης δέει, βίης ἔργον οὐδέν.

---

1 ecl. cum lemm. hab. S M A, lemma *τοῦ αὐτοῦ* praefigunt, uno lemmate tres ecl. 14. 15. 16 comprendit S ‖ 2 *συγγιγνώσκουσιν* M ‖ 4 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. superiorem. iteratur Maxim. c. 9 p. 198 (*Musonii*) Rib. cf. infra ecl. 20 ‖ 5 *καταλλακτικὸν* scripsi: *καταπληκτικὸν* S M A, etiam Max. ut testatur mihi Elter ‖ 6 *ἀπήχεια* ci. Sternbach Anal. Phot. p. 37 adn. 2 ‖ 8 ecl. sine lemm. hab. S, addito lemmate M A. eadem ecloga legitur gnomol. Paris. 264 Sternb. variatam iterant cum lemmate M A infra post ecl. 45. simile apophthegma Alexandro datur gnomol. Vatic. 101 Sternb. ‖ 9 *ῥηγίου* M utrobique, A infra: om. S et hic A, gnomol. Paris. | *ὑπό τινος* addidi ex M A, om. S et infra M A, gnomol. Paris. ‖ 10 *μακαριώτερον* S (sed *ατον* supra *ερον* S[1]) M, gnomol. Paris., *μακαριώτατον* Tr. et compendiose A *μακαριστότερον* infra A *μακαριστότατον* infra M | *τὸ εὖ πάσχοντα δύνασθαι ὑπερβάλλεσθαι* (-*βαλλέσθαι* A) infra M A ‖ 12 ecl. sine lemm. hab. S, addito lemmate M A. iteratur ecloga gnomol. Paris. 265 Sternb. variatur gnomol. Vat. 416 Sternb. sic *῾Ο αὐτὸς* (sc. *Ξενοφῶν*) *εἶπε κρεῖσσον εἶναι βασιλεῖ το τῶν χαρίτων ἀπολιπεῖν πλῆθος ἢ τροπαίων* ‖ 13 *τῷ* om. gnomol. Par. ‖ 14 *τὸ τῶν* om. gnomol. Par. | *ἀπολιπεῖν* M A *ἀπολείπειν* S, gnomol. Par. *ἀπολίπην* Tr. ‖ 16 ecl. cum lemm. hab. M A, om. S ‖ 17 *δέει* M, Her.: *δέοι* A

20 *Πυθαγόρου.*

Θέλε μᾶλλον τοὺς συνόντας σοι αἰδεῖσθαί σε ἢ φοβεῖσθαι· αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας, φόβῳ δὲ μῖσος.

21 *Φιλίππου.*

Φίλιππος ὁ βασιλεὺς ἔλεγε δεῖν τὸν βασιλέα μνημονεύειν ὅτι ἄνθρωπος ὢν ἐξουσίαν εἴληφεν ἰσόθεον, ἵνα προαιρῆται καλὰ μὲν καὶ θεῖα, φωνῇ δὲ ἀνθρωπίνῃ χρῆται.

22 *Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ* (p. 305 C—D).

Τόδε δὴ κατανοητέον ἰδόντι ξυναπάσας τὰς ἐπιστήμας, ὅτι πολιτική γε αὐτῶν οὐδεμία ἀνεφάνη· τὴν γὰρ ὄντως βασιλικὴν οὐκ αὐτὴν δεῖ πράττειν ἀλλ' ἄρχειν τῶν δυναμένων πράττειν, γιγνώσκουσαν τὴν ἀρχήν τε καὶ ὁρμὴν τῶν μεγίστων ἐν ταῖς πόλεσιν εὐκαιρίας τε πέρι καὶ ἀκαιρίας· τὰς δ' ἄλλας τὰ προσταχθέντα δρᾶν. — Ὀρθῶς.

23 *Θεοβούλου.*

Φεῦγε μὲν τὸν φθόνον τῶν πολλῶν, φυλάσσου δὲ τὰς ἐπιβουλὰς τῶν μισούντων.

---

1 ecl. cum lemm. hab. S (post ecl. 18) M (post ecl. 19) A (post ecl. 22). recurrit sententia gnomol. Byz. n. 78 W. (Pal. 65, Bar. 87, Mon. 42); Demophili sent. Pyth. n. 21 Georgid. p. 43, 3. cf. Pyth. Vind. 42 (*Wien. stud.* VIII p. 270) ‖ 2 *θέλε*] *αἱροῦ* gnom. Byz. | *σοι* om. Bar. Mon. Dem. | *αἰδεῖσθσε σε* M | *σε* om. Mon. | post *σε* add. Georg. *μᾶλλον* ‖ 3 *μὲν* om. Dem. ‖ 4 ecl. sine lemm. hab. S, addito lemmate M A. cf. gnomol. Vatic. 545 *Ὁ αὐτὸς* (sc. *Φίλιππος*) *ἔλεγε κτέ.*, ubi vide quae composuit Sternbach ‖ 5 *ἔλεγεν* M | *τὸν βασιλέα δεῖν* gnomol. Vat. ‖ 7 *μὲν καλὰ* rectius gnomol. Vat. *μὲν τὰ καλὰ* Max. | *φωνῇ* etiam gnomol. Vat. *φρονήσει* melius Anton. II 1 p. 79 Maxim. 9 p. 560 Combef. idque confirmat ex libris suis Elter. *γνώμῃ* prop. Wyttenbach, *ἵνα προαιρῆται μὲν τὰ θεῖα, φρονῇ δ' ἀνθρώπινα* [*χρῆται*] Meineke (v. IV p. LXIV), *φρονῇ δὲ τἀνθρώπινα* [*χρῆται*] Cobet N. l. p. 228 ‖ 9 ecl. cum lemm. hab. M (post ecl. 21) A (post ecl. 19), om. S; *πλάτωνοσ* in ras. M ‖ 10 *τόδε* M A, Plat. B *τόγε* Plat. T | *τὰς ἐπιστήμας* M A *τὰς ἐπιστήμας αἳ εἴρηνται* Plat. B *τὰς εἰρημένας ἐπιστήμας* Plat. T, hoc ex Plat. Ald. recepit Gesn.[2] ‖ 11 *ἐφάνη* Plat. T ‖ 12 *ὄντως οὖσαν βασιλικὴν* Plat. | *δεῖ*] *αἰεὶ* Plat. B ‖ 15 *δρᾶν ὀρθῶς*: ∾ sine distinctione M ‖ 17 ecl. cum lemm. hab. S A (post ecl. 21) M (post ecl. 22). de nomine vide

24 *Χείλωνος.*

Μετὰ τῆς ἰσχύος τὴν πραότητα σῷζε· ἵνα μὴ φοβερός, ἀλλ' αἰδοῦς ἄξιος φαίνῃ τοῖς ἐντυγχάνουσιν.

25 *Ἰσαίου* (ed. Schoem. p. 168 fr. V).

Χρὴ τοὺς νόμους μὲν τίθεσθαι σφοδρῶς, πραοτέρως δὲ κολάζειν ἢ ὡς ἐκεῖνοι κελεύουσι.

26 *Σωκράτους.*

Σωκράτης ἔλεγεν ἀμείνονα βασιλέα εἶναι τὸν ἑαυτοῦ δυνάμενον ἄρχειν τῶν παθῶν.

27 *Δημητρίου* (Ps.-Plut. reg. et imper. apophth. p. 189 D).

Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν· ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

28 *Ἰσοκράτους* (ad Nicocl. § 27 p. 20 b).

Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας, μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις.

---

quae dixi vol. III p. 10, 10 adn. Cleobulo verbum huius consimile adsignant multi, testimonia collegit Sternbach ad gnomol. Vatic. 370

1 ecl. cum lemm. hab. S M A; *φίλω* (*ω* cum ligat.) S. cf. Stob. III 1, 172 *γ'* p. 117, 1 s. ‖ 4 ecl. cum lemm. hab. S M A ‖ 7 ecl. cum lemm. hab. M A, lemmate omisso S. *σωκράτους* M *-ης* ut videtur A. recurrit dictum gnomol. Vat. 472 *Σωκράτης ἔλεγεν κτἑ.*, ubi vide quae composuit Sternbach ‖ 8 *ἀμίνονα* M *ἐκεῖνον μόνον* gnom. Vat. ‖ 9 *παθῶν ἄρχειν δυνάμενον* S *δυνάμενον ἄρχειν τῶν παθῶν* M A; *τὸν δυνάμενον ἄρχειν τῶν οἰκείων παθῶν* gnomol. Vat. ‖ 10 ecl. sine lemm. hab. S, addito lemmate M A. iteratur eclogae pars extrema *ἃ γὰρ — γέγραπται* lemmate *Δημητρίου Φαλιρέος* (sic) praemisso corp. Par. 476 Elt.. tota chria in cod. Vat. Gr. 1144 f. 217 *ὁ αὐτὸς Πτολεμαίῳ κτἑ.* teste Sternbachio Append. Vat. 49 ‖ 11 s. nil nisi *τῷ βασιλεῖ παρῄνει ἀναγινώσκειν βιβλία· ἃ γὰρ κτἑ.* Append. Vatic. ‖ 13 *ἀναγινώσκειν* libri omnes ‖ 15 ecl. cum lemm. hab. S M A, sed ecl. 28—41 uno lemmate comprensas S. recurrit ecloga Prisc. XVII 169, etiam Exc. Paris. 56 (Sternbach Anal. Phot. p. 35), sed haec omitto. praecepti pars prior (*φίλους — 17 ὄντας*) legitur corp. Par. 131 Elt. (*Ἰσοκράτους*), flor. Boiss. An. I p. 122. pars altera corp. Par. 154 (*Ἰσοκράτους*): *φίλους κτῶ μὴ μεθ' ὧν ἥδιστα συνδριατρίψεις ἀλλὰ μεθ' ὧν ἄριστα.*

29 *Τοῦ αὐτοῦ* (ibid. § 27 p. 20 b).

Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὥς αὐτὸς τὰς αἰτίας ἕξων ὧν ἂν ἐκεῖνοι πράξωσι.

30 *Τοῦ αὐτοῦ* (ibid. § 28 p. 20 c).

Πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ τι ἂν ποιῇς ἢ λέγῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

31 *Τοῦ αὐτοῦ* (ibid. § 28 p. 20 c).

Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν αν αμφιγνοῇς ἔχῃς τοὺς ἐπιδοκιμάζοντας.

32 *Τοῦ αὐτοῦ* (ibid. § 28 p. 20 c).

Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλεῖον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν.

33 *Τοῦ αὐτοῦ* (ibid. § 28 p. 20 c).

Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων καὶ πειρῶ γνωρίζειν ἅμα τούς τε λέγοντας, οποῖοί τινές εἰσι, καὶ περὶ ὧν ἂν λέγωσι.

34 *Τοῦ αὐτοῦ* (ibid. § 29 p. 20 d).

Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς διαβάλλοντας αἷσπερ τοὺς ἐξαμαρτάνοντας.

---

1 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28 ‖ 3 *ὧν* S M, Is.: *ὡς* A ‖ 4 *πράξωσιν* M ‖ 5 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28. recurrit ecloga corp. Par. 132 (*Ἰσοκράτους*), verba *πιστοὺς ἡγοῦ — ἐπαινοῦντας* Bekk. Anecd. 128, 10. resp. Agapet. ad Iustinian. c. 32 ‖ 6 *πᾶν* corp. Par. et Isocratis libri nonnulli, *απαντας* pap. Mass. *ἅπαντα* Bekk. anecd. Agapet. | *λέγῃς ἢ ποιῇς* Isocratis libri meliores. *ποιῇς καὶ λέγῃς* corp. Par. ‖ 8 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28. recurrit ecloga corp. Par. 133 Elt. (*Ἰσοκράτους*) ‖ 10 *τοὺς συνδοκιμάσοντας* Is., corp. Par. *συνδοκιμάζοντας* pap. Mass. ‖ 11 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28. iteratur locus corp. Par. 134 Elt. (*Ἰσοκράτους*) gnomol. Byz. 174 W. ‖ 13 *πλέον* Is., corp. Par. | *ἔχωσι τῶν χρηστῶν οἱ πονηροί* gnomol. Byz. ‖ 15 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28 ‖ 19 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28. cf. gnomol. Byz. 146 W. ‖ 20 *τοὺς ψευδῶς διαβάλλοντας* Is., sed *ψευδῶς* om. sicut Stobaeus Isocratis pap. Mass. et in antidosi § 73 cod. Laur. LXXXVII 14

35 *Τοῦ αὐτοῦ* (ib. § 29 p. 20d).

Ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ καὶ τῶν ἄλλων· καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν.

36 *Τοῦ αὐτοῦ* (ib. § 30 p. 20e).

Νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γιγνομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὑτοῖς ὄντες μᾶλλόν σου τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσι.

37 *Τοῦ αὐτοῦ* (ib. § 31 p. 21a).

Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως· ἀλλὰ τὴν σεαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων ὅτι τὸ τῆς πόλεως ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι.

38 *Τοῦ αὐτοῦ* (ib. § 32 p. 21d).

Περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητός, ἡ δ' ἀθάνατος, καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή, καὶ τὰ μὲν καὶ τοῖς φαύλοις παραγίγνεται, τὴν δὲ οὐχ οἷόν τε ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι.

---

1 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28. cf. corp. Par. 178 Elt., Agapet. ad Iustinian. c. 68 ‖ 2 *καὶ* om. Isocratis cod. Vrbin. ‖ 3 *ἐὰν* M A *ἐὰν δὲ* S *ἐάνπερ* Tr. *ἂν* Is. | *μηδεμία* M ‖ 4 *κρατῇς* A sed *η* in ras., Tr. *κρατεῖς* S M | *τῶν ἡδονῶν πολιτῶν* A ‖ 6 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28 ‖ 8 *παρ' αὐτοῖς* M ‖ 9 *θαυμάζωσιν* Is.: *θαυμάζουσι* (*-σιν* M) S M A ‖ 11 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28. cf. Agapet. ad Iustinian. c. 36 ‖ 12 *βασιλεῖς* Is. cod. Vrb. ‖ 13 *σαυτοῦ* Is. ‖ 14 *γινώσκων* M | *τὸ τῆς πόλεως ὅλης ἦθος* Is. ‖ 15 *ἄρχουσιν* M ‖ 16 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28. in marg. sin. $\overset{\varrho}{\omega}$ M rubr. ‖ 17 *ποιου* sine acc. M | *μέγα* M ‖ 18 *δὲ* M ‖ 19 *δόξῃ μὲν — ὠνητή* Bekk. Anecd. 153, 1 et 180, 14 | *δόξῃ* Is., Bekk. An.: *δόξης* S M A ‖ 20 *τοῖς* om. Isocratis cod. Vrbin. | *παραγ-* ex *περιγ-* corr. S[1]

39 *Τοῦ αὐτοῦ* (ib. § 33 p. 21 c).

Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν· ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ μᾶλλον ἢ πλεονάζειν· αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπεροχαῖς ἰσχύουσιν.

40 *Τοῦ αὐτοῦ* (ib. § 35 p. 21 e).

Ὅ τι ἂν ἀκριβῶσαι βουληθῇς, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι ἄμεινόν σε χρῆσθαι τοῖς πράγμασι ποιήσει.

41 *Τοῦ αὐτοῦ* (ibid. § 35 p. 22 a).

Θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις· ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ.

42 *Πλουτάρχου ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας* (fr. XVIII 4 Bernard.).

Ἡμερότητι τοίνυν καὶ εὐεργεσίᾳ μᾶλλον ἢ φόβῳ πρὸς εὔνοιαν ὑπακτέον.

43 *Ἐν ταὐτῷ* (fr. XVIII 5 Bern.).

Ἠπίους οὖν εἶναι δεῖ μετὰ τοῦ ἔμφρονος εἰς τὸ κοινῇ λυσιτελές.

---

1 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28. v. *κράτιστον μὲν — τυγχάνειν* leguntur ap. Suid. v. *ἀκμή*. cf. Bachm. An. gr. I 54, 26 III 351, 3 et 381, 25 ‖ 2 *μὲν γὰρ τῆς ἀκμῆς* Isocratis cod. Vrbin. | *τῆς τῶν καιρῶν τυγχάνειν ἀκμῆς* Bachm. An. gr. II 351. 381 ‖ 3 *αἱροῦ καὶ μὴ πλ.* Is. ‖ 5 *ὑπερβολαῖς* Is. | *ἰσχύουσιν* S M A; *ἔνεισιν* Isocratis libri meliores ‖ 6 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28 ‖ 8 *μετατίθει* Isocratis cod. Vrbin. ‖ 10 *ἄμεινόν* (*-νον* M) *σε* S M A: *δύνασθαί σε* Is. ‖ 12 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 28. iteratur ecloga corp. Par. 160 Elt. (*Ἰσοκράτους*) ‖ 13 *γινόμενα* corp. Par. ‖ 14 post *τυράννοις* addit *ἀπ' αὐτῶν* Isocratis cod. Vrbin. | *ἂν γὰρ* Is. ‖ 15 *μνημονεύσῃς* A, corp. Par. | *καὶ περὶ* S M, corp. Par., Isocratis libri deteriores: *περὶ* A, Isocratis libri meliores | *βουλεύσῃ* ex *-σει* corr. S[1], *βουλεύσει* primo Isocratis cod. Vrbin. ‖ 16 ecl. cum lemm. hab. S M A; *ἐπιστολῆς τῆς* quod dedi ex M A, om. S ‖ 20 ecl. cum lemm. hab. S M A; *ἐν τῷ αὐτῷ* A ‖ 21 *εὔφρονος* A; *ἔμφρονας* (sc. *εἶναι*) ci. Elter ‖ 22 *λυσιτελῶς* A

44 *Ἀγριππίνου.*

Ὁ Ἀγριππῖνος ἡγεμονεύων ἐπειρᾶτο τοὺς καταδικαζομένους ὑπ᾽ αὐτοῦ πείθειν, ὅτι προσήκει αὐτοῖς καταδικασθῆναι. οὐ γὰρ ὡς πολέμιος αὐτοῖς, ἔφη, οὐδ᾽ ὡς ληστὴς καταφέρω τὴν ψῆφον αὐτῶν, ἀλλ᾽ ὡς ἐπιμελητὴς καὶ κηδεμών, ὥσπερ καὶ ὁ ἰατρὸς τὸν τεμνόμενον παραμυθεῖται καὶ πείθει παρέχειν ἑαυτόν.

45 *Κότυς.*

Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεὺς πικρὸς ἦν τῶν ὑπηκόων κολαστής. τῶν οὖν φίλων τις πρὸς αὐτὸν εἶπε ʻμανία τοῦτό ἐστι καὶ οὐ βασιλεία᾽· ὁ δὲ ʻἀλλ᾽ ἡ ἐμή᾽ ἔφη ʻαὕτη μανία τοὺς ἀρχομένους σώφρονας ποιεῖ᾽.

45b (deest Mein.) *Ἀναξιλάου.*

Ἀναξίλαος ὁ Ῥηγίου τύραννος ἐρωτηθείς, τί μακαριστότερον τῆς τυραννίδος, ἔφη ʻτὸ εὖ πάσχοντα δύνασθαι ὑπερβάλλεσθαι.᾽

46 *Δημοσθένους Ὀλυνθιακῶν δευτέρου* (II p. 25).

Πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν ἢ κτήσασθαι πάντα πέφυκεν.

---

1 ecl. sine lemm. hab. S, addito lemmate M A. Epicteti esse suspicatur Gaisford idque probabiliter, ut docuit R. Asmus Quaest. Epict. (Frib. Brisig. a. 1888) p. 46 ‖ 2 *Ὁ* om. A ‖ 4 *οὐδὲ* M ‖ 6 *ὁ* S, superscr. M manu fort. pr., om. A ‖ 7 *ἑαυτῷ* A, corr. A¹ ‖ 8 ecl. sine lemm. hab. S, addito lemmate M A. iteratur ecloga gnomol. Paris. 266 Sternb. *Κότυς, ὁ τῶν Θρ. βασιλεύς, κτἑ.* cf. Ps.-Plut. reg. et imper. apophth. p. 174 D ‖ 11 *τοῦτο* A ut videtur, certe Tr., gnom. Paris., *τοῦτ᾽* M *τοῦτον* S | *ὁ δὲ*] *καὶ ὃς* gnomol. Paris. | *ἀλλ᾽ ἡ ἐμὴ αὕτη μανία εἶπε τοὺς ἀρ. σ. π.* gnomol. Paris. | *βασιλεια* sine acc. S ‖ 12 *ποιεῖν*: ∾ M ‖ 13 ecl. cum lemm. hab. M A, om. S; *ἀνεξιλάου* M. invenit ecl. hoc ipso loco Photius, nam pinacogr. hoc ordine *Ἀγριππῖνος Ἀναξίλαος.* errat Elter de cod. Phot. p. 62. paulo aliter conceptum legitur idem apophthegma supra ecl. 17 ‖ 14 *ἐρωτηθεὶς ὑπό τινος τί* ecl. 17 | *μακαριστότερον* A: *μακαριστότατον* M *μακαριώτερον* ecl. 17 ‖ 15 *τῆς τυραννίδος μακ.* ecl. 17 | *τὸ μηδέποτε εὐεργετοῦντα νικηθῆναι* ecl. 17 | *ὑπερβάλλεσθαι* sc. *τὸν εὐεργετήσαντα* ‖ 17 ecl. cum lemm. hab. SMA; *δημοσθ*ᵋ nec plura S, *δεύτερον* A

47 *Τῶν ἑπτὰ σοφῶν* (Plutarchi septem sap. conviv. p. 152 A).

Ἐμοὶ μέν, ἔφη ὁ Σόλων, δοκεῖ μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ τύραννος, εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσειεν τοῖς πολίταις. δεύτερος δὲ Βίας εἶπεν, εἰ ἀτρόποις χρῷτο τοῖς νόμοις τῆς πατρίδος. ἐπὶ τούτῳ δὲ ὁ Θαλῆς ἔφησεν, εὐδαιμονίαν ἄρχοντος νομίζειν, εἰ τελευτήσειε γηράσας κατὰ φύσιν. τέταρτος Ἀνάχαρσις, εἰ μὴ μόνος εἴη φρόνιμος. πέμπτος δὲ Κλεόβουλος, εἰ μηδενί, ἔφη, πιστεύοι τῶν συνόντων. ἕκτος δ' ὁ Πιττακός, εἰ τοὺς ὑπηκόους ὁ ἄρχων παρασκευάσειε φοβεῖσθαι μὴ αὐτόν, ἀλλ' ὑπὲρ αὐτοῦ. ὕστατος δ' ὁ Χείλων εἶπε, κάλλιστον εἶναι βασιλέα τὸν μὴ μόνου τοῦ φοβερὸν εἶναι φροντίζοντα.

---

1 ecl. cum lemm. hab. S M A; *τῶν ζ̄ σοφῶν* S *τῶν ζ̄ σοφῶν* ^{o}*σόλων* M *ἐκ τῶν ζ̄' σοφῶν* A ubi ut in M singulorum sapientium nomina genitivo casu praefixa sunt. dubites igitur an imiteris rubricator emin M qui suo loco in proximis dedit *βία*, dein *θάλητ*^{o} et *ἀναχάρσιδοσ* et *κλεοβούλου* et *πιττακοῦ* et *χείλωνοσ*. de Plutarchi nomine omisso cf. Stob. IV 1, 134 H. ‖ 3 *μικρὸν οὖν ἐπισχὼν ὁ Σόλων* '*ἐμοὶ μέν*' *ἔφη* '*δοκεῖ*' *κτέ.* Plut. ‖ 5 *κατασκευάσειεν* scripsi: *κατασκευάσει ἐν* M A *κατασκευάσειε* S ni fallor, Plut. *κατασκευάσει* Tr. | *δ' ὁ Βίας* Plut. dandum fortasse Stobaeo ‖ 6 *ἔφη* pro *εἶπεν* A | *ἀτρόποις* Meineke: *τρόποις* S *πρῶτοσ* M *πρῶτος τρόποις* A, *πρῶτος* aut *τρόποις* Plut. ‖ 7 *τούτω* S, Plut.: *τοῦτο* M A Tr. | *δὲ ὁ* reposui ex M A, *δ' ὁ* Plut.: *δὲ* S Tr. | *ἔφησεν* S M, Plut.: *ἔφησε* A *ἔφη* Tr. ‖ 8 *τελευτήσειε γηράσας* M A, Plut.: *τελευτήσει ἐγγεράσας* S. similiter dicta collegit Wyttenbach in Plut. septem sap. conv. p' 147 B, item Sternbach ad gnom. Vat. 321 e ‖ 9 *εἰ μόνος* Plutarchi memoria | *πέμπτος κλεόβουλος δὲ εἰ* S ‖ 10 *ἔφη* om. A | *πιστεύειν* M | '*Ἐκτὸσ* (sed *E* et acc. rubr.) M ‖ 11 *δὲ ὁ* M | *παρασκευάσειε* Plut.: *παρασκευάσει* S M A ‖ 12 *ἀλλὰ τὰ ὑπὲρ αὐτοῦ* A. dictum saepe recurrit, exempla collecta reperies a Wyttenbachio in Plut. l. c. p. 152 B | longe discrepat Plutarchus ubi haec: *μετὰ τοῦτον ὁ Χίλων ἔφη τὸν ἄρχοντα χρῆναι μηδὲ φρονεῖν θνητόν, ἀλλὰ πάντ' ἀθάνατα* | *δὲ* M ‖ 14 *φροντίζοντα* ex cod. Paris. 1985 adfert Gaisford et sic tacite Wyttenbach in animadv. p. 949: *φροντίζοντος* S M A

48 *Ἰσοκράτους Εὐαγόρᾳ* (§ 43 p. 197c).

Ἀλλ᾽ οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε τοὺς ἀφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν ἢ τοὺς ἀρχομένους τῆς ἐκείνου βασιλείας. ἅπαντα γὰρ τὸν χρόνον διετέλεσεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν· καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτάνοντας κολάζων.

49 *Τοῦ αὐτοῦ* (§ 44 p. 197d).

Οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος.

50 *Τοῦ αὐτοῦ* (§ 44 p. 197d).

Πολλὰ μὲν τῶν χρωμένων ἡττώμενος, ἁπάντων δὲ τῶν ἐχθρῶν περιγιγνόμενος.

51 *Τοῦ αὐτοῦ* (§ 44 p. 197d).

Σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως οὐδὲ ἀνωμάλως διακείμενος, ἀλλ᾽ ὁμοίως τὰς ἐν τοῖς λόγοις ὁμολογίας ὥσπερ τὰ ἐν τοῖς ἱεροῖς διαφυλάττων.

52 *Τοῦ αὐτοῦ* (§ 45 p. 197e).

Τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις υφ᾽ αὑτὸν ποιούμενος, τοὺς δὲ ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλούμενος.

53 (54 Mein.) *Τοῦ αὐτοῦ* (§ 45 p. 197e).

Μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην, ἀλλ᾽ ἐπὶ τοῖς δι᾽ αὑτὸν γιγνομένοις.

1 ecl. cum lemm. hab. S M A; *εὐαγόραι* S *εὐαγόρα* (sine acc. M) M A ‖ **3** *τοὺς εἰσαφικνουμένους* Isocratis cod. Vrbin. ‖ **4** *τοὺς ἀρχομένους*] *τοὺς ἄλλους* Isocratis cod. Vrbin. primo | *τῆς ὑπ᾽ ἐκείνου* Isocratis cod. Vrbin. ‖ **7** *ἐξαμαρτόντας* Isocratis cod. Vrbin. primo ‖ **8** ecl. cum lemm. hab. S M A, ecl. 49—58 uno lemmate comprendit S ‖ **11** ecl. cum lemm. hab. S M, om. A; de S vide ad ecl. 49 ‖ **12** *ἅπαντα* Is. ‖ **14** ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 49 ‖ **17** *διακειμένος* S | *λόγοις*] *ἔργοις* Isocratis cod. Vrbin. ‖ **18** *τὰ* S M A *τὰς* Is. | *ἱεροῖς* S M A, Isocratis cod. Laur. LXXXVII 14: *λόγοις* Isocr. cod. Vrbin. *ὅρκοις* Isocr. cod. Vatic. 65 ‖ **19** ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 49. recurrit corp. Par. 734 Elt. ‖ **20** *ὑφ᾽ αὐτῷ* Is. ‖ **21** *δουλούμενος* S ‖ **22** ecl. cum lemm. hab. M A (post ecl. 52 Mein.), om. S. cf. Aristoteles rhet. I 9 p. 1368ᵃ 6 ‖ **23** *ἐπὶ* bis om. Aristot. | *τύχην ὑπάρχουσιν* Aristot. qui mox om. *γιγνομένοις* | *διαυτὸν* M *δι᾽ αὐτὸν* ut videtur A

54 (53 Mein.) *Τοῦ αὐτοῦ* (§ 45 p. 198a).

Φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τῶν ἄλλων ὑπερβάλλειν.

55 *Τοῦ αὐτοῦ* (§ 45 p. 198a).

Ἡγούμενος τῶν ἡδονῶν, οὐκ ἀγόμενος ὑπ᾽ αὐτῶν.

56 *Τοῦ αὐτοῦ* (§ 45 p. 198a).

Ὀλίγοις πόνοις πολλὰς ῥαστώνας κτώμενος, ἀλλ᾽ οὐ διὰ μικρᾶς ῥαθυμίας μεγάλους πόνους ὑπολειπόμενος.

57 *Τοῦ αὐτοῦ* (§ 46 p. 198a).

Ὅλως οὐδὲν παραλείπων ὧν προσεῖναι τοῖς βασιλεῦσι πρέπει, ἀλλ᾽ ἐξ ἑκάστης πολιτείας ἐκλεγόμενος τὸ βέλτιστον, καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως διοικήσει, στρατηγικὸς δὲ τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ, τυραννικὸς δὲ τῷ πᾶσι τούτοις διαφέρειν.

58 *Ἰσοκράτης Νικοκλεῖ* (ad Nic. § 23 p. 19c).

Ποίει μὲν μηδὲν μετ᾽ ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοι καιρὸς ᾖ. καὶ δεινὸς μὲν φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων.

---

1 ecl. cum lemm. hab. S (post ecl. 52 Mein.) M (post ecl. 54 Mein.) A (post ecl. 55 Mein.). de S vide ad ecl. 49. Isocrate collato conicio olim se excepisse ecl. 51. 53. 52. 54. fac enim in libri Stobaeani margine olim suppletam fuisse ecl. 53, iam non mirum erit quod omisit eam S, falso intulit loco librarius M A codicum archetypi ‖ **2** *πολλοῖς* M, Is.: *πολὺς* A *πολὺ* S ‖ **3** *τῶν ἄλλων* S M A, Isocratis cod. Laur. LXXXVII 14: *τὴν τῶν ἄλλων φύσιν* Isocr. cod. Vrbin. *τὴν φύσιν τῶν ἄλλων* Isocr. cod. Vatic. 65 ‖ **4** ecl. cum lemm. hab. S M (post ecl. 53 Mein.) A (post ecl. 54 Mein.). de S vide ad ecl. 49 ‖ **5** *τῶν ἡδονῶν ἀλλ᾽ οὐκ* Is. ‖ **6** ecl. cum lemm. hab. S M (post ecl. 55 Mein.) A (post ecl. 53 Mein.); de S vide ad ecl. 49 ‖ **8** *μικρὰς* S, Is.: *μακρασ* sine acc. M *μακρᾶς* A ‖ **9** ed. cum lemm. hab. S M A. de S vide ad ecl. 49 ‖ **10** *ὅλως δὲ οὐδὲν* ex Is. vulg. intulit Gesn.[1] | *ὧν* M | *τοῖς βασιλεῦσι πρ.*] *δεῖ τοῖς βασιλεῦσιν* Isocr. cod. Vrbin. ‖ **11** *ἑκάστης τῆς* Isocr. cod. Vrbin. primo | *ἐξειλεγμένος* Isocr. cod. Vrbin. ‖ **13** *τῆς πόλεως ὅλης διοικήσει* Isocr. cod. Vrbin. ‖ **14** *τυραννικὸς*] *μεγαλόφρων* Isocr. cod. Vrbin. ‖ **16** ecl. hab. S M A; *Ἰσοκράτης Νικοκλεῖ* M A, de S vide ad ecl. 49. cf. Agapet. ad Iustinian. c. 48 ‖ **18** *καὶ* M *ᾖ* S A: om. Isocr.; particula mihi suspecta

59 *Πλάτωνος ἐκ τῆς πρὸς τοὺς Δίωνος οἰκείους ἐπιστολῆς* (p. 354 E).

Δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα πάγκακον, ἔμμετρος δὲ οὖσα πανάγαθον· μετρία δὲ ἡ θεῷ δουλεία, ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις· θεὸς δὲ ἀνθρώποις σώφροσι νόμος, ἄφροσι δὲ ἡδονή.

60 *Ξενοφῶντος ἐν τῷ η' τῆς Κύρου Παιδείας* (c. 2, 14).

Καὶ λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται, ὡς λέγοι παραπλήσια ἔργα εἶναι νομέως ἀγαθοῦ καὶ βασιλέως ἀγαθοῦ. τόν τε γὰρ νομέα χρῆναι ἄρα, ἔφη, εὐδαίμονα ποιοῦντα τὰ κτήνη χρῆσθαι αὐτοῖς, ᾗ δὴ προβάτων εὐδαιμονία, τόν τε βασιλέα ὡσαύτως εὐδαίμονας πόλεις καὶ ἀνθρώπους ποιοῦντα χρῆσθαι αὐτοῖς.

61 *Διωτογένεος Πυθαγορείου ἐκ τοῦ Περὶ βασιλείας.*

Βασιλεύς κ' εἴη ὁ δικαιότατος, δικαιότατος δὲ ὁ νομιμώτατος. ἄνευ μὲν γὰρ δικαιοσύνας οὐδεὶς ἂν εἴη βασιλεύς, ἄνευ δὲ νόμω δικαιοσύνα. τὸ μὲν γὰρ δίκαιον ἐν τῷ νόμῳ ἐντί, ὁ δέ γε νόμος αἴτιος τῶ δικαίω, ὁ δὲ βασιλεὺς ἤτοι νόμος ἔμψυχός ἐντι ἢ νόμιμος ἄρχων· διὰ ταῦτ' ὢν ⟨ὁ⟩ δικαιότατος καὶ νομιμώτατος. ἔργα δὲ βασιλέως τρία, τό τε στραταγὲν καὶ δικασπολὲν καὶ

1 ecl. cum lemm. hab. S M A, *δίω* ex *δίον* (o supra ν) corr. M rubr. *οἰκείους* supra lin. S^1. iteratur ecloga cum lemmate infra flor. 62, 49 Mein. ‖ 4 *οὖσα ὄντως* A ‖ 5 *θεῷ* (*θεῶν* libri infra) *δουλεία* S, Ps.-Plat.: *θεοδουλεία* M *θεοδουλία* sed superscr. *ει* A^1 ‖ 6 *ἄφροσι δὲ ἡδονή* om. Stob. infra ‖ 7 ecl. cum lemm. hab. S M A ‖ 8 *ὅς* S | *λέγει* A ‖ 10 *ἄρα* om. Xen. plerique | *εὐδαίμονα τὰ κτήνη ποιοῦντα χρῆσθαι* Xen. ‖ 11 *ᾗ δὴ* Xen. *ἤδη* SMA ut Xen. nonnulli ‖ 14 ecl. cum lemm. hab. SMA; *διωτογενέοσ* an *-έουσ* voluerit rubricator in M non satis clarum, *διωτογενέος* A *διωτογεν* (ε supra) S *Διωτογενέως* Tr. *Διωτογένεος* Meineke. malim *Διωτογένους* ut legitur supra IV p. 79, 17. cf. Stob. I 7, 10 W. | *πυθαγ'* addita lineola infra *γ* S *πυθαγορίου* M A Tr. | *ἐκ τοῦ Π. β.* om. S ‖ 17 *νόμω* S M *νόμων* A *νόμῳ* Tr. ‖ 18 *ἐν τῷ* A om. S M | *ἐντι* M | *γε νόμ* (o supra) A: *γενόμενος* S M ‖ 19 *νόμος ἔμψυχος*] cf. Musonii rel. p. 37 adn. 2 H. | *ἔμψυχος ἐντὶ* S A *ἔμψυχός ἐστιν* M sed *ἐστιν* ex parte in ras. corr. M^2 ‖ 20 *ὢν ὁ* Hirschig: *οὖν* libri ‖ 21 *στραταγῆν* A *στραταγεῖν* M *στρατηγεῖν* S | *δικασπολὲν* S *-λῆν* A *δικασ πολῆν* accentu supra *δικασ* eraso M

θεραπεύεν θεώς· στραταγὲν μὲν ὤν καλῶς δυνασεῖται, πολεμὲν καλῶς ἐπισταθείς, δικασπολὲν δὲ καὶ διακούεν πάντων τῶν ὑπ᾽ αὐτὸν φύσιν δικαίῳ καὶ νόμῳ καλῶς ἐκμαθών, θεραπεύεν δὲ τὼς θεὼς εὐσεβῶς καὶ ὁσίως φύσιν θεῶ καὶ ἀρετὰν ἐκλογισάμενος. ὥστε ἀνάγκα τὸν τέληον βασιλέα στραταγόν τε ἀγαθὸν ἦμεν καὶ δικαστὰν καὶ ἱερέα· ταῦτα γὰρ καὶ ἀκόλουθα καὶ πρέποντα ἐντὶ βασιλέως ὑπεροχᾷ τε καὶ ἀρετᾷ. κυβερνάτα μὲν γὰρ ἔργον ἐντὶ τὰν ναῦν σῴζεν, ἁνιόχω δὲ τὸ ἅρμα, ἰατρῶ δὲ τὼς νοσίοντας, βασιλέως δὲ καὶ στραταγῶ τὼς ἐν πολέμῳ κινδυνεύοντας. ᾧ γὰρ ἕκαστος ἁγεμών ἐντι συστάματος, τούτω καὶ ἐπιστάτας καὶ δαμιουργός. καὶ μὰν τό τε δικασπολὲν καὶ διανέμεν τὸ δίκαιον, ξυνᾷ μὲν καθόλω ἰδίᾳ δὲ καθ᾽ ἕκαστον, οἰκῆον βασιλέως ὥσπερ θεῶ ἐν τῷ κόσμῳ ⟨ᾧ⟩ ἁγεμών τε καὶ προστάτας ἐντί, ξυνᾷ μὲν τῷ ποτὶ μίαν ἀρχάν τε καὶ ἁγεμονίαν τὸ ὅλον ξυναρμόσθαι, καθ᾽ ἕκαστον δὲ τῷ καὶ τὰ κατὰ μέρος ⟨ποτ⟩τὰν αὐτὰν ἁρμονίαν τε καὶ ἁγεμονίαν συναρμόζεσθαι. ἔτι δ᾽ ἐν τῷ ποιὲν εὖ καὶ εὐεργετὲν τὼς ὑποτεταγμένως ὁ βασιλεύς

---

1 *θεραπεύειν* S M A: corr. Gaisford | *θεώς* ex *θεούς* S[1] | *στραταγὲν* M A *στραταγεῖν* S | *ὦν* ni fallor S *ὤν* M *ὦν* A Tr. ‖ 2 *δικασπολῆν* S | *δὲ* om. A ‖ 3 ⟨*τῷ*⟩ *δικαίῳ* prop. Meineke | *καὶ* om. Tr. ‖ 4 *θεραπεύεν* A *-εῦεν* M *-εύειν* S | *τὼς θεὼς* ex *τοὺς θεοὺς* corr. A[1] | *εὐσεβέως* Meineke fort. recte, cf. p. 267, 3 ‖ 6 *τέληον* scripsi: *τέλειον* libri | *στραταγόν* S *στραταγέον* M A | *τε* om. Tr. | *ἦμεν* A *ημεν* S *ἢ μὲν* M | *δικαστὴν* libri: corr. Meineke ‖ 7 *ἐν τῇ* pro *ἐντὶ* M ‖ 8 *κυβερνᾶτα* M ‖ 9 *σώζειν* S | *κανιόχω* M *κ. ἡνιόχω* A ‖ 10 *νοσέοντας* temere Gesn.[1] | *τῶ* ante *στρ.* add. M A ‖ 11 *ᾧ* M A *ὧι* S | *ἐντὶ* ut videtur S A' ‖ 12 *δημιουργός* S *δαμ-* M A. fort. *δαμιοργός* hic et p. 80, 10 ‖ 13 *δικασπολὲν* (vel *-λῆν*) S *δικασπολεῖν* A *διδασκολῆν* M | *ξυνὰ* S M *ξοινὰ* A: corr. Meineke | *καθόλου* libri: corr. Meineke ‖ 14 *ἴδια* A | *δὲ* om. Tr. ‖ 15 *ᾧ* addidit Iacobs | *προστάτης* A | *ἔντι* M | *ξυνὰ* S M A: corr. Meineke ‖ 16 *τῶ* Meineke: *τὸ* S M A ‖ 17 *καθέκαστον* (ut 14) et mox *καταμέροσ* M | *τῷ* Meineke: *τὸ* libri | *ποτ-τὰν* Gaisford: *τὰν* libri ‖ 18 *ἁγεμονίαν — ἁρμονίαν* A | *συναρμ.*] *aut hic συναρμόσθαι aut 16 συναρμόζεσθαι scribendum* Meineke. ego supra *ξυναρμόζεσθαι* reponendum puto ‖ 19 *ποιεῖν* S | *εὐεργετῆν* M A *εὐεργετεῖν* S

ἐντι· ταῦτα δ᾽ οὐκ ἄνευ δικαιοσύνας καὶ νόμω. τό γε μὰν τρίτον, λέγω δὲ τὸ θεραπεύεν τὼς θεώς, βασιλέως ἀντάξιον· δεῖ γὰρ τὸ ἄριστον ὑπὸ τῶ ἀρίστω τιμᾶσθαι καὶ τὸ ἁγεμονέον ὑπὸ τῶ ἁγεμονέοντος. τῶν μὲν ὦν φύσει τιμιωτάτων ἄριστον ὁ θεός, τῶν δὲ περὶ γᾶν καὶ τὼς ἀνθρώπως ὁ βασιλεύς. ἔχει δὲ καὶ ὡς θεὸς ποτὶ κόσμον βασιλεὺς ποτὶ πόλιν· καὶ ὡς πόλις ποτὶ κόσμον βασιλεὺς ποτὶ θεόν. ἁ μὲν γὰρ πόλις ἐκ πολλῶν καὶ διαφερόντων συναρμοσθεῖσα κόσμω σύνταξιν καὶ ἁρμονίαν μεμίμαται, ὁ δὲ βασιλεὺς ἀρχὰν ἔχων ἀνυπεύθυνον, καὶ αὐτὸς ὢν νόμος ἔμψυχος, θεὸς ἐν ἀνθρώποις παρεσχαμάτισται.

62 *Ἐν ταὐτῷ.*

Ὅθεν δεῖ τὸν βασιλέα μὴ νικῆσθαι ὑφ᾽ ἁδονᾶς, ἀλλ᾽ αὐτὸν νικῆν ταύταν, μηδ᾽ ὅμοιον ἦμεν τοῖς πολλοῖς ἀλλὰ ἐπὶ πολλὸν διαφέροντα τούτων, μηδ᾽ ἔργον ἁγεῖσθαι τὰν ἁδονὰν ἀλλὰ μᾶλλον τὰν ἀνδραγαθίαν· ἅμα δὲ καὶ πρέπει τὸν ἁτέρων ἄρχεν χρήζοντα τῶν αὑταυτῶ παθέων πρᾶτον δύνασθαι ἄρχεν. περί γε μὰν τᾶς πλεονεκτίας ὅδε λόγος· δεῖ γὰρ ἐς τοῦτο πεπᾶσθαι τὰ χρήματα, ὥστε φίλως εὐεργετὲν καὶ δεομένως ὑπολαμβάνεν, καὶ ἐχθρὼς δὲ μετὰ δίκας ἀμύνεσθαι· ἅδιστα γὰρ ἁ μετ᾽ ἀρετᾶς

---

1 *νόμωι* S ‖ **2** *θεραπεύεν* A *-εῦεν* M *-εύειν* Tr. dubito de S ‖ **3** fort. *τιμῆσθαι*, cf. ecl. 62 init. ‖ **4** *ἁγεμονοῦν* S M A: corr. Meineke. *ἁγεμονεῦον* Cobet mnemos. IX 107 | *τῶ* Mullach: *τοῦ* libri | *ἁγεμονέοντος* S: *ἁγεμονεύοντος* M A hoc probat Cobet | *οὖν* libri: corr. Meineke ‖ **5** *ἄριστον* S *ἄριστος* M A ‖ **6** *ὡς ὁ θεὺς* A ‖ **8** *θεῶν* M ‖ **9** *κόσμω* Tr.: *κόσμον* S M A ‖ **11** malim *ἐὼν* | *παρεσχημάτισται* A ‖ **13** ecl. cum lemm. *ἐν ταυτῷ* hab. S M A ‖ **14** *νικῆσθαι* Cobet mnemos.[2] II p. 109: *νενικῆσθαι* libri ‖ **15** *νικᾶν* S | *ἧμεν* M ‖ **16** *πολὸν* A | *τούτων* scr. Gesn.[1]: *τοῦτον* S M A sed corr. in *τούτων* A[1] | *ἀγεῖσθαι* M | *τὴν* S ‖ **17** *ἀδονὰν* M *ἡδονὰν* S A | *πρέπει* aut quod praestabilius illi visum est *πρέπον* Halm lect. Stob. p. 46: *πρέπεν* S M A ‖ **18** *ἑτέρων* S M *ἑτέραν* A: correxi | *ἄρχειν* A | *αὑταυτῶ* S *αὑταυτω* M *αὐτοῦ* A ‖ **19** *ἄρχειν* A | *πλεονεκτικᾶς* S A *πλεονεκτικὰσ* M *περὶ πλεονεξίας* tamquam lemma in marg. A[2]: corr. Gesn.[2] marg. ‖ **21** *εὐεργέτεν* M | *δεομένους ὑπολαμβάνειν* A | *ἐχθρῶσ* M *ἐχθρῶς* A *ἐχθροὺς* S ‖ **22** *ἀμύνασθαι* S M A: corr. Meineke

ἀπόλαυσις τᾶς εὐτυχίας. ὁ δ᾽ αὐτὸς τρόπος καὶ περὶ τὰς ὑπεροχάς· δεῖ γὰρ καθυπερέχεν τὼς ἄλλως ἀρετᾷ καὶ κατταύταν ἄξιον κρίνεσθαι τῶ ἄρχεν, ἀλλὰ μὴ καττὸν πλοῦτον ἢ τὰν δύναμιν ἢ τὰν ῥώμαν τὰν τῶν ὅπλων· ὃ μὲν γάρ τι κοινόν ἐντι καὶ τῶν τυχόντων, ὃ δὲ κοινὸν καὶ τῶν ἀλόγων ζῴων, ὃ δὲ κοινὸν καὶ τῶν τυράννων, ὃ δὲ μόνον ἴδιον τῶν ἀγαθῶν ἀνθρώπων. ὥστε ὅστις βασιλεὺς σώφρων μέν ἐντι περὶ τὰς ἡδονάς, κοινωνατικὸς δὲ περὶ τὰ χρήματα, φρόνιμος δὲ καὶ δεινὸς περὶ τὰν ἀρετάν, οὗτός κα εἴη καττὰν ἀλάθηαν βασιλεύς. ἔχει δὲ καὶ ὁ δᾶμος τῶν μερέων τᾶς τῶ ἀνθρώπω ψυχᾶς τὰν ἀναλογίαν ταύταν τῶν ἀγαθῶν καὶ τῶν κακῶν· ἁ μὲν γὰρ πλεονεκτία γίνεται περὶ τὸ ἁγούμενον μέρος τᾶς ψυχᾶς, λογικὰ γὰρ ἁ ἐπιθυμία· ἁ δὲ φιλοτιμία καὶ θηριότας περὶ τὸ θυμοειδές, τοῦτο γὰρ τὸ ζέον καὶ δυναμικὸν μέρος τᾶς ψυχᾶς· ἁ δὲ φιλαδονία περὶ τὸ ἐπιθυματικόν, τοῦτο γὰρ ⟨τὸ⟩ θῆλυ καὶ ὑγρὸν μέρος τᾶς ψυχᾶς· ἁ δέ γε ἀδικία τεληοτάτα κακία καὶ σύνθετος ἔασσα περὶ ὅλαν γίνεται τὰν ψυχάν. ὅθεν ὡς λύραν καὶ πόλιν εὐνομουμέναν δεῖ συναρμόσασθαι βασιλέα ὅρον δικαιότατον καὶ νόμω τάξιν ἐν αὐτῷ πρᾶτον καταστασάμενον, εἰδότα διότι τῶ πλάθεος, ᾧ δέδωκεν ὁ θεὸς αὐτῷ τὰν ἁγεμονίαν, ἁ συναρμογὰ ποτ᾽ αὐτὸν ὀφείλει συναρμοσθῆμεν. ποτὶ δὲ

1 *περὶ* libri: *ἐπὶ* Meineke ‖ 2 *τὰσ ὑπεροχὰσ* M | *ἀεὶ γὰρ καθυπερέχων* S M A: corr. Valckenaer ‖ 3 *κατ᾽ αὐτὰν* M A *καττταυτὰν* S *κατταύταν* prop. Gaisford recte | *τὸ ἄρχεν* S M A *ε* ex parte in ras. M[1]: corr. Valckenaer ‖ 4 *ἢ τὰν ῥώμαν ἢ τὰν δύναμιν* prop. Meineke ‖ 5 *ἐντι* M *ἐντὶ* S A | *ὃ δὲ κοινὸν καὶ τῶν ἀλόγων ζώων* S M A, om. typotheta Gaisfordi ‖ 7 *ὥστε ωστις* A ‖ 8 *ἐντὶ* M A Tr. *ἐστι* S | *ἁδονὰς* S *ἡδονὰς* M A Tr. | *κοινωνατικὸς* S M *κοινωνητ-* A *κοινωνακὸς* Tr. ‖ 9 *τὴν* A | *ἀρχὰν* S M A: corr. Iacobs ‖ 10 *κ᾽ εἴη* Tr. *καὶ εἴη* S M A | *ἀλήθειαν* A ‖ 11 *τοῦ ἀνθρώπου* libri: corr. Meineke | *ψυχάσ* M | v. *τὰν ἀναλογίαν* — 13 *μέρος τᾶς ψυχᾶς* om. A ‖ 13 *γίνεται* M Tr. dubito de S A ‖ 17 *τὸ* suppl. Meineke ‖ 18 *τεληοτάτα* Meineke · *τελειοτάτα* MA *τελεωτάτη* S | *εασσα* M *ἔᾶσσα* A *ἐᾶσα* S. correxi ‖ 19 *γίνεται* M Tr. vide ad 13 | *ὡς* Iacobs: *εἰς* libri | *εὐνομουμένην* S ‖ 21 *αὐτῷ* Meineke. an *αὐταυτῷ*? | *καταστησόμενον* libri: corr. Halm ‖ 22 *παθεος* sed *λ* supra *π* M ‖ 23 *ποταυτὸν* M

τοῖς ἀγορευμένοις δεῖ καὶ θέσιας καὶ ἕξιας ἐπιπρεπέας ἐπιταδεύεν τὸν ἀγαθὸν βασιλέα, πολιτικῶς αὐτὸν πλάσσοντα καὶ πραγματειωδέως, ὅπως μήτε τραχὺς φαίνηται τοῖς πλάθεσι μήτ' εὐκαταφρόνητος, ἀλλὰ καὶ ἁδὺς καὶ ἀμφιστραφής. τεύξεται δὲ τούτων, αἴκα πρᾶτον μὲν σεμνὸς ᾖ καὶ ἐκ τῶ ἰδὲν καὶ ἐκ τῶ ἀκοῦσαι καὶ ἐκ τῶ ἄξιος ἐπιφαίνεσθαι τᾶς ἀρχᾶς, δεύτερον δὲ χρηστὸς καὶ ἐκ τᾶς ἐντεύξιος καὶ ἐκ τᾶς ποτιβλέψιος καὶ ἐκ τᾶς εὐεργεσίας, τρίτον δὲ δεινὸς καὶ ἐκ τᾶς μισοποναρίας καὶ ἐκ τᾶς κολάσιος καὶ ἐκ τᾶς ἐπιταχύσιος καὶ ὅλως ἐκ τᾶς ἐμπειρίας καὶ τριβᾶς τᾶς περὶ τὸ βασιλεύεν. ἁ μὲν γὰρ σεμνότας θεόμιμον ὑπάρχουσα πρᾶγμα δύναται θαυμαζόμενον καὶ τιμώμενον αὐτὸν παρέχεσθαι τοῖς πλάθεσιν, ἁ δὲ χρηστότας φιλεύμενον καὶ ἀγαπαζόμενον, ἁ δὲ δεινότας φοβερὸν μὲν καὶ ἀνίκατον ποτὶ πολεμίως, μεγαλόψυχον δὲ καὶ θαρσαλέον ποτὶ φίλως. δεῖ δὲ τὰν σεμνότατα καθεστάσθαι περὶ αὐτὸν μηδὲν ταπεινὸν ἐπιταδεύοντα μηδὲ τῶν πολλῶν ἀντάξιον ἀλλὰ τῶν θαυμαινομένων καὶ τῶν ἁγεμονίᾳ καὶ σκαπτουχίᾳ ποτιφυῶν, ἁμιλλώμενον ἀεὶ μὴ τοῖς μηόνεσσι μηδὲ τοῖς ἴσοις ἀλλὰ τοῖς μεζόνεσσι, καὶ καττὸ μέγεθος τᾶς ἁγεμονίας ἁδονὰς ὑπο-

---

1 *ἀγορευομένοις* SMA: corr. Meineke | *ἐπιτρεπέας* A ‖ 2 *ἐπιτάσσευεν* SM *ἐπιτασσεύεν* A *ἐπιτάσσεν* Tr.: corr. Meineke | *αὐτὸν* Meineke. an *αὐταυτὸν*? | *πράσσ-* A ‖ 3 *πραγματιωδέως* libri: corr. Meineke ‖ 4 post *πλάθ.* quae praecepit e v. 13 *ἁ δὲ χρηστότας* del. A | *εὐκαταφρόνατος* M Tr. *εὐκαταφρόνητος* SA ‖ 5 *τοῦτον αἰκα* M ‖ 6 *τοῦ* pro *τῶ* A ter | *ἰδὲν* (vel *-ε̃ν*) S: *ἰδεῖνε* M *εἰδέναι* A. fuerit igitur $I\overset{E}{\Delta}EIN$ ‖ 7 *δεύτερος* A ‖ 9 *μισοπονηρίας* A | *τἀκολασίας* S *τακολασίασ* M *τᾶς ἀκολασίας* A: corr. Gesn.[1] p. 330^v marg. ‖ 10 *ἐπιταδεύσιος* ci. Badham ‖ 11 *τῆς* A ‖ 12 *ὑπάρχοισα* Meineke | *δύνασθαι* (σ fort. e corr. M) SMA: corr. Gesn.[1] *δυνασεῖται* prop. Meineke ‖ 15 *ποτιπολεμίωσ* ut mox *ποτιφίλωσ* M ‖ 16 *τὰ σεμνότατα* Tr. ‖ 17 *καθεστάσθαι* MA *-ᾶσθαι* S | *οὐδὲν* A ‖ 18 *μηδὲν* A ‖ 19 *σκηπτουχίᾳ* A | *ποτιφυῶν* libri. *-φυέων* Meineke ‖ 20 *μὴ* SM *μηδὲ* A | *μηόνεσσι* M *μηόνεσσιν* A: *μηόνεσι* S *μειόνεσι* Tr. ‖ 21 *μεζόνεσσι* SM *μειζόνεσσι* A *μεζόνεσι* Tr. | *καττὸ* (sine acc. M) SM *κατὰ τὸ* A | *τὰσ* M *τῆς* A | *ὑπολαμβάνοντα* sed ut dubium sit utrum *-οντα* ex *-ωντα* an hoc ex illo corrigere voluerit M^1

λαμβάνοντα μεγίστας ἦμεν τὰς ἐπὶ τοῖς καλοῖς ἔργοις καὶ μεγάλοις, ἀλλὰ μὴ τὰς ἐπὶ τοῖς ἀπολαύστοις, χωρίζοντα μὲν ἑαυτὸν ἀπὸ τῶν ἀνθρωπίνων παθέων, συνεγγίζοντα δὲ τοῖς θεοῖς, οὐ δι᾽ ὑπεραφανίαν ἀλλὰ διὰ μεγαλοφροσύναν καὶ μέγεθος ἀρετᾶς ἀνυπέρβλατον, τοιαύταν αὑτῷ ἐπιπρέπηαν καὶ προστασίαν ἀμφιβαλλόμενον καὶ κattὰν ὄψιν καὶ καττὼς λογισμὼς καὶ καττὰ ἐνθυμάματα καὶ καττὸ ἆθος τᾶς ψυχᾶς καὶ καττὰς πράξιας καὶ καττὰν κίνασιν καὶ καττὰν θέσιν τῶ σώματος, ὥστε τὼς ποταυγασμένως αὐτὸν κατακοσμαθῆμεν καταπεπλαγμένως αἰδοῖ καὶ σωφροσύνᾳ τε ⟨καὶ⟩ διαθέσει τᾷ περὶ τὰν ἐπιπρέπηαν. οἱ γὰρ μῆον αὐλῶ καὶ ἁρμονίας ⟨ἁ⟩ τῶ ἀγαθῶ βασιλέως ποταύγασις ὀφείλει τρέπεν τὰς ψυχὰς τῶν ποταυγασμένων. καὶ περὶ μὲν σεμνότατος ἅλις εἰρήσθω· περὶ δὲ χρηστότατος νῦν ὑποθέσθαι πειρασοῦμαι. χρηστὸς γὰρ ἐσσεῖται πᾶς βασιλεὺς τὸ μὲν καθόλω δίκαιός τ᾽ ἐὼν καὶ ἐπιεικὴς καὶ εὐγνώμων. ἔντι γὰρ ἁ δικαιότας

---

1 ἦμεν τὰς om. M A ‖ 2 τὰσ M ex τοῖς corr. S[1] τᾶς A ‖ 3 ἑαυτὸν libri omnes ‖ 4 οὐ δι᾽ S M οὐδὲ δι᾽ A ‖ 5 post ἀνυπέρβλατον distinguitur S A | τοιαύταν S A τοιαῦταν M ‖ 6 αὐτῶ S | ἐπιτρεπήιαν S ἐπιτρεπῆιαν M ἐπιτρέπηαν A; ἐπιπρέπειαν prop. Gesn.[1] mrg. ‖ 7 καττὰ τὼς A | λογισμῶσ M | καττὰ τὰ ἐνθυμήματα A ‖ 8 καττὰ ἆθος τῆς ψυχῆς S καττὰ ἀθοστᾶσ ψυχᾶσ M κατὰ ἦθος τᾶς ψυχᾶς A; καττὸ ἆθος τῆς ψυχῆς scr. Gesn.[1] | καττᾶσ M ‖ 9 κατᾶν S | νίκασιν typothetae errore Gesn.[2] | καττan M | τοῦ S M A: corr. Gesn.[1] | τὼς ποταυγασμένως Koen: τὼς ποταυτὰς μὲν ὡς (μενωσ M) S M τὼς ποτ᾽ αὐτὰς μὲν ως A ‖ 10 κατακοσμηθῆμεν S | καταπεπλαγμένως S M καταπεπλασμένως Tr. καταπεπλεγμένος A ‖ 11 καὶ inseruit Gesn.[2] | τᾷ Koen: τε libri | τὴν A | ἐπιτρέπηιαν S ἐπιτρεπηαν (sine acc.) M ἐπιτρέπηαν A; ἐπιπρέπειαν prop. Gesn.[1] mrg. ‖ 12 μήιον S μῆον M μῆον A | ἁ ex A inseruisse sibi visus est Gaisford, at deest ἁ tam in A quam in S M ‖ 13 τρέπεν A: πρέπεν S M: τρέπειν scripserat Gesn.[2] τέρπεν prop. Cobet mnemos.[2] II p. 109. expectes τράπεν | τᾶς ψυχᾶς S M A: corr. Gesn.[2] ‖ 14 ποτ᾽ αὐτᾶς S A ποταὐτᾶσ M: ποταυγασμένων αὐτόν Koen | σεμνότητος S | ἅλις S A ἄλλοσ M ‖ 15 χρηστότητος S | χρηστὸς A χραστὸς S M ‖ 16 ἐσεῖται Tr. | μὲν abundare monet Meineke ‖ 17 τ᾽ ἐὼν scripsi: τε ὢν libri | ἐντὶ Tr.: ἐστι S ἔστι M A

κοινωνίας συνεκτικὰ καὶ συνακτικά, καὶ μόνα γε ὦν πρὸς τὼς πλατίον ἁ τοιαύτα διάθεσις ἅρμοσται τᾶς ψυχᾶς. ὃν λόγον γὰρ ἔχει ῥυθμὸς ποτὶ κίνασιν καὶ ἁρμονία ποτὶ φωνάν, τοῦτον ἔχει τὸν λόγον δικαιότας ποτὶ κοινωνίαν· κοινὸν γὰρ ἀγαθόν ἐντι καὶ ἀρχόντων καὶ ἀρχομένων, εἴ γε δὴ συναρμοστικά ἐντι κοινωνίας πολιτικᾶς. ἁ δὲ ἐπιείκηα καὶ εὐγνωμοσύνα πάρεδροί τινές ἐντι τᾶς δικαιοσύνας, ἁ μὲν [τὸ ἐπιεικὲς ἁ δὲ] τὸ ἀπότομον τᾶς βλάβας μαλθαίνοισα, ἁ δὲ τοῖς ἐπὶ ποσὸν ἀμπλακίσκουσι συγγνώμας ἀπομερίζουσα. δεῖ δὲ τὸν ἀγαθὸν βασιλέα βοηθατικόν τε ἦμεν τῶν δεομένων καὶ εὐχάριστον, ⟨καὶ ἀβαρέα⟩ δέ· βοήθηαν δὲ μὴ καθ' ἕνα ποιήσασθαι τρόπον, ἀλλ' ὅπως δυνατὸν ἂν ῇ· εὐχάριστον δ' ἦμεν δεῖ μὴ ποττὸ μέγεθος ἀποβλέποντα τᾶς τιμᾶς, ἀλλὰ ποττὸν τρόπον καὶ τὰν προαίρεσιν τῶ τιμέοντος· ἀβαρέα δὲ δεῖ ἦμεν ποτὶ πάντας ἀνθρώπως, μάλιστα δὲ ποττὼς μήονας καὶ καταδεεστέρως ταῖς τύχαις· οὗτοι γὰρ ὥσπερ τοὶ νοσίοντες τοῖς

---

1 *κοινωνίας* M A *κοινωνία* S | *συνεκτικὰ καὶ συνακτικὰ* S M A *συνακτικὰ* Tr.: *συνακτικὰ καὶ συνεκτικὰ* scr. Meineke, *καὶ συνακτικὰ* tamquam dittographiam expelli vult Cobet mnemos. IX p. 131, sed tolerabis in tali scriptore vel frigidiorem verborum lusum | *ὤν* M | *πρὸσ τὼς* A *πρὸς τοὺς* (sed *ο* in *τοὺς* corr. S[1] fort. ex *α*) S *προς τοὺσ* M. malo *ποτὶ τὼς* vel *ποττὼς* ‖ 2 *ἁ τοιαύτα* S A *αὐτοιαύτα* M ‖ 3 *παρέχει* libri: corr. Badham | *καὶ ἀρχόντων — συναρμοστικὰ ἐντι* om. A ‖ 8 verba *τὸ ἐπιεικὲς ἁ δὲ* tamquam e glossemate orta seclusit Gaisford sicut iam Gesn.[2] ‖ *βλάβας* ex *-ης* S[1] | *μαλθαίνοισα* libri sed *ι* in ras. manu dub. M. *μαλθάσσοισα* prop. Cobet mnemos.[2] II p. 109 negans graecum esse vocabulum *μαλθαίνω*. at recte formatum est verbum. non aliter respondent inter se *μαλθαίνω* et *μάλθων* quam *πεπαίνω* et *πέπων* vel *εὐφραίνω* et *εὔφρων* ‖ 9 *ἀμπλακίσκουσα* A ‖ 10 *ἀπομερίζουσα* S M A *-οισα* Meineke | *δὲ*] *δ' ἔτι* prop. Meineke | *μαθηματικόν* libri: corr. Gesn.[1] mrg. ‖ 11 *ἥμεν* M | *καὶ ἀβαρέα* addi voluit Meineke, cf. 15 | *βοήθηαν* Tr. *βοήθειαν* S M A ‖ 12 *καθένα* M ‖ 13 *εὐχάριτον* A | *ἥμεν* M | *μη ποττο* M ‖ 14 *τὴν* M ‖ 15 *τιμέοντος* Tr. *τιμέοντας* S M sed *ι* ex *ο* corr. S[1] *τιμέον* A cf. Kühner-Blass *Ausf. gr.*[3] I 2 p. 141 adn. 1 | *δὲ* om. S A | *ποτὶ* S A Tr. *ποττὶ* M *ποττι* S ‖ 16 *ποττὼς* M A Tr. *ποττοὺς* S | *μείονας* A ‖ 17 *τέχναις* Tr. | *νοσέοντες* Gesn.[1]

σώμασιν οὐδὲν ὑπομένεν δύνανται τῶν βαρέων. ἔχοντι γὰρ τὰς διαθέσιας τοιαύτας καὶ οἱ θεοὶ καὶ μάλιστα ὁ κρατέων πάντων Ζεύς· καὶ γὰρ οὗτος σεμνὸς μέν ἐντι καὶ τίμιος διά τε τὰν ὑπεροχὰν καὶ τὸ μέγεθος τᾶς ἀρετᾶς, χραστὸς δὲ διὰ τὸ εὐεργετικός τε ἦμεν καὶ ἀγαθοδότας, ὅκως δὴ καὶ λέγεται ὑπὸ τῶ Ἰωνικῶ ποιητᾶ ὥς κ' εἴη 'πατὴρ ἀνδρῶν τε θεῶν τε'· δεινὸς δὲ διὰ τὸ κολάζεν τὼς ἀδικέοντας καὶ κρατὲν καὶ κυριεύεν πάντων· ἔχει δὲ καὶ τὸν κεραυνὸν μετὰ χεῖρα, σύμβολον τᾶς δεινότατος. ἐπὶ πᾶσι δὲ τούτοις μναμονεύεν δεῖ ὅτι θεόμιμόν ἐντι πρᾶγμα βασιλῆα.

63 *Σθενίδα Λοκροῦ Πυθαγορείου Περὶ βασιλείας.*

Χρὴ τὸν βασιλέα σοφὸν ἦμεν· οὕτω γὰρ ἐσσεῖται ἀντίμιμος καὶ ζαλωτὰς τῶ πράτω θεῶ. οὗτος γὰρ καὶ φύσει ἐντὶ καὶ πρᾶτος βασιλεύς τε καὶ δυνάστας, ὁ δὲ γενέσει καὶ μιμάσει. καὶ ὁ μὲν ἐν τῷ παντὶ καὶ ὅλῳ, ὁ δὲ ἐπὶ γᾶς, καὶ ὁ μὲν ἀεὶ τὰ πάντα διοικεῖ τε καὶ ζώει αὐτὸς ἐν αὑτῷ κεκταμένος τὰν σοφίαν, ὁ δ' ἐν χρόνῳ ἐπιστάμαν. ἄριστα δέ κα μιμέοιτο τοῦτον, εἰ μεγαλόφρονά τε καὶ ἅμερον καὶ ὀλιγοδεέα παρασκευάζοι αὑτόν, πατρικὰν διάθεσιν ἐνδεικνύμενος τοῖς ὑφ' αὑτῷ· διὰ

---

2 *δὲ* (pro *γὰρ*) coniecit Meineke ‖ 3 *σεμνὸς τέ ἐντι* Tr. ‖ 4 *τὴν* A ‖ 6 *ὅκως δὴ — πατὴρ* om. S | *ὥς κεἴη* M; 'sufficit *ὡς εἴη*' Meineke ‖ 8 *κολάζειν* S | *τὼς* Tr.: *τοὺς* S M A | *κρατέειν* A ‖ 9 *μετὰ χεῖρας* prop. Nauck ‖ 10 *πᾶσιν* M | *μναμονεύεν* M *μνημονεύεν* A *μναμονεύειν* S(?) Tr. ‖ 11 *ἐντι* S *ἐν* M *ἐστὶ* A | *βασιλεία* libri: corr. Meineke ‖ 12 ecl. cum lemm. hab. S M A; *λόκρου* M *πυθαγορίου* libri. scribendum videtur *Σθ. Λ. Πυθαγορείου* ⟨*ἐκ τοῦ*⟩ *Π. β.* Sthenidam per errorem inter poetas rettulit pinacographus Photi p. 57 Elt. ‖ 13 *εἶμεν* A | *ἐσσεῖται* reposui ex S M A *ἐσεῖται* Tr. | *ἀντίμιμος* (sine acc. A) libri nisi quod *ἀντίτιμος* Tr. ‖ 14 *ζηλωτὰς* S M A sed sine acc. A *ζαλ-* Gaisford | *τῶ ὑπάτω θεῶ* ci. Cobet mnemos. IX p. 131 ‖ 15 *ἐντὶ* Tr. *ἐστὶ* M A *ἐστι* S | *καὶ* (ante *πρ.*) suspectat Elter ‖ 16 *θέσει* vel *γε θέσει* prop. Meineke ‖ 17 *τε καζώει* M | *σώζει* prop. Iacobs ‖ 18 *αὐτῶι* vel *-ῶ* libri: corr. Meineke. cf. 20. 21 | *κεκταμένος*] cf. flor. 79, 52 init. Mein. ‖ 19 *δέ κα* Koen: *δὲ καὶ* S M A ‖ 20 *ἁβρὸν* libri, quod vitiosum esse vidit Gesn.[1]: corr. Ruhnkenius; *ἁδρὸν* Eldike, *πρᾶον* Halm | *παρασκευάζει* A ‖ 12 *δια* M

τοῦτο γάρ που μάλιστα καὶ νενομίχθαι τὸν πρᾶτον θεὸν πατέρα μὲν θεῶν, πατέρα δὲ ἀνθρώπων ἦμεν, ὅτι ἤπιος πρὸς πάντα τὰ ὑπ' αὐτῷ γενόμενα ἐντί, καὶ ἀντεχόμενος τᾶς προστασίας οὐδέποκα παύεται, οὐδὲ ἤρκεσται τῷ ποιητὰς μόνον πάντων γεγονέναι, ἀλλὰ καὶ τροφεὺς διδάσκαλός τε τῶν καλῶν πάντων καὶ νομοθέτας πέφυκε πᾶσιν ἐπίσας. τοιοῦτον θέμις ἦμεν καὶ τὸν ἐπὶ γᾶς καὶ παρ' ἀνθρώποις ἁγεμονὲν μέλλοντα βασιλέα· οὐδὲν δὲ ἀβασίλευτον καλὸν οὐδὲ ἄναρχον· ἄνευ δὲ σοφίας καὶ ἐπιστάμας οὔτε μὰν βασιλέα οὔτε ἄρχοντα οἷόν τε ἦμεν. μιματὰς ἄρα καὶ ὑπηρέτας ἐσσεῖται νόμιμος τῷ θεῷ ὁ σοφός τε καὶ βασιλεύς.

64 *Ἐκφάντου Πυθαγορείου ἐκ τοῦ Περὶ βασιλείας.*

Ὅτι μὲν ἅπαντος ζῴω φύσις ποτί τε τὸν κόσμον ἅρμοκται καὶ τὰ ἐν τῷ κόσμῳ πολλοῖς μοι δοκεῖ τεκμαρίοις φανερὸν ἦμεν. συμπνείουσα γὰρ οὕτω καὶ συνδεδεμένα τὰν ἀρίσταν τε ἅμα καὶ ἀναγκαίαν ἀκολουθίαν ὀπαδεῖ ῥύμᾳ τῷ παντὸς περιαγεομένα ποτί τε τὰν κοινὰν εὐκοσμίαν καὶ ποττὰν ἴδιον ἑκάστω διαμονάν· παρὸ

---

1 *γάρ τε που* A | *καὶ νενομίχθαι* libri: *δοκεῖ νενομίχθαι* prop. Valckenaer, *καὶ νενόμικται* (-*σται* Gesn.[1] marg.) Meineke dubitans tamen numne *νενόμιχθαι* librarius dederit plebeia usus forma pro *νενόμικται* | *τὸν θεὸν πατέρα μὲν θεῶν* (*θεὸν* A[1]) *πρᾶτον* libri: transposuit Valckenaer ‖ **3** *ἤπιος* M Tr. | *πρὸς*] malim *ποτὶ* | *γενόμενά ἐστι* (*ἐστιν* M) S M A *γενόμενα ἐντὶ* Tr. quod fortasse immerito recepere editores hic et p. 270, 15 | *ἀντεχόμενος* scripsi: *ἀμελούμενος* S M A. *ἐπιμελ-* primum in mentem venit, sed minus lenis haec mutatio Mullachii ‖ **4** *οὐδέπω καπαύεται* A | *ἤρκεσται* libri sed *ἤρκεσε* ex corr. A[1] ‖ **5** *πάντων* om. S ‖ **6** *πάντων* S M A. aberravit Gaisford, cum Gaisfordo Meineke et Nauck ‖ **7** *πᾶσιν ἐπίσας* S M *πάντων ἐπίσης* A | *θέμις ἦμεν* Valckenaer: *ἐπιστῆμεν* (sine acc. S) S M *ἐπίσταμαι* A **8** *ἁγεμονεῖν* S M A: corr. Gaisford. an *ἁγεμονεύεν*? ‖ **11** *ὑπηρέτας* S M *ὑπαρέτης* (sic) A | *ἐσσεῖται* S M A *ἐσεῖται* Tr. ‖ **13** ecl. cum lemm. hab. S M A; *ἐκφάντου πυθαγορίου* (*πυ* with *θ* above, S) S M A *ἐκφάντου τοῦ Π.* frustra Gaisford et Meineke. *ἐκ τοῦ Περὶ βασιλείας* om. S ‖ **15** *ἅρμοκται* (*ἅρ-* M) S M *ἁρμόκτ* (with *ε* above) fere A ‖ **16** *ἦμεν* Tr. *ημεν* S *εἱμεν* M *εἶμεν* A | **17** *ἀναγκαῖαν* M ‖ **18** *ὀπηδεῖ* Tr. | *περιαυγενομένα* S M A *περὶ αὖ γενομένα* Tr.: corr. Schaefer ‖ **19** *ἑκάστου* A

καὶ τόδε κόσμος ποταγορεύεται καὶ ἔντι τῶν ὄντων ζῴων τεληότατον. ἐν δὲ τοῖς μέρεσιν αὐτῶ πολλοῖς τε ὄντεσσι καὶ διαφόροις τὰν φύσιν ἐξάρχει τι ζῷον καὶ † οἰκειότατον ἐν γενοῖν καὶ διὰ τὸ μετέχεν πλέον τῶ θείω. καὶ ἐν μὲν τᾷ τῶ θεῶ ὄντος ἀεὶ φύσει τὰ τὰν πράταν καὶ μεγίσταν ἀκολουθίαν ἔχοντα ἀσπάζεται . . . καὶ τοὶ πλάνατες ἀστέρες· ἐν δὲ τᾷ χώρᾳ τᾷ σελάνας ἔνερθεν τὰ δι' εὐθείας ἰόντα σώματα ἁ τῶ δαίμονος φύσις ἔχει τὰν διεξαγωγάν· ἐν δὲ τᾷ γᾷ καὶ παρ' ἁμῖν ἀριστοφυέστατον μὲν ἄνθρωπος, θειότατον δ' ὁ βασιλεὺς ἐν τᾷ κοινᾷ φύσει πλεονεκτῶν τῶ κρέσσονος, τὸ μὲν σκᾶνος τοῖς λοιποῖς ὅμοιος, οἷα γεγονὼς ἐκ τᾶς αὐτᾶς ὕλας, ὑπὸ τεχνίτα δ' εἰργασμένος λῴστω, ὃς ἐτεχνίτευσεν αὐτὸν ἀρχετύπῳ χρώμενος ἑαυτῷ· κατασκεύασμα δὴ ὦν ὁ βασιλεὺς ἓν καὶ μόνον ἐντὶ οἷα τύπος τῶ ἀνωτέρω βασιλέως, τῷ μὲν

1 *προσαγορεύεται* A ‖ 2 *τεληιότατον* ni fallor S, certe *τεληότατον* Tr.: *τελειότατον* M A | *μέρεσιν* S M *μέρεσσιν* A; fort. *μερέεσσιν* | *αὐτοῦ* A | *ὄντεσσι* S M A *ὄντεσι* Tr. ‖ 3 *οἰκειότατον* S M A *οἰκηότατον* Tr. ‖ 4 *γενοῖν* ex *κοινοῖν* corr. S[1] | v. *καὶ οἰκειότατον ἐν γενοῖν* nondum expedita. *καὶ θειότατον καὶ ἔγγειον* olim Spondanus, *ὡς οἰκηότατον ὂν (ἐὸν?) γένει θεῶν* Iacobs lect. Stob. 91, *δι' οἰκηότητα ἐγγενῆ* Meineke v. IV p. LXX | *μετέχεν* S M *μετέχειν* A | *πλῆον* Meineke ‖ 5 *τᾷ* om. M A | *τῶ θεῶ* — (7) *ἀστέρες· ἐν δὲ* om. Gesn.[2], inde etiam Gesn.[3] | *ὄντως* M A *ὄντος* ex *ὄντως* S[1] | *ταν* (ut mox *και τοι*) sine acc. M. *καὶ ἐν μὲν τᾷ τῷ θεῶ ἀρχοτάτᾳ* (sive *ἐγγίστᾳ*) *φύσει τὰ τὰν πράταν καὶ μεγίσταν ἀκολουθίαν ἔχοντα ἄστρα δέδεται, καὶ τοὶ πλάνατες ἀστέρες* temptabat Iacobs lect. Stob. 92, vix felicior fuit Meineke proponens *ἔχοντα φαντάζεται ⟨ὅ τε ἅλιος τά τ' ἀπλανέα ἄστρα⟩ καὶ τοὶ πλάνατες ἀστέρες*. tamen lacuna ante (6) *καὶ τοὶ πλ.* manifesta ‖ 6 *καὶ οἱ* S | *πλανᾶτες* libri ‖ 7 *τᾶς σελάνας* libri: corr. Meineke. cf. Stob. I 1 p. 36, 13 W. ‖ 8 *ἁ τῶ* S *αὐτῶ* M A ‖ 9 *ἐν δὲ τᾷ γᾷ*—14 *χρώμενος ἑαυτῷ* leguntur supra IV 6, 22 (*Ἐκφάντου ἐκ τοῦ Περὶ βασιλείας*) | *παρ' ἁμῖν* Gaisford (cf. IV 6, 22): *παρ' ἁμῶν* (*ἡμ*- A) S M A ‖ 10 *ἄνθρωπος* libri etiam supra, ubi vide | *θειότερον* libri supra | *τᾶ* libri supra: *τε* S M A ‖ 11 *πλεονεκτέων* scr. Meineke | *τῶ κρέσσονι* libri supra | *κρέσσωνος* M ‖ 12 *τὰσ αὐτὰσ* M ‖ 13 *τεχνίτευσεν* A ‖ 14 post *κατασκεύασμα* distinguunt libri | *δὴ ὦν* prop. Gesn.[2]: *δι' ὃν* libri | *ἐν* pro *ἓν* S ‖ 15 *ἐντὶ οἷα τύπος* Meineke: *ἐν οἷς τινος* libri. *καὶ ὡς τύπος* praeiverat Barth, *ἐν ᾧ τύπος* Iacobs | *τῷ* Tr. *τῶν* S M A: corr. Gesn.[1]

πεποιηκότι γνώριμον ἀεί, τοῖς δ' ἀρχομένοις ὡς ἐν φωτὶ τᾷ βασιλῇᾳ βλεπόμενον. τᾷδε γὰρ κρίνεταί τε καὶ δοκιμάζεται, ὡς τὸ κράτιστον ἐν πτανοῖς ζῷον ἀετὸς ἀντωπὸν ἁλίω γενόμενον· χὠπὶ τᾶς βασιλῇας δὲ λόγος ὡυτός, θείας τε ἐάσσας καὶ δι' ὑπερβολὰν λαμπρότατος δυσοράτω, αἰ μὴ τοῖς γνασίοις· μαρμαρυγαί τε γὰρ πολλαὶ καὶ σκοτοδινιάσεις ὡς ἐφ' ὕψος ὀθνεῖον ἐπιβάντας τὼς νόθως ἀπήλεγξαν· τοῖς δὲ προσηκόντως κατ' οἰκηότατα πρὸς αὐτὰν ἐπὶ τοῦτο ἀφιγμένοις οἰκήσιμος, κεχρῆσθαι δυναμένοις αὐτᾷ. ⟨ἃ⟩ μὲν ὦν βασιλῇα χρῆμα εἰλικρινές τε καὶ ἀδιάφθορόν ἐντι καὶ δι' ὑπερβολὰν θειότατος δυσέφικτον ἀνθρώπῳ. δεῖ δὲ καὶ τὸν ἐς αὐτὰν καταστάντα καθαρώτατόν τε ἦμεν καὶ διαυγέστατον τὰν φύσιν, ὡς μὴ τὸ λαμπρότατον ἀφανίζῃ ἐν σπίλοις τοῖς αὑταυτῶ· καθὸ καὶ τὼς ἁγιωτάτως τόπως ἐκαλίδωσάν τινες, καὶ τῶν ἀντιασάντων ἔνιοι μιαροὶ τὼς ἀντιάξαντας αὐτοῖς. βασιλῇα δὲ τὸν ὁμιλήσοντα φύσιός τε ἀχράντω δεῖ μετ-

1 φωντι M ‖ 2 τὰ βασίλεια SMA: τᾷ βασιλείᾳ (-ῇᾳ Meineke) scr. Gesn.[2] | τάδε SMA: corr. Gaisford ‖ 3 πανοῖς A[1] | ζώων A ‖ 4 χωπιτᾶσ M | βασιλείας libri | ωυτὸσ M ‖ 5 ἐάσσας SA ἐάσασ MTr. | λαμπρότητος S | δυσορατω SM ‖ 6 αμη S ἁ μη M ἃ μὴ A: corr. Gesn.[2] mrg. | γνησίοις (γνα- Gaisford) Gesn.[2]: γυμνασίοις SMA ‖ 7 σκοτοδειυιάσεισ M. σκοτοδινιάσιες Meineke | ὀθνεῖον libri, -ῆον Meineke ‖ 8 προσηκόντως (ut scripsit Gesn.[1]) A ut videtur: προσήκοντος SM. malim ποθηκ- vel ποθακ- | κατ' οἰκειότατα (οἰκη- Meineke) Tr.: κατ' οἰκειοτάταν SA κατοικειοτάταν M ‖ 9 πρὸς (vel ποτ'-) αὐγὰν prop. Meineke | τοῦτο Iacobs: τούτω (vel -ωι) libri | ἅτε χρῆσθαι pro κεχρῆσθαι prop. Meineke ‖ 10 δυναμένοις αὐτᾷ. ἃ μὲν Meineke: δυναμέναν (δυνάμεναν M). αὐτὰ (αὐτα SM) μὲν SMA | ων M | βασιλεία (sine acc. S) libri, -ῇα Meineke ‖ 11 ἐντὶ (ἔντι M) libri | θειότατον Gesn.[1] ‖ 12 ἐσαυτὰν M ‖ 13 ἦμεν Tr.: εἶμεν SA εἰ μὲν M ‖ 14 ἀφανίζῃ A: ἀφανίζει SM | ὑφ' αὐτῶι fere libri. ἐφ' αὐτῷ Iacobs. ἑαυτῶ vel αὑταυτῶ maluit Meineke ‖ 15 τὼς S τῶσ M τοὺς A ‖ τόπως MA, etiam Tr.: τόπους S | ἐκαλήδωσάν M ‖ 16 ἀντιασάντων libri nisi quod αἰτι- ut videtur A. τῶν ἀκτασάντων ἔνιοι ἐμίαναν τὼς ἀντιάξαντας prop. Meineke vol. IV p. LXX ‖ 17 βασιλῆα libri: corr. Valckenaer | ὁμιλήσαντα libri: corr. Meineke | φυσιοστε M | ἀχθράντω Tr. | μετέχειν libri

ἔχεν, ἐπιστάμεν τε αὐτὸν ὅσῳ τῶν ἄλλων ἐντὶ θειότερος, ὅσῳ τε ἅτεροι αὐτῶ, οἷς δὴ κατὰ λόγον ἀπεικάζων ἑαυτὸν ἄριστ᾽ ἂν ἑαυτῷ τε χρῷτο καὶ τοῖς ὑποτεταγμένοις. καὶ τοῖς μὲν ἄλλοις ἀνθρώποις, αἴκα ἁμαρτάνωντι, ὁσιωτάτα κάθαρσις ἐξομοιωθῆμεν τοῖς ἀρχόντεσσιν, αἴτε νόμος αἴτε βασιλεὺς διέποι τὰ κατ᾽ αὐτώς· οἱ δ᾽ εἴ τι τῶ κρέσσονος δέοντος διὰ τὰν φύσιν ἀμπλακόντες οὐ μακρὰν οὐδ᾽ ἀπῳκισμένως † οἱ χρὴ θεῷ μὲν εὐθὺ τᾶς ὠφελείας τυγχάνεν. οὔτε γὰρ τὸν κόσμον δίζοιτο ἄν τις ἐν αὐτῷ τε ὢν καὶ μέρος ἐκείνω, οὔτ᾽ ἂν ἀνόητος εἴη τῶ διέποντος αὐτὸν ὁ ἀτέρων αὐτὸς ἄρχων. ἁ δ᾽ εὐκοσμία πολλὰ καὶ τὸ μηδὲν ἄναρχον εὑρὲν δύνασθαι καὶ τῷ τρόπῳ τᾶς ἀρχᾶς διδάσκαλον. ἐκλάμπει γὰρ αὐτᾶς εὐθὺ τὸ καλόν, ἂν ὁ μιμασόμενος δι᾽ ἀρετὰν αὐτῷ τε φίλος, ὃν μεμίμαται, καὶ πολὺ πλέον τοῖς ὑπ᾽ αὐτὸν τεταγμένοις. οὐ γὰρ ἄν τις θεοφιλὴς ὢν μισέοιτο ὑπ᾽ ἀνθρώπων, ἐπεὶ οὐδὲ τὰ ἄστρα οὐδ᾽ ὁ σύμπας κόσμος ἐχθαίρει τὸν θεόν· αἰ δέ γα ἐμίσει τὸν ἁγεμονεύοντα, οὔ κα εἵπετο [ἂν] πειθόμενος αὐτῷ· τὸ δ᾽ ἐκεῖνον ἄρχεν εὖ αἴτιον τῶ καὶ τῶσδε ἄρχεσθαι καλῶς. ἐγὼ μὲν ὦν ὑπολαμβάνω καὶ τὸν ἐπὶ τᾶς γᾶς βασιλέα δύνασθαι μηδεμιᾷ τᾶν ἀρετᾶν

---

1 *ἐπιστάμενον αὐτόν τε ὅσῳ* ci. Cobet mnemos.² II p. 109 | *τε αὐτὸν* S M A; *τε ἑαυτὸν* Schaefer in Bosii Ellips. 62 ‖ 2 *ὅσσα τε* (*τὲ* M) *ἅτερα* (*ἅτ-* M) S M A: corr. Koen, sed malim *ὅσσῳ* hic et supra | *καταλόγον* M ‖ 3 *χρᾶτο* Tr. ‖ 4 *ἁμαρτάνωντι* (ut prop. Gaisford) M: *ἁμαρτάνοντι* SA | *ὁσιωτάτα* S *ὁσιώτατα* M A ‖ 5 *ἀρχόντεσσιν* S M A *ἀρχόντεσιν* Tr. | *αἵ τε νόμοισ αἵ τε* M ‖ 6 *καταυτωσ* M | *οἱ δ᾽ εἴ τι* (*ειτι* M) *τῶ κρέσσονος δέοντο* (*δέοντος* A Tr.) S M A *οἱ δ᾽ αἴκα τῶ κρέσσονος δέοντες* scr. Mullach, *δέοντες* proposuerat Nauck ‖ 7 *τὴν* libri: corr. Meineke | *ἀμπλάκωντι* Mullach ‖ 8 *οἱ χρὴ θεῷ μὲν* prorsus obscura | *ὡς εὐθυτας* (*εὐθύτας* A) S A *εὐθὺ τασ* M Tr. ‖ 10 *τε* (*τὲ* M) *ὢν* libri. malo *τ᾽ ἐὼν* | *ἐκείνω* ex *ἐκεῖνο* corr. S¹ ‖ 11 *ἑτέρων* libri: corr. Meineke ‖ 12 *διὰ* pro *καὶ* (ante *τὸ μηδὲν*) dubitanter coni. Meineke | *τὸ τρόπω* M ‖ 14 *ἂν* MA *ἄν* S; malim *αἴ γ᾽* ‖ 15 *ὃν* S: *ὧν* M A ‖ 16 *μισείοιτο* M A *μισοῖτο* S *μισέοιτο* cod. Paris. gr. 1985 teste Gaisfordo ‖ 18 *γα* Cobet: *κα* S M *κἂν* A | *οὔ κα εἵπετο* Cobet: *οὐκ ἀεί ποτε ἂν* (*αν* sine acc. M) libri ‖ 19 *τῶ* (post *αἴτιον*) libri, etiam Tr.: *τὸ* S ‖ 20 *ὧν* M ‖ 21 *τῶν ἀρετῶν*: corr. Meineke

ἐλαττοῦσθαι τῶ κατ᾽ ὠρανὸν βασιλέως· ἀλλ᾽ ὥσπερ αὐτὸς ἀπόδαμόν τι ἐντὶ χρῆμα καὶ ξένον ἐκεῖθεν ἀφιγμένον πρὸς ἀνθρώπως, καὶ τὰς ἀρετὰς ἄν τις αὐτῶ ἔργα ὑπολάβοι τῶ θεῶ καὶ δι᾽ ἐκεῖνον αὐτῶ.|| σκοπέοντι δ᾽ ἀρχᾶθεν ἀλάθηα λόγος· κοινωνία τε γὰρ πράτα τε πάντων καὶ ἀναγκαιοτάτα τῷ τῶν ἀνθρώπων γένει, ἇς μετέχει μὲν ὁ παρ᾽ ἁμῖν βασιλεύς, μετέχει δὲ καὶ ὁ ἐν τῷ παντὶ πάντα διέπων· συνεστάναι γὰρ χωρὶς φιλίας καὶ κοινωνίας ἀμάχανον. σκοποίη δ᾽ ἄν τις ταῦτα καὶ ἐπὶ τῶν συμπολιτευομένων, ἐξελὼν τῶ λόγω τὰν κατὰ συνάθηαν κοινωνίαν· ἐλάττω γὰρ αὕτα τᾶς τε θείας φύσιος καὶ τᾶς βασιλικᾶς· οὐ γὰρ δέονται τὰν τοιαύταν δέησιν ἀλλάλων, καθ᾽ ἃν συνεκπορεῦντες τῶν ὑστεροῦντι, ἀναπλαροῦντι κοινὰν τὰν βοήθηαν· τέληοι γὰρ κατ᾽ ἀρετάν. ἁ δ᾽ ἐν τᾷ πόλει φιλία κοινῶ τινος τέλεος ἐχομένα τὰν τῶ παντὸς ὁμόνοιαν μεμίμαται· ἄνευ δὲ τᾶς περὶ τὰς ἀρχὰς διατάξιος οὐδεμία ἂν πόλις οἰκοῖτο· εἰς δὲ ταύταν νόμων τε δεῖται καὶ τινὸς προστασίας πολιτικᾶς τό τε ἄρχον καὶ τὸ ἀρχόμενον, αἴ πως σῴζοιτο δι᾽ αὐτό. ἐκ

1 *κατ᾽ οὐρανὸν* Tr. ‖ **3** malim *ποτ᾽ ἀνθρ.* | *ἀνθρώπως, ⟨οὕτως⟩ καὶ τὰς* prop. Meineke ‖ **4** *σκοπτέοντι* Tr. ‖ **5** *ἀλάθεια* libri: corr. Meineke | *τε* (ante *γὰρ*) suspectum Meinekio ‖ **6** *τῷ τῶν* cod. Paris. 1985 teste Gaisfordo: *τὰ τῶν* S M A *τᾶς τῶν* Tr. | *γένει, ἇς* Gaisford: *γενειασ* sine acc. S M *γένειας* A *γενειὰς* Tr., *γένει· αἷς* cod. Par. 1985 teste Gaisfordo ‖ **8** *συνεστάμεν* coni. Meineke ‖ **10** *τῶν* M: *τᾶν* ex *τὰν* S *τᾶν* Tr. *τὰν* A | *συνάθηιαν* S *συνάθειαν* M A ‖ **11** *ἐλάττω* S M A *ἐλάττων* Tr. cf. Croenert Philol. LXI 161 Mayser *Gramm.* 299 | *αὕτη* A ‖ **13** *ἀλλάλων* A: *ἀλλ᾽ ἄλων* M *ἀλλ᾽ ἄλλων* S | *καθ᾽ ἂν συνεκπορεῦντες* (*συνεκπονεῦντες* Badham) Pflugk: *καθανοῦν* (*κατθ-* A) *ἐκπορεῦντες* libri; *συνευπορεῦντες* prop. Meineke | *τῶν ὑστερούντων* S M A *τῶν ὑστέρων* Tr.: corr. Pflugk ‖ **14** *τὰν βοήθηαν* Meineke: *τὰν βοήθειαν* S *ταναβοάθειαν* M *τὰν ἀβοήθειαν* (ut *α* expungi videatur) A | *τέληοι* scripsi: *τέλειοι* libri | *ἀρετὴν* A ‖ **16** *τῶ* Meineke: *τοῦ* libri | *μιμᾶται* libri: corr. Halm lect. Stob. p. 46 ‖ **17** *οὐδὲ μία* M | *πόλις εὖ οἰκοῖτο* ci. Nauck ‖ **18** *δεῖται* A *δεῖ* S A ‖ **19** *αἴ πως σῴζοιτο* Meineke v. IV p. LXX: *ἀποσῴζοιτο* M *ἀποσῴζοι* A *ει σῴζοιτο* (π suprascr.) S[1] *εἴπερ σῴζοιτο* Tr. | *δι᾽ αὐτό* S *δὲ αὐτὸ* A *δ᾽ αὐτὸ* M | cohaerent haec cum proximis sine distinctione in A, etiam in M ut videtur

τούτων κοινὸν ἀγαθὸν εὐαρμοστία τις καὶ τῶν πολλῶν ὁμοφωνία μετὰ πειθοῦς συνᾳδοίσας. ὁ κατ' ἀρετὰν ἐξάρχων καλέεταί τε βασιλεὺς καὶ ἔντι, ταύταν ἔχων φιλίαν τε καὶ κοινωνίαν ποτὶ τὼς ὑπ' αὔταντον, ἅνπερ ὁ θεὸς ἔχει ποτί τε τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ. ὅλαν δὲ τὰν εὔνοιαν χρὴ παρασκευάζεσθαι πρᾶτον μὲν παρὰ τῶ βασιλέως ἐς τὼς βασιλευομένως, δεύτερον δὲ παρὰ τῶνδε ἐς τὸν βασιλέα, ὁποία γεννάτορος ποτὶ υἱέα καὶ ποτὶ ποίμναν νομέως καὶ νόμω ποτὶ χρωμένως αὐτῷ.

65 *Ἐν ταὐτῷ.*

Μιᾷ γὰρ ἀρετᾷ πρὸς τὸ ἄρχεν ἀνθρώπων καὶ πρὸς τὸν αὑτῶ βίον χρήσεται οὐδὲν ὡς δι' ἔνδειαν ποτιλαμβάνων εἰς ὑπηρεσίαν τὰν αὐτὸς αὑτῶ, ἀλλ' ὡς κατὰ φύσιν συνεργῶν· κοινωνίας γὰρ ἐάσσας οὐδὲν ἔλαττον ἕκαστος αὐτάρκως βιώσει καθ' αὑτόν. δοκεῖ μὲν γὰρ ὁ αὐτάρκης μηδενὸς ἂν ἄλλω πρός γε τὰν αὑτῶ διεξαγωγὰν ποτιδεήσεσθαι· αἰ δ' ἄρα δεῖ βίον ἐνεργέα ζώεν, δᾶλον ὡς καὶ ἅτερα αἰ προσλάβοι, οὐδέν τι ἔλαττον αὐτὸν αὐτάρ-

2 *συνωδόσασ* SM *-ωδοίσας* A *-ωδούσας* Tr.: corr. Gaisford | ⟨*διὸ*⟩ *ὁ* ci. Elter | *ἀρετὴν* A ‖ **3** *τε* A *τε* omisit, instituerat tamen scribere, nam *β* in *βασιλεὺς* pr. m. ex *τ* corr. S *τεσ* ni fallor M | *ἐντὶ* libri ‖ **4** *ὑπο ταυτὸν* S *ὑπό τ' αὐτὸν* Tr. *ὑπαυτ̀.* M *ὑπὸ αὐτὸν* A: corr. Badham | *ἅπερ* S M A: corr. Gesn.[1] f. 332ᵛ ‖ **6** *πρᾶτον* Meineke: *πρῶτα* SMA ‖ **7** *βασιλευομένους* A | *τονδε* in *τῶνδε* corr. M¹ ‖ **8** *ἐς* SM *πρὸς* A | *ὁποία* M *ὁποῖα* SA | *γεννήτορος* A ‖ **9** *νόμωι* A | *ποτὶ χρωμένως* prop. Gaisford: *ποτι* (sine acc. S) *χρώμενος* SM *ποτιχρώμενος* A ‖ **10** ecl. cum lemm. hab. S, om. MA ‖ **11** *μία γὰρ ἀρετὰ* S: corr. Meineke flor. vol. IV p. LXX | *ἀνθρώπων*] *ἄλλων* prop. Meineke ‖ **12** *αὐτῶ* S: corr. Meineke | *βίον. χρήσεται* ⟨*δ'*⟩ *οὐδενὸς κτὲ.* prave Gesn.[2] | *οὐδὲν ὡς* scripsi: *οὐδενὸς* S ‖ **13** *αὐτὸς αὐτῶ*] *αὐταυτῶ* ci. Nauck | *ἄλλως* S: corr. Gaisford ‖ **14** *ἐνεργῶν* (vel *-γέων*) Meineke ‖ *κοινανίας* Cobet mnemos. IX 130, cf. infra p. 279, 2. 3. | *ἐάσσας* revocavi ex S: *ἐάσας* Tr. | *ἕκαστον* Tr. ‖ **15** *αὐταρκέως* mavult Meineke | **16** *ἂν* delet Meineke, nisi fortasse in proximis praestet *ποτιδεήσασθαι* | *πρός τε τὰν* S: *πρός γε τὰν* tacite Gesn.[2] expectes *ποτί γα τὰν* cf. p. 274, 18 | *αὐτῶ* S: corr. Meineke. dubites tamen in talibus, cf. Kühner-Blass I 600 ‖ **17** *ζώεν* Tr. *ζῶεν* S | *δᾶλον*] cf. quae monui Stob. III p. LXIX ‖ **18** *ἅτερα* S: *ἕτερα* Tr. | *αἰ* Meineke flor. vol. IV p. LXX: *ἂν* S | *αὐτάρκεα* (ut scr. Meineke) S: *αὐταρκέα* Tr.

κεα ποιήσει· φίλως τε γὰρ ἕξει διὰ τὰν αὐτῶ ἀρετάν, καὶ τοῖσδε χρώμενος οὐ κατ' ἄλλαν ἀρετὰν χρήσεται ἢ ᾇπερ καὶ ποττὸν αὐτῶ βίον. ἀνάγκα δὲ ἀκολουθὲν καὶ τὰ τοιάδε, οὐχ ἁτέρας τινὸς ἐξαιρέτω ποτταῦτα παρεσκευασμένας. χὠ μὲν θεὸς οὔτε διακόνως ἔχων οὔτε ὑπηρέτας οὔτ' αὖ προστάξει τινὶ χρώμενος οὐδὲ στεφανῶν ἢ ἀναγορεύων τὼς πειθομένως ἢ ἀτιμάζων τὼς ἀπειθέοντας, οὗτος αὐτὸς ἄρχει ποτὶ τοσόνδε μέγεθος ἀρχᾶς, ἀλλ' οἶμαι παρέχων ἀξιομίματον ἑωυτὸν ζᾶλον ἐντίθητι πᾶσι τᾶς αὐτῶ φύσιος. ἔντι δὲ αὐτὸς μὲν ἀγαθός, καὶ τόδε μόνον τε καὶ ῥᾴδιον ἔργον αὐτῶ· οἱ δὲ μιμεύμενοι τῶν ἄλλων κρέσσον τῷδε πάντα ἐργάζονται· ἁ δὲ ὁμοίωσις καὶ ἑκάστω τῶδε αὔταρκές ἐντι. οὐ γὰρ ἄλλα μὲν ἀρετὰ ποιεῖ τὰ ἀρεστὰ τῷ θεῷ, μιμέεται δ' αὐτὸν ἁτέρα. ὁ δ' ἐπίγηος ἁμῖν βασιλεὺς πῶς οὐχ ὁμοίως αὐτάρκης; ἀπεικάζων τε γὰρ αὐτὸν ἑνὶ ἂν ἀπεικάσειε τῷ κρατίστῳ, καὶ πᾶς ἑωυτῷ πειρώμενος ὁμοιοῦν † αἶθος ἔσσεται· τὰ δ' ὅσα βίας καὶ ἀνάγκας τὰς τῶν ὑποτεταγμένων, ἐνίοτε ἑκάστῳ τὰν περὶ τὰν μίμασιν προθυμίαν

---

1 *αὐτῶ* S: corr. Meineke. cf. p. 276, 16 adn. ‖ 2 *ᾇπερ* prop. Gesn.[2] marg.: *ἅπερ* S ‖ 3 *αὐτῶ* S cf. 1 | *ἀκολουθεῖν* S: corr. Meineke | *τὰ τοιάδε* (ut voluerat Gaisford) S *τὰ τοιᾶδε* Tr. ‖ 4 *ἁτέρας* prop. Meineke: *ἁτέρως* S *ἁτέρω* Gesn. | *ποττ' αὐτὰ* S: corr. Meineke | *παρεσκευασμένως* S: corr. Meineke ‖ 6 malim *ποτιτάξει* ‖ 8 *οὕτως* ci. Elter ‖ 9 *ἑωυτὸν* tacite Meineke: *ὠυτὸν* S. intermiscentur etiam proximis formae ionicae | *ἐντίθητι* S *ἐντίθησι* Tr. ‖ 10 *αὐτῶ* S cf. ad 1 ‖ 11 *ῥάδιον* S: *ἀίδιον* ci. Wakefield *πρᾶτον* Halm. an *τρανὸν*? 12 *ἄλλων* Meineke: *αὐτῶν* S | *τῷδε* Wakefield (non Gesner ut adnotavit Meineke): *τῶδε* S ‖ 13 *ἄλλα μὲν ἀρετὰ* Tr.: *ἄλλαι μὲν ἀρεταὶ* S ‖ 15 *ἑτέρα* S: tacite corr. Mullach | *ἐπίγειος* S: corr. Meineke ‖ 16 *αὐτὸν* S ‖ 17 *πᾶς ἑαυτὸν τῷ κρατίστῳ πειρ.* prop. Meineke | *αιθοσ* S[1] ut in *αι* oblitterati videantur et spir. et acc. acutus S[1] *αἶθοσ* S m. rec. *αἶθ' ὃς* Tr. *ἰσόθεος* ci. Iacobs ‖ 18 *ἔσσεται* S: *ἔσεται* Tr. | *τὰς* S *τᾶς* prop. Iacobs, ex *ἔχεται* corruptum putat Meineke ‖ 19 *ἐνί τε* S *ἐνίοτε* Tr. *ἐντί, τότε* ci. Iacobs. et fortasse verum est *τὰ δ' ὅσα* (malim *ὅσσα*) *βίας καὶ ἀνάγκας τᾶς τῶν ὑπ. ἐντί, ἑκάστῳ — ἀφαιρέεται.* ceterum rara haec verbi *ἀφαιρεῖσθαι* structura | *προθυμίαν* (sicut scripserat Gesn.[1] marg.) S: *προθυμία* Tr.

ἀφαιρέεται· χωρὶς εὐνοίας γὰρ ἀμάχανον ἐξομοιωθῆναι, ἃ μάλιστα πάντων ἀφανίζει τὸ φοβερόν. ὡς εἴθε ἦν τᾶς ἀνθρωπίνας φύσιος δυνατὸν ἀφελὲν τὸ καὶ πειθοῦς τινος δέεσθαι. τόδε γὰρ τᾶς ἐπιγήω φαυλότατος τὸ λείψανον, καθ' ἃν ἐπίκαρον ὂν τὸ ζῷον ταύτας οὐκ ἀμοιρεῖ· ἐπειδήπερ πειθὼ ἔργον τι ἐντὶ παροικέον ἀνάγκᾳ· πράτα γὰρ ἀφ' αὑτᾶς αὐτὰ κατεργάζεται, τάπερ ἐκείναν διέφυγεν. ὅσα δ' αὐτοφυῶς τῷ καλῷ χρῆται, τούτοις οὐδεμία πειθοῦς αἰδώς, ἐπειδήπερ οὐδὲ φόβος ἀνάγκας. ἐνεργάσαιτο δ' ἂν μόνος ὁ βασιλεὺς ἀνθρώπω φύσει καὶ τόδε τὸ ἀγαθόν, ὡς διὰ μίμασιν αὐτῶ τῶ κρέσσονος ποτὶ τὸ δέον ἕπεσθαι. τὼς δὲ ὥσπερ ὑπὸ μέθας διεφθαρμένως καὶ διὰ κακὰν τροφὰν ἐς λάθαν ἐμπεσόντας αὐτῶ παραλαφθεὶς ὁ λόγος ἐπέρρωσέν τε καὶ κάμνοντας ἰάσατο καὶ τὰν ἐκ τᾶς κακίας ἐνοικεῦσαν αὐτοῖς λάθαν ἐκβαλὼν τὰν μνάμαν ἐσῴκισεν, ἐξ ἇς ἀπετέχθη ἁ καλεομένα πειθώ· καὶ τὰν ἀρχὰν ἐκ φαύλων σπερμάτων λαβοῦσα αὔτα τι σπουδαῖον ἐφύη τὰν ἐπίγηον οἰκεῦσα χώραν, ἐν ᾇ δι' ἀσθένηαν τᾶς ἁμῶν φύσιος ὁ λόγος ἀνθρώποις ὁμιλέων ἀναπλαροῖ τὰ τῶν διὰ κακίαν ὑστερούντων.

66 *Ἐν ταὐτῷ.*

Ἅπερ ἱερὰν καὶ θείαν ἔχων ἔννοιαν τῷ ὄντι βασιλεὺς εἴη· τᾶδε γὰρ πεπεισμένος ἀγαθῶν μὲν πάντων

2 ἃ] *ἂν* ci. Cobet mnemos.[2] II p. 109 | 2 v. *ὡς εἴθε* — 5 *οὐκ ἀμοιρεῖ* leguntur etiam supra p. 245, 5 (*Ἐκφάντου ἐκ τοῦ περὶ βασιλείας*) ‖ 3 *φύσιος* Stob. supra: *φύσεως* S | *ἀφελὲν* S *ἀφέμεν* Tr. | *τὸ καὶ* Stob. supra: *καὶ τὸ* S | *πειθοῦς* Stob. supra, Tr.: *πειθοῦσι* S ‖ 4 *δέεσθαι* Stob. supra: *δέχεσθαι* S | *ἐπιγείου* S *ἐπιγείω* libri supra | *τὸ* om. libri supra ‖ 5 *ἐπίκαρον* (-*ηρον* S) libri supra: *ἐπίκαιρον* S | *αὐτᾶς* Stob. supra | *ἐπειδήπερ* S *ἐπειδὴ* Tr. ‖ 6 *πράτα* Tr.: *πρώτα* S ‖ 7 *τάπερ* Halm. lect. Stob. p. 47: *τὰ παρ'* S ‖ 9 *οὐδὲ* Tr. *οὐδὲ δὲ* S ‖ 18 *ἐφύη* S: *ἐκφύη* operarii error Gaisf., inde abductus *ἐκφύει* Halm | *ἐπίγηιον* S | *οἰκεῦσα* (sicut prop. Halm) S *οἰκεῦσαι* Tr. ‖ 19 *ἀσθένηαν* scripsi: *ἀσθένειαν* S | *ἁμῶν* Tr. *ἡμῶν* S ‖ 20 *ἀναπληροῖ* Halm, sed hyperdoricas formas nolui expellere cf. ecl. 64 | *τὰ* Halm: *τε* S. *τι* et mox *ὑστεροῦντι* ci. Nauck cf. ecl. 64 ‖ 21 ecl. cum lemm. hab. S M A ‖ 22 *ἅπερ* A. *δι' ἅπερ* ci. Meineke, sed dubitans ipse | *κ' εἴη* prop. Meineke. enuntiatum vix integrum

αἴτιος ἐσσεῖται, κακῶν δὲ οὐδενός. οὐ μὰν ἀλλ' ὅτι γε δίκαιος ἐσσεῖται κοινωνικὸς ὢν παντί τῳ δᾶλον· ἰσότατι γὰρ ἁ κοινωνία, καὶ ἐν τᾷ ταύτας ἀποδιανομᾷ ἐξάρχει μὲν ἁ δικαιοσύνα, μετέχει δ' ἁ κοινωνία· οὐ γὰρ δυνατὸν ἄδικον μὲν ἦμεν, μεταδιδόμεν δὲ ἰσότατος, ἢ μεταδιδόμεν ⟨μὲν⟩ ἰσότατος, μὴ κοινωνικὸν δὲ ἦμεν. ἐγκρατέα δὲ πῶς οὐκ ἂν ὑπολάβοι τις τὸν αὐτάρκη; ἁ γὰρ πολυτέληα μάτηρ τᾶς ἀκρασίας, αὕτα δὲ τᾶς ὕβριος, ἐξ ἇς τῶν ἐν ἀνθρώποις κακῶν τὰ πολλά. ἁ δ' αὐτάρκηα οὐδ' ἂν τέκοι πολυτέληαν οὔτε τὰ ἀπ' αὐτᾶς· ἀλλὰ αὐτά τις οὖσα ἀρχὰ πάντα μὲν ἄγοι, ἄγοιτο δ' ἂν ὑπ' οὐδενός. ὅπερ ἔντι μὲν τῷ θεῷ, ἔντι ⟨δὲ⟩ καὶ τῷ βασιλεῖ, αὐτῷ μὲν ἄρχεν (ἀφ' ὧπερ καὶ ὁ αὐτάρκης καλέεται), ἄρχεσθαι δ' ὑπ' οὐδενός· ταῦτα δ' ὅτι μὲν φρονάσιος χωρὶς οὐκ ἂν γένοιτο, δᾶλον, ὅτι δ' ἁ τῶ κόσμω φρόνασις ὁ θεός ἐντι, φανερόν· συνέχεται γὰρ εὐκοσμίᾳ τε καὶ τάξει τᾷ δεούσᾳ· νόῳ δὲ χωρὶς οὐκ ἂν αὐτὰ γενοίατο. οὐδ' ὁ βασιλεὺς δὴ χωρὶς φρονάσιος ταύτας ἂν ἔχοι τὰς ἀρετάς, δικαιοσύναν φαμὶ καὶ ἐγκράτηαν καὶ κοινωνίαν καὶ ὅσα τούτων ἀδελφά.

67 *Μουσωνίου ἐκ τοῦ Ὅτι φιλοσοφητέον καὶ τοῖς βασιλεῦσιν* (Mus. rel. p. 32 H.).

---

1 *ἐσσεῖται* S M A *ἐσεῖται* Tr. | *ἀλλ' ὅτι γε* Tr. *ἄλλο τί γε* S A *ἄλλό τί γε* M ‖ **2** *ἐσσεῖται* S M A *ἐσεῖται* Tr. | *κοινανικὸς* Cobet | fort. *ἐὼν* | *τῳ* Gesn.[2]: *τὸ* S M A | ⟨*ἐν*⟩ *ἰσότατι* tacite scr. Gesn.[1] ‖ **3** *τᾶ* S A *τῶ* M | *ταύτης* A ‖ **5** *ἢ μετὰ διδόμεν* M | **6** *μὲν* addidit Meineke | *κοινωνὸν* Tr. | *ἐσκρατέα* Tr. ‖ **7** *ὑπολάβη* libri: corr. Meineke | *πολυτέληα* A *πολυτέλεια* S M ‖ **8** *τῆς* (ante *ἀκρ.*) A | *ὕβριος* S *ὕβρεως* M A ‖ **9** *ἐν ἀνθρωπίνοις* Tr. | *αὐτάρκηια* M *ἀντάρκηα* A *αὐτάρκεια* S | *οὐδ' ἂν τέκοι* Iacobs: *οὐδάν τε καὶ* S M *οὐδ' ἄν τε καὶ* A *οὐδάν τε. καὶ* Tr. ‖ **10** *πολυτέλειαν* libri ‖ **11** exspectes *ἔασσα ἀρχὰ* coll. p. 273, 5. 276, 14 | *ἄγοι ἄγοιτο* cod. Paris. 1985 fide Gaisfordi: *ἀγοῖ ἀγοῖτο* S M A ‖ **12** *δὲ* tacite suppl. Gesn.[1] | *αὐτῷ* Halm lect. Stob. p. 47: *αὐτῶ* libri ‖ **13** *ἄρχειν* A | *ἀφ' ὧπερ* A *ἀφῶπερ* M *ἀφ' ὅπερ* S | *αὐτάρχης* dubitans coni. Elter ‖ **14** *χωρὶς* M A *ἐκτὸς* primo S sed *χωρὶς* superscr. S[1] ‖ **15** *ἁ τῶ* S *ἁ τοῦ* A *αὐτῶ* M | *κόσμου* A ‖ **16** *τὰ δέουσα* Tr. ‖ **19** *δικαιοσύνας* Tr. | *φαμὶ* S *φημὶ* M A | *ἐγκράτηαν* S A *ἐγκράτειαν* M ‖ **21** ecl. cum lemm. hab. S M A

Εἰσελθόντος δέ ποτε ὡς αὐτὸν τῶν βασιλέων τινὸς τῶν ἀπὸ τῆς Συρίας, ἦσαν γὰρ ἔτι τότε ἐν Συρίᾳ βασιλεῖς Ῥωμαίων ὑπήκοοι, ἄλλα τε πολλὰ εἶπε πρὸς τὸν ἄνδρα καὶ δὴ καὶ ταῦτα. Μὴ οἴου, ἔφη, ἄλλῳ τινὶ μᾶλλον προσήκειν φιλοσοφεῖν ἢ σοί, μηδ' ἄλλου του χάριν μᾶλλον ἢ ὅτι βασιλεὺς τυγχάνεις ὤν. δεῖ μὲν γὰρ δήπου δύνασθαι τὸν βασιλέα σῴζειν ἀνθρώπους καὶ εὐεργετεῖν· τὸν δέ γε σώσοντα καὶ εὐεργετήσοντα χρὴ ἐπίστασθαι, τί μὲν ἀγαθὸν ἀνθρώπῳ τί δὲ κακόν, καὶ τί μὲν ὠφέλιμον τί δὲ βλαβερόν, καὶ συμφέρον γε καὶ ἀσύμφορον· εἴ γε ἀπόλλυνται μὲν οἱ περιπίπτοντες τοῖς κακοῖς, σῴζονται δὲ οἱ τυγχάνοντες τῶν ἀγαθῶν, καὶ εὐεργετοῦνται μὲν οἱ ἀξιούμενοι τῶν ὠφελίμων καὶ συμφερόντων, κακοποιοῦνται δὲ οἱ ἐμβαλλόμενοι τοῖς ἀσυμφόροις καὶ βλαβεροῖς. ἀγαθὸν μέντοι καὶ κακὸν ἢ συμφέρον καὶ ἀσύμφορον ἢ ὠφέλιμον καὶ βλαβερὸν οὐκ ἄλλου του διαγινώσκειν ἢ τοῦ φιλοσόφου ἐστίν, ὅς αὐτὸ τοῦτο διατελεῖ πραγματευόμενος, ὅπως μηδὲ ἓν τούτων ἀγνοήσει, καὶ τέχνην πεποίηται ταύτην εἰδέναι τί φέρει πρὸς ἀνθρώπου εὐδαιμονίαν ἢ κακοδαιμονίαν. διὸ φαίνεται δεῖν τὸν βασιλέα φιλοσοφεῖν. καὶ μὴν προσήκει μὲν τῷ βασιλεῖ, μᾶλλον δ' ἀνάγκη ἐστὶν αὐτῷ, τὰ δίκαια βραβεύειν τοῖς ὑπηκόοις, ὡς μήτε πλέον ἔχειν μήτε ἐλαττοῦσθαι μηδένα παρὰ τὴν ἀξίαν, ἀλλὰ καὶ τιμῆς καὶ τιμωρίας τυγχάνειν τοὺς ἀξίους. ταῦτα δὲ πῶς ποτε δυνηθείη ἄν τις δίκαιος οὐκ ὤν; δίκαιος δὲ πῶς ἂν εἴη τις μὴ ἐπιστάμενος δι-

1 *αὐτὸν* M sed *ὸ* in ras. corr. M², A: *αὐτῶν* S ‖ 2 *ἦσαν γὰρ ἔτι τότε ἐν Συρίᾳ βασιλεῖς Ῥ. ὑπ.*] hinc apparet Lucii apomnemoneumata scripta esse aliquot annis post 105, vidit Rohde *Ueber Lucians schr. Λούκιος ἢ ὄνος* p. 26 adn. 1 ‖ 3 *ὑπήκοοι*, post prius *ο* una littera erasa est, fortasse *ι* S ‖ 5 *ἄλλου τοῦ* M A¹ *ἄλλου του* A². A codicis manus correctrix per hanc eclogam fortasse eadem est quae scripsit fol. 158—165, certe eius simillima ‖ 6 *τυγχάνης* A¹ ‖ 8 *σώσαντα* M ‖ 9 *μὲν γὰρ ἀγαθὸν* A ‖ 15 *καὶ κακὸν* scripsi: *ἢ κακὸν* libri | *καὶ ἀσ.* M: *ἢ ἀσ.* S A ‖ 16 *καὶ βλαβ.* S M A: *ἢ βλαβ.* Tr. ‖ 18 *ἀγνοήσει* A²: *ἀγνοήσῃ* S M A ‖ 20 *ἢ κακοδ.* om. Tr. p. 302 ‖ 21 *προσῆκεν* M A¹ *προσῆκε* S A²: corr. Gesn.² p. 336 ‖ 23 *ἔχειν μήτε* M A Tr.: *ἔχειν μηδὲ* S

καιοσύνην, ὁποῖόν τι ἐστίν; πάλιν οὖν καὶ ταύτῃ φιλοσοφητέον τῷ βασιλεῖ, ὅτι δικαιοσύνην καὶ τὸ δίκαιον οὐκ ἂν ἄλλως φαίνοιτο γνούς, εἰ μὴ φιλοσοφήσειεν. οὐ γὰρ οὔθ' ὡς οὐχ ὁ μαθὼν μᾶλλον εἰδήσει τὰ δίκαια τοῦ μὴ μαθόντος ἔστιν εἰπεῖν, οὔθ' ὡς οὐκ ἀμαθεῖς εἰσι τῶν τοιούτων πάντες οἱ μὴ φιλοσοφήσαντες. στασιάζουσι γοῦν καὶ πολεμοῦσι περὶ τῶν δικαίων πρὸς ἀλλήλους, οἱ μὲν ταῦτα φάσκοντες οἱ δὲ ἐκεῖνα δικαιότερα εἶναι. καίτοι περί γε ὧν ἐπίστανται ἄνθρωποι, περὶ τούτων οὐ διαφέρονται· οὔτε περὶ λευκῶν ἢ μελάνων, ἢ θερμῶν ἢ ψυχρῶν, οὔτε περὶ μαλακῶν ἢ σκληρῶν· ἀλλὰ κατὰ τὰ αὐτὰ περὶ τούτων ἅπαντες φρονοῦσί τε καὶ λέγουσιν· ὥστε καὶ περὶ τῶν δικαίων ὡμονόουν ἂν παραπλησίως, εἴπερ ᾔδεσαν ἅ τινα ἐστίν· ἐν ᾧ δ' οὐχ ὁμονοοῦσιν, ἀγνοοῦντες φαίνονται. καὶ οὐδὲ σὺ ταύτης ἐκτὸς εἶ τῆς ἀγνοίας, ὡς ἐγὼ δοκῶ· ὅθεν ἐπιμελητέον σοι τῆς γνώσεως μᾶλλον ἢ ἄλλῳ ὁτῳοῦν, καὶ τοσούτῳ γε μᾶλλον ⟨ὅσῳ περ⟩ αἴσχιον ἀνδρὶ βασιλεῖ ἢ ἰδιώτῃ εἶναι ἐν ἀγνοίᾳ δικαιοσύνης.

Ἔτι τοίνυν δεῖ μὲν τὸν βασιλέα σωφρονεῖν αὐτόν, δεῖ δὲ τοὺς ὑπηκόους σωφρονίζειν, ἵν' ὁ μὲν ἄρχῃ σωφρόνως, οἱ δ' ἄρχωνται κοσμίως, μηδέτεροι δὲ τρυφῶσι· λυμαντικὸν γὰρ ἄρχοντός τε καὶ ἰδιώτου παντὸς ἡ τρυφή.

---

1 post *δικαιοσύνην* praecipit v. *καὶ τὸ δίκαιον οὐκ ἄν,* sed delevit A ‖ 4 *οὐχ* (*οὐχὶ* A[1]) *ὁ μαθὼν* S M A[1] *οὐχ ὁ μὴ μαθὼν* corr. A[2]; *οὐχὶ ὁ μαθὼν* receperunt Gaisford et Meineke, sed *οὐχὶ* ortum videtur ex scriptura *οὐχ'* quae est in M, et *οὔθ' ὡς οὐχ* commendatur anaphora (*οὔθ' ὡς οὐκ* 5) ‖ 4. 5 *μὴ μαθόντος* Halm lect. Stob. p. 5: *μανθάνοντος* S M A *μαθόντος* A[2] ‖ 5 *ἀμαθής* A[1] ‖ 9 *τοι* om. A ‖ 10 *μελανῶν* A ‖ 15 *εἶ* S: *ἡ* (sine spir.) M *ἧς* A[1] ‖ 16 *ἐπιμελετητέον* M ‖ 17 *ἄλλο* S ‖ 18 *ὅσῳ περ αἴσχιον* A[2], et *ὅσῳ αἴσχιον* iam recte Gesn.[1] f. 333[v], cf. Stob. III p. 649, 2 sqq. H.: *αἴσχιον* libri, sed *ὅ τε* vel *ὅ γε* supra lin. add. M[2]. sufficit *ὅσῳ*, nulla enim in hiatu offensio, at *ὅσῳ περ αἴσχιον* suggerit Stobaeus II p. 245, 23 W. ‖ 20 ante *Ἔτι* plenior distinctio in S M, nescio an etiam in A | *δεῖ μὲν τὸν βασιλέα* reposui ex M: *δεῖ τὸν βασιλέα μὲν* S A; *τὸν βασιλέα δεῖ μὲν* ci. Meineke ‖ 22 *ἄρχωνται* A Tr. p. 303: *ἄρχονται* S M | *τρυφῶσιν* M

πῶς δ' ἂν ἢ αὐτὸς σωφρονήσειέ τις μὴ μελετήσας κρατεῖν τῶν ἐπιθυμιῶν, ἢ ἀκόλαστος ὢν ἄλλους ποιήσειε σώφρονας; τίς μέντοι ἐπιστήμη πρὸς σωφροσύνην ἄγει πλὴν φιλοσοφίας, οὐκ ἔστιν εἰπεῖν· αὕτη γὰρ διδάσκει μὲν ἐπάνω ἡδονῆς εἶναι, διδάσκει δ' ἐπάνω πλεονεξίας, διδάσκεί δὲ ἀγαπᾶν εὐτέλειαν, διδάσκει δὲ φεύγειν πολυτέλειαν, ἐθίζει δ' αἰδῶ ἔχειν, ἐθίζει δὲ γλώττης κρατεῖν, τάξιν δὲ καὶ κόσμον καὶ εὐσχημοσύνην περιποιεῖ καὶ ὅλως τὸ ἐν κινήσει καὶ σχέσει πρέπον. ταῦτα δὲ ἀνθρώπῳ προσόντα παρέχεται σεμνὸν καὶ σώφρονα αὐτόν. καὶ δὴ καὶ βασιλεύς, ὅτῳ ὑπάρχει ταῦτα, μάλιστα ἂν εἴη θεοπρεπής τε καὶ αἰδοῦς ἄξιος. τό γε μὴν ἄφοβον καὶ ἀνέκπληκτον καὶ θαρσαλέον ἔστι μὲν ἀνδρείας ἔργον, πῶς δ' ἂν ἄλλως μᾶλλον ἀνθρώπῳ ὑπάρξειεν ἢ εἴ τις περὶ θανάτου καὶ πόνου λάβοι πίστιν ἰσχυρὰν ὡς οὐ κακοῖν ὄντοιν αὐτοῖν; ταῦτα γὰρ δὴ τὰ ἐξιστάντα καὶ φοβοῦντα τοὺς ἀνθρώπους ἐστίν, ὅ τε θάνατος καὶ ὁ πόνος, ὅταν ὡς περὶ κακῶν πεπεισμένοι ὦσιν αὐτῶν· μὴ κακὰ δ' εἶναι ταῦτα φιλοσοφία διδάσκει μόνη. ὥστ' εἴπερ ἀνδρείαν κτητέον τοῖς βασιλεῦσι, κτητέον δὲ παντὸς ⟨ὁτου-⟩ οῦν ἑτέρου μᾶλλον, ἐπιμελητέον τοῦ φιλοσοφεῖν αὐτοῖς,

1 *δὲ* A[1] | *κρατῆσαι* A ‖ 4 *πλὴν* SM *πρὸς* A *πρὸ* A[2] ‖ 6 *διδάσκει — πολυτέλειαν* om. Tr. ‖ 8 *τάξιν δὲ* SM: *τάξιν τε* A[1] ‖ 11 *δεῖ* pro *δὴ* A. sed corr. A[1] ‖ 13 *ἀνέκπληκτον* praeter M etiam S A[1], quid voluerit A[2] ambiguum | *θαρσαλέον* SMA *θαῤῥαλέον* Tr. illud retinui, quamquam *θαρραλέον* libri bis infra | *ἀνδρίας* A | *πῶς — ἄλλως* libri, *πᾶς — ἄλλος* corr. A[2] ‖ 14 *ἀνῶ'ον* A sed *ον* del. A[2] | *ὑπάρξηεν* M[1] *-ξοιεν* M[2] | *τις* SM *τοι* A sed delevit A[2] ‖ 15 *πίστην* A[1] ‖ 17 *ὅταν ὡς* S: *ὅτ ὡς* (sic) M *ὅπως* A v. *ὅπως — μόνη* expunxit A[2] ‖ 18 *δ' εἶναι* SM: *δεόν* (i. e. *δέον*) *εἰδέναι* A idque ita comprobarunt Halm l. c. et Meineke, ut ille *ἅ* insereret post *ταῦτα*, hic lacunam indicaret. at inutile est *δέον εἰδέναι*, adsumptum videtur *δέον* ex p. 283, 20, postquam *εἶναι* abiit in *εἰδέναι* ‖ 19 *ἀνδρείαν* SM: *ἀνδρίαν τ* A[1] ex *τ* fecit *γ* A[2] (ε superscr.), unde *ἀνδρίαν γε* recepit Meineke ‖ 21 *οὖν* SMA: supplevit A[2] qui in textu et in margine *ὅτου* et *ὁτουοῦν*. lenius putat *παντὸς ⟨οὑτινοσ⟩οῦν* Wendland qui mox praefert *γινομένοις*

ὡς οὐκ ἂν ἑτέρως ἀνδρείοις γενομένοις. καὶ δὴ βασιλικὸν μέν, εἴ τι ἄλλο, καὶ τὸ ἀήττητον ἐν λόγῳ εἶναι καὶ δύνασθαι κρατεῖν ὥσπερ ὅπλοις τῶν μαχομένων, οὕτω λόγοις ⟨τῶν⟩ διαλεγομένων· ὡς ἄν γε ταύτῃ ἀσθενήσωσιν οἱ βασιλεῖς, ἀνάγκη πολλάκις περιάγεσθαι αὐτοὺς καὶ βιάζεσθαι τὰ ψευδῆ ὡς ἀληθῆ προσίεσθαι, ὅπερ ἀφροσύνης ἔργον καὶ ἀμαθίας τῆς ἐσχάτης. φιλοσοφία δ' οὐκ οἶδ' εἴ τι μᾶλλον ἢ τοῦτο παρέχειν τοῖς μετιοῦσιν αὐτὴν πέφυκεν, ὥστε περιεῖναι λόγῳ τῶν πλησίον καὶ τὰ ψευδῆ διακρίνειν ἀπὸ τῶν ἀληθῶν καὶ τὰ μὲν ἐλέγχειν τὰ δὲ βεβαιοῦν. οἱ γοῦν ῥήτορες, ὁπόταν ἔλθωσιν εἰς ταὐτὸ τοῖς φιλοσόφοις καὶ διδῶσι καὶ λαμβάνωσι λόγον, ἔστιν ὁρᾶν αὐτοὺς συγκρουομένους ἀπορουμένους, ἐναντία λέγειν αὑτοῖς ἀναγκαζομένους· καίτοι ὁπόταν οἱ ῥήτορες, οἱ τοῦτο πεποιημένοι ἔργον λόγους μελετᾶν, ἀσθενέστεροι περὶ λόγους ἁλίσκωνται τῶν φιλοσόφων ὄντες, τί χρὴ τοὺς ἄλλους ἀνθρώπους ὑπολαμβάνειν; ὅθεν εἴ τινι ὄντι βασιλεῖ ἔστιν ἐπιθυμία τοῦ ἐν λόγῳ κράτους, φιλοσοφητέον αὐτῷ, ἵνα μὴ δεδίῃ μηδὲ ταύτῃ μηδένα ὡς περιγενησόμενον αὐτοῦ, δέον ἁπανταχοῦ ἀδεῆ εἶναι τὸν βασιλέα καὶ θαρραλέον καὶ ἀήττητον.

Καθόλου δὲ τὸν μὲν βασιλέα τὸν ἀγαθὸν ἀνάγκη πᾶσα καὶ λόγῳ καὶ ἔργῳ εἶναι ἀναμάρτητον καὶ τέλειον· εἴ περ δεῖ αὐτόν, ὥσπερ ἐδόκει τοῖς παλαιοῖς, νόμον ἔμψυχον εἶναι, εὐνομίαν μὲν καὶ ὁμόνοιαν μηχανώμενον, ἀνομίαν δὲ καὶ στάσιν ἀπείργοντα, ζηλωτὴν δὲ τοῦ Διὸς ὄντα καὶ πατέρα τῶν ἀρχομένων, ὥσπερ ἐκεῖνον. τοι-

1 perierunt membranae laesione *βασιλικὸν μέν,* 3 *τῶν μαχ. οὕτω,* 5 *-κη πολλάκις πε-* S ‖ **3** *οὕτω* M[2] A Tr., *οὐ τοῖσ* M[1] ‖ **4** *τῶν* om. S M A, suppl. A[2] | *ὡς ἄν τε* Tr. ‖ **5** *αὐτοις* idque sine acc. S ‖ **6** periit *ο* S ‖ **8** *εἴ τι ⟨ἄλλο⟩ μᾶλλον* Meineke | *αὐτὴν* M[1] *αὐτῆσ* M[2] ‖ **12** *δίδωσι* libri, accentum corr. A[2] ‖ **13** *συγκρινομένους* M ‖ **14** *αὐτοῖς* M A[1] *αὑτοῖς* ut videtur S, certe Tr. p. 304 ‖ **16** *ἁλίσκονται* A[1] ‖ **18** *λόγοις* Tr. sed cf. 9 ‖ **19** *δεδείῃ* A[1] | *ὥσπερ γενησόμενος* Tr. quo deceptus est Gesner ‖ **21** *θαρραλέων* M[1] corr. M[2] ‖ **22** *μὲν* del. A[2] ‖ **23** *εἶναι* MA: *καὶ εἶναι* S ‖ **24** *δεῖ* M A: *δι'* S | *τοῖς παλ.*] testimonia collegi, quod semel moneo, in ed. Muson. ‖ **27** *ὄντα* SM: *εἶναι* A

οὗτος δὲ πῶς ἂν εἴη τις μὴ φύσει τε διαφερούσῃ κεχρημένος παιδείαν τε τὴν ἀρίστην πεπαιδευμένος ἀρετάς τε ἁπάσας ἔχων, ὅσαι περ ἀνθρώπῳ προσήκουσιν; εἰ μὲν οὖν καὶ ἑτέρα ἐπιστήμη ἐστὶν ἡ ποδηγοῦσα πρὸς ἀρετὴν ἀνθρώπου φύσιν καὶ ἀσκεῖν καὶ μετιέναι τὰ καλὰ διδάσκουσα, παραβλητέον ἂν εἴη καὶ συγκριτέον, εἴτε ἐκείνη εἴτε φιλοσοφία κρείττων καὶ ἀποχρῶσα μᾶλλον ἀγαθὸν ἀποδεῖξαι βασιλέα· καὶ τῇ κρείττονι χρῷτ' ἂν εἰκότως ὁ βασιλεὺς βουλόμενός γε δὴ εἶναι ἀγαθός. εἰ δ' ἄλλη μὲν οὐδ' ὑπισχνεῖται τέχνη οὐδεμία παράδοσιν καὶ διδασκαλίαν ἀρετῆς, ⟨ἀλλ' εἰσὶν⟩ αἱ μὲν περὶ τὸ σῶμα τὸ ἀνθρώπινον καὶ τὰ τούτῳ χρήσιμα πραγματευόμεναι μόνον, ὅσαι δὲ τῆς ψυχῆς ἐφάπτονται, πάντα σκοπούμεναι μᾶλλον, ἢ ὅθεν αὕτη σωφρονήσει· μόνη δὲ φιλοσοφία τοῦτο σκοπεῖται καὶ τοῦτο μηχανᾶται, πῶς ⟨ἂν⟩ ὁ ἄνθρωπος κακίαν μὲν ἐκφύγοι, κτήσαιτο δὲ ἀρετήν — εἰ ταῦτα ταύτῃ ἔχει, τί ἂν ἄλλο εἴη βασιλεῖ τῷ γε ἀγαθῷ εἶναι βουλομένῳ προυργιαίτερον τοῦ φιλοσοφεῖν; μᾶλλον δὲ

---

1 *διαφέρουσιν* M[1] corr. M[2] ‖ 2 *παιδείαν τε* S A: *παιδείαν δὲ* ni fallor M, certe Tr. ‖ 3 *ὅσαις* A | *προσήκουσι* A[1] ‖ 5 *φύσιν* etiam M[1] sed *φύσισ* M[2] ‖ 8 *φανείσῃ* ante *κρείττονι* add. A[2], frustra recepere Halm et Meineke ‖ 9 *βουλευόμενός* Tr. | *γε δὴ* A[2]: *τε δὴ* S M *τε δεῖ* A[1]; *τε* seclusit Gesn.[1] ‖ 10 *μὲν οὐδ'* S M *μὲν οὖν οὐδ'* A[1] *οὖν* delevit et *οὐδ'* (non *οὖν* ut per errorem scripsi Muson. rel. p. 37, 14 adn.) in *οὐχ* mutavit A[2] | *διδασκαλίαν* Tr.: *διδασκαλίαι* S M A[1] ‖ 11 *ἀλλ' εἰσὶν* (vel *εἴσ'*) addidi, *ἀλλ'* iam Gesn.[1] f. 334[v] unde suprascr. A[2] | *τὰ περὶ* A sed *τὰ* A[2] ‖ 12 *τούτον* A | *πραγματευόμεναι* (*ευ* in ras. corr. M) libri, nisi quod A[2] *πραγματεύονται*, quae correctio repetitur in margine dextro ‖ 13 *πάντας* A[1] | *σκοπούμεναι* S M A: *σκοποῦνται* A[2] eademque corr. exstiterat in margine sinistro. et *σκοποῦνται* et supra *ἀλλ' αἱ μὲν — πραγματεύονται μόνον* male scripsit Meineke ‖ 14 *αὕτη* Blass: *αὐτὴ* libri sed sine acc. M | syllabae *νήσει* e corr. M[1] ut videtur ‖ 15 'aut hic *σκοπεῖται* leg. aut supra *σκοποῦσι'* Meineke: *σκοπεῖ* libri | *πῶς ὁ* S M A *ἂν* supra *ὁ* dedit A[2], unde *πῶς ἂν ὁ* Halm et Meineke, sed fortasse verum est *πῶς ἂν ἄνθρ.* quod teste Gaisfordo offert cod. Par. 1985, aut *πῶς ἂν ἄνθρ.* ‖ 18 *προυργ. τ. φ.* S: *τ. φ. προυργιαίτερον* (*-γιέτερον* A[1]) MA

πῶς καὶ τίνα τρόπον δύναιτο ἄν τις βασιλεῦσαι ἢ βιῶναι καλῶς, εἰ μὴ φιλοσοφήσειεν; ἐγὼ μὲν οἶμαι τὸν βασιλέα τὸν ἀγαθὸν εὐθὺς καὶ φιλόσοφον ἐξ ἀνάγκης εἶναι καὶ τόν γε φιλόσοφον εὐθὺς καὶ βασιλικὸν εἶναι.

Πρῶτον δὲ τὸ πρότερον θεασώμεθα. ἆρ᾽ ἔσθ᾽ ὅπως βασιλεὺς ἀγαθὸς εἴη τις ἂν μὴ ἄνθρωπος ἀγαθὸς ὤν; οὐκ ἔστιν εἰπεῖν. ἀγαθὸς δέ τις ἀνὴρ ὢν οὐ καὶ φιλόσοφος εἴη ἄν; νὴ Δία, εἰ τὸ φιλοσοφεῖν καλοκαγαθίας ἐπιτήδευσίς ἐστιν. ὥσθ᾽ ὁ βασιλεὺς ὁ ἀγαθὸς ἐξ ἀνάγκης εὐθὺς καὶ φιλόσοφος εὑρίσκεται ὤν. καὶ μὴν ὅ γε φιλόσοφος ὅτι πάντως καὶ βασιλικός, οὕτως ἂν μάθοις. τοῦ γὰρ βασιλικοῦ δήπου ἐστὶ τὸ δύνασθαι καλῶς ἐπιτροπεύειν ἔθνη καὶ πόλεις καὶ εἶναι ἄξιον ἀνθρώπων ἄρχειν. τίς δ᾽ ἂν ἢ ἱκανώτερος εἴη πόλεως προστάτης ἢ ἀξιώτερος ἀνθρώπων ἄρχειν τοῦ φιλοσόφου; ᾧ γε προσήκει (ἄν περ ᾖ ἀληθῶς φιλόσοφος) εἶναι φρονίμῳ σώφρονι μεγαλόφρονι, τῶν δικαίων κριτικῷ καὶ τῶν πρεπόντων, καταπρακτικῷ τῶν νοηθέντων, καρτερικῷ τῶν ἐπιπόνων· πρὸς δὲ τούτοις θαρραλέος ἀδεὴς ὑποστατικὸς τῶν δοκούντων δεινῶν εἴη ἄν, ἔτι δὲ εὐεργετικὸς χρηστὸς φιλάνθρωπος. τοῦ δὲ τοιούτου τίς ἂν εὑρεθείη ἄρχειν ἐπιτηδειότερος ἢ δυνατώτερος; οὐδείς. ἂν δὲ μὴ ἔχῃ πολλοὺς τοὺς ὑπακούοντας καὶ πειθομένους αὐτῷ, οὔπω διὰ τοῦτο τοῦ βασιλικὸς εἶναι ἐστέρηται· ἐξαρκεῖ γὰρ καὶ τὸ τῶν φίλων ἄρχειν τῶν ὑπαρχόντων ἢ γυναικός τε καὶ παίδων, ἢ καὶ νὴ Δία αὐτὸν αὑτοῦ μόνον. καὶ γὰρ ἰατρὸς οὐδὲν ἧττον τοῦ θεραπεύοντος πολλοὺς ὁ θερα-

1 *πῶς καὶ τίνα τρ.* M A: *καὶ τίνα τρ.* S; cf. Stob. III p. 649, 12 ‖ 7 *οὐ καὶ φιλ.* Halm lect. Stob. p. 6: *οὐκ ἀφιλόσοφος* S M A *οὐκ ἂν φιλόσοφος* A[2] ‖ 11 *ὅτι* ex *ὅτε* corr. S[1] | *ἂν μαθηισ* (sic) M ‖ 12 *δήπου* (fortasse ex *τοῦτο*) corr. S[1] ‖ 17 *μεγαλόφρονι* om. Tr. | *τῶν πρεπόντων* ⟨*διδακτικῷ*⟩ ci. Meineke Stob. vol. IV p. LXX, sed ne novum praedicatum addatur, dissuadet asyndeton ‖ 20 *ἔτι* libri, sed supra lin. S[1] | *χρηστὸς φιλ.* M A: *φιλ. χρηστός* S ‖ 22 *ἔχει* in *ἔχῃ* corr. M[1] ‖ 25 *φίλων* S M *φιλοσόφων* A[1] sed ipse corr. A[1]. frustra locum sollicitavit Hirschig, cf. Meineke Stob. flor. IV p. LXX ‖ 26 *μόνον* M A: *μόνου* (vix dubium videtur Meklero) S et sic Tr.

πεύων ὀλίγους, εἴ γε ἔχει τὴν ἐμπειρίαν τὴν ἰατρικήν· καὶ μουσικὸς οὐδὲν ἧττον τοῦ διδάσκοντος πολλοὺς ὁ διδάσκων ὀλίγους, εἴ γε ἔχει τὴν μουσικήν· καὶ ἱππικὸς ὁμοίως τῷ χρωμένῳ πολλοῖς ἵπποις ὁ χρώμενος ἑνὶ ἢ δυοῖν, ἄν γε ἐπιστήμων τῆς ἱππικῆς ᾖ· καὶ δὴ καὶ βασιλικὸς παραπλησίως τῷ κεκτημένῳ πολλοὺς ὑπηκόους ὁ ἔχων ἕνα ἢ δύο τοὺς πειθομένους αὐτῷ, μόνον ἐχέτω τὴν τοῦ βασιλεύειν ἐμπειρίαν· ὥστε καὶ βασιλικὸς εἴη ἄν. διὰ τοῦτό μοι δοκεῖ καὶ Σωκράτης τὴν φιλοσοφίαν πολιτικήν τε καὶ βασιλικὴν ἐπιστήμην ὀνομάζειν, ὅτι ὁ ταύτην ἀναλαβὼν εὐθὺς πολιτικός ἐστι. Τοιαῦτα τοῦ Μουσωνίου εἰπόντος, ἡσθεὶς ὁ βασιλεὺς τοῖς λόγοις χάριν τε ἔχειν ὡμολόγει τῶν εἰρημένων αὐτῷ, καὶ ἀντὶ τούτων, ἔφη, αἴτησον ὅ τι βούλει με, οὐ γὰρ ἂν ἀντείποιμί σοι περὶ οὐδενός. ὁ οὖν Μουσώνιος, αἰτῶ σε, ἔφη, τούτοις στοιχεῖν καὶ ἕπεσθαι τοῖς λόγοις, οὓς ἐπαινεῖς· καὶ γὰρ ἐμοὶ οὕτω χαριεῖ μάλιστα καὶ ὠφεληθήσῃ αὐτὸς οὐχ ἑτέρως μᾶλλον.

68 *Ξενοφῶντος ἐν τῇ Κύρου παιδείᾳ α′* (c. 6, 3).

Καὶ μὲν δή, ἔφη, ὦ πάτερ, ὁ Κῦρος, ὅπως ἂν ἵλεῳ ⟨οἱ⟩ θεοὶ ὄντες ἡμῖν συμβουλεύειν ἐθέλωσιν, ὅσον δύναμαι κατὰ τὸν σὸν λόγον διατελέσω ἐπιμελούμενος. μέμνημαι γὰρ ἀκούσας ποτέ σου, ὅτι εἰκότως ἂν καὶ παρὰ τῶν θεῶν πρακτικώτερος εἴη ὥσπερ καὶ παρ᾽ ἀνθρώπων ὅστις μὴ ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι, ἀλλ᾽ ὅτε ἄριστα πράττοι, τότε μάλιστα τῶν θεῶν μεμνῆτο· καὶ τῶν φίλων δ᾽ ἔφησθα χρῆναι ὡσαύτως οὕτως ἐπι-

---

1 *ἔχει* A: *ἔχοι* S M ‖ **3** *ἔχει* A: *ἔχοι* S M | **5** *δυοῖν* A: *δυσὶν* S M | *βασιλικὸς* S -*κὸσ* ex *κουσ* (vel *κωσ?*) corr. M¹ sic ut *ο* ex *ω* corr. A² ‖ **6** *παραπλήσιος* ex -*πλησίως* corr. A² ‖ **7**s. recte distinxit A. J. Kronenberg *Class. rev.* XX (1906) p. 395 ‖ **10** *ταύτησ* in -*ην* corr. M¹ ‖ **17** *χαριῇ* A ‖ **18** ecl. cum lemm. hab. S M A ‖ **19** *δή, ὦ πάτερ, ἔφη* Xen. plerique | *ὡς* (vel *ὧν*) *ἂν* Xen. plerique ‖ **20** *οἱ* addidi e Xen. ‖ **21** *διατελῶ* Xen. ‖ **22** *γάρ, ἔφη, ἀκούσας* Xen. praeter Erlang. | *παρὰ θεῶν* Xen., etiam Oxyrh. Pap. IV 697 p. 147 ‖ **24** *κολακεύειν* dr. A, corr. A¹ ‖ **25** *τὰ ἄριστα* Xen. *τὰ* om. Xen. cod. Par. 1634 Oxyrh. | *μεμνῷτο* vel *μεμνῇτο* Xen. -*ῷτο* Et. M. p. 579, 1, e corr. Oxyrh.: *μέμνηται* SMA sine acc. A

μελεῖσθαι. Οὐκοῦν ⟨νῦν⟩, ἔφη, ὦ παῖ, δι' ἐκείνας τὰς ἐπιμελείας ἥδιον ἔρχῃ πρὸς τοὺς θεοὺς δεησόμενος, ἐλπίζεις δὲ μᾶλλον τεύξεσθαι ὧν ἂν δέῃ, ὅτι ξυνειδέναι ἑαυτῷ δοκεῖς οὐ πώποτε ἀμελήσας αὐτῶν; Πάνυ μὲν οὖν, ὦ πάτερ, ὡς πρὸς φίλους μοι τοὺς θεοὺς ὄντας οὕτω διάκειμαι. Τί γάρ, ἔφη, ὦ παῖ, ἐκεῖνα μέμνησαι ἅ ποτε ἐδόκει ἡμῖν; ὁπόσα γὰρ δήπου δεδώκασιν ἡμῖν οἱ θεοὶ μαθόντας ἀνθρώπους βέλτιον πράσσειν ἢ ἀνεπιστήμονας αὐτῶν ὄντας καὶ ἐργαζομένους μᾶλλον ἀνύειν ἢ ἀργοῦντας καὶ ἐπιμελομένους ἀσφαλέστερον ἂν διάγειν ἢ ἀφυλακτοῦντας καὶ παρέχοντας ἑαυτοὺς οἵους δεῖ, οὕτως ἡμῖν ἐδόκει δεῖν καὶ αἰτεῖσθαι τἀγαθὰ παρὰ τῶν θεῶν. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, . . . καὶ γὰρ ἀνάγκη ἦν πείθεσθαι τῷ λόγῳ τούτῳ· καὶ οἶδα προστιθέντα αὐτῷ, ὡς οὐδὲ θέμις εἴη αἰτεῖσθαι παρὰ τῶν θεῶν οὔτε ἱππεύειν μὴ μαθόντας ἱππομαχοῦντας νικᾶν, οὔτε μὴ ἐπισταμένους τοξεύειν τοξεύοντας κρατεῖν τῶν ἐπισταμένων τοξεύειν, οὔτε μὴ ἐπισταμένους κυβερνᾶν σῴζειν εὔχεσθαι ναῦν κυβερνῶντας, οὔτε μὴ σπείραντάς γε σῖτον εὔχεσθαι καλὸν αὐτοῖς σῖτον φύεσθαι, οὐδὲ μὴ φυλασσομένους γε ἐν πολέμῳ σωτηρίαν αἰτεῖσθαι· παρὰ γὰρ τοὺς τῶν θεῶν

---

1 νῦν e Xen. suppl. Gesn.[1] | διά γ' ἐκ. Xen. plerique | ἐκείνας e Xen. Gesn.[1]: ἐκείνων S M A ‖ 2 ἥδιον μὲν ἔρχῃ libri Xen. ‖ 3 συν- Xen. ‖ 4 ἑαυτῷ S M A: σεαυτῷ (σαυτωι Oxyrh.) Xen. | οὖν, ἔφη, ὦ πάτερ Xen. ‖ 5 προσφιλεῖς S M A, Xen. Erlang. Bodl., e corr. Oxyrh.: πρὸς φίλους Xen. ceteri | ὄντας τοὺς θεοὺς Xen. non nulli ‖ 6 ἔφη ὁ πατὴρ (pro ἔφη, ὦ παῖ) libri nonnulli Xenophontis | μέμνησαι ἐκεῖνα Xen. non nulli | μέμνησαι S M μεμνηται (sine acc.) A ‖ 7 ἡμῖν ὡς ἅπερ δεδ. Xen. aliquot | ἡμῖν om. Xen. ‖ 8 πράττειν Xen. ‖ 9 ἀνύτειν Xen. ‖ 10 ἀφελέστερον A corr. m. ant. | ἀφυλακτοῦντας, τούτων (τούτων πέρι Madvig) παρέχοντας Xen. ‖ 11 παρ. οὖν τοιούτους ἑαυτοὺς Xen. non nulli ‖ 13 post Κῦρος indicavi lacunam. quae habet Xen., Stobaeo intulit Gesn.[1] | με pro ἦν Xen. ‖ 14 τούτῳ om. Xen. libr. familia alt. | καὶ γὰρ οἶδά σε λέγοντα ἀεὶ Xen. libr. fam. alt. ‖ 17 τοξεύειν (post ἐπισταμένων) om. Xen. libr. fam. alt. ‖ 18 οὔτε μὴ — 19 κυβερν. om. A | ναῦς Xen. ‖ 19 οὐδὲ μὴ Xen. | σπείραντάς γε S M: σπείροντάς γε A, Xen. ‖ 20 σῖτον om. Xen. libr. fam. alt. | μὴ om. A | φυλαττομένους Xen.

θεσμοὺς ταῦτα καὶ τὰ τοιαῦτα πάντα εἶναι· τοὺς δὲ ἀθέμιστα εὐχομένους ὁμοίως ἔφησθα εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν ὥσπερ καὶ παρ' ἀνθρώπων ἀπρακτεῖν τοὺς παράνομα δεομένους.

69 *Ἐν ταὐτῷ* (ibid. c. 6, 8).

Καὶ τοῦτό σου λέγοντος, συνεδόκει καὶ ἐμοὶ ὑπερμέγεθες ἔργον εἶναι τὸ καλῶς ἄρχειν· καὶ νῦν, ἔφη, ταῦτά μοι δοκεῖ, ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι. ὅταν μέντοι πρὸς ἄλλους ἀνθρώπους ἰδὼν κατανοήσω ἀρξάμενος ἀπὸ τῶν ἡμετέρων φίλων τούτων ἡγουμένους δεῖν τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν τῷ πολυτελέστερον δειπνεῖν καὶ πλεῖον ἔχειν ἔνδον χρυσίον καὶ πλείονα χρόνον καθεύδειν καὶ πάντα ἀπονώτερον τῶν ἀρχομένων διάγειν. ἐγὼ δ' οἴομαι, ἔφη, τὸν ἄρχοντα οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ προνοεῖν καὶ φιλοπονεῖν.

70 *Ἐν ταὐτῷ* (ib. c. 6, 10).

Ἐρωτᾷς, ἔφη, τοῦτο, ὦ παῖ, εἴ τις ἀπὸ σοῦ πόρος προσγένοιτο. Ἀπὸ τίνος δὲ μᾶλλον εἰκὸς πόρον γενέσθαι ἢ ἀπὸ τοῦ δύναμιν ἔχοντος;

---

1 *θεσμοὺς πάντα τὰ τοιαῦτα εἶναι* Xen. libr. alt. fam. ‖ **2** *ἀθέμιτα* Xen., ubi libri fluctuantur inter *ἀθέμιτα* et *ἀθέμιστα* ‖ **3** *παρὰ* M | *τοὺς* (*τουσ* sine acc. M) *παράνομα δεομένους* S M, Xen.: *τοὺς τοῦ παρανόμου δεομένους* A ‖ **5** ecl. cum lemm. hab. S M A ‖ **6** *μέμνημαι καὶ τοῦτό σου λέγοντος* Xen. | *συνεδόκει οὖν καὶ* Xen. libr. alt. fam. | *συνευδόκει* A | *ὑπερμέγεθες εἶναι ἔργον* Xen. ‖ **7** *νῦν γ'* Xen. plerique | *ταὐτά μοι δοκεῖ ταῦτα, ὅταν* Xen. Erlang. ‖ **9** *μέντοι γε* Xen. libr. alt. fam. | *κατανοήσω οἷοι ὄντες διαγίγνονται ἄρχοντες καὶ οἷοι ὄντες ἀνταγωνισταὶ ἡμῖν ἔσονται, πάνυ μοι δοκεῖ αἰσχρὸν εἶναι τὸ τοιούτους αὐτοὺς ὄντας ὑποπτῆξαι καὶ μὴ ἐθέλειν ἰέναι αὐτοῖς ἀνταγωνιουμένους· οὕς, ἔφη, ἐγὼ αἰσθάνομαι ἀρξάμενος ἀπὸ κτἑ.* Xen. | **11** *τῷ καὶ πολυτ.* Xen. plerique ‖ **12** *πλέον* Xen. ‖ **14** *δὲ οἶμαι* Xen. ‖ **16** *φιλοπονεῖν προθυμούμενον* non bene libri Xen. plurimi ‖ **17** ecl. cum lemm. hab. S M A ‖ **18** *ἔφη τοῦτο* S M *τοῦτο ἔφη* A | *ὦ παῖ τοῦτο* Xen. non nulli | *εἴ τις*] *ει τις[α]ν* Xen. Oxyrh. alii *ποῦ ἂν* ‖ **19** *γένοιτο* libr. Xen. alt. fam. | *εἰκός ἐστι* Xen. plerique | *προσγενέσθαι* Xen. libr. alt. fam.

71 *Ἐν ταὐτῷ* (ib. c. 6, 10).

Τόδε δὲ πάντων μάλιστά μοι μέμνησο μηδέποτ' ἀναμένειν πορίζεσθαι τὰ ἐπιτήδεια, ἔστ' ἂν ἡ χρεία σε ἀναγκάσῃ· ἀλλ' ὅταν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας μᾶλλον μηχανῶ. καὶ γὰρ τεύξει μᾶλλον παρ' ὧν ἂν δέῃ μὴ ἀπορεῖν δοκῶν, καὶ ἀναίτιος ἔσῃ παρὰ τοῖς σαυτοῦ στρατιώταις· ἐκ τούτου δὲ μάλιστα καὶ ὑπὸ τῶν ἄλλων αἰδοῦς τεύξῃ, καὶ ἐάν τινα βούλῃ τῇ δυνάμει ἢ εὖ ποιῆσαι ἢ κακῶς, μᾶλλον ὑπηρετήσουσιν οἱ στρατιῶται ἔχοντες τὰ δέοντα· καὶ πιστικωτάτους δὲ λόγους σάφ' ἴσθι τότε δυνήσῃ λέγειν, ὅταν περ καὶ ἐνδείκνυσθαι μάλιστα δύνῃ ποιεῖν ἱκανὸς ὢν καὶ εὖ καὶ κακῶς.

72 *Ἐν ταὐτῷ* (ib. c. 6, 14).

Τὸ τέλος δή με ἐπήρου, τί ποτε διδάσκων στρατηγίαν φαίη με διδάσκειν. κἀγὼ δὴ ἐνταῦθα ἀπεκρινάμην ὅτι τὰ τακτικά. καὶ σὺ γελάσας διῆλθές μοι παρατιθεὶς ἕκαστον τί εἴη ὄφελος στρατηγίᾳ τακτικῶν ἄνευ τῶν ἐπιτηδείων, τί δὲ ἄνευ τοῦ ὑγιαίνειν, τί δὲ ἄνευ τοῦ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας, τί δὲ ἄνευ τοῦ πείθεσθαι. ὡς δὲ καταφανὲς ἐποίησας ὅτι μικρόν τι

---

1 ecl. cum lemm. hab. S M A. v. *μηδέποτε* — **6** *μὴ ἄπορος δοκῶν εἶναι* anon. Boisson. Anecd. v. I p. 113 ‖ **3** *ἀναμένειν τὸ πορ.* Xen. e Xen. in Stob. intulit *τὸ* Gesn.[1], sed om. etiam anon. Boiss. | *σε* Xen.: *γε* libri Stob. ‖ **5** *μᾶλλον* om. Xen. plerique, anon. Boiss. | *τεύξῃ* S A ‖ **6** *ἄπορος δοκῶν εἶναι* Xen. libr. alt. familia et anonym. Boiss. | *καὶ ἔτι ἀναίτιος* Xen. praeter Oxyrh. Erlang. ‖ **7** *αὐτοῦ* M sed *σ* superscr. M[1] | *μᾶλλον* Xen. | *ὑπ' ἄλλων* Xen. plurimi ‖ **8** *καὶ ἥν τινας* (*τινα* Eton. Erl.) *βούλῃ ἢ εὖ ποιῆσαι τῇ δυνάμει* (*βούλει τῇ δυνάμει εὖ π.* Erlang.) *ἢ κακῶς* Xen. | *βούλει* A ‖ **9** *μᾶλλον ἕως ἂν ἔχωσι* (*ἔχῃς* Oxyrh.) *τὰ δέοντα οἱ στρατιῶται ὑπηρετήσουσί σοι* Xen. plerique ‖ **10**ss. cum Stobaeo concordat fere Oxyrh., discrepant alii, cf. quae adnotarunt Grenfell et Hunt l. c. p. 153 ‖ **10** *πειστικ.* Stephanus ‖ **13** ecl. cum lemm. hab. S M A ‖ **14** *ἐπεὶ δὲ καὶ τοῦτο παντάπασιν ἄρρητον ἐφαίνετο, τέλος δή μ' ἐπήρου ὅ* (*ὅ* om. Erlang). *τι ποτὲ διδάσκων* Xen. | *δὴ* ex *δὲ* corr. S[1] ‖ **15** *ἀποκρίνομαι* Xen. praeter Erlang. ‖ **16** *παρατιθείς τι* sed *τι* del. A ‖ **17** *ὤφελοσ* M | *στρατιᾷ* Xen. plerique | *τακτητῶν* M ‖ **19** *εὑρημ-* libri Stobaei, nisi quod *εἰρημ-* primo A ‖ **20** *δέ μοι καταφανὲς* Xen.

μέρος εἴη στρατηγίας τὰ τακτικά, ἐπηρόμην, εἴ τι τούτων σύ με διδάξαι ἱκανὸς εἴης.

73 *Ἐν ταὐτῷ* (ibid. c. 6, 17—19).

Δεῖ γὰρ δήπου στρατιάν, εἰ μέλλει πράξειν τὰ δέοντα, μήποτε παύεσθαι τοῖς πολεμίοις κακὰ πορσύνουσαν ἢ αὐτοῖς ἀγαθά· ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι, πολὺ δ' ἔτι, ὦ παῖ, χαλεπώτερον οἶκον ὅλον, πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὴν τρέφειν. πλεῖστά τε γὰρ ἐσθίει στρατιὰ καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα καὶ οἷς ἂν λάβῃ δαψιλέστατα χρωμένη· ὥστε οὐδέποτε προσήκει στρατιὰν ἀργεῖν. Λέγεις σύ, ἔφη, ὦ πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. Τὸν δέ γε ἐργάτην στρατηγόν, ἔφη, ἀναδέχομαι, ἤν μή τις θεὸς βλάπτῃ, ἅμα καὶ τὰ ἐπιτήδεια μάλιστα ἔχοντας τοὺς στρατιώτας ἀποδείξειν καὶ τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν. Ἀλλὰ μέντοι τό γε μελετᾶσθαι, ἔφη, ἕκαστα τῶν πολεμίων ἔργων, ἀγῶνας ἄν τίς μοι δοκεῖ, ὦ πάτερ, προειπὼν ἑκάστοις καὶ ἆθλα προτιθεὶς μάλιστα ποιεῖν ἀσκεῖσθαι ἕκαστα, ὥστε ὁπότε δέοιτο ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. Κάλλιστα λέγεις,

1 *ἐπερομένου εἴ τι — ἱκανὸς εἴης, ἀπιόντα με ἐκέλευσας κτέ.* Xen. | *εἴ* etiam A. aberravit Gaisford. ‖ 2 *εἴης* libri, sed *εἶ* A. per *εἴης* ecloga finitur. frustra e Xenophonte aliquid inseruit Gesn.[1] ‖ 3 ecl. cum lemm. hab. S M A. in marg. ζ *περὶ ἀργίας* S[1] ‖ 5 *μηδέποτε* Xen. excepto Erlang. | *παύεσθαι* M A *παύουσαν* S *παύεσθαι ἢ* Xen. ‖ 6 *αὐτοῖς* (sic M Tr.) vel *αὑτοῖς* libri Stob. *ἑαυτοῖς* Xen. cod. Erlang.: *ἑαυτῇ* Xen. ‖ 7 *δέ τι* M | *δ' ἔτι χαλεπώτερον, ὦ παῖ, οἶκον* Xen. ‖ 8 *ἀργὴν* (*ἀργεῖν* A[1]) Stob.: *ἀργὸν* Xen. plerique ‖ 9 *τε* om. S | *γὰρ τὰ ἐσθίοντα ἐν στρατιᾷ* Xen. ‖ 10 *χρώμενα* Xen. ‖ 11 *οὔποτε* Xenoph. meliores | *οὔποτε ἀργεῖν δεήσει στρατιάν* Xen. plerique | *ἔφη ἐμοὶ πάτερ* sed punctis deletum *ἐμοὶ* S ‖ 13 *οὗτοσ* M ‖ 14 *ἐγώ* post *-ηγὸν* e Xen. suppl. Gesn.[1], bene ‖ 15 *μή τις* A ut videtur, Xen.: *μή τι* SM | *μάλιστα* (*μάλιστ'* A) *ἔχοντας* M A, Xen. *ἔχοντας μάλιστα* S ‖ 17 s. *Ἀλλὰ μέντοι, ἔφη, τό γε μελετᾶσθαι ἕκαστα* Xen. praeter Erlang. | *μελετᾶσθαι ἔφη* M A *ἔφη μελετᾶσθαι* S ‖ 18 *πολεμικῶν* Xen. ‖ 19 *δοκῇ* M | *δοκεῖ, ἔφη, ὦ πάτερ* Xen. praeter Erlang. | *προειπὼν* Xen.: *προσειπὼν* S M A ‖ 20 *ποιεῖν εὖ ἀσκεῖσθαι* Xen. plerique ‖ 21 *παρασκ-* A | *λέγεις, ἔφη, ὦ παῖ· τοῦτο* Xen.

ὦ παῖ, ἔφη· τοῦτο γὰρ ποιήσας, σάφ' ἴσθι, ὥσπερ χοροὺς τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετήσας θεάσῃ. Ἀλλὰ μήν, ἔφη ὁ Κῦρος, τό γ' εὐθυμίαν ἐμβαλεῖν τοῖς στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ἀλλὰ μήν, ἔφη, ὦ παῖ, τοῦτό γε τοιοῦτόν ἐστιν οἷόν περ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει οἵαπερ ὅταν ⟨τὸ⟩ θηρίον ὁρᾷ. τὸ μὲν γὰρ πρῶτον προθύμως οἶδ' ὅτι ἔχει ὑπακουούσας, ἂν δὲ πολλάκις ψεύδηται αὐτάς, τελευτῶσαι οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ πείθονται αὐτῷ. οὕτω καὶ τὸ περὶ τῶν ἐλπίδων ἔχει· ἣν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβάλλων ψεύδηταί τις, τελευτῶν οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος πείθειν δύναται. ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν ἃ μὴ σαφῶς εἰδείη φείδεσθαι δεῖ, ὦ παῖ· τὴν δὲ αὑτοῦ παρόρμησιν εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα ἐν πίστει διασῴζειν.

74 Ἐν ταὐτῷ (ibid. c. 6, 20—21).

Νόμοι δὲ δοκοῦσί μοι οἱ πολλοὶ ταῦτα δύο μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. καὶ τοίνυν κατανοῶν περὶ τούτων ἐν πᾶσιν ὁρᾶν μοι δοκῶ τὸ προτρέπον πείθεσθαι μάλιστα ὂν τὸ τὸν μὲν πειθόμενον ἐπαινεῖν τε καὶ τιμᾶν, τὸν δὲ ἀπειθοῦντα ἀτιμάζειν τε καὶ κολάζειν.

---

3 ὁ Κῦρος ἔφη Xen. praeter Erlang. | εἴς τε τὸ προθυμίαν ἐμβαλεῖν Xen. plerique | γ' om. A | τοῖς om. Xen. ‖ 4 ἱκανότερον S M ‖ 5 τὸ ἐλπίδας ἀγαθὰς δύνασθαι primo A sed transponi iussit A[1] | ἀγαθὰς om. Xenophontis cod. Paris. 1635 | μήν om. Xen. praeter Erlang. ‖ 7 τῇ κλήσει ᾗπερ ὅταν Xen. ‖ 8 τὸ e Xen. inseruit Gesn.[1] | οἶδ' (εἶδ' A) ὅτι libri Stob., Xen. Erlang. pr.: εὖ οἶδ' ὅτι Xen. ‖ 9 ἢν δὲ Xen. | αὐτάς Xen.: αὐταῖς S M A ‖ 10 πείθονται Xen., ex πείθωνται corr. S[1] πείθωνται M A ‖ 12 ἐμβαλὼν Xen. | τελευτῶν om. Xen. nonnulli ‖ 13 ὁπόταν Tr., Xen.: ὁπότ' ut videtur S ὅπότ' M ὅποτε A | λέγει A ‖ 14 ἃ Xen.: ἐὰν S M A ‖ 15 δεῖ, ὦ παῖ, ἄλλοι δ' ἐνετοὶ λέγοντες ταῦτ' ἂν διαπράττοιεν· τὴν δ' αὑτοῦ Xen. | αὐτοῦ S M A | παρακέλευσιν Xen. excepto Erlang. ‖ 16 ὡς om. Tr. ‖ 17 ecl. cum lemm. hab. S M A ‖ 18 καὶ οἱ νόμοι δέ μοι δοκοῦσιν οἱ πολλοὶ Xen. | ταῦτα δύο M A, Xen.: δύο ταῦτα S ‖ 20 προτρέπον Xen.: προτερεῖον S M πρωτερεῖον A ‖ 21 ὂν] ἐν A | τὸ Xen.: τῷ S M A | τε om. Xen. plerique ‖ 22 ἀπιθοῦντα A

Καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ πείθεσθαι, ἔφη, αὕτη ἡ ὁδός, ὦ παῖ, ἐστιν· ἐπὶ δὲ τὸ πολὺ κρεῖσσον τούτου, τὸ ἑκόντα πείθεσθαι, ἄλλη ἐστὶ συντομωτέρα. ὃν γὰρ ἂν ἡγήσωνται περὶ τὰ συμφέροντα ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται. γνοίης δ' ἂν ὅτι τοῦθ' οὕτως ἔχει ἐν ἄλλοις τε πολλοῖς καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν, ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ τι χρὴ ποιεῖν καλοῦσι· καὶ ἐν θαλάσσῃ ⟨δὲ⟩ ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται.

75 *Ἐν ταὐτῷ* (ibid. c. 6, 23—28).

Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος πῶς ἄν τις τῷ ὄντι γένοιτο; Δῆλον ὅτι, ἔφη, ὦ παῖ, ὅσα μὲν ἔστι μαθόντα εἰδέναι, μαθὼν ἄν, ὥσπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος φρονιμώτερος ἄλλων ἂν εἴης· ὅ τι δὲ γνοίης βέλτιον ἂν πραχθῆναι, ἐπιμελόμενος ἂν τούτου ὡς πραχθείη. καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου, οὗ ἂν δέῃ, φρονιμωτέρου ἀνδρὸς ἢ τὸ ἀμελεῖν. Ἀλλὰ μέντοι ἐπί γε τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, ὅπερ ἐμοὶ ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι, δῆλον ὅτι ἡ αὐτὴ ὁδὸς ἥπερ εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη· εὖ γάρ, οἶμαι, δεῖ ποιοῦντα φανερὸν εἶναι. Ἀλλὰ τοῦτο μέν, ἔφη, ὦ παῖ, χαλεπὸν τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν οὓς ἄν τις θέλῃ· τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον, ἤν τι κακόν, καὶ συνεπικου-

1 *τὸ* A, Xen.: *τῷ* SM | *ἕπεσθαι αὕτη* Xen. plurimi | *ὦ παῖ, ἡ ὁδός ἐστιν* Xen. ‖ 2 *τὸ κρεῖττον τούτου πολύ, τὸ* Xen. plerique | *τὰ ἑκόντα* A | *ἑκόντας* Xen. praeter Erlang. ‖ 4 *περὶ τοῦ συμφέροντος* Xen. excepto Erlang. | *εἶναι ἑαυτῶν* S ‖ 6 *τοῦτ'* M ‖ 8 *θαλάττῃ* Xen. | *δὲ* Xen.: om. SMA ‖ 10 ecl. cum lemm. hab. SMA ‖ 12 *Δῆλον, ἔφη, ὦ παῖ, ὅτι ὅσα* Xen. praeter Erlang. ‖ 14 *προαιρετὰ* A ‖ 15 *διανοίᾳ* A | *πυνθανώμενος* M ‖ 16 *εἴης* (om. *ἂν*) Xen. ‖ 17 *ἂν τούτου ὡς ἂν πραχθείη* Xen. ‖ 18 *τούτου* om. Xen. praeter Erlang. | *τούτου οὗ* — 20 *φιλεῖσθαι* om. A ‖ 19 *ἐπὶ τὸ* Xen. plerique | *τῷ φιλεῖσθαι* S ‖ 20 *ἔμοιγε* Xen. ‖ 21 *δηλονότι* M ‖ 22 *οἶμαι δεῖν* Xen. ‖ 24 *ἐθέλῃ* Xen. non nulli ‖ 25 *συναδόμενον* A

ρεῖν πρόθυμον ταῖς ἀπορίαις αὐτῶν, καὶ προφοβούμενον μή τι σφαλῶσι, καὶ προνοεῖν πειρώμενον ὡς μὴ σφάλλωνται, ταῦτά πως δεῖ παρομαρτεῖν. καὶ τὸ τῶν πράξεών γε, ἣν μὲν ἐν θέρει ὦσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα εἶναι· ἢν δ' ἐν χειμῶνι, τοῦ ψύχους· ἢν δὲ δέῃ μοχθεῖν, τῶν πόνων· πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. Λέγεις σύ, ἔφη, ὦ πάτερ, ὡς καὶ καρτερὸν δεῖ πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων μᾶλλον εἶναι. Ἐγὼ γὰρ οὖν, ἔφη. Θάρρει μέντοι, ὦ παῖ· εὖ γὰρ ἴσθι τοῦτο, ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου, ἀλλὰ κουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι καὶ τὸ αὐτὸν εἰδέναι ὅτι οὐ λανθάνει ὅ τι ἂν ποτε ποιῇ. Ὁπότε δέ, ὦ πάτερ, ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιεν δέ, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δὲ ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν ἤδη τηνικαῦτα σωφρονεῖν ἄν τίς σοι δοκοίη διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναὶ μὰ Δί', ἔφη, εἰ μέλλοι γε πλέον ἕξειν· εἰ δὲ μή, ἔγωγ' ἂν ὅσῳ οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι καὶ τοὺς ἑπομένους βελ-

---

1 *προθυμούμενον* Xen. | *ἐπικουρίαις* ut videtur in *ἀπορίαις* radendo corr. S, etiam prius *α* in rasura est | *φοβούμενον* Xen. praeter Erlang. ‖ **2** *σφάλωνται* A ‖ **3** *δεῖ μᾶλλον συμπαρομαρτεῖν* Xen. | *καὶ ἐπὶ τῶν πράξεων δέ, ἢν* Xen. ‖ **5** *πλεονεκτοῦντα φανερὸν εἶναι* Xen. | *δὲ ἐν χειμῶνι* Xen.: *δὲ χειμὼν* (*-μῶν* M) S M A | *δὲ* om. A ‖ **6** *δέῃ μοχθεῖν* Xen. cod. Bremensis: *δεῖ μοχθεῖν* S M A *διὰ μόχθων* Xen. ‖ **7** *σὺ* Xen.: *εὖ* S M A ‖ **8** *καρτερὸν* sed *ὸ* fortasse ex *ῶ* corr. M | *καρτερώτερον* Xen. praeter Erlang. ‖ **9** *μᾶλλον* om. Xen. libri praeter Erlang. | *λέγω γὰρ* Xen. | *θαρρεῖ* M | *θάρρει μέντοι τοῦτο, ὦ παῖ* Xen. ‖ **10** *τοῦτο* om. Xen. excepto Erl. ‖ **11** *πόνοι* om. A | *ἄρχοντές* A ‖ **12** *ἐπικουφίζει* Xen. ‖ **13** *καὶ αὐτὸ τὸ εἰδέναι* Xen. excepto Erlang. ‖ **14** *ποτε* om. Xen. | *ὦ πάτερ, σοι ἤδη* Xen. plurimi ‖ **18** *ἤδη* om. Xen. | $\overset{\text{ηνι}}{\text{τ}}$ *καῦτα* S¹ corr. ex *ταῦτα* (*κ* ex *τ*) ‖ **21** *μέλλοι* M A, Xen.: *μέλλει* S ‖ *πλεῖον* Xen. | *ἐγὼ γὰν* M. *ἔγωγε* Xen. praeter Erlang. | *ὅσω* ex *ὅσον* S¹ ‖ **22** *οἰοίμην* e Xen. Gesn.¹: *οἴομην* S M A | *βελτίωνας* A

τίονας ἔχειν, τοσῷδ᾽ ἂν μᾶλλον φυλαττοίμην, ὥσπερ καὶ τὰ ἄλλα ἂν οἰώμεθα πλείστου ἄξια ἡμῖν εἶναι, ταῦτα πειρώμεθα ὡς ἐν ἐχυρωτάτῳ ποιεῖσθαι. Πλέον δ᾽ ἔχειν, ὦ πάτερ, πολεμίων πῶς ἄν τις δύναιτο; οὐκέτι τοῦτο, ὦ παῖ, φαῦλον οὐδὲ ἁπλοῦν ἔργον ἐρωτᾷς· ἀλλ᾽ εὖ ἴσθι ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν καὶ ἐπίβουλον εἶναι καὶ κρυψίνουν καὶ ἀπατεῶνα καὶ κλέπτην καὶ ἅρπαγα καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπεν· Ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν ἄνδρα με γενέσθαι. Οἷος ἄν, ἔφη, ὦ παῖ, δικαιότατός τε καὶ ἐννομώτατος ἀνὴρ εἴη. Πῶς μήν, ἔφη, παῖδας ὄντας ἡμᾶς ἐναντία τούτων ἐδιδάσκετε; Ναὶ μὰ Δί᾽, ἔφη, καὶ νῦν γε πρὸς τοὺς φίλους τε καὶ τοὺς πολίτας.

76 *Ξενοφῶντος ἐν γ´ Ἀπομνημονευμάτων* (c. 9, 10—13).

Βασιλεῖς δὲ καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη ⟨εἶναι⟩ οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας οὐδὲ τοὺς κλήρῳ λαχόντας οὐδὲ τοὺς βιασαμένους οὐδὲ τοὺς ἐξαπατήσαντας ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν. ὁπότε γάρ τις ὁμολογήσειε τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν ὅ τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ πείθεσθαι, ἐπεδείκνυεν ἔν τε νηὶ τὸν μὲν ἐπιστάμενον ἄρ-

---

1 *τόσωδ᾽* libri: *τόσῳ* Xen. excepto Erl. ‖ 2 *ἂν* S M A | *ἡμῖν ἄξια* Xen. praeter Erl. ‖ 3 *πλεῖον* Xen. plerique ‖ 4 *δύναιτο μάλιστα; Οὐ μὰ Δί᾽, ἔφη, οὐκέτι τοῦτο φαῦλον, ὦ παῖ* Xen. | *οὐκ ἔστι* A ‖ 5 *οὐδαμῶς* pro *οὐδὲ* (vel *οὐδ᾽*) *ἁπλοῦν* Xenoph. libri nonnulli | *ἔργον* ex primae m. corr. (*ρ* in ras.) S ‖ 7 *καὶ κρυψίνουν καὶ δολερὸν καὶ ἀπατεῶνα* Xen. | *ἀπαταιῶνα* M ‖ 9 *σὺ* Xen.: *αὖ* (*αῦ* M) S M A ‖ 10 *οἷος ἂν ⟨ὢν⟩, ἔφη* recte in Xen. Hertlein ‖ 11 *ἐννομώτατος* A: *νομιμώτατος* Xen.: *ἐννομιμώτατος* S M quae scriptura ex *ἐννομώτατος* (superscr. *νομιμώτατος*) orta videtur | *εἴης* Xen. nisi quod *εἴη* Erlang. ‖ 12 *ὄντας ἡμᾶς καὶ ἐφήβους τἀναντία* Xen. ‖ 13 *γε* om. Xen. plerique | *καὶ πολίτας* Xen. plerique ‖ 14 ecl. cum lemm. hab. S M A; *τοῦ αὐτοῦ* compend. pro *Ξενοφ.* S ‖ 16 *η* in *ἔφη* in ras., nec non *εφ* ut videtur ex pr. m. corr. S, fuisse videtur *ἄρ* Meklero nec deesse litterae *χ* vestigia. *Σωκράτης* post *ἔφη* add. A[2] | *εἶναι* Xen.: om. S A, ambigo de M. *εἶναι* quin fuerit olim etiam in gnomologio vix dubito, dubito ubi fuerit, ante *ἔφη* an post *ἔφη* ‖ 21 *τὸν μὲν* — p. 295, 1 *τῇ νηὶ* om. A

χοντα, τὸν δὲ ναύκληρον καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ νηὶ πάντας πειθομένους τῷ ἐπισταμένῳ, καὶ ἐν γεωργίᾳ τοὺς κεκτημένους ἀγρούς, καὶ ἐν νόσῳ τοὺς νοσοῦντας, καὶ ἐν σωμασκίᾳ τοὺς σωμασκοῦντας, καὶ τοὺς ἄλλους πάντας οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν μὲν αὐτοὶ ἡγῶνται ἐπίστασθαι ἐπιμελεῖσθαι· εἰ δὲ μή, τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι τὰ δέοντα πράττωσιν· ἐν δὲ ταλασίᾳ καὶ τὰς γυναῖκας ἐπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν διὰ τὸ τὰς μὲν εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν, τοὺς δὲ μὴ εἰδέναι. εἰ δέ τις πρὸς ταῦτα λέγοι, ὅτι τῷ τυράννῳ ἔξεστι μὴ πείθεσθαι τοῖς ὀρθῶς λέγουσι, Καὶ πῶς ἄν, ἔφη, ἐξείη μὴ πείθεσθαι, ἐπικειμένης γε ζημίας, ἐάν τις τῷ εὖ λέγοντι μὴ πίθηται; ἐν ᾧ γὰρ ἄν τις πράγματι μὴ πείθηται τῷ εὖ λέγοντι, ἁμαρτήσεται δήπου, ἁμαρτάνων δὲ ζημιωθήσεται. εἰ δὲ φαίη τις τῷ τυράννῳ ἐξεῖναι καὶ ἀποκτεῖναι τὸν εὖ φρονοῦντα, Τὸν δὲ ἀποκτείναντα, ἔφη, τοὺς κρατίστους τῶν συμμάχων οἴει ἀζήμιον γίγνεσθαι ἢ ὡς ἔτυχε ζημιοῦσθαι; πότερα γὰρ ἂν μᾶλλον οἴει σῴζεσθαι τὸν τοῦτο ποιοῦντα ἢ οὕτως καὶ τάχιστ' ἂν ἀπολέσθαι.

1 *τὸν δὲ* corr. S[1], quid prius fuerit dubium, sed *δὲ* adparet ex *τὸν* correctum esse et *ο* scriptum in rasura maiore ‖ 2 *πάντα* M ‖ 3 *ἄγρουσ* M | *ἐν* (ante *σωμασκ.*) om. Tr. ‖ 5 *ἡγῶνται* S, Xen.: *ἡγοῦνται* M A ‖ 6 *ἐπίστασθαι ἐπιμελεῖσθαι —· εἰ δὲ μή* Heindorf ad Plat. Protag. p. 311 D ‖ 7 *μόνον* ex *πόνον* S[1] ‖ 8 *τὰ* ante *δέοντα* om. A ‖ 9 *τὰ λασία* M *τὰ λάσια* A[1] ‖ 12 *ὀρθῶς ἔχουσι* Tr. ‖ 13 *λέγουσιν* M ‖ 14 *γε* Xen., ubi *τε* libri plerique: *δὲ* S M A delevit A[2] | verba *μὴ πείθηται, ἐν ᾧ — εὖ λέγοντι* servavit Stobaeus, om. libri Xenophontis | *πείθηται* utrobique M A, *πίθηται* S. *πίθηται* priore loco commendat Cobet N. l. p. 701 ‖ 14. 15 *ἐν ᾧ γὰρ — λέγοντι* supra lin. S ‖ 16 *ζημιώσεται* L. Dindorf ‖ 18 *ἀποκτείνοντα* Xenophontis libri plerique | *ἔτυχεν* M ‖ 20 *πότερα* S M A *πότε* libri Xen. | *ταῦτα* Xenophontis haud pauci ‖ 21 *ἀπολέσθαι* Xen.: *ἀπολεῖσθαι* libri Stobaei

CAPVT VIII.

ΨΟΓΟΣ ΤΥΡΑΝΝΙΔΟΣ.

1 *Εὐριπίδου Ἱκετίσιν* (429 ss.).

Οὐδὲν τυράννου δυσμενέστερον ⟨πόλει⟩,
ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶν νόμοι
κοινοί, κρατεῖ δ' εἷς τὸν νόμον κεκτημένος.

2 *Εὐριπίδου Ἴωνι* (621 ss).

Τυραννίδος δὲ τῆς πάλαι θρυλουμένης
τὸ μὲν πρόσωπον ἡδύ, τὰν δόμοισι δὲ
λυπηρά. τίς γὰρ μακάριος, τίς εὐτυχής,
ὅστις δεδοικὼς καὶ περιβλέπων βίον
αἰῶνα τείνει; δημότης ἂν εὐτυχὴς
ζῆν ἂν θέλοιμι μᾶλλον ἢ τύραννος ὤν,
οἷς τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν,
ἐσθλοὺς δὲ μισεῖν, κατθανεῖν φοβουμένους.

3 *Εὐριπίδου Αὔγῃ* (fr. 275 N²).

Κακῶς δ' ὄλοιντο πάντες, οἳ τυραννίδι
χαίρουσιν ὀλίγῃ τ' ἐν πόλει μοναρχίᾳ.

---

1. 2 *Ψόγος τυραννίδος* cum Photio S M A Mac. *περὶ ψόγου καὶ τυραννίδος* Tr. numerum *μγ'* (sed alia m. rubr. *με*) adpinxit S, *μζ'* Tr., *ξ'* M A Mac. ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 4 *πόλει* tacite ex Eur. Gesn.¹, om. S M A ‖ 6 post *κεκτημένος* additur versus *αὐτὸς παρ' αὑτῷ, καὶ τόδ' οὐκέτ' ἔστ' ἴσον* in libris Euripidis ‖ 7 ecl. hab. S M A, etiam lemma S A. in M omisit lemma rubricator, quamquam spatium relictum erat ‖ 8 *τῆς μάτην αἰνουμένης* Eur. | *θρυλουμένης* S M *θρυλλ-* A Tr. ‖ 11 *παραβλέπων* libri Euripidis | *βίαν* H. Stephanus ‖ 12 *δημότης δ'* libri Euripidis | *ἂν εὐτυχὴσ* M, libri Eur.: *ἄνευ τύχης* S A. *εὐτυχὴς* suspectum ‖ 14 *ὦ* vel *ὢ* libri Euripidis ‖ 15 *μισεῖ κ. φοβούμενος* Eur. ‖ 16 ecl. cum lemm. hab. S M A; *Αὔγῃ* Meineke: *αυγη* (sine spir. S) S M *αὐγῇ* A. v. 3 et 4 omisso fab. nom. affert Philo vol. II p. 467 M. ‖ 17 *ὄλυντο* S ‖ 18 *ὀλίγων τ'* Grotius D. poet. p. 185. sed titulum (*Ψόγος τυραννίδος*) respiciens *τυραννίδι* priorem dederit locum gnomologus non reputans v. *ὀλίγῃ* vel *ὀλίγων μοναρχίᾳ* parum apte coniungi. aptius erat *οἳ μοναρχίᾳ χ. ὀλίγων τ' ἐν πόλει τυραννίδι*

τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον,
κἂν μίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομίζεται.

4 *Εὐριπίδου Ἠλέκτρα.*

* * *

4ᵃ (Eur. inc. fab. fr. 850 N²)

Ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται
δεινοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι.

5 *Εὐριπίδου Ἀντιγόνης* (fr. 172 N.²).

Οὔτ' εἰκὸς ἄρχειν οὔτ' ἐχρῆν εἶναι νόμον
τύραννον εἶναι· μωρία δὲ καὶ † θέλειν,
ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.

6 *Εὐριπίδου Ἀλκμέωνος* (fr. 80 N.²).

Φεῦ ⟨φεῦ⟩, τὰ μεγάλα μεγάλα καὶ πάσχει κακά.

7 (8 Mein.) *Μενάνδρου Ἀσπίδος* (fr. 74 K.).

Ὦ τρισάθλιοι,
† τί πλέον ἔχουσι τῶν ἄλλων; βίον
ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια
τηροῦντες, οἱ τὰς ἀκροπόλεις κεκτημένοι.

---

1 *ὄνομα* M *οὔνομα* S ex *ὀν-* A¹ ‖ 2 *σμίκρ'* Philo | *νομιζέτω* Philo ‖ 3 ecl. cum lemm. hab. S M A; *Ηλε* S. post *Ἠλέκτρα* lacunam signavi: intercidit Electrae locus, velut v. 945 *ὕβριζες ὡς δὴ βασιλικοὺς ἔχων δόμους* vel si quem titulo accommodatiorem reperies. proximos autem versus Euripidis esse et ipsos ut non certum est, ita probabile ‖ 7 *ἐρῶσιν* S M A: corr. Matthiae | *ἧς* S *οἷς* M A; *δεινῶς ἐρῶσιν, οὓς φυλακτέον, πάτερ* prop. Valckenaer diatr. 226. sed vereor ne v. *ἧς — πέρι* gnomologi sint sententiam artius aptantis Tyrannidis vituperio, vide ad ecl. 3 ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 9 *ἀρχὴν* Halm ect. Stob. p. 52 | *ἄνευ νόμου* (*νόμων* Bothe) ci. Badham, *νόμων ἄτερ* Gomperz ‖ 10 *θεῖναι* A | *μυρία* A | *φιλεῖν* pro *θέλειν* ego olim conieci, *σέβειν* G. Velke, alii alia. non aptum *πέλειν*, quod in mentem venit L. Dindorfio, audacius quod Heimsoethio placuit *μωρίαν δ' ὀφλισκάνει* ‖ 12 ecl. cum lemm. hab. S M A; *ἀλκμέωνος* M *ἀλκμαίωνος* S A ‖ 13 alterum *φεῦ* inseruit Gesn.¹ ‖ 14 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) M A (post ecl. 6 Mein.) ‖ 15 v. *ὦ τρισάθλιοι* tamquam prioris senarii clausulam constituit Grotius inserens *βασιλεῖς* in proximi initio, cui *σατράπαι* praeferri vult Kock, *οἳ πλέον ἔχ⟨ζητεῖν⟩ οὖσι τῶν ἄ.* Cobet N. l. 76 ‖ 16 *βίων* Tr. ‖ 17 *οἰκτρὸν οἳ* (*οἱ* A) sed omisso *οἱ* ante *τὰ φρ.* M A ‖ 18 *ἢ τὰς* Meineke

εἰ πάντας ὑπονοοῦσιν οὕτω ῥᾳδίως
ἐγχειρίδιον ἔχοντας αὐτοῖς προσιέναι,
οἵαν δίκην διδόασιν.

8 (9 Mein.) *Διονυσίου τυράννου* (fr. 4 p. 794 N.[2]).

Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ.

9 (7 Mein.) *Εὐριπίδου Πελιάδων* (fr. 605 N.[2]).

Τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς
τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον.
φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεών,
πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι.

10 *Σοφοκλέους Οἰδίποδι* (T. 380 ss.).

Ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

11 *Ἐν ταὐτῷ* (873 s.).

Ὕβρις φυτεύει τύραννον,
ὕβρις, εἰ πολλῶν ὑπερπλησθῇ μάταν.

---

1 *οὗτοι* Porson ‖ 2 *αὐτοὺσ* M ‖ 4 ecl. hab. S A, om. M. *δι^ο τυράννου* S *διονυσίου τυράννου* A Tr. mitto Gesneri[1] aliorumque errores. Dionysii esse versum testatur etiam Plutarchus mor. p. 338 C, quamquam videntur fuisse qui versum alii poetae adscriberent, cf. Miller *Mél. de litt. gr.* p. 364. omisso poetae n. affertur prov. append. II 99 Apostol. cent. VII 41 a ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 6) M (post ecl. 8 Mein.) A (post ecl. 9 Mein.) ‖ 7 *ἐσχάτως* olim prop. Nauck ‖ 8 *τυραννίς, εὕροις δ' οὐκ ἂν ἀθλ.* ci. Enger adn. ad poet. gr. fr. (Posnaniae a. 1868) p. 19 ‖ 9 *κατακτανεῖν* ex *κατθανεῖν* corr. S[1]. aliquid intercidisse ante hunc versum putat Gomperz. *πόλεις τε πορθεῖν καὶ φίλους κτανεῖν χρεών* prop. Nauck. *πόλεις τε π. καὶ κατακτανεῖν χρεὼν Φίλους· φόβος* ego Act. soc. philol. Lips. II p. 24, *φίλους τ' ἀπωθεῖν* Munro *Journal of philol.* X p. 442 et Gomperz *Nachl.* p. 35 s. ‖ 10 *ἐπεὶ φόβος πρ.* Pflugk ‖ 11 ecl. cum lemm. hab. S (post ecl. 9 Mein.) M A (post ecl. 7 Mein.), *οἰδίπο^δ* S ubi uno *σοφοκλέους* lemmate coniunctim signantur eclogae 10—13 ‖ 12 *τυραννὶ* Soph.: *τυραννὶς* Stobaei libri (cf. ecloga superior) ‖ 14 *ὑμῖν* S M, Soph.: *ἡμῖν* A Tr. ‖ 15 ecl. cum lemm. hab. S M A, de S vide quae monui ad ecl. 10 ‖ 17 *εἰ* Soph.: *ἡ* S M *ἢ* A *ἥ* Tr. | *ὑπερπλησθῇ* Soph.: *ὑπερπλήσθη* S A *ὑπερπληθυσ* sine acc. M *ὑπερεπλήσθη* Tr. | *μάταν* S A, Soph.: *μάτων* M Tr.

12 *Σοφοκλέους Αἴαντι* (1350).

Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.

13 *Τοῦ αὐτοῦ Πολυξένῃ* (fr. 481 N.²).

Οὐ γάρ τις ἂν δύναιτο πρῳρατὴς στρατοῦ
τοῖς πᾶσιν εἶξαι καὶ προσαρκέσαι χάριν.
ἐπεὶ οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι
οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος·
βροτοῖς ⟨δ'⟩ ἂν ἐλθὼν ἐς λόγον δίκην ὄφλοι.
πῶς δῆτ' ἔγωγ' ἂν θνητὸς ἐκ θνητῆς τε φὺς
Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος;

14 *Φαβωρίνου* (fr. 80 p. 135 Marr.).

Ὥσπερ γὰρ τὰ θηρία τὴν σαγήνην ὑποχωροῦντα ⟨ἀεὶ⟩ εἰς ἐλάττω τόπον συνάγεται, οὕτω δὲ καὶ τοὺς τυράννους ἔστιν ἰδεῖν ἐπαναχωροῦντας ἐκ μὲν τῆς Ἑλλάδος εἰς τὴν πόλιν, ἐκ δὲ τῆς πόλεως εἰς τὴν ἀκρόπολιν, εἶτ' εἰς τὴν οἰκίαν, ἔπειτ' εἰς τὸ δωμάτιον. εἶτα δύναται καταφυγεῖν ἄνθρωπος θεὸν φεύγων; ὅπου γὰρ ἂν καταφύγῃ, ἡ Δίκη αὐτὸν εὑρήσει.

---

1 ecl. cum lemm. hab. S M A, de S vide ad. ecl. 10. cf. Eustath. p. 1514, 25 ‖ 3 ecl. cum lemm. hab. S M A, de S vide adn. in ecl. 10 ‖ 4 *πρωρατης* sine acc. S M *πρώρ*^{α} *τῇ* A ‖ 5 *πᾶσι δεῖξαι* libri: corr. Wecklein Art. Soph. em. p. 18 ‖ 7 *ἐξεπομβρῶν* Grotius Dict. poet. p. 187: *ἐξ ἐπόμβρων* S *ἐξεπόμβρων* M *ἐξ ἐπόμβρων* in *ἐξ ἐπομβρῶν* corr. priore accentu deleto A¹. *ἔστ' ἐπομβρῶν* prop. Herwerden Lucubr. Soph. p. 77 ‖ 8 *δ'* inseruit Dobree Adv. II p. 53 | *ἀνελθὼν ἐς δίκην λόγων* libri: corr. Dobree | *ὄφλαι* libri: corr. Brunck ‖ 9 *δ' ἦτ'* M | *ἔγωγ' ἂν θνητὸς* scripsi duce Meinekio: *ἐγὼ θνητός γ' ἂν* (*γὰν* M) S M *ἐγὼ θνητός γ' ὢν* A unde non bene Meineke *θνητὸς ὢν θνητῆς τε φὺς* ‖ 10 *εὐφρονεῖν* S ‖ 11 ecl. cum lemm. hab. S M A, *φαβουρίνου* S M A in *φαβωρ-* corr. A¹, bis lemma M rubr., semel in fine folii 215, dein in initio folii 216ʳ ‖ 12 *ὑποχωροῦντ' ἀεὶ εἰς ἐλ.* Meineke: *ὑποχωροῦντα εἰς* S M A ‖ 13 *δὲ* S M A: *δὴ* scr. Gesn.¹ ‖ 14 *ὑπαναχωρ.* prop. Meineke ‖ 15 *εἰσ τὴν ἀκρ.* M *ἐς τὴν ἀκρ.* S M ‖ 16 *ἔπειτ'* S M A: *εἶτ'* Tr. | *οὗτοι* pro *εἶτα* coni. Wyttenbach animadv. in Plut. De sera num. vind. p. 554 D. *δωμάτιον, εἶτα ⟨εἰς ᾅδου· οὐ γὰρ⟩ δύναται — φεύγων* prop. Meineke Stob. flor. vol. IV p. LXX ‖ 16 *ἀποφυγεῖν* scr. Meineke, sed nihil mutavi in oratione mutila ‖ 17 *ὅποι* tacite Marres; *ὅπου* libri

15 *Δημοσθένους ἐκ τῶν Φιλιππικῶν α'* (I p. 10).

Καὶ ὅλως ἄπιστον οἶμαι ταῖς πολιτείαις ἡ τυραννίς.

16 *Ἐκ τῆς Φαλάριδος πρὸς Δημοτέλη ἐπιστολῆς* (38 p. 418 Herch.).

Συγγνώμην ἔχω σοι τῶν παραινέσεων· τύραννος γὰρ οὐ γεγονὼς τυράννῳ συμβουλεύεις καταθέσθαι τὴν τυραννίδα, οὐκ εἰδὼς ὅτι τοῦ κτήσασθαι τὴν ἀρχὴν ἐπισφαλέστερόν ἐστι τὸ καταθέσθαι.

17 *Ἀναξιμένους.*

Ἀναξιμένης ὁ Λαμψακηνὸς ῥήτωρ ἐρωτηθεὶς ὑπὸ τοῦ βασιλέως Φαίδρου, τί ἀκοινώνητόν ἐστιν, εἶπε 'τυραννίς'.

18 *Ἀριστίππου.*

Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος τοσοῦτον ἔφη διαφέρειν βασιλείαν τυραννίδος, ὅσον νόμος ἀνομίας καὶ ἐλευθερία δουλείας.

19 *Φιλιππίδου* (Ps.-Plut. reg. et imp. apophth. p. 183 E).

Λυσίμαχος ὁ τύραννος πρὸς Φιλιππίδην τὸν κωμωδιοποιὸν φίλον ὄντα καὶ συνήθη 'τίνος σοι', εἶπε 'μεταδῶ;' κἀκεῖνος 'οὗ βούλει πλὴν τῶν ἀπορρήτων'.

20 *Ἀντιγόνου.*

Ἀντίγονος πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν 'εἰ

---

1 ecl. cum lemm. hab. S M A; *δημοσθ*ε nec plura S. exspectes *ἐκ τῶν Ὀλυνθιακῶν α'* coll. IV 5, 102 H. flor. 106, 12 Mein., sed vide 106, 13 ‖ 3 ecl. cum lemm. hab. S M A, *ἐπιστολῆς* om. S ‖ 6 *συμβουλεύειν* A | *τὴν τυραννίδα, θεῶν μὲν οὐδένα μοι διδοὺς ἐγγυητὴν τῆς ἀσφαλείας, ᾧ τάχα ἂν καὶ ἐπείσθην, ἀξιόπιστον δὲ σαυτὸν ἡγούμενος ἀνάδοχον ὑπὲρ τηλικούτου πράγματος, σχεδὸν οὐκ εἰδὼς ὅτι* Ps.-Phal. ‖ 7 *τὴν τοιαύτην ἀρχὴν* Ps.-Phal. ‖ 8 *τοῦ καταθέσθαι* A[1] ‖ 9 ecl. sine lemm. hab. S, addito lemmate M A; *ἀναξιμένησ* pro lemm. M ‖ 10 v. *ὁ Λαμψ. — Φαίδρου* om. S, habet tamen *ἐρωτηθεὶς* ‖ 11 *τί οὐ κοινώνητον* A ‖ 12 ecl. sine lemm. hab. S, addito lemmate M A, om. Tr. ‖ 13 *τοσοῦτον ἔφη διαφέρειν βασιλείαν* S: *ἔφη τοσούτω διαφέρειν βασιλείαν* M A ‖ 16 ecl. cum lemm. hab. M A, om. S. narratur apophthegma a Plutarcho de garrul. p. 508 C de curios. p. 517 B vit. Demetrii c. 12 extr. ‖ 17 *κωμοδοποιόν* A[1] *κωμῳδιοποιὸν* A[2] ‖ 20 ecl. cum lemm. hab. S M A. iteratur corp. Par. 544 Elt. (*Ἀντιγόνου*), sine lemmate gnomol. Paris. 125 Sternb. ‖ 21 *αὐτῷ* Tr. | *εἰ ᾔδεις*] *εὐειδὴς* corp. Par.

ᾔδεις' ἔφη 'ὦ μῆτερ, ὅσων κακῶν μεστόν ἐστι τουτὶ τὸ ῥάκος' δείξας τὸ διάδημα 'οὐκ ἂν ἐπὶ κοπρίας αὐτὸ κείμενον ἐβάστασας'.

21 *Πτολεμαίου.*

Πτολεμαῖος ὁ ἐπικληθεὶς Φιλάδελφος ἔλεγε τὴν τυραννίδα ἄλλα τε πολλὰ δύσκολα ἔχειν καὶ τὸ μέγιστον, τὸ ἀναγκάζεσθαι τοὺς μηθὲν ἀδικοῦντας κτείνειν τοῦ συμφέροντος ἕνεκα.

22 (23 Mein.) *Δημοσθένους Φιλιππικῶν* (VI p. 72).

Βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸν ἐλευθερίᾳ καὶ νόμοις ἐναντίον.

23 (22 Mein.) *Ἀριστίππου.*

Τοῦ Διονυσίου λέγοντος πρὸς Ἀρίστιππον 'οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ' 'ἀληθῆ λέγεις' εἶπεν· 'εἰ γὰρ ὠφέλησο, ἐπέπαυσο ἂν τῆς τυραννίδος ὥσπερ ἱερᾶς νόσου.'

24 *Αἰλιανοῦ* (v. h. 10, 5).

Φρύγιος οὗτος ⟨ὁ⟩ λόγος, ἔστι γὰρ Αἰσώπου τοῦ Φρυγός. ὁ δὲ λόγος φησὶ τὴν ὗν, ἐὰν αὐτῆς τις ἅψηται, βοᾶν καὶ μάλα γε εἰκότως· οὔτε γὰρ ἔρια ἔχει ὗς οὔτε γάλα οὔτε ἄλλο τι πλὴν τῶν κρεῶν. παραχρῆμα οὖν

---

1 *ἐστι μεστὸν* corp. Par. gnomol. Paris. ‖ 2 *ῥάκκος* S | *αὐτὸ* (-*τῷ* corp. Par.) *κείμενον* M A, corp. Par. *κείμενον αὐτὸ* S *ἀποκείμενον* (l. *αὐτὸ κ.*) gnomol. Par. ‖ 3 *ἐβάσταζες* prop. Meineke ‖ 4 ecl. cum lemm. hab. M A, sine lemm. S ‖ 5 *τὴν* om. A ‖ 6 *πολλὰ* om. S ‖ 7 *μηδὲν* A ‖ 8 *ἕνεκα* dedi ex M A: *εἵνεκα* S ‖ 9 ecl. cum lemm. hab. M A (post ecl. 21 Mein.) S (post ecl. 22 Mein.). in lemmate intercidisse putes *β'* ante *βασιλεύς*, sed vide Stob. IV 43, 52. 60. 71 al. H. cf. Liban. III 410, 9 R. ‖ 10 *ἐχθρῶν* A corr. A² ‖ 12 ecl. cum lemm. hab M A (post ecl. 23 Mein.), lemmate detracto S (post ecl. 21 Mein.). iteratur ecloga gnomol. Paris. 71 Sternb. ‖ 14 *ὠφελήθης* gnomol. Par. ‖ 15 *ἐπέπαυσο ἂν* S *πέπαυσο ἂν* M A *ἐπαύσω* (omissa *ἂν* particula quam supplevit Sternbach) gnomol. Par. ‖ 16 ecl. cum lemm. hab. M A (post ecl. 22 Mein.) S (post ecl. 23 Mein.). cur Aeliani librorum scripturam non addiderim, doceat Hercher Ael. ed. Didot. praef. p. V s., qui singulis demonstravit, quam digna omnia fere sint apud Stobaeum Aeliano, quam plenus licentiae 'epitomator Aeliani', cf. supra Stob. III p. 639, 9 adn. ‖ 17 *ὁ λόγος* cod. Paris. 1985 teste Gaisfordo: *λόγος* S M A, Ael. ‖ 18 *τι* M ‖ 19 *ἔργα* M

ὀνειροπολεῖν τὸν θάνατον εἰδυῖαν εἰς ὅ τι τοῖς χρησομένοις αὐτῇ πέφυκε λυσιτελὴς εἶναι. ἐοίκασι δὲ τῇ ὑὶ τῇ Αἰσώπου οἱ τύραννοι ὑποπτεύοντες καὶ δεδοικότες πάντα· ἴσασι γὰρ ὅτι, ὥσπερ οὖν αἱ ὗς, ὀφείλουσι καὶ ἐκεῖνοι τὴν ψυχὴν πᾶσι.

25 *Ἰσοκράτης Νικοκλεῖ* (ad Nicocl. § 2—4 p. 15 B—C).

Τοὺς μὲν ἰδιώτας ἔστι πολλὰ τὰ παιδεύοντα· καὶ μάλιστα μὲν τὸ μὴ τρυφᾶν ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην βουλεύεσθαι τὴν ἡμέραν, ἔπειθ' οἱ νόμοι, καθ' οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν, ἔτι δὲ ἡ παρρησία καὶ τὸ μὴ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιπλῆξαι καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις· πρὸς δὲ τούτοις καὶ τῶν ποιητῶν τινες τῶν προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοίπασιν· ὥστ' ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίγνεσθαι. τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον, οὓς ἔδει παιδεύεσθαι μᾶλλον τῶν ἄλλων, ἐπειδὰν δ' εἰς τὴν ἀρχὴν κατασταθῶσιν, ἀνουθέτητοι διατελοῦσιν. οἱ μέν γε πλεῖ-

---

1 *τοῖς χρησομένοις* SMA *τῶν χρησίμων* Tr. ‖ 2 *αὐτῇ* (sicut scripsit Hercher) S *αὐτῇ* M *αὐτὴ* A ‖ 4 *οὖν* M A, Ael.: om. S ‖ 6 ecl. cum lemm. hab. S M A; *ἰσοκράτουσ* nec pl. M Tr. ‖ 7 *τοὺς μὲν γὰρ ἰδ.* Is. | *καὶ* om. Isocratis cod. Vrbinas et pap. Massil. ‖ 9 *καθ' ἑκάστην* M A, Is.: *κ*ϔ fere S *κάλλιστα* Tr. | *βουλεύεσθαι τὴν ἡμέραν* MA: *τὴν ἡμέραν βουλεύεσθαι* Isocratis cod. Vrbin., *ἀγωνίζεσθαι τὴν ἡμέραν* Isocratis libri alii, *βουλεύεσθαι τὴν ἡμέραν* (compend., cf. Gardthausen *Gr. Pal.* p. 258) S *βούλεσθαι τὴν ὥραν* Tr. ‖ 11 inter *παρρησία* et *καὶ τὸ μὴ φαν.* inserunt eclogam 26 cum lemmate S M A: eclogam 26 post ecl. 25 traiecit Gesn.[2] p. 345 sed omissis non nullis, inde vulg. | *μὴ* quod ignorat Is. nescio an a gnomologo additum sit minus attento | *τοῖς τε φίλοις* M A, Is.: *τοῖς φίλοις* S *τοὺς φίλους* Tr. ‖ 12 *επιτιθεσ[θαι]* Isocratis papyri ‖ 13 *τινὲς καὶ τῶν ποιητῶν* colloc. Isocratis libri nonnulli | *τινας* Tr. ‖ 14 *καταλελοι*$^{\pi}$ S *καταλελοιπότας* Tr. ‖ 16 *τοιοῦτον καὶ τὰ ἑξῆς* verbis *οὓς* — (p. 303, 2) *ὁμιλοῦσιν* omissis S *τοιοῦτον* verbis reliquis inde ab *οὓς* omissis Tr. | *τοιοῦτον, ἀλλ' οὓς* Is.: *ἀλλ'* om. M A, Is. pap. Massil. *ἀλλ'* ex Is. addidit (particula *δ'* post *ἐπειδὰν* deleta) Gesn.[2] ‖ 17 *δ'* om. Is. | *εἰς τὴν ἀρχὴν* Is. ‖ 18 *κατασταθῶσιν* Isocratis cod. Vrbin. | *οἱ μὲν γὰρ πλεῖστοι* Is.

στοι τῶν ἀνθρώπων οὐ πλησιάζουσιν αὐτοῖς, οἱ δὲ συνόντες πρὸς χάριν ὁμιλοῦσιν.

26 *Φαλάριδος ἐκ τῆς πρὸς Παυρόλαν τὸν υἱὸν ἐπιστολῆς* (ep. LXVII p. 425 Herch.).

Εἴ γε σὺ μὴ τοῦθ' ὃ κατηγοροῦσί τινες ὥρμηκας ἐπὶ τὸ ζηλοῦν καὶ μιμεῖσθαι τὸν ἐν τυραννίδι βίον, ὅπερ ἂν εὖ φρονῶν τυγχάνῃς, παρὰ τοῦ μεταμελομένου εἰς γνώμην λάβε. ὁ γὰρ ἀμφοτέρων πεπειραμένος τυραννηθῆναι μᾶλλον εὐξαίμην ἂν ἢ τυραννῆσαι. ὁ μὲν γὰρ ἕνα φοβεῖται τῶν ἄλλων χαλεπῶν ἀπηλλαγμένος, τὸν τύραννον, ὁ τύραννος δὲ τοὺς ἔξωθεν ἐπιβουλεύοντας καὶ δι' οὓς σῴζεται.

27 *Ἐκ τῶν Διογένους Διατριβῶν* (Dionis Prus. or. VI 46 vol. I p. 92 Arn.).

Δοκεῖ δὲ τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων ὁ μὲν βίος ἀμείνων, ὁ δὲ θάνατος διὰ τοῦτο λυπηρότερος.

---

1 *οὐ πλησιάζουσιν αὐτοῖς* M A, Is. cod. Vrbin.: *αὐτοῖς οὐ πλησιάζουσιν*, quod propter homoeoteleuton recepit Drerup, Isocratis alii, inter quos pap. Rain. ‖ 3 ecl. cum lemm. hab. S M A post eclogae prioris v. *ἔτι δὲ ἡ παρρησία* (p. 302, 11), ubi vide quae subnotavi ‖ 5 *εἴ γε* — 7 *εἰς γνώμην λάβε* primus edidi ex M A, om. S | *σὺ μὴ* scripsi: *σοι μὴ* M A *μὴ σὺ* Ps.-Phal. ‖ 6 *ζηλοῦν καὶ* Ps.-Phal.: *ζητούμενον* M A | *τυραννίσι*, A. in proximis gnomologae temeritatis insigne habes exemplum. non tam mutando quam mutilando nova quaedam evasit ecloga et Ps.-Phalaridis valde dissimilis. hunc adscribo: *ψυχῆς δὲ πάντας τρόπους προνοεῖσθαι χρὴ τὸν μέλλοντα μετὰ ἀρίστης τιμῆς ἐν δημοκρατουμένῃ ζήσεσθαι πόλει, εἴ γε μὴ σύ, τοῦθ' ὃ κατηγοροῦσί τινες, ὥρμηκας ἐπὶ τὸ ζηλοῦν καὶ μιμεῖσθαι τὸν ἐν τυραννίδι βίον ὡς προσήκοντά σοι κατὰ νόμους, καὶ διὰ τοῦτο σωματικὴν ἐπασκεῖς ῥώμην, οἰόμενος ἁρμόζουσαν εἶναί σοι τὴν ἰσχὺν εἰς τοιαύτης δυναστείας κατάκτησιν. ὅπερ ἐὰν εὖ φρονῶν τυγχάνῃς, παρὰ τοῦ μεταμελομένου περὶ μοναρχίας, οὐχ ἑκουσίως, ἀλλ' ἐξ ἀνάγκης τοῦτον ἐπανελομένου τὸν βίον, γνώμην λάβε. ὁ γὰρ ἀμφοτέρων κτέ.* ‖ 7 *εἰς* om. Dio ‖ 9 *εὔξαιτο ἂν* vel *ἂν εὔξαιτο* libri Ps.-Phalaridis | *τυραννεῖσθαι* A, corr. A² (ν suprascr.) ‖ 11 *δὲ καὶ τοὺς ἔξ.* Ps.-Phal. ‖ 13 ecl. cum lemm. hab. S M A. cf. quae collegit Sternbach in gnom. Vat. 21

οἱ δ' αὖ κακῶς ζῶντες τὸν μὲν βίον δυσχερέστερον φέρουσι, τὸν δὲ θάνατον ἥδιον προσδέχονται. τοῖς δὲ τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα ἢ τοῖς ἄλλοις· ζῶσι μὲν γὰρ πολὺ ἀηδέστερον τῶν πάνυ ἐπιθυμούντων τεθνάναι, τὸν δὲ θάνατον οὕτω δεδοίκασιν ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ.

28 *Ἡροδότου ἱστορίας γ'* (53).

Τυραννὶς χρῆμα σφαλερόν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσιν.

29 *Ἡροδότου ἱστορίας τρίτης δημηγορίας Ὀτάνου* (80).

Πῶς δ' ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστιν ἀνευθύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων στάντα ἐς ταύτην τὴν ἀρχὴν ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειε. ἐγγίνεται μὲν γάρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν· φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα ἔχει πᾶσαν κακότητα· τὰ μὲν γὰρ ὕβρι κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα, τὰ δὲ φθόνῳ. καίτοι ἄνδρα γε τύραννον ἄφθονον ἔδει εἶναι, ἔχοντά γε πάντα τὰ ἀγαθά. τὸ δὲ ὑπεναντίον τούτου ἐς τοὺς πολιήτας πέφυκε. φθονέει γὰρ τοῖσιν ἀρίστοισι περιεοῦσί τε καὶ ζώουσι, χαίρει δὲ

---

1 *μὲν* om. codices Dionis non bene | *δυσχερέστερον φέρουσι* Stob.: *δοκοῦσι* (sed *δοκοῦσι* om. libri Dionis aliquot) *δυσχερέστερον φέρειν* libri Dionis non melius ‖ 2 *προσδέχεσθαι* fere libri Dionis | *τοῖς δέ γε τυράννοις* Dio ‖ 4 *μὲν* om. A. aberravit Gaisford | *ἀδεέστερον* Tr. ‖ 7 ecl. sine lemm. hab. S, addito lemmate M, om. A Tr. *ἱστορίας γ̄* addidi ex M. quae proxime praecedunt apud Herodotum, dederat supra Stobaeus III 23, 12 H. ‖ 10 ecl. cum lemm. hab. S M A ‖ 11 *κῶς* Her. | *κατηρτισμένον* H. Stephanus ‖ 12 *ποιέειν* Her.: *ποιεῖν* S M *ποιοῦν* A. illud dedi etiam Stobaeo, quia ipse infra *ποιέει*, cf. etiam 20 ‖ 13 *στάντα* Her.: *ἐσἂν τὰ* S M A | *ταύτην* A Tr., Her.: *ταυτην* sine acc. S *ταυτὴν* M | *τὴν ἀρχὴν* om. Herodoti libri meliores ‖ 14 *στήσειε* M, Her. *-ειεν* S A ‖ 15 *παρεόντων* Her., *παρόντων* S M A. illud revocavit etiam cod. Paris. 1985 teste Gaisfordo nec immerito, cf. 21 ‖ 17 *ὕβρι* Her.: *ὕβρει* S M A | *κεκορυμένος* A | *ἕρδει* M ‖ 18 *γε* om. Herodoti cod. Vat. 123 ‖ 20 *τούτου* Tr., Herodoti libri vetustiores: *τούτῳ* S *τούτω* M *τοῦτο* A sicut *τούτῳ* Herodoti libri recentiores ‖ 21 *περιέουσί τε* M

τοῖσι κακίστοισι τῶν ἀστῶν· διαβολὰς δὲ † ἄριστον ἐνδέκεσθαι. ἀναρμοστότατον ⟨δὲ⟩ πάντων· ἤν τε γὰρ αὐτὸν μετρίως θαυμάζῃς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται, ἤν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων· νόμαιά τε κινεῖ πάτρια καὶ βιᾶται γυναῖκας κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον πρῶτα μὲν ὄνομα πάντων κάλλιστον ἔχει, ἰσονομίην, δεύτερα δὲ τούτων τῶν ὁ μούναρχος ποιέει οὐδέν· πάλῳ μὲν ἀρχὰς ἄρχει, ὑπεύθυνον δὲ ἀρχὴν ἔχει, βουλεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι οὖν γνώμην μεθέντας ἡμέας μουναρχίην τὸ πλῆθος ἀέξειν· ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα.

30 (30—46 Mein.) *Ξενοφῶντος ἐκ τοῦ Ἱέρωνος* (1, 1—10).

Σιμωνίδης ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον. σχολῆς δὲ γενομένης ἀμφοῖν εἶπεν ὁ Σιμωνίδης· Ἆρ' ἄν μοι ἐθελήσαις, ὦ Ἱέρων, διηγήσασθαι ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ; Καὶ ποῖα ταῦτ' ἐστίν, ἔφη ὁ Ἱέρων, ὁποῖα ἂν ἐγὼ βέλτιον εἰδείην σοῦ οὕτως ὄντος σοφοῦ ἀνδρός; Οἶδά σε, ἔφη, ἐγὼ καὶ ἰδιώτην γεγενημένον καὶ νῦν τύραννον ὄντα· εἰκὸς οὖν ἀμφοτέρων πεπειραμένον καὶ εἰδέναι σε μᾶλλον ἐμοῦ, πῇ διαφέρει

---

1 *ἄριστον* S M A sicut codd. Herodoti ubi *ἄριστος* pauci recte | *ἐνδέκεσθαι* Her.: *ἐνδέχεσθαι* S M A ‖ 2 *ἀναρμοστότατον δὲ* Her.: *ἀναρμόστατον* S M A ‖ 3 *θωμάζῃς* Her. ‖ 5 *νόμαια* Her.: *νομεα* sine acc. S *νομέα* M A *νόμεα* Tr. ‖ 6 *ἄρχον* Her.: *ἄρχων* S M A ‖ 7 *οὔνομα* Her. | *ἰσοτιμίην* Tr. ‖ 8 *παλω* sine acc. S M ‖ 9 *ἄρχει* in ras. M[2] ut videtur ‖ 10 ionismos *ὦν* et *μετέντας* ex em. cod. Paris. 1985 teste Gaisfordo ‖ 13 ecl. cum lemm. hab. S M A. multo melioribus quam nostris libris in Hierone excerpendo usum esse Stobaeum iudicat Cobet N. l. p. 548. ceterum excerpta haec impudenter interpolata sunt in Stobaei codice Paris. 1985 quo decipi se passi sunt Xenophontei libelli editores haud raro. rem perspexit Cobet l. c. p. 550 ‖ 17 *βέλτιστον* M ‖ 18 *ὁποῖα* bis scripsit S, alterum in initio folii 97ʳ, in prioris pag. fine alterum | *ὁποῖα δὴ ἐγὼ βέλτιον ἂν εἰδείην σοῦ* Xen. | *σου* libri Stobaei ‖ 19 *ὄντοσ* in *ὄντωσ* videtur corrigere M[1] ‖ 20 *ὄντα. καὶ εἰκὸς* Tr. ‖ 21 *πεπειρασμένον* M | *σε* M, Xen.: om. S A ‖

ὁ τυραννικός τε καὶ ἰδιωτικὸς βίος εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώποις. Τί οὖν, ἔφη ὁ Ἱέρων, οὐχὶ ⟨καὶ⟩ σύ, ἐπεὶ νῦν γ' ἔτι ἰδιώτης εἶ, ὑπέμνησάς με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ; οὕτω γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν τὰ διαφέροντα ἐν ἑκατέρῳ. Οὕτω δὴ ὁ Σιμωνίδης εἶπε· Τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε, Ἱέρων, δοκῶ μοι καταμεμαθηκέναι διὰ μὲν τῶν ὀφθαλμῶν ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους, διὰ δὲ τῶν ὤτων ἀκούσμασι, διὰ δὲ τῶν ῥινῶν ὀσμαῖς, διὰ δὲ τοῦ στόματος σίτοις καὶ ποτοῖς, τὰ δὲ ἀφροδίσια δι' ὧν δὴ πάντες ἐπιστάμεθα, τὰ δὲ ψύχη καὶ θάλπη καὶ σκληρὰ καὶ στριφνὰ καὶ μαλθακὰ καὶ βαρέα καὶ κοῦφα ὅλῳ τῷ σώματί μοι δοκοῦμεν, ἔφη, κρίνοντες καὶ ἥδεσθαι καὶ λυπεῖσθαι ἐπ' αὐτοῖς ἀγαθοῖς τε καὶ κακοῖς. ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαί τε καὶ λυπεῖσθαι· ἔστι δὲ ὅτε κοινῇ διά ⟨τε⟩ τῆς ψυχῆς καὶ τοῦ σώματος. τῷ δὲ ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δοκῶ ⟨μοι⟩ αἰσθάνεσθαι, ὅπως δὲ καὶ ᾧτινι καὶ ὁπότε, ταῦτα μᾶλλόν πως, ἔφη, δοκῶ μοι ἀγνοεῖν. καὶ οὐδὲν δὴ ἴσως τοῦτο θαυμαστόν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται ἢ τὰ ἐν τῷ ὕπνῳ. Πρὸς ταῦτα δὴ ὁ Ἱέρων απε-

---

1 *τε* (post *εὐφροσ.*, non post *τυρανν.*) om. A. de A fallitur Gaisford, cum Gaisfordo Cobet N. l. 549 ‖ **2** *ἀνθρώπων* compend. Tr. | *καὶ* tacite e Xen. addidit Gesn.[1] ‖ **3** *νῦν γ'* scripsi: *νυνὶ* S M A *νῦν* Tr. *νῦν γε* Xen. abundare potius videtur particula Cobeto l. c. p. 550 | *ὑπέμνησας* Xen.: *ὑπομνήσειας* libri Stobaei ‖ **4** *μάλιστα οἶμαι* A ‖ **6** *ὦ Ἱέρων* Xen., e Xen. Gesn.[1], alii | *μοι* M, Xen.: om. S A ‖ **8** *ἀχθομένους* sed *α* in ras. manus fort. non prima S ‖ **9** prius *δὲ* om. A | *σίτοις τε καὶ π.* Xen. ‖ **11** *ψυχη — θαλπη — σκληρα — στριφνα — μαλθακα* sine acc. S | *καὶ στριφνὰ* (*στρυφ-*; A) S M A, recte om. Xen. ‖ **12** *μαλακὰ καὶ κοῦφα καὶ βαρέα ὅλῳ* Xen. ‖ **13** *καὶ ἥδεσθαι* (*ἥθεσθαι* M) *καὶ λ.* libri Stob.: *ἥδεσθαί τε καὶ λ.* Xen. | **13. 14** *λυπεῖσθαι ἐπ' αὐτοῖς· ἀγαθοῖς δὲ καὶ κακοῖς ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψ.* Xen. ‖ **14** *ὅτε* Tr., Xen.: *ὅτι* S M A ‖ **15** *τε καὶ λυπεῖσθαι* S M A, *ὁτὲ δ' αὖ λυπ.* Xenoph. haud pauci ‖ **16** *τε* addidi e Xen. ‖ **17** *δ' ὕπνῳ* libri Xen. | *μοι* addidi e Xen. ‖ **18** *καὶ* om. A | *ὅτινι* M ‖ **19** *δὴ* quod om. Xen. deleverim ut ex dittogr. quadam ortum | *ἴσοσ* M | *εἰ τὰ* A Tr., Xen.: *εἶτα* S sed compend., M ‖ **21** *τὰ* om. A

κρίνατο· Ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ Σιμωνίδη, ἔξω τούτων ὧν εἴρηκας σὺ οὐδ' ὅπως ἂν αἴσθοιτό τινος ὁ τύραννος, ἔχοιμ' ἂν εἰπεῖν, ὥστε μέχρι γε τούτων οὐκ οἶδα ὅ τι διαφέρει ὁ τυραννικὸς τοῦ ἰδιωτικοῦ βίου. Καὶ ὁ Σιμωνίδης εἶπεν· Ἀλλὰ ἐν μὲν τοῖσδε διαφέροι ἄν, εἰ πολλαπλάσια μὲν ⟨δι'⟩ ἑκάστου τούτων εὐφραίνεται, πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει. Καὶ ὁ Ἱέρων εἶπεν, Οὐχ οὕτως ἔχει, ὦ Σιμωνίδη, ταῦτα· ἀλλ' εὖ ἴσθ', ὅτι πολὺ μείω εὐφραίνονται οἱ τύραννοι τῶν μετρίως διαγόντων ὑπηρετῶν, πολὺ δὲ πλείω καὶ μείζω λυποῦνται. Ἄπιστα, ἔφη, λέγεις, ὁ Σιμωνίδης. εἰ γὰρ οὕτω ταῦτα εἶχε, πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι; πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους; Ὅτι ναὶ μὰ Δί', ἔφη ὁ Ἱέρων, ἄπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων σκοποῦνται περὶ αὐτοῦ. ἐγὼ δὲ πειράσομαί σε διδάσκειν, ὡς ἀληθῆ λέγω.

(Ibid. 11—12) Πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς

---

1 ὦ om. A ‖ **2** ὧν S M, Xen.: ὡς A | σύ γε οὐδ' Xen. | τινος ἄλλον ὁ τ. Xen. idque tacite in Stobaeum suum transtulit Gesn.[1] sed nescio an legerit gnomologus οὐδ' ὅπως ἂν ⟨ἄλλου⟩ αἴσθοιτό τινος ὁ τύρ. | τινος ex τις corr. S[1] ‖ **3** οὐκ οἶδ' εἴ τινι διαφέρει libri Xenophontis ‖ **4** ὁ τυραννικὸς βίος τοῦ ἰδιωτικοῦ βίου libri Xenophontis, ubi βίου expungi vult Cobet l. c. p. 550 ‖ **5** ἐν τοῖσδε, ἔφη, διαφέρει Xen. ἐν μέντοι τόδε διαφέροι ἂν latere opinatur Cobet l. c. | διαφέρει· πολλαπλάσια Xen. in Stobaeo nescio an nil aliud indicatum fuerit nisi scripturae discrepantia διαφέροι ἂν (ει supra scriptum) ‖ **6** μὲν om. A | δι' tacite e Xen. indidit Gesn.[1] ‖ **8** ὦ Σιμωνίδη recepi ex M A, Xen.: om. S | ἴσθ' M, Xen.: ἴσθι S A | ὅτι μείω πολὺ εὐφρ. Xen. ‖ **9** ὑπηρετῶν S M A: ἰδιωτῶν Xen. ‖ **10** μείζω] μείω Tr. | ἄπιστα λέγεις, ἔφη ὁ Σιμωνίδης libri Xenophontis ‖ **11** ἔχει libri Xenophontis ‖ **13** ἱκανω- S, Xen.: ἱκανο- M A | ἐζήτουν A ‖ **14** ναὶ μὰ τὸν Δί' Xen. | Ἱέρων ὅτι ἄπειροι A ‖ **16** διδάσκειν ὅτι ἀληθῆ λ. Xen.; quae post λέγω subicit Xen. ἀρξάμενος ἀπὸ τῆς ὄψεως· ἐντεῦθεν γὰρ καὶ σὲ δοκῶ μεμνῆσθαι ἀρξάμενον λέγειν, non leguntur in S M A. possit quispiam propter homoeoteleuton intercepta putare. et supplevit interpolator Stobaei codicis Paris. 1985 teste Gaisfordo ‖ **17** verba πρῶτον κτέ. cum superioribus cohaerent lemmate non iterato in libris, certe nulla distinctio maior interstitiumve est in M Tr., puto ne in

ὄψεως θεάμασιν εὑρίσκω λογιζόμενος μειονεκτοῦντας τοὺς τυράννους. ἄλλα μέν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέατα· ἐπὶ δὲ τούτων ἕκαστα οἱ μὲν ἰδιῶται ἔρχονται καὶ εἰς πόλεις ἃς ἂν βούλωνται θεαμάτων ἕνεκα καὶ εἰς τὰς κοινὰς πανηγύρεις. οἱ δὲ τύραννοι οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν· οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλές.

(Ibid. 13. 14—17) *Ἀλλ' ἄρα ἔρχεται αὐτοῖς τὰ τοιαῦτα καὶ οἴκοι μένουσιν, ὀλίγα γε τῶν πολλῶν καὶ ταῦτα τίμια πωλεῖται τοῖς τυράννοις. Καὶ ὁ Σιμωνίδης εἶπεν· Ἀλλὰ εἰ ἐν τοῖς θεάμασι μειονεκτεῖτε, ἐν ταῖς ἀκοαῖς πλεονεκτεῖτε. ἐπειδὴ τοῦ μὲν ἡδίστου ἀκροάματος, ἐπαίνου, οὔποτε σπανίζετε· πάντες γὰρ οἱ παρόντες πάντα καὶ ὅσα ἂν λέγητε καὶ ὅσα ἂν ποιῆτε ἐπαινοῦσι. τοῦ δ' αὖ χαλεπωτάτου ἀκροάματος, λοιδορίας, ἀνήκοοί ἐστε· οὐδεὶς γὰρ ἐθέλει τυράννου κατ' ὀφθαλμοὺς κατηγορεῖν.*

S A quidem, quamquam nihil enotavit Mekler. idem autem valet de reliquis locis (32 ss. Mein.) ex Hierone adsumptis, quos frustra in particulas dissecuerunt editores Gesnerum secuti. omnes igitur (ecl. 30—46 Mein.) in unam eclogam continuam recollegi. quod quam recte fecerim, infra elucebit. nunc expende hoc: vera si esset ratio Gesneri, in confinio ecl. 36 et 37 Mein. a formula *πρὸς ταῦτα δὲ ὁ Ἱέρων εἶπεν* abscinderetur ipsa Hieronis oratio, ecl. autem 40 Mein. in hoc de tyrannidis vituperio capite omnino locum non haberet | *τῆς*] *τοῖς* A

1 *θεάμασι λογιζόμενος εὑρίσκω μειον.* Xen. ‖ 4 *θεαμάτων ἕνεκα* damnant Schneider alii | *εἰς* M A, Xen.: *ἐς* S ‖ 5 *πανηγύρεις, ἔνθα τὰ ἀξιοθεατότατα δοκεῖ ἀνθρώποις συναγείρεσθαι. οἱ δὲ τ.* Xen. ‖ 6 *αὐτοὺς* Tr. | *ἀσφαλὲς ὅπου μὴ κρείττονες τῶν παρόντων μέλλουσιν ἔσεσθαι, οὔτε τὰ οἴκοι κέκτηνται ἐχυρά, ὥστε ἄλλοις παρακαταθεμένους ἀποδημεῖν. φοβερὸν γάρ, μὴ ἅμα στερηθῶσι τῆς ἀρχῆς καὶ ἀδύνατοι γένωνται τιμωρήσασθαι τοὺς ἀδικήσαντας. εἴποις οὖν ἂν ἴσως σύ· Ἀλλ' ἄρα ἔρχ.* Xen. ‖ 7 *ἀλλὰ* M ‖ 8 *μένουσι. ναὶ μὰ Δία, ὦ Σιμωνίδη, ὀλίγα γε* Xen. | *καὶ ταῦτα τοιαῦτα ὄντα οὕτω τίμια* Xen. ‖ 9 *τίμια* Xen.: *τί, μεῖα* S M *τί'. μεῖ*^α A *τι μεῖ α* Tr. spatio relicto etiam post *α* | post *τυράννοις*, ante *καὶ ὁ Σιμωνίδης* quae offert Xenophon, non exscribo ‖ 10 *ἐν* (post *εἰ*) om. libri Xenophontis | *μειονεκτεῖτε, διά γέ τοι τῆς ἀκοῆς πλ.* Xen. ‖ 11 *ἐπεὶ τοῦ* Xen. ‖ 12 *οὔποτε*] *οὔτε* Tr. | *οἱ παρόντες ὑμῖν πάντα* Xen. ‖ 15 *τύραννον κατ' ὀφθαλμοὺς κακηγορεῖν* prop. Cobet N. l. p. 551 coll. Plat. Gorg. p. 522 B

Καὶ ὁ Ἱέρων εἶπε, Καὶ τί οἴει, ἔφη, τοὺς μὴ λέγοντας κακῶς εὐφραίνειν, ὅταν εἰδῇ τις σαφῶς, ὅτι οἱ σιωπῶντες οὗτοι πάντα κακὰ νοοῦσι τῷ τυράννῳ; ἢ τοὺς ἐπαινοῦντας τί δοκεῖς εὐφραίνειν, ὅταν ὕποπτοι ὦσιν ἕνεκα τοῦ κολακεύειν τοὺς ἐπαίνους ποιούμενοι; Καὶ ὁ Σιμωνίδης εἶπε· Συγχωρῶ τὸ τοὺς ἐπαίνους παρὰ τῶν ἐλευθεριωτάτων ἡδίστους εἶναι, ἀλλ', ὁρᾷς, ἐκεῖνο οὐκ ἂν ἔτι πείσαις οὐδένα ἀνθρώπων, ὡς οὐχὶ δι' ὧν τρεφόμεθα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνεσθε. Καὶ οἶδά γε, ἔφη, ὦ Σιμωνίδη, ὅτι τοῦτο κρίνουσιν οἱ πλεῖστοι ἥδιον ἡμᾶς καὶ ἐσθίειν καὶ πίνειν τῶν ἰδιωτῶν.

(Ibid. 17—21. 23—27. 29—30) *Τὸ γὰρ ⟨τὰ⟩ εἰωθότα ὑπερβάλλον, τοῦτο παρέχει τὰς ἡδονάς. διὸ καὶ πάντες ἄνθρωποι τὰς ἑορτὰς ἡδέως προσδέχονται πλὴν οἱ τύραννοι· ἔκπλεῳ γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἔχουσιν αἱ τράπεζαι αὐτῶν ἐπί-*

2 *καλῶς* A | *εὐφραίνειν* Xen.: *εὐφρανεῖν* S M A | *εἰδῇ* A, Xen., *εἴδη* M: *ἴδη* S | *τίσαφῶς* S ‖ 3 *οὗτοι πάντες κακὰ* libri Xenophontis | *ἐπαινόντας* A ‖ 4 *δοκεῖν* A ‖ 5 *ποιούμενοι* S M A: *ποιεῖσθαι* Xen. ‖ 6 *εἶπε· Τοῦτο μὲν δὴ ναὶ μὰ τὸν Δία ἔγωγέ σοι, Ἱέρων, πάνυ συγχωρῶ, τοὺς ἐπαίνους* Xen. | *τὸ τοὺς* reposui ex M A: *τοὺς* S | *ἐπαίνους* etiam A, aberravit Gaisford ‖ 7 *ἐλευθερωτάτων* Xen. | *ἐκεῖνό γε οὐκ* Xen. ‖ 8 *πείσαις ἀνθρώπων οὐδένα, ὡς* Xen. | *τῶν ἀνθρώπων* A | *δι' ὧν* S A, Xen.: *δυοῖν* M ‖ 9 *εὐφραίνεσθε* Xen.: *εὐφραίνοισθε* S M A ‖ 10 v. *καὶ οἶδά γε* — p. 310, 9 *τρεφόμενοι* exhibet auctoris et dialogi nomine commemorato Athen. IV p. 144 C—E | *ὦ Σιμωνίδη* Xen., Ath.: *ὁ σιμωνι* (δ supra) S *ὁ σιμωνίδης* M A Tr. | *τούτῳ* Xen., Ath. ‖ 11 *ὑμᾶς* S | *καὶ πίνειν καὶ ἐσθίειν* Xen., Ath. | *ἐσθιεῖν* A | *ἰδιωτῶν* ex *εἰωθοτων* corr. S¹, quo errore manifestum est vicina legisse librarium v. *τῶν ἰδιωτῶν. τὸ γὰρ εἰωθότα.* confirmatur igitur quod supra dixi haec de Hierone sublata non in complures eclogas discerpenda esse auctore Gesnero, immo unam efficere eclogam continuam | *τῶν ἰδιωτῶν, ὅτι δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατιθέμενον δεῖπνον ἢ τὸ ἑαυτοῖς. τὸ γὰρ τὰ εἰωθ.* Xen., Ath. ‖ 12 *τὰ* addidi e Xen. ‖ 13 *ὑπερβάλον* Tr. ‖ 14 *ἄνθρωποι ἡδέως προσδέχονται τὰς ἑορτὰς πλὴν* (*πλὴν οὐχ* Athenaei cod. Marc.) Xen., Ath. | *τὰς ἑορτὰς τὰς ἡδέως* Tr. ‖ 15 *ἔκπλεοι* M ‖ 16 *οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἐπίδοσιν ἔχουσιν αὐτῶν αἱ τράπεζαι· ὥστε* Ath.

δοσιν· ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσιν. ἔπειτα δέ, ἔφη, ἐκείνου εὖ οἶδ' ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι ὅσῳ ἂν πλείω ⟨τις⟩ παραθῆται τὰ περισσὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶσσον κόρος ἐμπίπτει τῆς ἐδωδῆς· ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδονῆς μειονεκτεῖ ὁ πολλὰ παρατιθέμενος τῶν μετρίως διαιτωμένων. Ἀλλὰ ναὶ μὰ Δί', ἔφη ὁ Σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρεφόμενοι. Οὐκοῦν, ἔφη ὁ Ἱέρων, ὁρᾷς τι τοὺς τυράννους ἥδιον ἐπὶ τὴν αὐτῶν παρασκευὴν ἰόντας ἢ τοὺς ἰδιώτας; Οὐ μὰ τὸν Δί', ἔφη, οὐ μὲν δή. Ἄλλο τι οὖν, ἔφη ὁ Ἱέρων, οἴει ταῦτα ζητή-

2 *μειονεκτοῦσι τῶν ἰδιωτῶν. ἔπειτα* Xen., Ath. | *ἔπειτα δ'* Xen. *ἔπειτα* Ath. sed *δ'* etiam Athenaeo inserendum puto | *ἐκεῖνο εὖ οἶδ' ὅτι* Xen., Ath. ‖ 3 *ὅσα* Tr. | *τις* addidi e Xen. | *παραθῆται* Xen., Ath. ubi *ἄν τις πλέων τις παραθ.* codex Marc.; *παραθῆτε* S M A ‖ 4 *περιττὰ* Xen., Ath. | *τοσοῦτο* S | *καὶ* om. Xen. | *θᾶσσον*, non *θᾶττον*, etiam Xenophontis libri plurimi. post *θᾶσσον* glossema *μᾶλλον* Athenaei invasit contextum (cf. 8) ‖ 5 *ἡδονῆς* Xen., Ath.: *ἐδωδῆς* S M A sicut Xenophontis plerique. idem vitium sustuli supra Stob. III 17, 42 p. 505, 15 = Muson. rel. p. 97, 4 H. | *ὁ παρατιθέμενος πολλὰ τῶν μετρ.* Xen., Ath. ‖ 6 *μετρίων* Tr. ‖ 8 *τοῖς* A ‖ 9 *τρεφόμενοι τῶν τὰ εὐτελέστερα παρατιθεμένων* Xen., Ath. ‖ 10 quae post *ἔφη ὁ Ἱέρων* habet Xen. *ὦ Σιμωνίδη, τὸν ἑκάστῳ ἡδόμενον μάλιστα, τοῦτον οἴει καὶ ἐρωτικώτατα ἔχειν τοῦ ἔργου τούτου; Πάνυ μὲν οὖν, ἔφη. Ἦ οὖν* om. S M A. suo more Stobaeo intulit Gesn.[1], item interpolator codicis Parisini 1985 teste Gaisfordo | *τί* M | *ἥδιον* ex *ἴδιον* corr. A[1] | *αὑτῶν* scripsi: *αὐτῶν* libri, *ἑαυτῶν* Xen. ‖ 11 *ἢ τοὺς ἰδιώτας ἐπὶ τὴν ἑαυτῶν; Οὐ μὰ τὸν Δί'* libri Xenophontis ‖ 12 *οὐ μὲν δὴ* (*δὴ* e corr. A) S M A *οὐ μὲν οὖν* Xen. ubi quae sequuntur *ἀλλὰ καὶ ἀγλευκέστερον, ὡς πολλοῖς ἂν δόξειε. Τί γάρ, ἔφη ὁ Ἱέρων, τὰ πολλὰ ταῦτα μηχανήματα κατανενόηκας, ἃ παρατίθεται τοῖς τυράννοις, ὀξέα καὶ δριμέα καὶ στρυφνὰ καὶ τὰ τούτων ἀδελφά; Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμωνίδης, καὶ πάνυ γέ μοι δοκοῦντα παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώποις. Ἄλλο τι οὖν* (cf. Athen. III p. 121 E), ea putare possis archetypi librarium omisisse homoeoarcto quodam deceptum. certe non nova initium capit ecloga a verbis *Ἄλλο τι οὖν* in Stob. | *Ἄλλο τι οὖν* Xen. *ἄλλο τι* Athen. l. c.: *ἀλλὰ τί οὖν* S M A | *οἴει* ex *οἴῃ* ut videtur corr. M[1] | *ταῦτα ζητήματα* S M A *ταῦτα τὰ* (*τὰ* om. Ath.) *ἐδέσματα* Xen., Ath. idque etiam in Stobaeo scribendum videtur

ματα εἶναι ἢ ἅμα κακῆς καὶ ἀσθενοῦς τῆς ψυχῆς τροφῆς ἐπιθυμήματα; ἐπεὶ εὖ οἶδ' ἔγωγε, ὅτι οἱ ἡδέως ἐσθίοντες, καὶ σύ που οἶσθα, ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων. Ἀλλὰ μέντοι, ἔφη ὁ Σιμωνίδης, τῶν γε πολυτελῶν τούτων ὀσμῶν, αἷς χρίεσθε, τοὺς πλησιάζοντας μᾶλλον οἴομαι ἀπολαύειν ἢ αὐτοὺς ὑμᾶς, ὥσπερ γε καὶ τῶν ἀχαρίτων ὀσμῶν οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται, ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες. Οὕτω μέντοι, ἔφη ὁ Ἱέρων, καὶ τῶν σίτων ὁ μὲν ἔχων παντοδαπὰ ἀεὶ οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει· ὁ δὲ σπανίσας τινος, οὗτός ἐστιν ὁ καὶ χαρμονῆς ἐμπιπλάμενος, ὅταν αὐτῷ προσεπιφανῇ τι. Κινδυνεύουσιν, ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύσεις τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν· ἐν γὰρ τούτῳ ἔξεστιν ὑμῖν ὅ τι ἂν κάλλιστον ἴδητε τούτῳ συνεῖναι. Νῦν γε, ἔφη ὁ Ἱέρων, εἴρηκας ἐν ᾧ δὴ πλεῖστον μειονεκτοῦμεν. ὅτι μὲν γὰρ τὰ μετ' ἔρωτος ἀφροδίσια πολὺ διαφερόντως εὐφραίνει,

---

1 ἢ (ἡ M) *ἅμα κακῆς* S M A *ἢ μαλακῆς* Xen. *ἢ μὴ διὰ κακῆς* libri Athenaei | *ἀσθενοῦς* (α- sine sp. M) *τῆς* S M A *ἀσθενούσης* recte Xen. Ath. | *ψυχῆς τροφῆς* (*τροφῆς* om. A) *ἐπιθυμήματα* S M A *τρυφῇ ψυχῆς ἐπιθ.* Xen. *ψυχῆς ἐπιθ.* Athen. ‖ **2** *εὖ οἶδ' ἔγωγε, ὅτι* om. Ath. ‖ **4** post *Σιμωνίδης* praecipit e proximis (12) *αἱ τῶν ἀφροδισίων μόνων ἡμῖν* (sic) *ἀπολαύσεις* sed delevit A ‖ **5** *πολ. ὀσμῶν τούτων, αἷς* Xen. | *χρίεσθε* S, Xen.: *χρίεσθαι* M A ‖ **6** *μᾶλλον οἴομαι* (ex *οἴοιμαι* radendo corr. S) *ἀπολαύειν* S Tr. *οἴομαι* (*οἶμαι* A) *ἀπολαύειν μᾶλλον* M A *οἶμαι μᾶλλον ἀπολαύειν* Xen. discrepantiam probabiliter ita explicabis ut *μᾶλλον* quod inter *-μαι* et *ἀπο-* olim omissum erat in Stobaei librorum archetypo supra lineam suppletum esse conicias, dein modo ante *οἴομαι* modo post *ἀπολαύειν* verborum contextui illatum | *ὑμᾶς* e corr. A[1] ‖ **7** *ἀχαρίτων* S, Xen. *ἀχαρίστων* MA cf. Cobet N. l. p. 553 | *βεβρωκὸς* A ‖ **8** *τοι* om. A ‖ **11** *ὁ μετὰ χαρᾶς πιμπλάμενος* Xen. | *προφανῇ τι* Xen. ‖ **13** *μόνων* A ‖ **14** *ἐν γὰρ τούτῳ* Xen.: *ἐν γὰρ τούτων* (-*τω* ni fallor M) S M A ‖ **15** *νῦν δή, ἔφη* Xen. ‖ **16** *ἐν ᾧ γε, σάφ' ἴσθι, μειονεκτοῦμεν τῶν ἰδιωτῶν* Xen. | inter *μειονεκτοῦμεν* et *ὅτι μὲν* quae interponit Xenophon, resecuit gnomologus sed ut Hieronis de amore verba exscribere pergeret. non nova incipit ecloga, quamquam *ἐν ταυτῷ* praefixit A m. rec. ut ante ecl. 36. 37. 38. 39. 40. 44. 46 Mein.

πάντες δήπου ἐπιστάμεθα· ὁ δὲ ἔρως πολὺ ἥκιστα ἐθέλει τυράννῳ ἐμφύεσθαι. οὐ γὰρ τῶν ἑτοίμων ἥδεται ὁ ἔρως ἐφιέμενος, ἀλλὰ τῶν ἐλπιζομένων. ὥσπερ οὖν εἴ τις ἄπειρος ὢν δίψης τοῦ πιεῖν ἀπολαύοι, οὕτω καὶ ὁ ⟨ἄπειρος ὢν ἔρωτος⟩ ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων.

(Ib. c. 2, 2. 4. 7. 11) *Ἀλλ' ἐν ἐκείνοις γε, ἔφη ὁ Σιμωνίδης, πολὺ διαφέρετε τῶν ἰδιωτῶν, ὅτι μεγάλα μὲν ἐπινοεῖτε, ταχὺ δὲ ταῦτα κατεργάζεσθε, πλεῖστα δὲ περισσὰ ἔχετε, κέκτησθε δὲ διαφέροντας ἀρετῇ ἵππους, διαφέροντα ὅπλα κάλλει, ὑπερέχοντα κόσμον γυναιξί, μεγαλοπρεπεστέρας οἰκίας, ἔτι δὲ πλήθει τε καὶ ἐπιστήμῃ θεράποντας ἀρίστους, ἱκανώτατοι δέ ἐστε ὀνῆσαι φίλους, κακῶσαι δὲ ἐχθρούς. Πρὸς ταῦτα δὲ ὁ Ἱέρων εἶπεν· Ἡ τυραννὶς τὰ μὲν δοκοῦντα πολλοῦ ἄξια κτήματα εἶναι ἀνεπτυγμένα θεάσασθαι φανερὰ πᾶσι παρέχεται, τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων ἀποκεκρυμμένα, ἐν*

---

1 s. *πολὺ αὖ ἐθέλει ἥκιστα τῷ τυράννῳ ἐγγίγνεσθαι. οὐ γὰρ* Xen. ‖ 2 *ἥδεται* S M, Xen. *εἶδεν* A ‖ 3 *ἐυφιέμενος* A ‖ 4 *δίψους* Xen. | *τοῦ πιεῖν*] *ποιεῖν* Tr. | *ἀπολάβοι* A ‖ 5 *ἄπειρος ὢν ἔρωτος* e Xen. add. Gesn.[1] | *τῶν ἀφροδισίων τῶν ἡδίστων* A | post *ἀφροδισίων* missa faciens multa statim ad Hier. c. 2, 2 transiit gnomologus ‖ 7 *ἐν* om. A | *ἔφη ὁ Σιμ.* om. Xen. ‖ 8 *διαφέρετε τῶν* ex *διαφερέτω* inter scribendum corr. M[1] ‖ 9 *ταχὺ δὴ* ut Tr. S sed suprascr. *δὲ* S | *ταῦτα* om. Xen. cf. Cobet N. l. p. 553 | *δὲ τὰ περιττὰ* Xen. ‖ 10 *διαφέροντας μὲν ἀρετῇ ἵππους, διαφέροντα δὲ κάλλει ὅπλα, ὑπερέχ.* Xen. ‖ 11 ante *κάλλει* distinguendi nota in S A | *ὑπερέχοντα δὲ κόσμον, μεγαλοπρεπεστάτας δ' οἰκίας καὶ ταύτας κατεσκευασμένας τοῖς πλείστου ἀξίοις, ἔτι δὲ* Xen. ‖ 12 *τε* om. Xen. | *ἐπιστήμαις* libri Xen. ‖ 13 *ἀρίστους κέκτησθε, ἱκανώτατοι* Xen. | *ἱκανότατοι* M A | *δ' ἐστὲ κακῶσαι μὲν ἐχθρούς, ὀνῆσαι δὲ φίλους. Πρὸς ταῦτα* Xen. *ὀνῆσαι ⟨μὲν⟩ φίλους, κακῶσαι δὲ ἐχθρούς* commendat Cobet l. c. ‖ 14 *δὲ* (post *ταῦτα*) Xen.: *δὴ* S M A cf. adn. 9 | post *εἶπεν* reticuit non nulla Xenophontea excerptor, *ἡ τυραννὶς* igitur ille dedit, non *ἡ δὲ τυραννὶς* ut est apud Xenophontem. vide autem quae adnotavimus ad p. 307, 17 ‖ 15 *πολλοῦ* om. Tr. | *κτήματα* M, Xen., ex *χρή-* corr. A[1] *κτῆμα τε* S ‖ 16 *θεᾶσθαι* Xen. | *φανερὰ* S M A *-ρῶς* Tr., om. Xenophontis libri haud pauci ‖ 17 *τῶν τυράννων κέκτηται ἀποκεκρυμμένα, ἔνθαπερ καὶ* Xen.

αἷσπερ καὶ τὸ εὔδαιμον ⟨καὶ τὸ κακόδαιμον⟩ τοῖς ἀνθρώποις ἀπόκειται . . . . αὐτίκα γάρ, ⟨εἰ μὲν⟩ εἰρήνη δοκεῖ μέγα ἀγαθὸν ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον μέρος μέτεστι τοῖς τυράννοις· εἰ δὲ πόλεμος μέγα κακόν, τούτου πλεῖστον μετέχομεν οἱ τύραννοι. ἔπειτα δὲ τοῖς μὲν ἰδιώταις καὶ διὰ σπονδῶν καὶ δι᾽ εἰρήνης γίνεται πολέμου ἀνάπαυσις, τοῖς δὲ τυράννοις οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυραννευομένους γίνεται οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας ὁ τύραννος θαρρήσειε.

(Ib. c. 3, 5. 7—9. c. 4, 1. 2. 3—5. 7—11) *τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι, ὡς νομίζω τῷ ὄντι ὡς αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. βεβαιόταται μὲν*

---

1 *εὐδαῖμον* SM *εὔδαιμον* A | *καὶ τὸ κακόδαιμον* tacite supplevit Gesn.[1] secundum Xen., ubi *καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν* ‖ 2 post *ἀπόκειται* quae leguntur ap. Xen. *τὸ μὲν οὖν τὸ πλῆθος περὶ τούτου λεληθέναι, ὥσπερ εἶπον, οὐ θαυμάζω· κτέ.* gnomologus si exscripsisset, v. *ὥσπερ εἶπον* quo pertinerent non habuissent. at valde desideratur Xenophontei capitis 2 § 6, certe v. *ἐγὼ δὲ . . . λέγω σοι, ὅτι οἱ τύραννοι τῶν μεγίστων ἀγαθῶν ἐλάχιστα μετέχουσι, τῶν δὲ μεγίστων κακῶν πλεῖστα κέκτηνται.* haec enim si absunt, non satis apte prioribus conveniunt quae leguntur 2 *αὐτίκα γάρ, εἰρήνη* (vel potius *εἰ μὲν εἰρήνη*) *δοκεῖ μέγα ἀγαθὸν κτέ.* rem perspexit codicis Paris. 1985 interpolator qui teste Gaisfordo totum tmema 6 Stobaeo intulit, fortasse recte. tamen satis habui lacunam indicasse | *εἰ μὲν* addidi e Xen. ‖ 3 *τοῖς ἀνθρώποις* Xen. articulum recte suppleas in Stob., cf. 1 | *ἐλάχιστον τοῖς τυράννοις μέτεστιν· εἰ δὲ* Xen. ‖ 4 *εἰ δὲ* Xen.: *ὁ δὲ* SMA ‖ 5 *πλεῖστον μέρος οἱ τύραννοι μετέχουσιν* Xen. | post *τύραννοι* neglegentia librariorum potuisse non nihil intercidere comprobant tmematorum Xenophontei capitis quae post v. *οἱ τύραννοι μετέχουσιν* leguntur consimilia inter se exordia 8 *εὐθὺς γὰρ τοῖς μὲν ἰδιώταις . . .* 9 *ἔπειτα δὲ οἱ μὲν ἰδιῶται . . .* 11 *ἔπειτα τοῖς μὲν ἰδιώταις . . .* sed certi nihil adfirmo nec signavi lacunam | *ἔπειτα τοῖς μὲν ἰδ.* Xen. ‖ 6 *γίγνεται* Xen. ‖ 7 *οὔτε* Xen.: *οὐδὲ* SMA ‖ 8 *στρατευομένους* A | *γίγνεται* Xen. ‖ 9 post *θαρρήσειε* statim ad Hieronis cap. 3, 5 transiit gnomologus ‖ 11 *ὥστε νομίζω* Xen. ‖ 12 *ὡς αὐτόματα* SMA *αὐτόματα* Xen. | *γίγνεσθαι* Xen. ‖ 13 *θεῶν*] *θε* ex *γο* corr. S[1] ad *γονέας* nimirum aberrans de quibus agitur in proximis. nihil igitur

δήπου δοκοῦσι φιλίαι γονεῦσι πρὸς παῖδας καὶ παισὶν πρὸς γονέας καὶ ἀδελφοῖς πρὸς ἀδελφοὺς καὶ γυναιξὶ πρὸς ἄνδρας καὶ ἑταίροις πρὸς ἑταίρους. εἰ τοίνυν ἐθέλεις κατανοεῖν, εὑρήσεις τοὺς μὲν ἰδιώτας ὑπὸ τούτων πάντων μάλιστα φιλουμένους, τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας, πολλοὺς δὲ ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας, πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους γιγνομένους, πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους καὶ ὑπὸ ἑταίρων γε ⟨τῶν⟩ μάλιστα δοκούντων φίλων εἶναι. οἵτινες οὖν ὑπὸ τῶν φύσει τε πεφυκότων μάλιστα † φιλεῖσθαι οὕτω μισοῦνται, πῶς ὑπό γε ἄλλου τινὸς οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι; ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ; καὶ τούτου τοίνυν τοῦ πιστῶς πρός τινας ἔχειν ἐλάχιστον μέρος τυράννῳ

---

inter *ἀνθρώπων* et *βεβαιόταται* legisse librarium codicis Vindobonensi superioris probabilest. ipse aliquid suo more resecuit gnomologus | *μὲν γὰρ δήπου* Xen.

1 *φιλίαι εἶναι γον.* Xen. ‖ 3 *ἑταίροις* ex *ἑτέρ-* corr. A[1] | *ἐθέλεις* Xen.: *ἐθέλοις* S *ἐθέλει* (?) M[1] *ἐθέλοι* M[2] *θέλεις* A ‖ 4 *εὑρήσει* M | *τοὺς μέν* S M A *μὲν τοὺς* Xen. ‖ 5 *πάντων* om. Xen. ‖ 6 *ἑαυτῶν* M sed *ἑ* in ras. M[2] | *ἀπεκτονηκότας* libri Xen. cf. Cobet N. l. 56 ‖ 7 *αὐτοὺς* S M, Xen., *αὐτῶν* A. *αὐτοὺς* om. nonnulli Xen. ‖ 8 *γεγενημένους* Xen. ‖ 9 *τυράννους* in Xen. deleri vult Cobet N. l. p. 556 | *ἑταίρων* M A, Xen. *ἑτέρων* S ‖ 10 *τῶν* addidi e Xen. ‖ 11 *φύσει τε* recepi ex SM: *φύσει* A Tr., Xen. nescio autem an illud ipsum *τε* documento nobis sit in gnomologio olim fuisse *τῶν φύσει τε πεφυκότων μάλ. φιλ.* ⟨*καὶ νόμῳ συνηναγκασμένων*⟩ *οὕτω* | *φιλεῖσθαι* S M A, Xenophontis libri: *φιλεῖν* sua quidem coniectura sed vera repperit Stobaei cod. Paris. 1985, testatur Gaisford | *φιλεῖσθαι καὶ νόμῳ συνηναγκασμένων οὕτω* Xen. verba *καὶ νόμῳ συνην.* tacite Stobaeo intulit Gesn.[1] ‖ 12 *ὑπό γε* (*γε* om. A) *ἄλλου τινὸς* S M A *ὑπ' ἄλλου γέ τινος* Xen. vide igitur ne in Stobaei librorum archetypo fuerit *ὑπὸ ἄλλου* (*γε* suprascr.) *τινὸς* | *χρὴ* (sicut voluerant Dindorf et Cobet) S M A: *χρῆν* libri Xenophontis ‖ 13 *μὴν* om. A ‖ 14 post *μειονεκτεῖ*; non nulla quae habet Xenophon suppressit gnomologus. nihilo setius apparet eum haec cum proximis arte consociari voluisse ‖ 15 *ἐλάχιστον μέτεστι τυράννῳ· ὁπότε γε* Xen.

μέτεστιν· ὁπότε γε οὐδὲ σίτοις οὐδὲ ποτοῖς πιστεύων διάγει, ἀλλὰ καὶ τούτων τοὺς διακόνους κελεύουσιν ἀπογεύεσθαι. τοῦ δὲ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν οὕτω πόρρω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμον τῷ μιαιφόνῳ μηδὲ τὸν συνόντα καθαρεύειν· ὅθεν διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶν. τοῖς δὲ τυράννοις καὶ τοῦτο ἔμπαλιν ἀνέστραπται. ἀντὶ γὰρ τοῦ τιμωρεῖν αἱ πόλεις αὐτοῖς μεγάλως τιμῶσι τὸν κατακτείναντα τὸν τύραννον, καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις. οὐδέ γε θᾶσσόν τι γίγνεται τῷ τυράννῳ ἢ τῷ ἰδιώτῃ ὧν ἐπιθυμεῖ. ὁ μὲν γὰρ ἰδιώτης ἢ ἀγροῦ ἢ οἰκέτου ἐπιθυμεῖ, ὁ δὲ

---

1 cf. Athen. IV p. 171 E | *οὔτε σιτίοις κρατίστοις πιστ.* libri Xen. | *οὐδὲ* S M A: *καὶ* Athen. | *πιστεύων διάγει* MA, Xen., Ath., ″*διάγει* (ex *διάγων* corr. S[1]) ′*πιστεύων* S *διάγει πιστεύων* Tr. ‖ **2** *τούτων, πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς, τοὺς διακ.* Xen. *τούτων ἀντὶ τοῦ ἀπ. θεοῖς τοῖς διακονοῦσι* Ath. | *τοὺς διακόνους πρῶτον κελ.* Xen. *τοῖς διακ. πρῶτον κελ.* Ath. | *ἀπογεύσασθαι* Xen. ‖ **3** post *ἀπογ.* quae habet Xenophon *διὰ τὸ ἀπιστεῖν, μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν. ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς μὲν ἄλλοις ἀνθρώποις πλείστου ἄξιαι. πολῖται γὰρ δορυφοροῦσι μὲν ἀλλήλους ἄνευ μισθοῦ ἐπὶ τοὺς δούλους, δορυφοροῦσι δ' ἐπὶ τοὺς κακούργους ὑπὲρ τοῦ μηδένα κτέ.*, ipse ut videtur abiecit gnomologus. alioqui non *τοῦ δὲ μηδένα* scripsisset sed *τοῦ μηδένα* sicut Xenophon. quamquam parum prudenter rem eum administrasse manifestum est ‖ **4** *οὕτω δὲ πόρρω* Xen. | *προσεληλύθασι* A ‖ **5** *νόμον* Xen.: *νόμοι* S M *νόμῳ* A | *τὸν συνόντων* Tr. ‖ **6** *ὅθεν*] *ὥστε* Xen. ‖ **7** *βιοτεύει* S, Xen. *βιωτεύει* M A sed *ο* superscr. A | *τοῦτον* A ‖ **8** *ἀνέστραπται*] *στ* litt. nunc non iam apparent in folio detrito libri M, item mox *ῶσι* syllabae verbi *τιμῶσι* aliaque non nulla quae adnotare operae pretium non est | *τιμωρεῖν αὐτοῖς αἱ πόλεις μεγάλως* Xen. *τιμωρεῖν αἱ πόλεις αὐτοῖς*
αἱ πόλεις
μεγ. S M A. fuerit igitur in libro primitivo *τιμωρεῖν αὐτοῖς μεγ.* ‖ **9** *τὸν ἀποκτείναντα* Xen. ‖ **10** *ἐκ τῶν ἱερῶν, ὥσπερ τοὺς τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου* Xen. ‖ **11** *αἱ πόλεις τῶν τοιοῦτο ποιησάντων* Xen., cuius proximum tmema (c. 4, 6) neglexit florilegus | *θᾶττόν τι* Xen. ‖ **12** *γίγνεται* M, Xen. *γίνεται* S A ‖ **13** *ὁ μὲν γὰρ — ἐπιθυμεῖ* om. A | *ἰδιώτης οἰκίας ἢ ἀγροῦ* libri Xenophontis, idque tacite Stobaeo intulit Gesn.[1]. debuit *ἰδιώτης ἢ οἰκίας ἢ ἀγροῦ* propter

τύραννος ἢ πόλεως ἢ χώρας πολλῆς η λιμένων ἢ ἀκροπόλεων ἰσχυρῶν, ἃ πολύ ἐστι χαλεπώτερα ⌊καὶ ἐπικινδυνότερα κατεργάζεσθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων. ἀλλὰ μὴν καὶ πένητας ὄψει ὀλίγους τῶν ἰδιωτῶν, πολλοὺς δὲ τῶν τυράννων. οὐ γὰρ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ κρίνεται οὔτε τὰ ἱκανά, ἀλλὰ πρὸς τὰς χρήσεις· ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ ἱκανὰ πολλά ἐστι, τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα ὀλίγα. τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια ἧσσον ἱκανά ἐστιν ἢ τἀναγκαῖα δαπανήματα τῷ ἰδιώτῃ. καὶ γὰρ τοῖς μὲν ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν, τοῖς δὲ τυράννοις μέγισται μέν εἰσι δαπάναι εἰς τὰς τῆς ψυχῆς φυλακάς· τὸ δὲ τούτων τι συντέμνειν ὄλεθρος δοκεῖ εἶναι. ἔπειτα δὲ ὅσοι μὲν δύνανται ἀπὸ τοῦ δικαίου ἔχειν ὧν δέονται, τί ἂν τούτους οἰκτείροις ὡς πένητας; ὅσοι δὲ ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους ἂν τις δικαίως καὶ πένητας νομίζοι; οἱ

concinnitatem (cf. *ὁ δὲ τύραννος ἢ πόλεως κτἑ.*), quod nescio an etiam Xenophonti restituendum sit

1 *πόλεων* Xen. | *ἢ λιμένων* Xen.: *ἀνειλημμένων* S *ἐνειλημμένων* M A Tr. propono ⟨*οὐκ*⟩ *ἄνευ λιμένων* ‖ 2 *ἃσ πολὺ* M | *ἐστι πολὺ* Xen. | *ἐπικινδυνώτερα* M ‖ 3 *κατεργάζεσθαι* (*-άζεται* A) S M A *κατεργάσασθαι* Xen. ‖ 4 *ἀλλὰ μέντοι καὶ* Xen. | *ὄψει οὐχ οὕτως ὀλίγους τῶν ἰδιωτῶν ὡς πολλοὺς τῶν τυράννων* Xen. libri. de Stobaei memoria mira narrant Xenophontis editores interpolationibus codicis Paris. 1985 decepti, velut G. Sauppe in append. ad Xen. ed. stereot. p. 35 ‖ 5 *γὰρ* ex *δὲ* corr. S[1] | *τὰ* (ante *πολλὰ*) om. A ‖ 6 *τὰ μὲν* etiam A, fallitur Gaisford ‖ 7 *τὰ* (ante *ἱκανὰ*) om. A ‖ 8 *γοῦν* A ‖ 9 *ἧσσον* (*ἦσσ-* M) S M A, libri Xen. *ἧττον* igitur, quod in Stobaeum recipere solent cum Tr., non dubito quin fluxerit ex correctione, cf. p. 317, 3 ubi *ἧττον* libri omnes | *ἱκανά ἐστιν εἰς τὰ ἀναγκαῖα δαπανήματα ἢ τῷ ἰδιώτῃ. τοῖς μὲν γὰρ ἰδιώταις* Xen. ‖ 11 *εἰς* om. A | *εἰς τὰ καθ' ἡμέραν, ὅπῃ βούλονται, τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται εἰς τὰς τῆς ψυχῆς φυλακάς εἰσι· το δὲ τούτων* Xen. ‖ 13 *τι* om. Xen. | *ὄλεθρον* A ‖ 14 *δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου ὅσων δέονται* Xen. | *ὧν* S M *ὅσον μὲν ὧν* A, *ὅσων* Xen. ‖ 15 *οἰκτίροι τις* Xen. ‖ 16 *καὶ αἰσχρὸν* supra lin. A[1] | *οὐ*] *οἱ* M ‖ 17 *ἀθλίους ἄν τις καὶ πένητας δικαίως καλοῖ* (vel *νομίζοι*); *οἱ τύρ.* libri Xen.

τύραννοι τοίνυν πάντα ἀναγκάζονται συλᾶν ἀδίκως διὰ τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων.

(Ib. c. 5, 1. c. 6, 4—6) *γιγνώσκουσι δὲ οὐδὲν ἧττον τῶν ἰδιωτῶν καὶ τοὺς ἀλκίμους καὶ τοὺς σοφοὺς καὶ τοὺς δικαίους. τούτους δὲ ἀντὶ τοῦ ἄγασθαι φοβοῦνται, τοὺς μὲν ἀνδρείους, μή ⟨τι⟩ τολμήσωσι τῆς ἐλευθερίας ἕνεκα, τοὺς δὲ σοφούς, μή τι μηχανήσωνται, τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ᾽ αὐτῶν προστατεῖσθαι. τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δὲ ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φύλακας καὶ μήτε ἀόπλους ἔχειν ἐθέλειν μήτε ὡπλισμένους ἡδέως θεᾶσθαι πῶς οὐ χαλεπόν ἐστι πρᾶγμα; ἔτι δὲ ξένοις μᾶλλον ἢ πολίταις πιστεύειν, βαρβάροις μᾶλλον ἢ Ἕλλησιν, ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν, τοὺς δὲ δούλους ἐλευθέρους ἀναγκάζεσθαι ποιεῖν, οὐ πάντα ταῦτά σοι δοκεῖ ψυχῆς ὑπὸ φόβων παραπεπληγμένης τεκμήρια εἶναι; ὁ δέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρομαρτῶν λυμαντήρ ἐστιν.*

---

1 *τοίνυν ἀναγκάζονται πλεῖστα συλᾶν ἀδίκως καὶ ἱερὰ καὶ ἀνθρώπους διὰ τὸ κτέ.* Xen. ‖ 2 post *χρημάτων* pauca quaedam recidit gnomologus. perrexit igitur non per *γιγνώσκουσι μὲν γὰρ οὐδὲ*, sicut ipse Xenophon, sed per *γιγνώσκουσι δὲ οὐδὲν* ‖ 4 *καὶ τοὺς ἀλκίμους* SM *τοὺς ἀλκίμους* A, *τοὺς κοσμίους τε* Xen. *ἀλκίμους*, non *κοσμίους* verum videtur Cobeto N. l. p. 557 | *καὶ σοφοὺς καὶ δικ.* Xen. ‖ 5 *ἄγασθαι φοβοῦνται, τοὺς μὲν ἀνδρείους, μή* om. S, habet (sicut MA) Tr. | *ἄγασθαι* Tr., Xen.: *ἀγᾶσθαι* M *αὐγᾶσθαι* A ‖ 6 *μή τι* Xen.: *μὴ* SMA | *τοῖς* pro *τῆς* A | *ἕνεκεν* Xen. ‖ 8 inter *προστατεῖσθαι* et *τὸ δὲ φοβεῖσθαι* quae offert Xenophon, reticuit gnomologus ‖ 10 *τοὺς φυλάττοντας* Xen. ‖ 11 *ἀνόπλους* Xenophontis aliquot libri | *ἐθέλει* A | *ἐθέλειν περὶ αὑτὸν μήθ᾽ ὡπλ.* Xen. ‖ 12 *πῶς οὐκ ἀργαλέον ἐστὶ πρ.*; Xen. ‖ 13 *ξένοις μὲν μᾶλλον* Xen. non nulli | *βαρβάροις δὲ* (*τε* libri) *μᾶλλον* Xen. ‖ 15 *τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους, οὐ πάντα σοι ταῦτα δοκεῖ* Xen. ‖ 16 *καταπεπληγμένης* libri Xenophontis ‖ 17 *ὁ δέ* (*οὐδὲ* A) *τοι* SMA *ὅ γέ τοι* Xen. ‖ 19 *συμπαρακολουθῶν λυμεὼν γίγνεται* Xen. lectionem 'unice veram' servasse Stobaeum putat Cobet N. l. p. 557 comprobans etiam *παραπεπλ.* in superioribus

31 (47 Mein.) *Ἀντισθένους* (apophth. XIV Winck.).

Ἀντισθένης ὁ φιλόσοφος τοὺς δημίους εὐσεβεστέρους ἔλεγεν εἶναι τῶν τυράννων· πυθομένου δέ τινος τὴν αἰτίαν ἔφη, ὅτι ὑπὸ μὲν τῶν δημίων οἱ ἀδικοῦντες ἀναιροῦνται, ὑπὸ δὲ τῶν τυράννων οἱ μηδὲν ἁμαρτάνοντες.

32 (48 Mein.) *Φαβωρίνου* (fr. 81 Marres).

Ἀλλ' ἐγὼ βούλομαι ἡδονήν τινα τῷ τυράννῳ μηνῦσαι. εἰ μὲν ἀνθρωπίνην θέλεις, ὦ Διονύσιε, πείνησον, ἵνα φάγῃς, δίψησον, ἵνα πίῃς· εἰ δὲ δεξιάν τινα καὶ ὑπέρσπουδον καὶ τηλικαύτην ἡλίκην οὐδεὶς πρὸ σοῦ, ἀπόθου τὴν τυραννίδα. τὸν γὰρ μυρίων καὶ πεντακισχιλίων χλαμύδων δεόμενον οὐκ ἔστι μὴ πλειόνων δεῖσθαι· οἷς γὰρ ἔχω προσδεόμενος, ἀφελὼν ὧν ἔχω, ἀρκοῦμαι οἷς ἔχω.

33 (49 Mein.) *Δωροθέου ἐν α' Σικελικῶν* (script. rerum Alex. M. p. 155 Muell.).

Φάλαρις Ἀκραγαντίνων τύραννος, ἀπότομος καὶ ἀπαθὴς ὑπάρχων, ξέναις καὶ παρευρημέναις βασάνοις ἔτρυχε καὶ ἐστρέβλου τοὺς ὁμοφύλους. Πέριλλος δὲ τῇ τέχνῃ χαλκουργὸς κατασκευάσας δάμαλιν ἔδωκε τῷ βασιλεῖ δῶ-

---

1 ecl. sine lemm. hab. S, addito lemmate M A. iteratur ecloga gnomol. Paris. 268 Sternb. *Ἀντισθένης τοὺς δημίους ἔλεγε τῶν τυράννων εὐσεβεστέρους εἶναι· πυθομένου κτέ.* || 6 ecl. cum lemm. hab. S M A, *Φαβωρίνου* (sed *ω* ex *ου* corr. S[1]) *φαβουρίνου* M A. verba extrema affert Gellius N. A. IX 8 Hos.: *hanc sententiam memini a Favorino inter ingentes omnium clamores detornatam inclusamque verbis his paucissimis*: *τὸν γὰρ μυρίων κτέ.* || 8 *διόνυσε* in *διόνυσϊε* mutavit M[1] || 9 *δὲ* om. M | *δεξιάν* S *δεξιόν* M A. *ἀξίαν* prop. Marres; malim *εἰ δ' ἐξαισίαν τινὰ* vel *εἰ δ' ἐξαίσιόν τινα* || 10 *ὑπέρσπουδον* ci. Marres: *ὑπέρσπονδον* libri | *ἀπόθου* S *ἀπώθου* M A || 11 *τὸν* (ut coniecerat Gesn.[1] marg.) A, Gell.: *τῶν* S M || 12 *οἷς ἄρα* aut *οἷσπερ* H. Stephanus || 14 ecl. cum lemm. hab. S M A. cf. Ps.-Plut. parall. 39 vol. II p. 380, 22 Bernard. ubi lemma a Stobaeo traditum non additur || 16 *ἀποτόμως τοὺς παριόντας ξένους ἐστρέβλου καὶ ἐκόλαζε. Πέριλλος* Ps.-Plut. || 18 *περίλαος* Tr. || 19 *χαλκοῦργος* S | *χαλκ. δάμαλιν κατασκευάσας χαλκῆν ἔδωκε τῷ βασιλεῖ, ὡς ἂν τοὺς ξένους κατακαίῃ ζῶντας ἐν αὐτῇ· ὁ δὲ μόνον τότε γενόμενος δίκαιος αὐτὸν ἐνέβαλεν. ἐδόκει δὲ μυκηθμὸν ἀναδιδόναι ἡ δάμαλις· ὡς ἐν δευτέρῳ Αἰτιῶν* (*Αἰτίων* Bentley) Ps.-Plut. at quem *Αἰτίων* auctorem

ρον, ἵνα τοὺς ξένους εἰς αὐτὴν βάλλων κατακαίῃ ζῶντας· μυκηθμὸν δ' ἡ δάμαλις ἀνεδίδου τῷ φυσικῷ παρόμοιον. Φάλαρις δὲ τότε μόνον γενόμενος δίκαιος αὐτὸν τὸν τεχνίτην πρῶτον ἐνέβαλεν.

34 (50 Mein.) *Πλάτωνος Πολιτείας θ'* (p. 579 B — 580 A).

Ἆρ' οὖν οὐκ ἐν τοιούτῳ δεσμωτηρίῳ δέδεται ὁ τύραννος, φύσει ὢν οἷον διεληλύθαμεν, πολλῶν καὶ παντοδαπῶν φόβων καὶ ἐρώτων μεστός· λίχνῳ δὲ ὄντι αὐτῷ τὴν ψυχὴν μόνῳ τῶν ἐν τῇ πόλει οὔτε ἀποδημῆσαι ἔξεστιν οὐδαμόσε, οὔτε θεωρῆσαι ὅσων δὴ καὶ οἱ ἄλλοι ἐλεύθεροι ἐπιθυμηταί εἰσι, καταδεδυκὼς δὲ ἐν τῇ οἰκίᾳ τὰ πολλὰ ὥσπερ γυνὴ ζῇ, φθονῶν καὶ τοῖς ἄλλοις πολίταις, ἐάν τις ἔξω ἀποδημῇ καί τι ἀγαθὸν ὁρᾷ; Παντάπασι μὲν οὖν, ἔφη. Οὐκοῦν τοῖς τοιούτοις κακοῖς πλείω καρποῦται ἀνὴρ ὃς ἂν κακῶς ἐν ἑαυτῷ πολιτευόμενος, ὃν νῦν δὴ σὺ ἀθλιώτατον ἔκρινας, τὸν τυραννικόν, μὴ ὡς ἰδιώτης καταβιῷ, ἀλλ' ἀναγκασθῇ ὑπό τινος τύχης τυραννεῦσαι καὶ ἑαυτοῦ ὢν ἀκράτωρ ἄλλων ἐπιχειρήσῃ ἄρχειν, ὥσπερ εἴ τις κάμνοντι σώματι καὶ ἀκράτορι ἑαυτοῦ μὴ ἰδιωτεύων ἀλλ' ἀγωνιζόμενος πρὸς ἄλλα σώματα καὶ μαχόμενος ἀναγκάζοιτο διάγειν τὸν βίον. Παντάπασιν, ἔφη, ὁμοιότατά τε καὶ ἀληθέστατα λέγεις, ὦ Σώκρατες. Οὐκοῦν, ἦν δ' ἐγώ, ὦ φίλε Γλαύκων, παντελῶς τὸ πάθος ἄθλιον, καὶ τοῦ ὑπὸ σοῦ κριθέντος χαλεπώτατα ζῆν χαλεπώτερον ἔτι ζῇ ὁ τυραννῶν; Κομιδῇ γε, ἔφη. Ἔστιν ἄρα τῇ ἀληθείᾳ, κἂν εἰ μή τῳ δοκῇ, ὁ τῷ ὄντι τύραννος τῷ ὄντι

---

significaverit Ps.-Plutarchus plane incertum esse monet O. Schneider Callim. II p. 133 s.

5 ecl. cum lemm. hab. S M A ‖ 7 *τοσούτῳ* Tr. | *τοιούτῳ μὲν δεσμ.* Plat. ‖ 8 *ὢν* (*ὤν* M) *οἷον* M, Plat.: *ὧν* S *ὤν* M Tr. ‖ 9 *καὶ ἐρώτων* superscr. A[1] ‖ 10 *μόνη* S | *τῶν* Plat.: *τὴν* S M A ‖ 11 *ὅσων* Plat.: *ὅσω* S M A ‖ 13 *ὡς γυνὴ* Plat. | *πολίταισ* sed *ίταισ* in ras. M ‖ 17 *μὴ ὡς*] *ὡς μὴ* Platonis plerique ‖ 18 *καταβιᾷ* M ‖ 19 *ἐπιχειρήσῃ* (sed *σῃ* in ras. M) M, Plat.: *ἐπιχειρήσει* S A sed *η* ni fallor suprascr. A[1] ‖ 24 *ἄθλιος* A ‖ 27 *μή πω* A | *δοκῇ* libri Stob. ut Platonis. *δοκεῖ* Lob.

δοῦλος τὰς μεγίστας θωπείας καὶ δουλείας καὶ κόλαξ τῶν πονηροτάτων, καὶ τὰς ἐπιθυμίας οὐδ' ὁπωστιοῦν ἀποπιμπλάς, ἀλλὰ πλείστων ἐπιδεέστατος καὶ πένης τῇ ἀληθείᾳ φαίνεται, ἐὰν δέ τις ὅλην ψυχὴν ἐπίστηται θεάσασθαι, καὶ φόβου γέμων διὰ παντὸς τοῦ βίου, σφαδασμῶν τε καὶ ὀδυνῶν πλήρης, εἴπερ τῇ τῆς πόλεως διαθέσει ἧς ἄρχει ἔοικεν· ἔοικε δέ· ἦ γάρ; Καὶ μάλα, ἔφη. Οὐκοῦν καὶ πρὸς τούτοις ἔτι ἀποδώσομεν τῷ ἀνδρὶ καὶ ἃ τὸ πρότερον εἴπομεν, ὅτι ἀνάγκη καὶ εἶναι καὶ ἔτι μᾶλλον γίγνεσθαι αὐτῷ ἢ πρότερον διὰ τὴν ἀρχὴν φθονερῷ, ἀπίστῳ, ἀδίκῳ, ἀφίλῳ, ἀνοσίῳ καὶ πάσης κακίας πανδοκεῖ τε καὶ τροφεῖ, καὶ ἐξ ἁπάντων τούτων μάλιστα μὲν αὐτῷ δυστυχεῖ εἶναι, ἔπειτα δὲ καὶ τοὺς πλησίον αὑτῷ τοιούτους ἀπεργάζεσθαι. Οὐδείς σοι, ἔφη, τῶν νοῦν ἐχόντων ἀντερεῖ.

---

3 *πλείστων* M, Plat., ex *πλεῖστον* corr. S[1]: *πλεῖστον* A ‖ 4 ante *φαίνεται* signum interrogandi S item M sed in ras. | *ἐάν τις* Plat. | *ἐπίσταται* A ‖ 5 *γέμων* sc. *φαίνεται*, si recte servabitur in prioribus *δὲ* particula ‖ 7 *ἔοικε* (*ἔοικε* M) *δὲ ἦ* M, Plat.: *ἔοικε* S om. A ‖ 11 *καὶ* om. Tr. ‖ 13 *αὐτῶ* vel *αὑτῷ* (post *πλησίον*) libri Stobaei

CAPVT IX.

ΠΕΡΙ ΠΟΛΕΜΟΥ.

1 *Εὐριπίδου Τημενιδῶν* (fr. 728 N.[2]).

. . φιλεῖ τοι πόλεμος οὐ πάντ᾽ εὐτυχεῖν.
ἐσθλῶν δὲ χαίρει πτώμασιν νεανιῶν,
κακοὺς δὲ μισεῖ. τῇ πόλει μὲν οὖν νόσος
τόδ᾽ ἐστί, τοῖς δὲ κατθανοῦσιν εὐκλεές.

2 *Ἀράτου Φαινομένων* (130—32).

Χαλκείη γενεή, προτέρων ὀλοώτεροι ἄνδρες,
οἳ πρῶτοι κακόεργον ἐχαλκεύσαντο μάχαιραν,
εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ᾽ ἀροτήρων.

3 *Πινδάρου Ὑπορχημάτων* (fr. 110 Schr.).

Γλυκὺ δὲ πόλεμος ἀπείροισιν· ἐμπείρων δέ τις
ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς.

---

1. 2 in inscriptione *Περὶ πολέμου* consentiunt Photius S M A Tr., om. Mac. episemon *μδ´* additur in S, *μη´* in Tr., *ξα´* in M A ‖ 2 ecl. cum lemm. hab. S M A; *τημενίδων* SM *τιμενιδῶν* M ‖ 3 *πάντων τυχεῖν* Conington. *πάντ᾽ εὐτυχεῖν* S M A ‖ 4 *νεανιῶν* (vel *-ιῶν* M) S M *-ίων* A *-ίσκων* Tr. ‖ 7 ecl. cum lemm. hab. S M A ‖ 9 cf. Lucillius Anth. Pal. XI 136 Maximus Tyr. Diss. c. 14 | *κακόεργον* Ar.: *χαλκοεργὸν* S M A | *ἐτεκτήναντο* Max. Tyr. ‖ 10 cf. Verg. Georg. II 537 cum schol., Maximus Tyr. l. c., Gregor. Naz. carm. III 485 ‖ 11 ecl. cum lemm. hab. S M A, om. Tr. cf. schol. Il. *Λ* 227 *ὡς καὶ Πίνδαρος· Γλυκὺς ἀπείρῳ πόλεμος, ἐμπείρων δέ τις ταρβεῖ προσιόντα μιν* (ubi cod. L *νιν*, V *νιν περισσῶς*). magis discrepat Eustathius p. 841, 32: *γλυκὺς ἀπείρῳ πόλεμος, πεπειραμένων δέ τις ταρβεῖ προσιόντα.* in proverbium abiit *γλυκὺς ἀπείρῳ πόλεμος* Diogenian. III 94 ubi vid. ‖ 12 *γλυκὺ δ᾽ ἀπείροισι πόλεμος· πεπειραμένων δέ τις κτέ.* in Pindaro Boeckh et Bergk ‖ 13 *νῦν* M

4 *Ὅμηρος Ἰλιάδος ι'* (63 s.).

Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

5 (IX 593 s.).

Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.

6 *Εὐριπίδου Αἰόλῳ* (fr. 38 N.[2]).

Τὰ πόλλ' ἀνάγκη διαφέρει τολμήματα.

7 (8 Mein.). *Θουκυδίδου ἱστορίας α' δημηγορίας Ἀθηναίων* (c. 78, 1).

Τοῦ πολέμου τὸ παράλογον ὅσον ἐστί, πρὶν ἐν αὐτῷ γενέσθαι, προδιάγνωτε· μηκυνόμενος γὰρ φιλεῖ εἰς τύχας τὰ πολλὰ περιίστασθαι.

8 (9 Mein.). *Τοῦ αὐτοῦ ἱστορίας α' δημηγορίας Κορινθίων* (c. 122, 1).

Ἄλλα τε ὅσα οὐκ ἄν τις νῦν προΐδοι. ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ, αὐτὸς δ' ἀφ' αὑτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ ⟨παρα⟩τυγχάνον· ἐν ᾧ ὁ μὲν εὐοργήτως αὐτῷ προσομιλήσας βεβαιότερος, ὁ δὲ ὀργισθεὶς περὶ αὑτὸν οὐκ ἐλάσσω πταίει.

9 (10 Mein.). *Δημοσθένους.*

Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

---

1 ecl. cum lemm. hab. SMA; *ὅμηρος* nec plura S. *ι'* scripsit Gaisford: *ἰῶτα* A om. M. citant versus Aristoph. pac. 1086, Aristot. polit. 1, 2, Polybius 12, 26 auctore Timaeo, Philodem. de ira p. 144 Gomp. cf. quae monui ad Stob. IV 7, 8 ‖ 2 *ἀνέστιος*] *ἀνήμερος* Philodem. | *ἄνεστιόσ ἐστιν* M ‖ 3 *ἐρᾶται* M sine acc. S | *ὀκρυόεντος* (*ὀκριό-* A) SMA ut etiam libri Homeri ‖ 4 ecl. hab. lemmate non iterato SMA | *λαοὶ μὲν φθινύθουσι* Aristot. rhet. I 7 p. 1365 a 13 | *πόλιν* ex *πόλει* S[1] ‖ 5 *ἀμαλθύνει* Tr. ‖ 7 ecl. cum lemm. hab. MA, om. S; *αἰόλω* M *αἰόλου* A ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) MA (post ecl. 6 Mein.); *α'* om. A ‖ 11 *τοῦ δὲ πολέμου* Thuc. | *τὸν παράλογον ὅσος ἐστὶ* Thuc. | *τὸ* om. A ‖ 12 *ἐς* Thuc. ‖ 14 ecl. cum lemm. hab. SMA; *τ αυτ* S om. MA *δημηγο κορινθ* S marg. ‖ 17 *ἐπὶ ῥητοῖς* Tr., Thuc.: *ἐπιρρητοῖς* SMA | *ἀφ'* A, Thuc.: *ἐφ'* SM | *αὐτοῦ* S ‖ 18 *παρατυγχάνον* Thuc.: *τυγχάνον* SMA ‖ 20 *αὐτὸ* S ‖ 21 ecl. cum lemm. hab. SMA. recurrit corp. Par. 384 Elt. (*Δημοσθ.*). in Demosthene frustra quaesivit etiam Reiske ind. Graec. Dem. p. 411 Sch.

10 (11 Mein.) *Ἀντισθένους* (apophth. 15 Winck.).

Ἀντισθένης ὁ Σωκρατικὸς εἰπόντος τινὸς ὅτι ὁ πόλεμος ἀπολεῖ τοὺς πένητας ʽπολλοὺς μὲν οὖνʼ ⟨ἔφη⟩ ʽποιήσειʼ.

11 (12 Mein.). *Ἀρχιδάμου* (Ps.-Plut. reg. et imp. apophth. p. 191 E).

Ἀρχίδαμος ὁ Ἀγησιλάου ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν ἀνεβόησεν ʽὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετάʼ.

12 (13 Mein.). *Θουκυδίδου δημηγορίας Κορινθίων* (I 120, 3—5).

Ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν, ἀγαθῶν δὲ ἀδικουμένους ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν ἐκ πολέμου πάλιν ξυμβῆναι, καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι μήτε τῷ ἡσύχῳ τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι. ὅ τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν τάχιστ᾿ ἂν ἀφαιρεθείη τῆς ῥᾳστώνης τὸ τερπνὸν δι᾿ ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι, ὅ τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. πολλὰ γὰρ κακῶς γνωσθέντα ἀβουλοτέρων τῶν ἐναντίων τυχόντα κατώρθωκε, καὶ ἔτι πλέω ἃ καλῶς δοκοῦντα βουλευθῆναι ἐς τοὐναντίον αἰσχρῶς περιέστη. ἐνθυμεῖται γὰρ οὐδεὶς ὅμοια τῇ πίστει καὶ ἔργῳ ἐπεξέρχεται, ἀλλὰ μετ᾿ ἀσφαλείας μὲν δοξάζομεν, μετὰ δέους δ᾿ ἐν τῷ ἔργῳ ἐλλείπομεν.

---

1 ecl. sine lemm. hab. S, addito lemmate MA ‖ 3 *ἀπολεῖ* Gaisford: *ἀπόλλει* S M A | *ἔφη* (vel *εἶπε*) addidi ante *ποιήσει,* Gesner scripserat *ποιήσει ⟨ἔφη⟩* ‖ 4 ecl. sine lemm. hab. S, addito lemmate M A. recurrit ecloga (*Ἀρχίδαμος — ἀρετά*) gnomol. Paris. 72 Sternb. ‖ 6 *ὁ* om. A | *ὁ Ἀγησιλάου καταπελτικὸν ἰδὼν βέλος* Pl.-Plut. ‖ 8 *κομισθὲν ʽὦ ʽΗράκλειςʼ ἀνεβόησεν ʽἀπόλωλενʼ κτἑ.* ‖ 9 ecl. cum lemm. hab. S M A; in lemmate ante *δημηγορίας* suppleveris *ἱστορίας α´* ‖ 12 *ἀγαθὸν* A sed *ῶ* superscr. A[1] ‖ 13 *παρασχὸν* M Tr., Thuc.: *παρασχὼν* S A ‖ 14 *ἡσυχίῳ* Thuc. libri plurimi ‖ 17 *εἰ* libri Thucydidis: *ἢ* S M A | *ἡσυχάζει* Tr. verba *εἰ ἡσυχάζοι* in Thucydide expungere solent suadente Lehnero ‖ 18 *ἀπλείστῳ* A ‖ 20 *τυχόντων* Thuc. libri haud pauci | *κατωρθώθη* Thuc. | *πλείω* (vel *πλέω*) *ἃ* (*ἃ* om. Thuc. cod. Laur.) Thucydidis libri plurimi: *πλέω τὰ* S M A. *πλείω* sc. *ἐστι* ‖ 22 *ὅμοια* etiam libri Thucydidis; *ὁμοίᾳ* recte Reiske ‖ 23 *δὲ* M

13 (14 Mein.). *Πλάτωνος Νόμων α'* (p. 626 A).

Ἣν γὰρ καλοῦσιν οἱ πλεῖστοι τῶν ἀνθρώπων εἰρήνην, τοῦτ' εἶναι μόνον ὄνομα, τῷ δὲ ἔργῳ πάσαις πρὸς πάσας τὰς πόλεις ἀεὶ πόλεμον ἀκήρυκτον κατὰ φύσιν εἶναι. καὶ σχεδὸν ἀνευρήσεις, οὕτω σκοπῶν, τὸν Κρητῶν νομοθέτην ὡς εἰς τὸν πόλεμον ἅπαντα δημοσίᾳ καὶ ἰδίᾳ τὰ νόμιμα ἡμῖν ἀποβλέπων ξυνετάξατο, καὶ κατὰ ταῦτα οὕτω φυλάττειν παρέδωκε τοὺς νόμους, ὡς τῶν ἄλλων οὐδενὸς οὐδὲν ὄφελος ὂν οὔτε κτημάτων οὔτε ἐπιτηδευμάτων, ἂν μὴ τῷ πολέμῳ ἄρα κρατῇ τις, πάντα δὲ τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων γίγνεσθαι.

14 (15 Mein.). *Ξενοφῶντος ἐν γ' τῆς Κύρου ἀναβάσεως* (c. 1, 42).

Ἐπίστασθε γὰρ δή, ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα, ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τούτους ὡς ἐπὶ πολὺ οἱ ἐναντίοι οὐ δέχονται.

15 (16 Mein.). *Πλάτωνος ἐκ τοῦ Μενεξένου ⟨ἢ⟩ Ἐπιταφίου* (p. 234 C).

Καὶ μήν, ὦ Μενέξενε, πολλαχῇ κινδυνεύει καλὸν εἶναι τὸ ἐν πολέμῳ ἀποθνήσκειν. καὶ γὰρ ταφῆς καλῆς τε καὶ μεγαλοπρεποῦς τυγχάνει, καὶ ἐὰν πένης τις ὢν τελευτήσῃ, καὶ ἐπαίνου αὖ ἔτυχεν, καὶ ἐὰν φαῦλος ᾖ, ὑπ' ἀνδρῶν σοφῶν τε καὶ οὐκ εἰκῇ ἐπαινούντων, ἀλλ' ἐκ πολλοῦ χρόνου λόγους παρεσκευασμένων.

---

1 ecl. cum lemm. hab. S M A ‖ **2** *οἱ πλεῖστοι τῶν ἀνθρώπων* M A, Plat.: *τῶν ἀνθρώπων οἱ πλεῖστοι* S ‖ **4** *τὰς πόλεις ἀεὶ* M A, Plat.: *ἀεὶ τὰς πόλεις* S ‖ **5** *ἀνευρήσεις* S, Plat.: *ἂν εὑρήσησ* M *ἂν εὑρήσεις* A | *τῶν* M | *δὲ κρητῶν* A ‖ **7** *συνετάξατο* Plat. ‖ **9** *ἐὰν* A ‖ **10** *τίσ* M ‖ **11** *νικόντων* M ‖ **12** ecl. cum lemm. hab. S M A ‖ **14** *ἐπίστασθαι* A corr. A[1] | *δὴ* sup. lin. add. A[1] | *πλῆθοσ ἐστὶν* M ‖ **16** *τὰς ψυχὰς* Xenoph. non nulli. cf. Cobet N. l. p. 437 ‖ **17** *ὡς ἐπὶ τὸ πολὺ οἱ ἀντίοι* Xen. ‖ **19** ecl. cum lemm. hab. S M A; *ἢ ἐπιταφίου* tacite Gaisford: *ἐπιταφίου* M A om. S ‖ **21** *κινδυνεύῃ* in -*ει* corr. M[1] ‖ **22** *καλῆς τε* S M, Plat.: *τε καλῆς* A ‖ **24** *ἂν* pro *αὖ* A | *ἔτυχεν* M A | *ἐὰν καὶ* A ‖ **25** *εἰκεῖν* Tr.

16 (7 Mein.) *Τυρταίου* (11 B.).

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ,
θαρσεῖτ'· οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει·
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
ἰθὺς δ' εἰς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας † αὐγαῖσ' ἠελίοιο φίλας.
ἴστε γὰρ ὡς Ἄρεος πολυδακρύου ἔργ' ἀίδηλα,
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,
καὶ μετὰ φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
ὦ νέοι, ἀμφοτέρων δ' ἐς κόρον ἠλάσατε.
οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ', ἢν αἰσχρὰ πάθῃ, γίνεται ἀνδρὶ κακά.
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηίῳ ἐν πολέμῳ·
αἰσχρὸς δ' ἔστι νέκυς κακκείμενος ἐν κονίῃσι
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.

---

1 ecl. cum lemm. hab. S (post ecl. 6 Mein.) M A (post ecl. 15 Mein.); sub lemmate in marg. *ἡρωελεγεῖα* S m. rec. suppleverit in capitis fine quam primo omiserat eclogam alterius codicum classis librarius ‖ **2** respicit Ps.-Plutarchus pro nobil. c. 2 | *ἀνίκητον* Gesn.[1] marg. ex gnomis Frobenii p. 219 ‖ **5** cf. v. 13 *ἐς*, talia non exaequavi ‖ **7** *κῆρας αὐγαῖς* SMA *κῆρας αὐγαῖσιν* Tr. *κῆρας ⟨ὁμῶς⟩ αὐγαῖς* probabiliter Grotius ‖ **8** *ἄρεος* MA *ἄρεως* S; *ἴστε γὰρ Ἄρηος* Emperius et Bergk | *ἀίδηλα* Gesn.[1] marg. ex Frob. l. c. *ἀρίδηλα* SMA ‖ **9** *ἐδάκτ'* M ‖ **10** *μετὰ* compendiose S *μετα (μεταφευγόντων)* MA | *τε* om. S | *ἐγεσθε* vel *ἐγευσθε* S *ἔγεσθε* M *ἄγεσθε* A *ἔγεσθε* sed correctionem in marg. addere oblitus Voss. *ἐγένεσθε* Tr. *ἔγευσθε* Gesn.[1] marg. ex Frob. l. c. ‖ **11** *ἐς* A *εἰς* SM ‖ **14** *σάουσι* libri: corr. Buttmann ‖ **15** *τρεσάντων* S | *ἀπολωλ'* M *ἀπόλωλ'* ex *ἀπώλετ'* corr. S[1] *πώλετο* (*πᾶσ' 'πώλετο* alt. *α* superscr.) A | *ἀγέλη* F. Dümmler. cf. supra p. 323, 7 s. ‖ **16** *ἄμποτε* M ‖ **17** *ἢν* et *γίγνεται* Valckenaer: *ἂν* et *γίνεται* libri. cf. p. 329, 4 adn. ‖ **18** *ἁρπαλέον* Ahrens | *ὄπισθεν* M ‖ **20** *αἰσχρὸν* Tr. | *κακκείμενος* A *κατακείμενος* SM | *κονήησι* M in *κονίῃσι* corr. M[2] ‖ **21** *ὄπισθεν* A et primo M corr. M[2] | *αἰχμὴ* M

ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς·
ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων,
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ,
ἢ ξίφει οὐτάζων δήιον ἄνδρ' ἑλέτω·
καὶ πόδα παρ ποδὶ θεὶς καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,
τοῖσι πανόπλοισιν πλησίον ἱστάμενοι.

---

1 *ποσσὶν* A ‖ **3** *κνῆμάσ τε* M ‖ **7** *ἔρδων* M ‖ **8** *ἑστάτ'* A ‖ **9** *ἐγγυσιὼν* M ‖ **11** *ποδὶ* sed *ϊ* in corr. M[1] accentu addito alia ut videtur manu | *ποδισθεὶς* A ‖ **13** *πεπλημένος* Brunck: *πεπαλημένος* libri | **14** *δόρυ* libri, sed *όρυ* in ras M[2] ‖ **18** *πανόπλοισι* Dindorf: *πανοπλίοισι* (-*σιν* M) SMA

CAPVT X.

ἜΠΑΙΝΟΣ ΤΟΛΜΗΣ.

1 *Τυρταίου* (12 B).

Οὔτ᾽ ἂν μνησαίμην οὔτ᾽ ἐν λόγῳ ἄνδρα τιθείμην
οὔτε ποδῶν ἀρετῆς οὔτε παλαισμοσύνης,
οὐδ᾽ εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων Θρηίκιον Βορέην,
οὐδ᾽ εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον,
οὐδ᾽ εἰ Ταντανλίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ᾽ Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ᾽ εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς·
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ,
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα
καὶ δηίων ὀρέγοιτ᾽ ἐγγύθεν ἱστάμενος.

---

1. 2 *Ἔπαινος τόλμης* recte S M A Mac. Tr. *Περὶ τόλμης* Photius in summario minus recte. numero *με'* notatur in S, *μθ'* in Tr., *ξβ'* in MA, *ξα'* (scilicet omisso *Περὶ πολέμου* capite) in Mac. ‖ **3** ecl. cum lemm. hab. S M A; in marg. *ἡρωελεγεῖα* S m. rec. ‖ **4** *ἐν* M, Plato leg. I p. 629 A ubi citatur versus primus, ibid. II p. 660 E: *ἂν* S A | *τιθείμην* Plat.: *τιθείην* S M A ‖ **5** *παλαισμοσύνησ* M: *παλαιμοσύνης* S A. *παλαιμοσύνη,* si fides Eustathio, Aristarchus in Homero ‖ **6** *ἔχει* A ‖ **7** *θέων* ex *θεῶν* corr. S¹ *θέων* Tr.: *θεῶν* M A ‖ **8** *φυῆν* M | *χαριέστατος* Tr. ‖ **9** *Κινύρεω μάλιον* G. M. Schmidt: *κινυρέοιο μᾶλλον* S M A. Plato Leg. II p. 660 E *ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον κτἑ.,* inde Clemens Al. Paed. III 6 p. 256, 17 Stählin, quo de loco disserui praef. Muson. p. VIII ‖ **11** *ἀδρήσταισ* sed *ι* in corr. M¹ | *ἔχει* A. aberravit Gaisford ‖ **12** *ἔχει* S sed *οι* superscr. S¹ ‖ **13**
δὲ
ου A | *γίνεται* M A, in marg. *γίνεται* ab alia ut videtur manu etiam S. cf. p. 329, 4 adn. ‖ **14** *μήτε τλαίη* S | *πόνον* sed supra lin. *φ* A¹; *φόνον* quod habent S M confirmat Plato l. c. p. 629 E

ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.

2 *Εὐριπίδου Τημενιδῶν* (fr. 731 N.²).

Οὐκ ἔστι κρεῖσσον ἄλλο πλὴν κρατεῖν δορί.

3 *Εὐριπίδου Τημένῳ* (fr. 745 N.²).

Τολμᾶν δὲ χρεών. ὁ γὰρ ἐν καιρῷ
μόχθος πολλὴν εὐδαιμονίαν
τίκτει θνητοῖσι τελευτῶν.

4 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 237 N.²).

Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί.
οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ·
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.

5 (17 Mein.). *Εὐήνου* (fr. 4 Bergk p. l. II⁴ p. 270).

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστι,
χωρὶς δὲ βλαβερὴ καὶ κακότητα φέρει.

6 (5 Mein.). *Τυρταίου* (12, 15ss. B.).

Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληί τε παντί τε δήμῳ
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ

1s. recurrunt in Theognideis 1003s. | *ἥδ'* Hermann: *ἡ δ'* libri | *τὸ δ'* M ‖ 2 *γίνεται* libri omnes, Theogn. | *ἀνδρὶ σοφῷ* Theogn. ‖ 3 ecl. cum lemm. hab. S M A; *Τημενιδῶν* Meineke: *τημενίδων* S M A, poetae nomen S non omisit, ut adnotavit Gaisford, immo semel posuit ad ecl. 2—4 in extremo marg. ‖ 4 *κρεῖττον* S M A ‖ 5 ecl. cum lemm. hab. S M A, de S vide ad. ecl. praegressam ‖ 9 ecl. cum lemm. hab. S M A. fabulae nom. omisso legitur ecloga ap. Orionem anthol. IX 22 p. 58. duos versus extremos cum lemmate *Εὐρ. Ἀρχελάου* supra dederat Stobaeus III 29, 32 p. 633 H. ‖ 10 *ἄνδρα*] *ὄντα* Or. | *ἀεί*] *πονεῖν* Or. ‖ 11 *ῥᾴθυμος* Stob. utrobique: *ἄθυμος* Or. | *εὐγενὴς* v. l. in Stob. III 29, 32 ‖ 12 cf. infra ecl. 26 p. 334, 4 | *εὐδοξίαν* S M A: *εὐανδρίαν* Stob. supra et Or. ‖ 13 ecl. cum lemm. hab. S (post ecl. 16 Mein.) M A (post ecl. 4 Mein.) ‖ 14 *σοφία* (vel *-αι*) M *σοφίαν* S A | *μάλ' ἀσύμφορον* M ‖ 16 ecl. sine lemm. hab. S (post ecl. 4 Mein.) M A (post ecl. 17 Mein.), lemma *Τυρταίου* servavit Tr. *ἡρωελεγεῖα* S m. rec. subiecisse hos versus poetam eclogae primae disticho extremo testatur corp. Theogn. v. 1003—6, ubi disticha *ἥδ' ἀρετή, κτέ.* et *ξυνὸν δ' ἐσθλὸν κτέ.* sese excipiunt ‖ 18 *ἂν εὖ* ci. Upton. cf. Plato de leg. I p. 630 B

νωλεμέως, αἰσχρῆς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δ᾽ ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ·
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ δ᾽ ἔσχεθε κῦμα μάχης·
αὐτὸς δ᾽ ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ᾽ εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος,
τὸν δ᾽ ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις,
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποισ᾽ ἀρίσημοι
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω,
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ᾽ ὄνομ᾽ αὐτοῦ,
ἀλλ᾽ ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν᾽ ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ᾽ αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀίδην·
γηράσκων δ᾽ ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ᾽ αἰδοῦς οὔτε δίκης ἐθέλει,
πάντες δ᾽ ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ᾽ αὐτὸν
εἴκουσ᾽ ἐκ χώρης οἵ τε παλαιότεροι.

---

1 *αἰσχρᾶς* S M *αἰσχρὸς* A | *ἐπεὶ* A ‖ **3** *δ᾽ ἔπεσιν* Hermann *δὲ πεσεῖν* libri ‖ **4** *οὕτως* Tr. | *γίγνεται* S A *γίνειαι* A Tr. ‖ **6** *σπουδῇ δ᾽* M A *σπουδῇ θ᾽* S *σπουδῇ τ᾽* Tr. | *ἔχεσκε* A ‖ **7** *ὃς δ᾽ αὖτ᾽ ἐν πρ.* scripsit Bergk, *αὐτὸς δ᾽ ἐν* defendit Sitzler ‖ **9** *πολλὰ δὲ διὰ* A ‖ **10** *θώρηκος* sed *ώ* in ras. M ‖ **12** *κεκηδε* sine acc. S M ‖ **13** *ἀνθρώποις* libri ‖ **14** *ἐζοπισσω* idque sine acc. A ‖ **16** *γίνεται* SM *γίγνεται* A cf. 4 ‖ **17** s. hoc distichon quod in contextu omiserat, suppl. in marg. A[1] | *ὄντ᾽ ἀριστ.* A ‖ **19** *τανηλεγέως* S ‖ **20** *αἰχῆς* sed *μ* superscr. S ‖ **21** cf. Theogn. 935 ss. *πάντές μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ᾽ αὐτὸν χώρης εἴκουσιν, τοί τε παλαιότεροι. γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν βλάπτειν οὔτ᾽ αἰδοῦς οὔτε δίκης ἐθέλει* | *μιν* om. A ‖ **23** *δ᾽* om. A

ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

7 (6 Mein.). *Εὐριπίδου* (fr. 1051 N.²).

Σὺν τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς.

8 (7 Mein.). *Εὐριπίδου Ἀρχελάῳ* (fr. 240 N.²).

Ἐμὲ δ᾽ ἄρ᾽ οὐ
μοχθεῖν δίκαιον; τίς δ᾽ ἄμοχθος εὐκλεής;
τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο;

9 (18 Mein.). *Ἀντιφάνους* (fr. 267 K.).

Ἐπεὶ γὰρ ἀποθνῄσκειν ἀνάγκῃ γίγνεται,
τὸ προῖκ᾽ ἀποθανεῖν ἔστι φανερὰ ζημία.

10 (8 Mein.). *Εὐριπίδου ἐκ Τηλέφου* (fr. 702 N.²).

Τόλμα σύ, κἄν τι τραχὺ νείμωσιν θεοί.

11 (9 Mein.). *Εὐριπίδου Ἀρχελάῳ* (fr. 244 N.²).

Ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν.

12 (19 Mein.). *Καλλίνου* (fr. 1 B).

Μέχρις τεῦ κατάκεισθε; κότ᾽ ἄλκιμον ἕξετε θυμόν,
ὦ νέοι; οὐδ᾽ αἰδεῖσθ᾽ ἀμφιπερικτίονας
ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.

---

2 *θυμὸν* in *θυμῶ* corr. M¹ *θυμῷ* A *θυμὸν* S | *μημη μεθι εἰσ* M | *πόλεμον* libri, *quidam legit πολέμου* Gesn.² marg. ‖ **3** ecl. sine lemm. hab. S, addito lemmate M A ‖ **5** ecl. hab. S M A, lemma praefixum est in M A, in S eclogae 7. 8. 9 Mein. uno lemmate *αρχελᾶ* in margine comprenduntur poetae nomine omisso. *τοῦ αὐτοῦ* A ‖ **7** *ἀμόχθητος* libri: corr. Grotius ‖ **8** a prioribus versum separari vult Badham | *δειλὸς* ex *δεινὸς* corr. S¹ ‖ **9** ecl. cum lemm. hab. S (post ecl. 17 Mein.) M A (post ecl. 7 Mein.) ‖ **10** *ἀνάγκῃ* scr. Kock | *γίνεται* S M ‖ **12** ecl. hab. S (post ecl. 7 Mein.) M A (post ecl. 18 Mein.), lemma quod supra dedi M A, nisi quod *τιλέφου* M. de S vide quae dixi ad ecl. 8 ‖ **13** *τόλμα σύ* Nauck: *τόλμ᾽ ἀεὶ* S M *τόλμης ἀεὶ* A | *κάν τισ* M | *τραχὺ νείμωσιν* Bothe: *τρηχὺ* (*ηχὺ* in ras. M²) *νέμωσιν* (*νέμωσι* A) S M A *ν* supra lin. S¹. frustra elegiaci poetae versum refingi voluit Meineke in Men. p. 314 ‖ **14** ecl. cum lemm. hab. S M A; *τοῦ αὐτοῦ* A, de S vide quae adnotavi ad ecl. 7. recurrit ecloga cum lemmate *ἐκ τοῦ Ἀρχελάου* in Orionis flor. 7, 3 p. 51, 6 ‖ **16** ecl. cum lemm. hab. S (post ecl. 18 Mein.) M A (post ecl. 9 Mein.) ‖ **17** *κ᾽ ὅτε* A ‖ **18** *αἰδεῖ δ᾽* A | *ἀμφιπερικτιόνασ* ut reliqui M¹ *ἀμφιπερικτιάναν* M²

* * *

καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου
δυσμενέσιν· θάνατος δέ ποτ' ἔσσεται, ὁππότε κεν δὴ
μοῖραι ἐπικλώσωσ'· ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἔλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
ἄνδρ', οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηιοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
ἀλλ' ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος οὐδὲ ποθεινός,
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ·
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
θνήσκοντος, ζώων δ' ἄξιος ἡμιθέων·
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

13 (10 Mein.) *Εὐριπίδου Ἱππολύτῳ* (fr. 434 N.[2]).

Οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι·

---

1 unum intercidisse hexametrum putavit Camerarius, versus plures Bergk. ceterum in libris nulla defectus indicatio ‖ 3 *τιμῇ ἐν* M ‖ 5 *δυσμενέσι* A | *ποτ'* (*ποτε* S) S M A *τοτ'* cod. Paris. 1985 teste Gaisfordo, inde edi solet *τότ'* fort. recte nisi fuit *κοτ'* | *ὀκκότε* Bach ‖ 6 *ἐπικλώσωσ'* Tr.: *ἐπικλώσωσιν* S M A ‖ 8 *ἔλσας* M Tr. *ἕλσας* S A ut videtur ‖ 9 *πως* A | *γε* M A ex *τε* corr. S[1] *τε* Tr. ‖ 10 *εἰ* libri. *ἦν* Brunck ‖ 12 *ἔρχεται* sc. *οἶκον*, cf. Peppmüller Philol. LI p. 173. *ἔργεται* (i. e. *εἴργεται*) scr. Bergk quod me quidem iudice satis obscurum est, clarius multo Demosthenis illud or. XVIII 97 Aeschylique fr. 362 N.[2] | *οἴκω* in *οἴκω* corr M[1] | *μοῖραν* A ‖ 13 *ἔμπης* A *ἔμπας* (*οὐκέμπασ* M) SM *φίλος δήμω* A | post v. 13 pentametrum cum hexametro excidisse opinatus est Schneidewin hanc exspectans sententiam: 'eum non carum esse suis ⟨si qui turpiter se periculis subduxerit; sed qui fortiter depugnaverit⟩ eum vero aut lugeri, si quid ipsi acciderit, aut summo affici a civibus suis honore' ‖ 15 *καρτερόφρονος* A ‖ 18 *ἔρδει* Tr. ‖ 19 ecl. cum lemm. hab. S (post ecl. 9 Mein.) M A (post ecl. 19 Mein.), fabularum tantum nomina praefixit S ad ecl. 10. 11. 13 Mein., poetae nomen quod semel adscripturus erat librarius adscribere oblitus est

τολμήμασιν δὲ καὶ χερῶν ὑπερβολαῖς
ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.

14 (11 Mein.) *Τοῦ αὐτοῦ Ἰξίονι* (fr. 426 N.[2]).

Τά τοι μέγιστα πάντ' ἀπείργασται βροτοῖς
τόλμ' ὥστε νικᾶν. οὔτε γὰρ τυραννίδες
χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας.

15 (20 Mein.) *Μενάνδρου* (fr. 792 K.).

Οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον βίου.

16 (22 Mein.) *Πινδάρου Ὀλυμπιονικῶν* (I 129).

Ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.

17 (21 Mein.) *Μοσχίωνος ἐκ Θεμιστοκλέους* (fr. 1 p. 812 N.[2]).

Καὶ γὰρ ἐν νάπαις βραχεῖ
πολὺς σιδήρῳ κείρεται πεύκης κλάδος·
καὶ βαιὸς ὄχλος μυρίας λόγχης κρατεῖ.

18 (23 Mein.) *Σωσιθέου ἐξ Ἀεθλίου* (fr. 1 p. 821 N.[2]).

Εἷς μυρίους ὄρνιθας ἀετὸς σοβεῖ,
λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ.

19 (12 Mein.) *Εὐριπίδου Ἐρεχθεῖ* (fr. 356 N.[2]).

Ὀλίγους ἐπαινῶ μᾶλλον ἢ πολλοὺς κακούς.

20 (13 Mein.) *Τοῦ αὐτοῦ Ἀνδρομάχης* (764 s.).

Πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ
κρείσσων· τί γὰρ δεῖ δειλὸν ὄντ' εὐσωματεῖν;

---

1 *τολμήμασι* M | *χειρῶν* A ‖ **3** ecl. cum lemm. hab. SMA, sed *ἰξίων* M *ἰξίωνι* A. de S vide quae dixi ad eclogam praecedentem ‖ **4** *ἀπείργασται* Heath: *ἀπεργάζεται* libri ‖ **5** *τόλμα* S *τολμα* M ‖ **7** ecl. cum lemm. hab. S (post ecl. 19 Mein.) MA (post ecl. 11 Mein.) ‖ **8** *βίῳ* ci. Salmasius ‖ **9** ecl. cum lemm. hab. S (post ecl. 21 Mein.) MA (post ecl. 20 Mein.) ‖ **11** ecl. cum lemm. hab. S (post ecl. 20 Mein.) MA (post ecl. 22 Mein.) ‖ **15** ecl. cum lemm. hab. S (post ecl. 22 Mein.) MA (post ecl. 21 Mein.), *σωσιθέου* nec plura S, *ἐξ ἀεθλίου* add. M *ἐξ ἀθλίου* A ‖ **16** *ἀετὸς* SM *αἰετὸς* A ‖ **18** ecl. cum lemm. hab. MA (post ecl. 23 Mein.), om. S ‖ **19** ⟨*ἐσθλοὺς ἐγὼ*⟩ *Ὀλίγους* proposui lect. Stob. p. 16 comprobante Gomperzio ‖ **20** ecl. cum lemm. hab. S (post ecl. 11 Mein.) MA (post ecl. 12 Mein.). de S vide quae dixi p. 331 adn. 19 ‖ **22** *δεῖ* Tr., Eur., *δεῖ* ex corr. ut videtur S *δὴ* MA

21 (13a Mein.: Trag. ignoti fr. 537 N.[2])
Κρεῖττόν τ' ἀμύνειν. κατθανεῖν γὰρ εὐκλεῶς
ἢ ζῆν θέλοιμ' ἂν δυσκλεῶς γε † κατθανών.
22 (24 Mein.) *Σοφοκλῆς Σκυρίοις* (fr. 510 N.[2]).
Φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους.
23 (25 Mein.) *Μενάνδρου* (fr. 793 K.).
Οὐκ ἔστι τόλμης ἐπιφανεστέρα θεός.
24 (26 Mein.) *Αἰσχύλου Καρῶν* (fr. 100 N.[2]).
Ἀλλ' Ἄρης φιλεῖ
ἀεὶ τὰ λῷστα πάντα † τ' ἀνθρώπων στρατοῦ.
25 (27 Mein.) *Μενάνδρου Ἐπαγγελλόμενος* (fr. 161 K.).
Τὰ γὰρ τολμηρὰ τῶν ὄχλων ἔχει
ἐν τοῖς λογισμοῖς μὲν τὰς ἐπιδείξεις δυσκόλους·
ἐν τῷ δὲ πράττειν, ἂν λάβῃ τὸν καιρὸν εὖ,
ἀπροσδόκητον τὴν τέχνην ἐξηύρατο.
26 (14 Mein.) *Εὐριπίδου* (fr. 1052 N.[2]).
Νεανίας γὰρ ὅστις ὢν Ἄρη στυγῇ,
κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.
ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος

---

1 sine lemmate cohaerent hi versus cum praegressis in S M A: separavit Gaisford. ex Euripidis Andromeda petitos esse suspicor ‖ 2 *κρεῖσσόν γ' ἀμ.* prop. Nauck ‖ 3 *ἂν*] *ἁ* M | *δυσκλεῶς τε κἀφανῶς* ci. Prinz mus. Rhen. XXIX p. 357. *δυσκλεῶς θανούμενος* quod olim conieci Exerc. cr. p. 58, nunc etiam Eltero in mentem venit ‖ 4 ecl. cum lemm. hab. S (post ecl. 23 Mein.) M A (post ecl. 13[a] Mein.), fabulae nomen om. S ‖ 6 ecl. cum lemm. hab. MA, om. S ‖ 8 ecl. cum lemm. hab. SMA ‖ 10 *πάντα τἀνθρώπων στρατοῦ*] *πάντ' ἀπανθίζειν στρατοῦ* prop. Kidd, *παντὸς ἀγρεύειν στρατοῦ* G. Dindorf, alii alia ‖ 11 ecl. cum lemm. hab. S M A: *μ̄ ἐπαγγελόμενος* S *ἐπαγγελομένοις* A ‖ 12 *τῶν ἔργων* coni. Cobet ‖ 13 *μὲν τὰς ἐπιδείξεις* SMA: *μὲν ἐπιδείξεις* Gesn.[1] *τὰς ἐπιδείξεις* Gaisford, *ἐν τοῖς λόγοις μὲν τὰς ἐπιδ.* Meineke ‖ 14 *ἀναλάβῃ* Tr. | *λάβῃς* Cobet ‖ 15 *ἀπροσδόκητον* S *ταπροσδόκητον* (*τ' ἀπρ-* A) MA | *τύχην* Cobet | *ἐξηύρατο* MA *ἐξεύρατο* S *ἐξηύρετο* Meineke Com. IV p. 115, qui in Stobaeo dubitans prop. *ἐκτήσατο*. non minus audacter *προσλαμβάνει* Cobet ‖ 16 ecl. cum lemm. hab. MA (post ecl. 27 Mein.) S (post ecl. 13[a] Mein.) ‖ 17 *ὢν* om. A | *στυγῇ* SM *στυγεῖ* A, ex Frob. Gesner[1] ‖ 19 adfert versum Athenaeus XIV p. 641 C poetae nomine commemorato

ὅ τ᾽ ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων·
ἀλλ᾽ οὐκ ἔνεστι στέφανος, οὐδ᾽ εὐανδρία,
εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα·
οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν,
ἡ δ᾽ εὐλάβεια σκότον ἔχει καθ᾽ Ἑλλάδα,
τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.

27 (15 Mein.) *Ὁμήρου* (Il. XIII 279 ss.).

Τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
οὐδέ οἱ ἀτρέμας ⟨ἧσθαι⟩ ἐρητύετ᾽ ἐν φρεσὶ θυμός·
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει,
κῆρας ὀιομένῳ, πάταγος δέ τε γίνετ᾽ ὀδόντων.
τοῦ δ᾽ ἀγαθοῦ οὔτ᾽ ἂρ τρέπεται χρὼς οὔτε τι ταρβεῖ.

28 (16 Mein.) *Δημοκρίτου* (fr. 269 Diels[2]).

Τόλμα πρήξιος ἀρχή, τύχη δὲ τέλεος κυρίη.

29 (28 Mein.) *Ἰσοκράτους πρὸς Δημόνικον* (43 p. 11 c).

Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ εἶναι τοῖς μὲν φαύλοις φοβερὰν τὴν τοῦ βίου τελευτήν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ βίῳ ἀδοξίαν. ⟨μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν·⟩ ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ᾽ αἰσχρᾶς φήμης. τὸ μὲν γὰρ τελευ-

---

1 *ὡς ἔξωθέν ἐστι* prop. Halm. verba nondum expedita ‖ **4** *πόροι* M | *τὴν εὐδοξίαν* maluit Iacobs Anth. VIII p. 131. cf. ecl. 4 ‖ **5** *σκότον τ᾽ ἔχει* A | *ἀν᾽ ἑλλάδα* Tr. ‖ **6** *μόνον τ᾽ ἀεὶ* A ‖ **7** ecl. cum lemm. hab. hab. S M A. adfert versus Plut. de vita et p. Hom. c. 135 ‖ **9** *οὐ δέοι* S M | *ἧσθαι* tacite ex Hom. indidit Gesn.[1] | *ἐρητύεται* S M A | *ἐνι* S. post *θυμός* qui legitur versus ap. Hom. *ἀλλὰ μετοκλάζει καὶ ἐπ᾽ ἀμφοτέρους πόδας ἵζει* ignotus est tam Stobaeo quam Ps.-Plutarcho ‖ **11** *οἰεμένω* S | *δέ γε* S | *γίνεται* M A ‖ **12** *τοῦ δ᾽ — ταρβεῖ* laudat Plutarchus de virt. mor. p. 452 A nomine Homeri praemisso | *οὐδέ τι* Plut. | *τι⟨λίην⟩ ταρβεῖ* tacite ex Homero Gesn.[1] ‖ **13** ecl. cum lemm. hab. S M A; in lemmate *δημοκρίτου* formam compendiariam ex *ομ(ηρου)* ut videtur corr. S ‖ **15** ecl. cum lemm. hab. S (post ecl. 27 Mein.) M A (post ecl. 16 Mein.) ‖ **16** *εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν* Is. ‖ **17** *τὴν* S A *τησ* accentu incerto et *σ* in ras. ni fallor M ‖ **18** *βίῳ*] *ζῆν* Is. | *μάλιστα — ἀσφάλειαν* tacite ex Is. suppl. Gesn.[1] f. 347ᵛ, om. S M A ‖ **21** *ἐκ* om. A

τῆσαι πάντων ἡ πεπρωμένη κατέκρινεν, τὸ δὲ καλῶς ἀποθανεῖν ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμεν.

30 (29 Mein.) *Ἰσοκράτους Εὐαγόρα* (3 p. 189 b).

Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὑτῶν μνήμην καταλείψωσιν.

31 (30 Mein.) *Πλάτωνος ἐκ τοῦ Μενεξένου ἢ Ἐπιταφίου* (p. 246 C — 247 C).

Ἐν δὲ τῷ παρόντι δίκαιός εἰμι εἰπεῖν ἃ οἱ πατέρες ἡμῖν ἐπέσκηπτον ἀπαγγέλλειν τοῖς ἀεὶ λειπομένοις, εἴ τι πάσχοιεν, ἡνίκα κινδυνεύσειν ἔμελλον. ἀλλὰ νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων, ἃ ἂν ἀπαγγέλλω. ἔλεγον δὲ τάδε· Ὦ παῖδες, ὅτι μὲν ἔστε πατέρων ἀγαθῶν, αὐτὸ μηνύει τὸ νῦν παρόν· ἡμῖν ἐξὸν ζῆν μὴ καλῶς, καλῶς αἱρούμεθα

---

1 *πάντων* M, Is.: *πάντως* S M ‖ 2 *ἡ φύσις* recte om. Isocratis cod. Vrbinas ‖ 3 ecl. cum lemm. hab. S M A, *ἰσωκρ-* hic et ecl. 29 M ‖ 6 *εὐκόλως* primo Isocratis cod. Vrbinas | *αἱρομένους* A ‖ 9 *αὑτῶν* Is.: *αὐτῶν* S M A | *καταλείψουσιν* ex em. Isocratis cod. Vrbinas ‖ 10 ecl. cum lemm. hab. S M A, *ἢ ἐπιταφίου* om. S in lemm., *ἢ* om. M ‖ 13 *ἡμῖν* A Tr., Plat.: *ὑμῖν* S M | *ἐπέσκιπτον* A | *ἀπαγγέλλειν* S, Plat.: *ἀπαγγέλειν, ει* ex altero *λ* corr. M[1] *παραγγέλλειν* A | *ἀεὶ* libri Stobaei, Platonis cod. Marcianus 189 cod. Vindob. 55 suppl. phil. Gr. 39: om. Platonis alii ‖ 14 *κινδυνεύσειν* libri Stob., cod. Vindob. 55 suppl. phil. Gr. 39: *κινδυνεύειν* Platonis nonnulli | post *ἔμελλον* quae habet Plat. *φράσω δὲ ὑμῖν ἅ τε αὐτῶν ἤκουσα ἐκείνων καὶ οἷα νῦν ἡδέως ἂν εἴποιεν ὑμῖ νλαβόντες δύναμιν, τεκμαιρόμενος ἐξ ὧν τότε ἔλεγον* tacite e Plat. inseruit Gesn.[1] | *ἀλλὰ χρὴ νομίζειν ἀκούειν κτέ.* habet Dionysius de admir. vi in Demosth. VI 1044 R. (Dionys. Hal. opusc. v. I p. 193, 2 Vs. et Raderm.) | *ἀλλὰ νομίζειν χρὴ* (*χρὴ* om. A) *αὐτῶν ἀκούειν* (ex *ἀκούων* corr. A[1]) *ἐκείνων* S M A, Plat.: *ἀλλὰ χρὴ νομίζειν ἀκούειν αὐτῶν ἐκείνων* Dionys. ‖ 15 *ἔλεγον δὲ τάδε* S M A, Plat.: *ἔστι δὲ τάδε* Dionys. ‖ 17 *παρὸν ἡμῖν· ἐξὸν* libri Stob.: *παρόν· ἡμῖν δὲ ἐξὸν* Plat. *παρόν. ἡμῖν γὰρ ἐξὸν* Dionys. *ἡμῖν ⟨δὲ⟩ ἐξὸν* tacite e Plat. Gesn.[1] sed *δὲ* an *γὰρ* dederit gnomologus incertum | *καλῶς* alt. om. A sicut libri Dionysi | *αἱρούμεθα* — p. 337

μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι καὶ πρὶν τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι, ἡγούμενοι τῷ τοὺς αὑτοῦ αἰσχύνοντι ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτε τινὰ ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι οὔτ' ἐπὶ γῆς οὔθ' ὑπὸ γῆς τελευτήσαντι. χρὴ οὖν μεμνημένους τῶν ἡμετέρων λόγων, ἐάν τι καὶ ἄλλο ἀσκῆτε, ἀσκεῖν μετ' ἀρετῆς, εἰδότας ὅτι τούτου λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ μετὰ ἀνανδρίας· ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ καὶ οὐχ ἑαυτῷ· οὔτε κάλλος σώματος καὶ ἰσχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα πρέποντα φαίνεται, ἀλλ' ἀπρεπῆ, καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα καὶ ἐκφαίνει τὴν δειλίαν· πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, οὐ σοφία φαίνεται. ὧν ἕνεκα καὶ πρῶτον καὶ ὕστερον καὶ διὰ παντὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθ' ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ· εἰ δὲ

---

11 *εὐδοξιῶν*] cf. Iamblichus protr. p. 90, 16 — p. 91, 21 Pist., qui liberius haec in usum usum convertit. discrepantias adscribo non omnes

3 *αὑτοὺς* A ‖ **5** *ἐπὶ γῆς* Plat. Iambl.: *ἐπίσης* S *ἐπίσης* M A Tr. | *οὔθ' ὑπὸ* (sed *θ* ex *τ* S[1]) *γῆς* S M A, Plat. *οὔτ' ἐπὶ γῆς* Tr. *οὔτε ὑπὸ γῆν* Iambl. *οὔθ' ὕστερον* Dionys. ‖ **7** *ἄλλος* A ‖ **8** *λειπόμενα ἅπαντα* Iambl. ‖ **9** *καὶ αἰσχρὰ καὶ* S ‖ **10** *τῷ κεκτημένῳ ἀνανδρίαν* Dionys. | *ἄλλοις γὰρ* Dionys. ‖ **11** *οὐχὶ ἑαυτῷ* Dionys. | *κάλλος σώματος* S M A, Dionys.: *σώματος κάλλος* Plat. Iambl. | *καὶ* Plat. Iambl.: *οὔτ'* Dionys. ‖ **12** *συνοικοῦντα* Dionys. ‖ **13** *καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα καὶ ἐκφαίνει τὴν δειλίαν* S M A, Plat. Iambl.: *καὶ ἐπιφανεστέραν ἔχοντα τὴν δειλίαν* Dionys. ‖ **14** v. *πᾶσα ἐπιστήμη* — **15** *φαίνεται* Stobaeus etiam supra II 31, 37 p. 208, 3 W. et III 9, 28 p. 356, 14 H. (*Πλάτωνος*) ubi vide quae adnotavimus. cf. Cic. de off. I 19, 63 | *τε* om. Stob. supra II et III ‖ **15** *οὐ* S M A, Plat. Iambl.: *ἀλλ' οὐ* supra Stob. Dionys. *calliditas potius quam sapientia* Cic. | *ὧν ἕνεκα* — **17** *πειρᾶσθε ἔχειν* Dionysius l. c. habet etiam p. 1036 R. (p. 186, 11 Vsener et Raderm.) ‖ **16** *καὶ* (ante *πρ.*) om. Dionys. loco posteriore et Iambl. | *ὕστερον* S M A: *ὕστατον* Plat., Dionys. loco utroque, Iambl. ‖ **17** *πάντως*] *πάντων* A ‖ **18** *ὑπερβαλεῖσθε* Plat., Dionys., Iambl. (ubi *ὑπερβαλεῖταί τις*): *ὑπερβάλησθε* S M A | *εἰ δὲ μή, ⟨ὅπως*

μή, ἴστε ὡς ἡμῖν, ἐὰν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει, ἡ δὲ ἧττα, ἐὰν ἡττώμεθα, εὐδαιμονίαν. μάλιστα δ' ἂν νικῴμεθα καὶ ὑμεῖς νικῴητε, εἰ παρασκευάσαισθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι μηδ' ἀναλώσαντες αὐτήν, γνόντες ὅτι ἀνδρὶ οἰομένῳ τὶ εἶναι οὐκ ἔστιν αἴσχιον ⟨ἢ⟩ παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτόν, ἀλλὰ διὰ δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής· χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὑτοῦ κτημάτων τε καὶ εὐδοξιῶν. καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε, φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ· ἀμελήσαντας δὲ ὑμᾶς καὶ κακισθέντας οὐδεὶς εὐμενῶς δέξεται.

εἰς ἴσον καταστήσετε,⟩ ἴστε ⟨γὰρ⟩ ὡς ἡμῖν κτέ. proposuit Cobet mnemos.[2] II p. 277 s. Iamblichum secutus ubi legitur *εἰ δὲ μή, ὅπως εἰς ἴσον αὐτοῖς καταστήσῃ τὴν αὐτοῦ καλοκἀγαθίαν· ἡ μὲν γὰρ ἐν τούτοις νίκη τιμὴν φέρει, ἡ δὲ ἧττα, ἐὰν ἡττᾶταί τις, αἰσχύνην.* ceterum ⟨. . . *καὶ*⟩ *ἴστε* pro *ἴστε* ⟨*γὰρ*⟩ mavult Schanz

1 *μὲν*] *μὴ* ex corr. A m. primae ut videtur | *ἡ νίκη*] *ἡνίκα* M | **3** *μᾶλλον δ' ἂν* Dionys. | *νικώμεθα* S M A, Platonis libri plerique, Dionys. (*μάλιστα δ' ἂν νικήσειέ τις ἐν τούτοις* Iambl.): *ἡττώμεθα* in marg. Platonis T et man. alt. F | *νικῴητε* Platonis W, Dionys.: *νικῶτε* (sine acc. M) S M *νικᾶτε* A *νικῶντες* sed ex em. *νικῴητε* Platonis T | *παρασκευάσαισθε* Plat. T *παρασκευάσασθε* Platonis W: *παρασκευάσεσθε* S M A, Platonis T, *-άζεσθε* Tr. inter *-άσεσθε* et *-άσασθαι* fluctuatur memoria Dionysii || **4** *μὴ* S, Plat., Dionys., Iambl.: om. M A | *καταχρησόμενοι μηδ' ἀναλώσοντες* Platonis T W || **5** *εἶναι* om. A | *αἴσχιον ἢ παρέχειν* (sed *ἢ πα* ex *ου* Platonis T) Platonis T, Iambl.: *αἴσχιον παρέχειν* S M A, *αἴσχιον οὐδὲν ἢ παρέχειν* Platonis W F, Dionys. || **7** cf. Ps.-Plut. pro nobil. c. 2 (vol. VII p. 200, 16 Bernard.) Galen. protr. 7 || **8** *χρῆσθε* Tr. || **11** *αὐτοῦ* libri || **12** *ἐπιτηδεύσηται* ut videtur in *-τε* corr. M[1] | *ἀφίξεσθε* ex *-σθαι* corr. A[1] *ἀφέξεσθε* Tr. | *ὅταν δὴ ὑμᾶς* temere Gesn.[1] ex Platonis Ald. || **13** *κοιμίσῃ* Naber || **14** *ὑποδέξεται* Plat., Dionys.

CAPVT XI.

ΠΕΡΙ ΝΕΟΤΗΤΟΣ.

1 *Εὐριπίδου Ἀνδρομάχης* (184—185).

Κακόν γε θνητοῖς τὸ νέον, ἐν δὲ τῷ νέῳ
τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει.

2 (6 Mein.) *Ἀγάθωνος* (fr. 26 p. 768 N.²).

Νέων γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες.

3 (7 Mein.) *Μητροδώρου* (fr. 56 Koerte).

Νέος φιλοδοξῶν πρώιμος πονηρία.

4 (2 Mein.) *Εὐριπίδου Ἀνδρομέδας* (fr. 149 N.²).

Νεότης μ' ἐπῆρε καὶ σθένος τοῦ νοῦ πλέον.

5 (8 Mein.) *Μητροδώρου* (fr. 57 Koerte).

Τὸ νέον ἅπαν ὑψηλόν ἐστι καὶ θρασύ.

---

2 Inscriptio *Περὶ νεότητος* sicut in Photi summario legitur in SMA Mac., non sine interpolatione in L. *Ψόγος τόλμης* Tr.; numero *μξ'* caput insignitur S, *ν'* Tr. *ξγ'* MA *ξβ'* Mac. ‖ 3 ecl. cum lemm. hab. SMAL. eclogas 1—4 Mein. lemmate *Εὐριπ*^{δ} comprendit S ubi non deest *ἀνδρομα*^{χ}. fab. nomen om. L ‖ 4 *γε*] *τε* L | *ἔν τε τῷ νέῳ* Eur. ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 4 Mein.) MAL post ecl. 1) ‖ 7 *κώμπτονται* A ‖ 8 ecl. cum lemm. hab. SMAL; . *ροδώρου* pro lemm. L ubi initium nominis addere neglexit rubricator. recurrit ecloga corp. Par. 507 Elt. (*Μητροδώρου*). iambus Metrodoro datur etiam ecl. 5. putat Metrodorum poetae alicuius versus epistulae inseruisse Alfr. Koerte (cf. Fleckeiseni annal. suppl. XVII p 563), facile ut pro ipsius philosophi dictis haberi potuerint ‖ 9 *πονηρίας* L *-ρίᾳ* corp. Par. ‖ 10 ecl. cum lemm. hab. S (post ecl. 1) MAL (post ecl. 7 Mein.); fabulae nomen om. SL. adfert versum fabulae nomine non indicato Lucianus necyom. 2 ‖ 11 *καὶ θράσος* Luc. ‖ 12 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) M (post ecl. 2 Mein.), sine lemmate A (post ecl. 2 Mein.) L (post ecl. 4 quasi Euripid.); *μητροδώρου* M *ἴ αν*^{τ} S ‖ 13 *ὑψηλήν τε καὶ* Tr.

6 (9 Mein.) *Μενάνδρου* (fr. 638 K.).

Μὴ τοῦτο βλέψῃς, εἰ νεώτερος λέγω,
ἀλλ' εἰ φρονοῦντος τοὺς λόγους ἀνδρὸς ἐρῶ.

7 (3 Mein.) *Εὐριπίδου Μελανίππῃ* (fr. 510 N.[2]).

Παπαῖ, νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ.

8 (10 Mein.) *Μενάνδρου* (fr. 639 K.).

Οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν,
ἀλλ' ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων.

9 (4 Mein.) *Εὐριπίδου Ἀρχελάῳ* (fr. 246 N.[2]).

Νεανίας τε καὶ πένης σοφός θ' ἅμα,
ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως.

10 (5 Mein.) *Τοῦ αὐτοῦ Δίκτυϊ* (fr. 344 N.[2]).

Νέος, πόνοις δέ γ' οὐκ ἀγύμναστος φρένας.

11 *Κρατῖνος ἐν Εὐνείδαις* (fr. 65 K.).

Ἥβης ἐκείνης, νοῦ δὲ τοῦδε καὶ φρενῶν [κατάλληλος].

12 *Θεόγνιδος* (629 s.).

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρός,
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

---

1 ecl. cum lemm. hab. S M A L ‖ 2 *βλέψῃς* ex *βλέψεις* correxisse videtur A[1]. *μὴ τοῦτ' ἐλέγξῃς* prop. Meineke flor. v. IV p. LXXI, sed rectius iudicavit hist. cr. com. p. 295 et ad Theocr. p. 331 impugnans Cobeti audaciam ‖ 3 *φέρω* ci. Bentley, *λέγω* Cobet ‖ 4 ecl. cum lemm. hab. S (post ecl. 2 Mein.) M A (post ecl. 9 Mein.) fabulae nomine omisso L (post ecl. 2 Mein.) ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 9 Mein.) M A (post ecl. 3 Mein.), om. L . cf. Men. monost. 705. Meyer *Urbin. samml.* p. 442 ‖ 9 ecl. cum lemm. hab. S L (post ecl. 3 Mein.) M A (post ecl. 10 Mein.); *ἀρχελ^α* S *ἀρχελάου* M *ἀρχελάω* A, fab. nom. om. L ‖ 10 *θ' ἅμα* L *τ' ἅμα* S M *ἅμα* A ‖ 11 *ἐνθυμήσεων* A ‖ 12 ecl. cum lemm. hab. M A, om. S L; *εὐριππίδου* M *τοῦ αὐτοῦ* A ‖ 13 *πόνοισι δ'* Musgrave | *χέρας* pro *φρένας* ci. Meineke ‖ 14 ecl. cum lemm. hab. S (post ecl. 10 Mein.) M A (post ecl. 5 Mein.) L (post ecl. 9 Mein.); *κρατίνου* nec plura S *ρατίνου* compend. L ubi *κ* omissum (rubro addendum) nec additur fabulae nomen. *κρατίνος ἐν εὐνίδαις* M A ‖ 15 nescio an adscripserit quispiam ⟨*σύνθεσις*⟩ *κατάλληλος* sim., *κατάλλ.* seclusit Grotius. cf. Iulianus Misop. p. 339 d *ὅπερ ὑμεῖς ὁρῶντες ὀλίγῳ πρότερον ἀναμιμνήσκεσθε νῦν ἥβης ἐκείνης νοῦ τ' ἐκείνου καὶ φρενῶν.* Synesius epist. 130 p. 717 Herch. *στένομεν μεμνημένοι ἥβης τ' ἐκείνης νοῦ τ' ἐκείνου καὶ φρενῶν* ‖ 16 ecl. cum lemm. hab. S M A L ‖ 18 *εἰς* L

13 *Πλάτωνος ἐκ τοῦ Θεαιτήτου* (p. 146 B).

Τῷ γὰρ ὄντι ἡ νεότης εἰς πᾶν ἐπίδοσιν ἔχει.

14 *Πλάτωνος Νόμων β'* (p. 662 B).

Τὸ δὲ τοσόνδε οἶδα, ὅτι πᾶν ζῷον ὅσον αὐτῷ προσήκει νοῦν ἔχειν τελεωθέντι, τοῦτον καὶ τοσοῦτον οὐδὲν ἔχον ποτὲ φύεται· ἐν τούτῳ δὴ τῷ χρόνῳ ἐν ᾧ μήπω κέκτηται τὴν οἰκείαν φρόνησιν, πᾶν μαίνεταί τε καὶ βοᾷ ἀτάκτως, καὶ ὅταν ἀκταινώσῃ ἑαυτὸ τάχιστα, ἀτάκτως αὖ πηδᾷ.

15 (16 Mein.) *Πλάτωνος Νόμων ια'* (p. 929 C).

Τὰ γὰρ τῶν νέων ἤθη πολλὰς μεταβολὰς ἐν τῷ βίῳ μεταβάλλειν ἑκάστοτε πέφυκε.

16 (15 Mein.) *Θεοφράστου.*

Χαλεπὸν καταμαντεύεσθαι περὶ τῶν νέων· ἀστόχαστος γὰρ ἡλικία καὶ πολλὰς ἔχουσα μεταβολὰς ἄλλοτε ἐπ' ἄλλο φερομένη.

17 (18 Mein.) *Ὁμήρου* (Il. III 108).

Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.

18 (17 Mein.) *Πλάτωνος ἐκ τοῦ Συμποσίου* (p. 181 D).

---

1 ecl. cum lemm. hab. S M A L; *πλα*^{τ} *ἐν Θεαιτη*^{τ} S. *θελητήτου* M ‖ **3** ecl. cum lemm. hab. S M A L ‖ **4** *τόδε* M L sed *τ* om. rubro addendum L ‖ **5** *ἔχει* L ‖ **6** *ἐν τούτῳ δὴ τῷ χρυσοστόμῳ ἐν ᾧ* L ‖ **7** *κέκτησαι* Tr. | *οἰκίαν* A ‖ **8** *καὶ ὅταν — ἀτάκτως* in margine A[1] | *ὅταν ἀκταινώσῃ* L *ὅτἀνακταινώσῃ* S *ὅταν ακταινώσῃ* M *ὅταν* (vel *ὅτ' ἂν*) *ἀκταινῶ*^{σι} A. non discrepat igitur Stobaei memoria a Platonis cod. Paris. 1807. alii coniecerunt alia | ante *τάχιστα* distinguendi nota in S ‖ **10** ecl. cum lemm. S (post ecl. 15 Mein.) M A L (post ecl. 14 Mein.); *τοῦ αὐτοῦ* pro *Πλάτωνος* A, nil nisi ⟨*Π*⟩*λάτωνος*, ubi *Π* om. rubro addendum L ‖ **13** ecl. cum lemm. hab. S (post ecl. 14 Mein.) M A (post ecl. 16 Mein.) sine lemmate L (post ecl. 16 Mein.). fortasse ad Theophrasti *Περὶ γήρως* librum hoc fragmentum pertinere conieci proleg. Telet.[2] p. CVIII ‖ **15** *ἀλλοτἐπάλλο* sed *o* (in *ἄλλο*) ex *ω* corr. M[1] *ἄλλοσε ἐπ' ἄλλω* L ‖ **17** ecl. sine lemm. hab. S (post ecl. 17 Mein.) addito lemmate M A L (post ecl. 15 Mein.); lemma in S fortasse periit sub *ἐπισήμῳ μζ'* quod scripsit m. rec. ‖ **19** ecl. cum lemm. hab. S (post ecl. 16 Mein.) M A L (post ecl. 18 Mein.); ⟨*Π*⟩*λάτωνος* nec plura pro lemmate L

Χρῆν δὲ καὶ νόμον εἶναι μὴ ἐρᾶν παίδων, ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο. τὸ γὰρ τῶν παίδων τέλος ἄδηλον οἷ τελευτᾷ κακίας καὶ ἀρετῆς ψυχῆς τε πέρι καὶ σώματος.

---

1 *νόμων* Tr. | *παῖδας* prop. Markland ‖ 2 *ἄδειλον πολλῇ σπουδῇ* L | *ἀναλίσκετο* M ‖ 3 *καὶ* S A L, Plat.: *ἢ* M Tr.

CAPVT XII.

ΨΟΓΟΣ ΤΟΛΜΗΣ ΣΤΡΑΤΕΙΑΣ ΚΑΙ ΙΣΧΥΟΣ.

1 *Μενάνδρου* (fr. 145 K.).
Οἴκοι μένειν χρὴ καὶ μένειν ἐλεύθερον.
2 (7 Mein.) *Ἀπολλοδώρου Παιδίου* (fr. 10 K.).
Ταχύ γε στρατιώτης γέγονας ἀντ᾽ ἐλευθέρου.
3 (2 Mein.) *Μενάνδρου Παρακαταθήκη* (fr. 382 K.).
Στρατεία δ᾽ οὐ φέρει περιουσίαν
οὐδεμί᾽, ἐφήμερον δὲ καὶ προπετῆ βίον,
οὗ πεῖραν ἔχομεν ὄντος οὐ σωτηρίου.

---

2 *Ψόγος τόλμης στρατείας* (*στρατιᾶσ* MA) *καὶ ἰσχύος* S M A Mac. *Περὶ στρατείας καὶ ἰσχύος* Tr.: om. Photius in summario. quod autem coniecerat Wachsmuth *Stud. zu den gr. flor.* p. 48 s. uno titulo comprensa esse a Photio caput *Ἔπαινος τόλμης* et *Ψόγος τόλμης κτἑ.*, id refutatur tam eo, quod ipse dicit Photius quarti libri capita esse quinquaginta octo, quam Vindobonensis libri numeris vetustioribus cum ipso Photio congruis. accuratius rem exposui Stob. III proleg. p. XII s. numerum *μζ'* hoc loco adicit S *να'* Tr. *ξδ'* M A Mac. ‖ 3 ecl. cum lemm. hab. S M A. eclogas 1. 2. 3 Mein. per *μενάνδρου* lemma in marg. comprendit S. magis integra ecloga legitur fabulae quoque nomine addito Stob. III 39, 11 p. 724, 1 ubi vide quae adnotavimus. cf. etiam Elteri De gnomol. Gr. hist. atque orig. commentat. ramenta (Bonnae ed. a. 1897) p. 20 ‖ 5 ecl. cum lemm. hab. S (post ecl. 6 Mein.) M A (post ecl. 1); *παιδίου* S M *παιδίων* A; unde *Παιδίῳ* prop. Gaisford ‖ 6 *δὲ* pro *γε* A ‖ 7 ecl. cum lemm. hab. S (post ecl. 1) M A (post ecl. 7 Mein.). *παρακαταθήκη* libri, compendiose etiam S, malueris *παρακαταθήκῃ* vel *-ης*. de S vide ad ecl. 1 ‖ 8 *στρατεία* S *στρατία* M A ‖ 9 *οὐδεμί᾽* Bentley: *οὐδεμίαν* (*οὐδὲ μίαν* M) S M A ‖ 10 *οὐ πειραν* (sine acc.) *ἔχομεν* S | *ἔχομεν οντοσ οὐ* M *ἐχόμενον τοῦ* compendiose A

4 (3 Mein.) *Μενάνδρου Σικυωνίῳ* (fr. 439 K.).

Εὐλοιδόρητον, ὡς ἔοικε, φαίνεται
τὸ τοῦ στρατιώτου σχῆμα καὶ τὸ τοῦ ξένου.

5 (4 Mein.) *Ἀπολλοδώρου ἐξ Ἀφανιζομένου* (fr. 2 Com. III p. 289 K.).

Στρατιώτην ἔργον ἄχρι γήρως λαβεῖν
ἔστιν διευτυχηκότ', ἂν μὴ δειλὸς ᾖ.

6 (5 Mein.) *Μενάνδρου Ἀσπίδος* (fr. 76 a b K.).

Στρατιώτην, Σμικρίνη, σωτηρίας
ἔστ' ἔργον εὑρεῖν πρόφασιν, ὀλέθρου δ' εὔπορον.

7 (8 Mein.) *Φιλήμονος* (fr. 155 K.).

Στρατιῶτα, κοὐκ ἄνθρωπε, καὶ σιτούμενε
ὥσπερ ἱερεῖον, ἵν' ὅταν ᾖ καιρὸς τυθῇς.

8 (9 Mein.) *Ἀντιφάνους* (fr. 266 K.).

Τίς δ' οὐχὶ Θανάτου μισθοφόρων, ὦ φιλτάτη,
ὃς ἕνεκα τοῦ ζῆν ἔρχετ' ἀποθανούμενος;

9 (6 Mein.) *Μενάνδρου* (fr. 732 K.).

Κομψὸς στρατιώτης οὐδ' ἂν εἰ πλάττοι θεὸς
οὐθεὶς γένοιτ' ἄν.

10 *Ἰσοκράτους πρὸς Δημόνικον* (2, 6).

Ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψε, καὶ τὰ μὲν σώματα

---

1 ecl. cum lemm. hab. S M A; *σικυωνι̅* S *σικυωνί* M *σικυω*^α A ‖ 2 *ὡς* supra lin. A[1] ‖ 3 *τοῦ* om. A ‖ 4 ecl. cum lemm. hab. M A, om. S; *ἐξαφαν-* A ‖ 7 *εστιν* M *ἔστε* A | *διηυτυχηκότ'* editores Com. ‖ 8 ecl. cum lemm. hab. M A, om. S ‖ 9 *Σμικρίνη* Bentley: *σμικρὴν η* A *σμικρὸν ἡ* M ‖ 11 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) M A (post ecl. 5 Mein.) ‖ 13 *ὡς τὰ ἱερεῖα* S M A: corr. Porson ‖ 14 ecl. cum lemm hab. S M A ‖ 15 *μισθοφόρων* S M A; *μισθοφόρος* tacite scr. Gesn.[1] *τί δ'; οὐχὶ θανάτῳ μισθοφορῶν ὀφείλεται* vel *τίς δ' οὐχὶ θανάτου μισθοφορῶν ὀφειλέτης* prop. Iacobs lect. Stob. p. 97 s. *τίς δ' οὐχὶ θανατᾷ μισθοφόρος, ὦ φιλτάτη* Cobet N. l. p. 135 *τί δ'; οὐχὶ Θανάτου μισθοφορῶν, ὦ φιλτ.* ex parte Iacobsio obsecutus Vsener ad Epicur. fr. 497 ‖ 17 ecl. cum lemm. hab. S (post ecl. 3 Mein.) M A (post ecl. 9 Mein.). sententia fort. a *Περικειρομένης* argumento non aliena ‖ 18 *οὐδ' ἂν* (*οὐδὰν* M) *εἰ πλάττοι* S M *οὐδ' ἂν πλάττῃ* A idque *οὐδ' ἐὰν πλάττῃ* intellegit Gaisford ‖ 20 ecl. cum lemm. hab. S (post ecl. 9 Mein.) M A (post ecl. 6 Mein.). testimonia collegit Drerup Iso ‖ cr. I p. 35 22 *μὲν* om. Tr. | *σώματα τῶν*] *σωμα των* M

τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν.

11 *Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ φιλίας* (Plutarchi v. VII p. 116, 8 Bernard.).

Ἔτι δὲ κολάσεως ἀπαραίτητος φόβος αἴτιός ἐστιν ἀπονοίας· ὁ γὰρ ὄλεθρον αὑτοῦ προλαβὼν ὁμόσε χωρεῖ κινδύνοις.

12 *Ἀρχιδάμου.*

Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς θεασάμενος τὸν ἴδιον παῖδα Ἆγιν προπετῶς μαχόμενον τοῖς Ἀθηναίοις εἶπεν 'ἢ τῇ δυνάμει πρόσθες ἢ τοῦ θράσους ἄφελε'.

13 *Κλειτάρχου* (fr. 26 Muell.).

Κλείταρχος ὁ ἱστοριογράφος εἶπε 'πᾶσα τόλμη καὶ τὰ τῆς δυνάμεως ὑπερβαίνει μέτρα'.

14 *Πλουτάρχου ἐκ τοῦ Κατ' ἰσχύος* (Plut. v. VII p. 129 Bernard.).

Τί δέ σοι τοιοῦτον ἀγαθὸν εὐτυχεῖται μᾶλλον, ὡς ἕνεκα τούτου μητρυιὰν μὲν τῶν ἀνθρώπων, μητέρα δὲ τῶν ἀλόγων ζῴων γεγενῆσθαι τὴν φύσιν, μεγέθους καὶ ὠκύτητος καὶ ὀξυωπίας χάριν; ἡ δὲ ἀνθρώπων ἴδιος ἰσχὺς

---

3 ecl. cum lemm. hab. S M A; *ἐκ τῆς περὶ φιλίας ἐπιστολῆς* S. *Πλουτάρχου* indidit ante *ἐκ* Meineke recte, quamquam erravit de Tr., nam *Πλουτάρχου* quod ibi legitur pertinet ad ecl. 14 ‖ 5 *δὲ* om. A ‖ 8 ecl. sine lemm. hab. S, addito lemmate M A. convenit ecloga cum gnomol. Paris. 73 Sternb. *Ὁ αὐτὸς* (sc. *Ἀρχίδ. ὁ Ἀγησιλάου*) *θεασάμενος κτέ.*, etiam cum gnomol. Vat. 60 Sternb., minus multo cum Ps.-Plutarchi apophth. Lac. p. 218 E ubi legitur *θεασάμενος* (sc. *Ἀρχίδ.*) *δὲ τὸν υἱὸν προπετῶς μαχόμενον Ἀθηναίοις 'ἢ τῇ δ. πρ.' ἔφη 'ἢ τοῦ φρονήματος ὕφες'.* etiam eclogam 12 ad Plutarchi de amicitia epistulam rettulit Wyttenbach, cui adstipulatus est Bernardaces vol. VII p. 116. dubito num recte ‖ 10 *Ἆγιν* Sternbach in gnomol. Par. ubi *Ἄγιν* cod., *ἄγειν* S *ἄγαν* M *ἄγην* sed supra syll. extr. compendium quod non extrico A, om. gnomol. Vat. ceterum conferatur etiam append. Vat. 16 Sternb. ‖ 13 ecl. sine lemm. hab. S, addito lemmate M A ‖ 14 ante *καὶ* lacunam signavit Meineke ‖ 16 ecl. cum lemm. hab. S M A; *κατὰ* M. hausit e Stoico Plut., cf. Seneca ep. 124, 22 s. al. ‖ 18 *τί δαί* SA ‖ 21 *ὠκύτητος* scripsi: *ὀξύτητος* libri

ὁ ψυχῆς ἐστὶ λογισμός, ᾧ καὶ ἵππους ἐχαλίνωσε καὶ βόας ἀρότροις ὑπέζευξε καὶ ἐλέφαντας ὑπὸ δρυμὸν εἷλε ποδάγραις καὶ τὰ ἐναέρια κατέσπασε καλάμοις καὶ τὰ βύθια δεδυκότα δικτύοις ἀνήγαγε· τοῦτ' ἐστὶν ἰσχύς. ἡ δὲ ἔτι μείζων, ὅταν γῆς περιόδους καὶ οὐρανοῦ μεγέθη καὶ ἀστέρων κύκλους διώκουσα μὴ κάμῃ· ταῦτ' ἦν Ἡρακλέους ἄξια. τίς γὰρ οὐκ ἂν βούλοιτο μᾶλλον Ὀδυσσεὺς εἶναι ἢ Κύκλωψ;

15 *Ἀράτου.*

Ἄρατος ὁ Σικυώνιος, ἐπαινοῦντός τινος ἄνθρωπον ἀπονενοημένον καὶ θρασὺν καὶ διὰ τοῦτο καὶ ἐν τοῖς πολέμοις ἐκπρεπῆ, 'διαφέρειν' ἔφη 'τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν εἶναι νομίζειν καὶ τὸ ζῆν τοῦ μηδενός.'

16 *Εὐσεβίου* (fr. 55 Mull.).

Ἄνθρωποι ἰσχὺν καὶ ῥώμην καὶ τάχος μοῦνα ἀσκέοντες, καὶ ὅκως ταῦτα ἔχοντες ἀπὸ μούνων τούτων εὐδοκιμέωσιν ἐσπουδακότες, τοῦ [δὲ] τῆς ψυχῆς ἐπιμέλεσθαι [οὗ] ἕκητι γινόμενοι ἀγνοεῦσι, [καὶ] τούτων μὲν ὁκόσα κοινὰ πρὸς θηρία ἔχουσι καὶ τῶν πολλῶν ἀσθενέστερα, τούτων μὲν ἐπιμελόμενοι, τοῦ δὲ ἐν ἑωυτοῖσι θειοτάτου καὶ κατότι αὐτοῖς ἔστιν εἰ οἷόν τε τοῖς θεοῖς ἐξομοιεῦσθαι, ἀμελέοντες.

---

1 *ψυχῆς τ' ἐστὶν* M | *ᾧ* tacite Gesn.[1]: *ὃ* M A, supra lin. S[1]; *ὡς* ci. Elter ‖ **2** s. v. *καὶ ἐλέφαντας — ποδάργαις* (sic S) collocata sunt ante v. *καὶ ἵππους — διέζευξε* in S | v. *ἐλέφ. — ποδάγραις* tamquam poetae versum signavit Meineke | *ποδάγραις* tacite Gesn.[1]: *ποδάγραι* A *ποδάργαις* S M. *ποδάγρᾳ* Duebner ‖ **3** *ἐναέρια* Tr.: *ἐν ἀέρια* S *ἐν ἀέρι* M A | *κατεσπασε* sine acc. S ‖ **5** *μείζων* ex *μεῖζον* ut videtur corr. M[1] ‖ **8** ecl. sine lemm. hab. S, addito lemmate M A ‖ **9** *Σϊκυώνιοσ* M sed *ϊ* in ras. M[2] ‖ **13** ecl. cum lemm. hab. S M A ‖ **15** *μούνων τούτων* S M A *τούτων μούνων* Tr. | *εὐδοκιμέωσι* Mullach ‖ **16** *δὲ* et *οὗ* seclusit Halm lect. Stob. p. 36 | *ἐπιμελέεσθαι* A ‖ **17** *οὗ*] *ὡς* A | *ἕκητι* Meineke: *ἕκατι* S M A | *γιγνόμενοι* S M A; *γενόμενοι* vel *γεγενημένοι* prop. Meineke | *καὶ* seclusit Meineke, mihi suspecta etiam *τούτων* (*τῶν* ci. Meineke) *μὲν* ‖ **18** *καίτοι πολλῶν* ci. Meineke | *ἀσθενέστερα* ci. Meineke: *-τερον* libri ‖ **19** *ἐπιμελόμενοι* S *ἐπιμελώ-* M *ἐπιμελού-* A ‖ **20** *κατότι* (sine acc. M) S M A. *κατ' ὅ τι* divisim Meineke | *αὐτοῖσι — τοῖσι — θεοῖσι* Meineke | *ἔστιν* S M A | *ἐξομοιεῦσθαι* Halm lect. Stob. p. 36: *ἐξομοιεύεσθαι* S M A *ἐξομοιόεσθαι* tacite Gesn.[2] p. 359

17 *Τοῦ αὐτοῦ* (fr. 56 Mull.).

Θάρσος τὸ πρὸς τὰ φοβερὰ σὺν λόγῳ αἴνεε· ἀνδρηίη γάρ· τὴν δὲ μετὰ ἀλογίης ἐπ' αὐτὰ ὁρμὴν θράσος νόμιζε καὶ ἀποστύγεε.

---

1 ecl. cum lemm. hab. S M A. cf. Aristippus ap. schol. Apollon. Rhod. II 77; Ammon. Valckenaeri p. 71 ‖ 2 *θράσος* sed superscr. *θαρ* S[1] | *ἀνδρηίη* Meineke: *ἀνδρήϊα* (sine acc. M) S (?) M A Tr. ‖ 4 *ἀπόστυγε* A

CAPVT XIII.

ΠΕΡΙ ΣΤΡΑΤΗΓΩΝ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΠΟΛΕΜΟΝ ΧΡΕΙΩΝ ΥΠΟΘΗΚΑΙ.

1 (Trag. adesp. 539 N.[2])

Γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις τροφοί.

2 (trag. adesp. 540 N.[2])

Βουλαὶ τάδ' ἐξέπραξαν, οὐ χερῶν σθένος.

3 (5 Mein.) *Εὐριπίδου Ἀντιόπῃ* (fr. 200 N.[2]).

Γνώμῃ γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα.

---

2 Inscriptio non variatur nisi quod *καὶ περὶ — χρειῶν* om. Mac., *ὑποθῆκαι* om. in capitum conspectu codici praemisso M. numerum *μη'* addit S *νβ'* Tr. *ξε'* M A Mac. ‖ 4 ecl. sine lemm. hab. S M A. eclogae 3 Mein. lemma *Σοφοκλέους* huc falso retraxit Tr. p. 329, inde vulg., Euripidi dedi apud Nauckium. ab Euripide enim exordium sumere solet Stobaeus, et Euripidem redolet iunctura *τῶν ἐν ἀνθρώποις.* cf. Schroeder de iteratis p. 82 ‖ 5 *τροφοι* sine acc. S ‖ 6 ecl. sine lemm. hab. cum priore coniunctam S M A: separavit Gesn.[2] p. 359. habet aliquid Euripidei coloris versus, cf. Iph. Aul. 387 s. ‖ 7 *τάδ'* S M A[2] *τὰ δ'* A[1] *τάγ'* Tr. ‖ 8 ecl. cum lemm. hab. S (post ecl. 4 Mein.) M A (post ecl. 2 Mein.). ex Chrysippi copiis hos versus in veterum gnomologia pervenisse demonstravit Sexti Empirici ope (p. 663, 8) Elter De gnomol. Gr. hist. atque orig. part. I p. 9 ss. omisso fab. nom. afferunt Plutarchus de vita et poesi Hom. vol. VII p. 425, 12 Bernard. et Orion anthol. IX 17 p. 57. initium loci respiciunt Diogenes cynicus ap. Diog. Laert. VI 104, Ps.-Epictetus Stobaei IV 5, 82 H., Clemens Al. strom. II p. 484 P. ‖ 9 *γνώμαις* Plut. Epict. Diog. Laert. *βουλαῖς* Clem. | *ἀνδρὸς* Stobaei libri, Plut.: *ἀνδρῶν* Or. Diog. Ps.-Epict. ‖ 10 *εἴς τ'* Stob. Or., *εἰς δ'* Plut.

σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία πλέον κακόν.

4 (6 Mein.) *Εὐριπίδου Αἰόλῳ* (fr. 27 N.[2]).

Βραχύ τοι σθένος ἀνδρός,
ἀλλὰ ποικιλίαι πραπίδων.

5 (7 Mein.) *Τοῦ αὐτοῦ Βελλεροφόντῃ* (fr. 290 N.[2]).

Ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει
ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ.

6 (8 Mein.) *Εὐριπίδου Παλαμήδει* (fr. 581 N.[2]).

Στρατηλάται τἂν μυρίοι γενοίμεθα,
σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ.

7 (3 Mein.) *Σοφοκλέους* (fr. 853 N.[2]).

Γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος χερῶν.

---

1 hunc et sequentem versum fabulae nom. omisso citant Philo v. 2 p. 343 schol. B T Il. II 372, eosdem sed poetae et fab. nomine omisso Galenus vol. 1 p. 35 et Sextus Empir. p. 663, 8 verba *σοφὸν — νικᾷ* (fabulae vel etiam poetae nomine detracto) laudarunt permulti, de Polybio I 35, 4 vide Elteri De gnomol. Gr. hist. atque orig. commentationis ramenta (Bonnae ed. a. 1897) p. 8 qui p. 13 testimoniis Nauckii diligentia collectis addidit Philodemum de rege (mus. Rhen. XLII p. 199). tacuit consulto Nauck iterari distichon etiam apud Maxim. c. 37 p. 629 (*Εὐριπ.*) Combef. Anton. c. 68 p. 133 (*Εὐρ.*). denique conferatur corp. Par. 466 Elt. (*Διοδώρου*) *σοφὸν γὰρ βούλευμα ὑπὲρ χεῖρας πολλὰς καὶ κρείσσων σοφὸς ἰσχυροῦ* | *ἓν βούλευμα* testes plerique, velut Philod. Plutarchus an seni res p. ger. p. 790 A: *εὐβούλευμα* S M A *εὖ βούλευμα* Or. | *σοφὰς* pro *πολλὰς* Or. | *χέρας* Tr.: *χεῖρας* S M A[1] ‖ 2 *σὺν ὅπλοις* Galen. | *πλέον* S M A: *χεῖρον ἢ* Galenus *μεῖζον* Philo *πλεῖστον* ceteri ‖ 3 ecl. cum lemm. hab. S M A. magis integrum adfert locum Plutarchus de fortuna p. 98 E poetae et fab. nom. om.: *ἢ βραχύ τοι σθένος ἀνέρος· ἀλλὰ ποικιλίᾳ πραπίδων δεινὰ μὲν ⟨φῦλα⟩ πόντου χθονίων τ' ἀερίων τε δάμναται βουλεύματα*, Euripidis mentione facta idem de soll. an. α'' p. 959 D ‖ 6 ecl. cum lemm. hab. S M A ‖ 8 *δέδοικ σθενοῦς* A ‖ 9 ecl. cum lemm. hab. S M A ‖ 10 *τἂν* A *τ' ἂν* S *τ'ἀν* M | *γενοίμεθα* S M A *γενοίατο* prop. Meineke, *γένοινθ' ἅμα* ego act. soc. philol. Lips. II p. 38 ‖ 12 ecl. cum lemm. hab. S (post ecl. 2 Mein.) M A (post ecl. 8 Mein.) ‖ 13 *γνῶμαι πλέον σθένουσιν ἢ κράτος χερῶν* prop. Nauck | *χειρῶν* A

8 (9 Mein.) *Εὐριπίδου Ῥήσῳ* (105—8).

Εἴθ᾽ ἦσθ᾽ ἀνὴρ εὔβουλος ὡς δρᾶσαι χερί.
ἀλλ᾽ οὐ γὰρ αὐτὸς πάντ᾽ ἐπίστασθαι † χερὶ
πέφυκεν· ἄλλῳ δ᾽ ἄλλο πρόσκειται γέρας,
σὲ μὲν μάχεσθαι, τοὺς δὲ βουλεύειν καλῶς.

9 (23 Mein.) *Μενάνδρου* (fr. 640 K.).

Ὅστις στρατηγεῖ μὴ στρατιώτης γενόμενος,
οὗτος ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις.

10 *Εὐριπίδης Ἀρχελάῳ* (fr. 243 N.²).

Ὀλίγον ἄλκιμον δόρυ
κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος.

11 *Ἐν ταὐτῷ* (fr. 242 N.²).

Ἔχει δὲ καὶ τοῦτ᾽ οὐχὶ μικρόν, εὐγενὴς
ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ᾽ ἔχων φάτιν.

12 *Εὐριπίδου Ἐρεχθεῖ* (fr. 352 N.²).

Ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ
στρατηλάτας χρή, τῶν θεῶν δὲ μὴ βίᾳ.

13 *Ἐν ταὐτῷ* (fr. 353 N.²).

Οὐδεὶς στρατεύσας ἄδικα σῶς ἦλθεν πάλιν.

14 *Εὐριπίδου* (fr. 1053 N.²).

Μισῶ δ᾽ ὅταν τις καὶ χθονὸς στρατηλάτης
μὴ πᾶσι πάντων προσφέρῃ μειλίγματα.

---

1 ecl. cum lemm. hab. S (post ecl. 8 Mein.) M A (post ecl. 3 Mein.), *ῥήσσω* M A ‖ 2 *σύμβουλος* Tr. ‖ 3 *ἐπίστασθε* S | *χερὶ* e praegresso versu repetunt S M A: *βροτῶν* Ps.-Eur. ‖ 5 *σοὶ μὲν — τοῖς δὲ* Christ. pat. 2370 | *δουλεύειν* M ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 22 Mein.) M A (post ecl. 9 Mein.) ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 9 Mein.) M A (post ecl. 23 Mein.) ‖ 11 *στρατηγοῦ* S M A; *στρατηγῷ* Grotius. exspectes *πονηροῦ* sim. ‖ 12 ecl. cum lemm. hab. S M A. recurrit ecloga cum lemmate *ἐν ταὐτῷ* (sc. Eur. Archel.) infra flor. 88, 4 Mein. ‖ 13 *φέρει* Stob. infra ‖ 14 *ἀνὴρ γὰρ* M ‖ 15 ecl. cum lemm. hab. S M A ‖ 18 ecl. cum lemm. hab. M A, om. S ‖ 19 *αδεικα σωσ* M *ἀδικάστως* compend. A: corr. Gesn.² | *ἦλθε* A ‖ 20 ecl. cum lemm. hab. S M A ‖ 22 *πάντως* ci. Gesn.² p. 360 mrg. | *προσφέρῃ* S *προσφέρει* M *προφέρῃ* A

14[b] (14 cont. Mein.: Eur. Belleroph. fr. 287 N.[2])

Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' οὑντυγχάνων,
τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς.

15 (4 Mein.) *Ἀγάθωνος* (fr. 27 p. 768 N.[2]).

Γνώμη δὲ κρεῖσσόν ἐστιν ἢ ῥώμη χερῶν.

16 (15 Mein.) *Εὐριπίδου Τημένῳ* (fr. 743 N.[2]).

Τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς
γνῶναι τὸν ἐχθρὸν ᾗ μάλισθ' ἁλώσιμος.

17 (16 Mein.) *Ἐν ταὐτῷ* (fr. 744 N.[2]).

Ἄρξεις ἄρ' οὕτω· χρὴ δὲ τὸν στρατηλάτην
ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν.

18 (17 Mein.) *Εὐριπίδου Τημενιδῶν* (fr. 732 N.[2]).

Ῥώμη δέ γ' ἀμαθὴς πολλάκις τίκτει βλάβην.

19 (18 Mein.) *Εὐριπίδου Φοινίσσαις* (599).

Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων ἢ θρασὺς στρατηλάτης.

20 (19 Mein.) *Εὐριπίδου ἐκ Βελλεροφόντου* (fr. 289 N.[2]).

Νείκη γὰρ ἀνδρῶν φόνια καὶ μάχας χρεὼν

---

1 ss. diremi a praegressis cum quibus cohaerent sine lemmate in SMA. iteratur ecloga addito lemmate *Εὐρ. Βελλεροφόντου* infra flor. 108, 20 Mein. poetae et fabulae nomine omisso affert versus Plutarchus de tranqu. an. p. 467 A, sine fabulae nom. Plut. de vita et poesi Hom. c. 153 vol. VII p. 424 Bernard. verba *τοῖς πρ. — οὐδέν* sine poetae et fab. nom. Marcus *Εἰς ἑαυτόν* 7, 38, idem 11, 6 v. *τοῖς πρ. — θυμοῦσθαι* ‖ 2 *μέλλει* S A hic, infra M | *ἄλλ' οὖν τυγχάνον* S *ἄλλ οὖν τυγχάνων* (et sic fere libri 108, 20) M *ἄλλον τυγχάνων* A: corr. Valckenaer. *ἀλλ' ὁ τυγχάνων* libri Plut. ‖ 4 *ἂν* Plut. | *πράσσῃ* S utrobique ut infra M. *πράξει* libri Plut. p. 467 A ‖ 5 ecl. cum lemm. hab. S (post ecl. 3 Mein.) M A (post ecl. 14 Mein.) ‖ 6 *κρείσσων* Frob. p. 224, inde Gesn.[1] | *ἐστιν* ex *ἐστη* corr. S[1] ‖ 7 ecl. cum lemm. hab. S (post ecl. 14 Mein.) M A (post ecl. 4 Mein.), *τιμένω* M A ‖ 8 *τὸ δ' εὖ στρ.* prop. Nauck | *τοῦτ' ἐγὼ* cod. Voss. *τοῦτο τ' ἐγὼ* S M A ‖ 9 *ἐχρὸν* S | *ᾗ* Frob. p. 225, *ῇ* Gesn.[1]: *εἰ* libri | *μάλιστ'* S 10 ecl. cum lemm. hab. S M A ‖ 11 *ἄρ'* S M: *γὰρ* A idque olim frustra receperunt ‖ 13 ecl. cum lemm. hab. S M A; *τημενίδων* compend. S *τιμενίσιν* (*-ίσι* A) M A. scripsi *Τημενιδῶν* ‖ 14 *δέ τ'* S M A: *δέ γ'* Matthiae; *γὰρ* F. G. Schmidt ‖ 15 ecl. cum lemm. hab. S M A ‖ 17 ecl. cum lemm. hab. S M A ‖ 18 *νίκη* S M A: corr. Musgrave | *φονία* S M A: corr. Grotius Dict. poet. p. 207 | *χρεὼν* Meineke: *χερῶν* S M A

δόλοισι κλέπτειν· τῆς δ' ἀληθείας ὁδὸς
φαύλη τίς ἐστι· ψεύδεσιν δ' Ἄρης φίλος.

21 (20 Mein.) *Εὐριπίδου Ἑλένης* (811).

Εἴσῃ· τὸ τολμᾶν δ' ἀδύνατ' ἀνδρὸς οὐ σοφοῦ.

22 (21 Mein.) *Σοφοκλέους Ἀλεάδων* (fr. 82 N.[2]).

Δοκῶ μέν, οὐδείς. ἀλλ' ὅρα μὴ κρεῖσσον ᾖ
καὶ δυσσεβοῦντα τῶν ἐναντίων κρατεῖν
ἢ δοῦλον αὐτὸν ὄντα τῶν πέλας κλύειν.

23 (22 Mein.) *Εὐριπίδου Ἴωνι* (1045 ss.).

Τὴν δ' εὐσέβειαν εὐτυχοῦσι μὲν καλὸν
τιμᾶν· ὅπου δὲ πολεμίους δρᾶσαι κακῶς
θέλει τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος.

24 *Θουκυδίδου ἱστορίας α΄ δημηγορίας Κορινθίων* (124, 2).

Ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται, ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι οὐχ ὁμοίως ἀκίνδυνον.

25 *Ἱστορίας δ΄ δημηγορίας Δημοσθένους* (10, 1).

Ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται ὥσπερ τόδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα κινδύνου τοῦ ταχίστου προσδεῖται.

26 *Ξενοφῶντος ἐν β΄ τῆς Κύρου ἀναβάσεως* (6, 10).

Καὶ λέγειν αὐτὸν ἔφασαν ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντα ἢ τοὺς πολεμίους, εἰ μέλλοι ἢ

---

2 *ψευδεσσιν* sine acc. S *ψευδέσι* M ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 4 *εἴσῃ* Eur.: *ἴσθι* S M A | *τὸ* supr. lin. A[2] | *ἀδύνατον* libri Euripidei ‖ 5 ecl. cum lemm. hab. M A, om. S; *ἀλεάδων* M *ἀλεαιάδων* primo A ‖ 8 *δοῦλον*] *χρηστὸν* prop. Papageorgius, *δειλὸν* Nauck ‖ 9 ecl. cum lemm. hab. S M A; *Ἴωνι* Meineke: *ἰνοῖ* S A *οἰνοῖ* M ‖ 11 *ὅταν δὲ — θέλῃ* Eur. | *δράσας* A ‖ 12 *κεῖται* sup. lin. S[1] ‖ 13 ecl. cum lemm. hab. S (post ecl. 23 Mein.) M A (post ecl. 22 Mein.).
δ ο
Θουκν ἱστ α΄ nec plura S. recurrit paroemiogr. Gr. II p. 389, 11 Apostol. VI 88 b ‖ 15 *μὲν* primo om. sed superscr. A[1] | *μᾶλλον εἰρήνη* paroem. Gr. ‖ 17 ecl. cum lemm. hab. S M A; *Θουκυδίδου* quod tamquam ex A intulit Gaisford, om. libri, etiam *ἱστορίας* om. S. addere possis *Τοῦ αὐτοῦ.* v. *λογισμὸν κτὲ.* Thom. Mag. p. 116, 7 ‖ 18 *τάδε* Thuc., Th. Mag. | *λογισμὸν* A, Thuc., Th. Mag.: *λογισμῶν* S *λογισμὼν* M ‖ 19 *ἐκδεχόμενα* A | *αἰσχίστου* Tr. ‖ 20 ecl. cum lemm. hab. SMA, *παιδείας* (pro *ἀναβάσεως*) S sed *παι* ex *ἀ* corr. S[1]

φυλυκὰς φυλάξειν ἢ φίλων ἀφέξεσθαι ἢ ἀπροφασίστως ἰέναι εἰς τοὺς πολεμίους.

27 *Ξενοφῶντος ἐν γ' Ἀπομνημονευμάτων* (c. 1, 1. 5—11).

Ἀκούσας δέ ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, ἔλεγε πρός τινα τῶν συνόντων, ὃν ᾐσθάνετο βουλόμενον τῆς τιμῆς ταύτης ἐν τῇ πόλει τυχεῖν, ἵνα κἂν ἡμῶν τις ἢ ταξιαρχῇ ἢ λοχαγῇ σοι, ἐπιστημονέστεροι τῶν πολεμικῶν ὦμεν, λέξον ἡμῖν πόθεν ἤρξατό σε διδάσκειν τὴν στρατηγίαν. καὶ ὅς, Ἐκ τοῦ αὐτοῦ, ἔφη, εἰς ὅπερ καὶ ἐτελεύτα· τὰ γὰρ τακτικὰ ἐμέ γε καὶ ἄλλ' οὐδὲν ἐδίδαξεν. Ἀλλὰ μήν, ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας. καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις καὶ μηχανικὸν καὶ ἐργαστικὸν καὶ ἐπιμελῆ καὶ καρτερικὸν καὶ ἀγχίνουν καὶ φιλόφρονά τε καὶ ὠμὸν καὶ ἁπλοῦν καὶ ἐπίβουλον καὶ φυλακτικόν τε καὶ κλέπτην καὶ προετικὸν καὶ ἅρπαγα καὶ φιλόδωρον καὶ πλεονέκτην καὶ ἀσφαλῆ καὶ ἐπιθετικόν, καὶ ἄλλα πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν. καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι. πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον ἀτάκτου, ὥσπερ λίθοι τε καὶ πλίνθοι καὶ ξύλα καὶ κέραμος ἀτάκτως μὲν ἐρριμμένα οὐδὲν χρήσιμά ἐστιν, ἐπειδὰν δὲ ταχθῇ κάτω

---

1 *φυλακὰς* Xen.: *φύλακας* S M A ‖ 2 *εἰς* S M A om. Tr. *πρὸς* Xen. ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 5 quae in Xenophontis libris praecedunt *Ὅτι δὲ τοὺς ὀρεγομένους τῶν καλῶν ἐπιμελεῖς ὧν ὀρέγοιντο ποιῶν ὠφέλει, νῦν τοῦτο διηγήσομαι,* om. gnomologus ideoque mutavit *ἀκούσας γάρ ποτε,* quod est apud Xenophontem, in *ἀκούσας δέ ποτε.* non recte iudicavit L. Dindorf | *ἀκούσας — ἥκειν* Bekkeri Anecd. p. 373, 10 ‖ 6 *ἔλεξε* Xen. ‖ 8 quae post *τυχεῖν* offert Xenophon *Αἰσχρὸν μέντοι* (2) — *ἀτάρ, ἔφη* (5), ea recidit gnomologus | *καὶ ἐὰν* libri Xenophontis | *λοχαγῇ σοι* reposui e Xen.: *λοχαγήσοι* S M A sed e *λοχαγῆσοι* corr. S ‖ 14 *εἰς τὸν πόλεμον τὸν* Xen. ‖ 17 *καὶ ἁπλοῦν τε καὶ ἐπίβουλον* Xen. ‖ 20 *ἃ δεῖ* male libri Xenophontis ‖ 21 *εὐστρατηγήσοντα* M ‖ 22 *τοῦ ἀτάκτου* A

μὲν καὶ ἐπιπολῆς τὰ μήτε σηπόμενα μήτε τηκόμενα, οἵ τε λίθοι καὶ ὁ κέραμος, ἐν μέσῳ δὲ αἵ τε πλίνθοι καὶ τὰ ξύλα, ὥσπερ ἐν οἰκοδομίᾳ συντίθεται, τότε γίγνεται πολλοῦ ἄξιον κτῆμα, οἰκία. Ἀλλὰ πάνυ, ἔφη ὁ νεανίσκος, ὦ Σώκρατες, ὅμοιον εἴρηκας. καὶ γὰρ ἐν τῷ πολέμῳ τοὺς πρώτους ἀρίστους δεῖ τάττειν καὶ τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς χείρους, ἵνα ὑπὸ μὲν τῶν ἄγωνται, ὑπὸ δὲ τῶν ὠθῶνται. Εἰ μὲν τοίνυν, ἔφη, καὶ διαγιγνώσκειν σε τοὺς ἀγαθοὺς καὶ τοὺς κακοὺς ἐδίδαξεν· εἰ δὲ μή, τί σοι ὄφελος ὧν ἔμαθες; οὐδὲ γὰρ εἴ σε ἀργύριον ἐκέλευσε πρῶτον μὲν καὶ τελευταῖον τὸ κάλλιστον τάττειν, μέσον δὲ τὸ χείριστον, μὴ διδάξας διαγιγνώσκειν τό τε καλὸν καὶ τὸ κίβδηλον, οὐδὲν ἄν σοι ὄφελος ἦν. Ἀλλὰ μὰ Δί᾽, ἔφη, οὐκ ἐδίδαξεν, ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν. Τί οὖν οὐ σκοποῦμεν, ἔφη, πῶς ἂν αὐτῶν μὴ διαμάρτοιμεν; Βούλομαι, ἔφη ὁ νεανίσκος. Οὐκοῦν, ἔφη, εἰ μὲν ἀργύριον δέοι ἁρπάζειν, τοὺς φιλαργυρωτάτους πρώτους καθιστάντες ὀρθῶς ἂν τάττοιμεν; Ἔμοιγε δοκεῖ. Τί δὲ τοὺς κινδυνεύειν μέλλοντας; ἆρα τοὺς φιλοτιμοτάτους προτακτέον; Οὗτοι γοῦν εἰσιν, ἔφη, οἱ ἕνεκα ἐπαίνου κινδυνεύειν ἐθέλοντες. οὐ τοίνυν οὗτοί γε ἄδηλοι, ἀλλ᾽ ἐπιφανεῖς πανταχοῦ ὄντες

---

1 *ἐπιπολῆς* tacite e Xen. Gesn.[1] p. 350[v]: *ἐπιπολῇ* S A *ἐπὶ πολῇ* M ‖ 2 v. *ὥσπερ — τοὺς χείρους* in marg. habet A[1] et quidem sic *ὥσπερ συντίθεται ἐν οἰκοδομίᾳ, τότε γίγνεται πολλοῦ ἄξιον κτῆμα οἰκία. ἀλλὰ πάνυ ἔφη νεανίσκε τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς χείρους* ‖ **3** *συντίθενται* libri non nulli Xenophontis | *γίνεται* M ‖ **4** *ὁ νεανίσκος, ὅμοιον, ὦ Σώκρατες, εἴρηκας* melius Xen. ‖ **5** *τοὺς πρώτους* S M (de A vide ad 2): *τούς τε πρώτους* tacite Gesn.[1] e Xen. *τούς τε ἀρίστους δεῖ πρώτους τάττειν καὶ τελευταίους* Xenophontis cod. Parisinus 1740 ‖ **7** *χειρίστους* Xen. | *μὲν τῶν* Stob.: *μὲν αὐτῶν* libri Xenophontis | *ἄγωνται* sed *ω* ex *ο* corr. M[1] ‖ **10** *εἴ τε* A, erravit Gaisford ‖ **11** *τάττειν, ἐν μέσῳ δὴ* Xen. cf. Cobet N. l. p. 699 ‖ **12** *διαγινώσκειν* S ‖ **14** *ἐδίδαξεν* M A, Xen. *ἐδίδαξε* S *ἐδίδαξας* Tr. ‖ **15** *οὐ* om. A ‖ **16** *διαμάρτοιμεν* S M *διαμάρτημεν* A: *διαμαρτάνοιμεν* Xen. ‖ **19** *δὲ* Xen. *δαὶ* S M *γε* A ‖ **21** *ἐπαίνων* Xenophontis cod. Paris. 1740 | *ουτοι γε* sine sp. et acc. M

εὐαίρετοι ἂν εἶεν. Ἀτάρ, ἔφη, πότερά σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ ὅποι καὶ ὅπως χρηστέον ἑκάστῳ τῶν ταγμάτων; Οὐ πάνυ, ἔφη. Καὶ μὴν πολλά γ' ἐστὶ πρὸς ἃ οὔτε τάττειν οὔτε ἄγειν ὡσαύτως προσήκει. Μὰ Δί', ἔφη, οὐ διεσαφήνιζεν.

28 *Ἐν ταὐτῷ* (III 2, 1—4).

Ἐντυχὼν δέ ποτε στρατηγεῖν ᾑρημένῳ τῳ, Τοῦ ἕνεκα, ⟨ἔφη,⟩ Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν; ἆρά γε ὅτι ὥσπερ τὸν ποιμένα δεῖ ἐπιμελεῖσθαι ὅπως σῶαί τε ἔσονται αἱ οἶες καὶ τὰ ἐπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκα τρέφονται, τοῦτ' ἔσται, οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶοί τε οἱ στρατιῶται ἔσονται καὶ τὰ ἐπιτήδεια ἕξουσι καί, οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται; στρατεύονται δέ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν· ἢ τί δή ποτε οὕτως ἐπήνεσε τὸν Ἀγαμέμνονα εἰπών·

ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής;

ἆρά γε ὅτι αἰχμητής τε κρατερὸς ἂν εἴη, οὐκ εἰ μόνος αὐτὸς εὖ ἀγωνίζοιτο πρὸς τοὺς πολεμίους, ἀλλ' εἰ καὶ παντὶ τῷ στρατοπέδῳ τούτου αἴτιος εἴη, καὶ βασιλεὺς ἀγαθός, οὐκ εἰ μόνον τοῦ ἑαυτοῦ βίου καλῶς προεστήκοι,

---

1 *εὐείρετοι* L. Dindorf | *ἀτάρ* M A, Xen.: *αὐτὰρ* S ‖ 2 *ὅποι* S M A: *ὅπῃ* Xen. | *ἑκάστῳ τῶν τακτέων* libri Xenophontis. *ἑκάστῃ τῶν τάξεων* in Xen. scr. Schuetz ‖ 3 *οὐ μέντοι* S[1] ‖ 4 *οὔτε τάττειν οὔτε ἄγειν* M A, Xen.: *οὔτε ἄγειν οὔτε τάττειν* S | *προσαύτως* A | *ἀλλὰ μὰ Δί, ἔφη* Xen. idque erunt fortasse qui etiam Stobaeo inferre malint. certe modo *ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἐδίδαξεν* (p. 353, 13) Stobaeus et ipse ‖ 5 *οὐ διεσαφήνιζε ταῦτα* Xen. et fortasse intercidit *ταῦτα* in Stob. (sequitur *ἐν ταὐτῷ*) sed clausulam capitis Xenophontei amputavit gnomologus ‖ 6 ecl. cum emm. hab. S M A ‖ 7 *τῷ* S M A | *ἕνεκεν* Xen. ‖ 8 *ἔφη* tacite e Xen. inseruit Gesn.[1] ‖ 9 *λαὸν* A ‖ 10 *ἔσονται* M, Xen. *ἔσωνται* S in *ἔσονται* corr. A[1] ‖ 11 v. *καὶ οὗ ἕνεκα* — 13 *τὰ ἐπιτήδεια ἕξουσι* om. S | *οὕτως* M A ‖ 13 *ἕνεκα* S[1]A, Xen.: *ἕνεκεν* M ex *ἕνεκα* corr. S[1] ‖ 14 *τοῦτ'* A ‖ 16 *ἐπηνεσε* et mox *εἰπων* sine acc. S ‖ 17 Il. III 179 | *κραταιρόσ* M ‖ 18 *ἄρα γ'* (*γε* A) *ὅτι* M A *ἄρα ὅτι* S | *τε καὶ κρ.* libri Xenophontis | *εἴη ἀλλ' οὐκ* A ‖ 21 *προεστήκοι* sed *οι* e corr. M[1]

ἀλλ᾽ εἰ καί, ὧν βασιλεύοι, τούτοις εὐδαιμονίας αἴτιος εἴη; καὶ γὰρ βασιλεὺς αἱρεῖται οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμελῆται, ἀλλ᾽ ἵνα καὶ οἱ ἑλόμενοι διὰ τοῦτον εὖ πράττωσιν· καὶ στρατεύονται δὲ πάντες ἵνα ὁ βίος αὐτοῖς ὡς βέλτιστος ᾖ, καὶ στρατηγοὺς αἱροῦνται τούτου ἕνεκα, ἵνα πρὸς τοῦτο αὐτοῖς ἡγεμόνες ὦσιν. δεῖ οὖν τὸν στρατηγοῦντα τοῦτο παρασκευάζειν τοῖς ἑλομένοις αὐτὸν στρατηγόν· καὶ γὰρ οὔτε κάλλιον τούτου ἄλλο ῥᾴδιον εὑρεῖν οὔτε αἴσχιον τοῦ ἐναντίου. καὶ οὕτως ἐπισκοπῶν τίς εἴη ἀγαθοῦ ἡγεμόνος ἀρετὴ τὰ μὲν ἄλλα περιῄρει, κατέλιπε δὲ τὸ εὐδαίμονας ποιεῖν ὧν ἂν ἡγῆται.

29 (30 Mein.) *Ἐν ταὐτῷ* (c. 4, 7—12).

Καὶ ὁ Νικομαχίδης, Μὰ Δί᾽, ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε ᾤμην ἐγώ σου ἀκοῦσαι, ὡς οἱ ἀγαθοὶ οἰκονόμοι ἀγαθοὶ στρατηγοὶ ἂν εἶεν. Ἴθι δή, ἔφη, ἐξετάσωμεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν πότερον τὰ αὐτά ἐστιν ἢ διαφέρει τι. Πάνυ γε, ἔφη. Οὐκοῦν, ἔφη, τὸ μὲν τοὺς ἀρχομένους κατηκόους τε καὶ εὐπειθεῖς ἑαυτοῖς κατασκευάζειν ἀμφοτέρων ἐστὶν ἔργον; Καὶ μάλα ἔφη. Τί δέ; τὸ προστάττειν ἕκαστα τοῖς ἐπιτηδείοις πράττειν; Καὶ τοῦτο, ἔφη. Καὶ μὴν ⟨τὸ⟩ τοὺς κακοὺς κολάζειν καὶ τοὺς ἀγαθοὺς τιμᾶν ἀμφοτέροις, οἶμαι, προσήκει. Πάνυ μὲν οὖν, ἔφη. Τὸ δὲ τοὺς ὑπηκόους εὐμενεῖς ποιεῖσθαι πῶς οὐκ ἀμφοτέροις; Καὶ τοῦτ᾽, ἔφη. Συμμάχους δὲ καὶ βοηθοὺς προσάγεσθαι δοκεῖ σοι συμφέρειν ἀμφοτέροις ἢ οὔ; Πάνυ

---

1 *βασιλεύοι* S (etiam Tr.) M ut Xenophontis plurimi: *βασιλεύει* A, Xenophontis cod. Paris. 1740 ‖ **3** *δι᾽ αὐτὸν* Xen. ‖ **5** *ᾖ* M A, Xen.: *εἴη* S | *τούτους ἕνεκα* Tr. | *πρὸς τοῦτο* Stob.: *πρὸς τούτοις* (vel *τούτους*) libri Xenophontis ‖ **9** *τισ* sed *ι* e corr. M[1] ‖ **10** *ἀρετῇ* A | *κατέλιπε* (-*εν* S) S M A, Xen. *κατέλειπε* Tr. ‖ **11** *ἡγεῖται* S ‖ **12** ecl. cum lemm. hab. M A (post ecl. 28 Mein.), om. S ‖ **14** *οἱ* om. libri Xenophontis ‖ **16** *ἵν᾽ εἰδῶμεν* M | *τὰ αὐτὰ* M, Xen.: *αὐτὰ* A ‖ **17** *γ᾽ ἔφη* M ‖ **18** *παρασκευάζειν* Xen. ‖ **19** *ἔργων* M | *δαὶ* M ‖ **20** *προστάττειν* etiam A ‖ **21** *τὸ* tacite e Xen. inseruit Gesn.[2] p. 363 ‖ **22** *προσήκει* (*η* e corr. M) M A: *προσήκειν* Xen. ‖ **23** *οὐκ* M A: *οὐ καλὸν* Xen.; *οὐκ* sc. *προσήκει* ‖ **25** *σοι* M, Xen., om. A

μὲν οὖν, ἔφη. Ἀλλὰ φυλακτικοὺς τῶν ὄντων οὐκ ἀμφοτέρους εἶναι προσήκει; Σφόδρα γ', ἔφη. Οὐκοῦν καὶ ἐπιμελεῖς καὶ φιλοπόνους ἀμφοτέρους εἶναι προσήκει περὶ τὰ αὐτῶν ἔργα; Ταῦτα μέν, ἔφη, πάντα ὁμοίως καὶ ἀμφοτέρων ἐστίν· ἀλλὰ τὸ μάχεσθαι οὐκέτι ἀμφοτέρων. Ἀλλ' ἐχθροί γέ τοι ἀμφοτέροις γίγνονται; Καὶ μάλα, ἔφη, τοῦτό γε. Οὐκοῦν ⟨τὸ⟩ περιγενέσθαι τούτων ἀμφοτέροις συμφέρει; Πάνυ γε, ἔφη· ἀλλ' ἐκεῖνο παριεῖς, ἂν δέῃ μάχεσθαι, τί ὠφελήσει ἡ οἰκονομική; Ἐνταῦθα δήπου καὶ πλεῖστον, ἔφη. Ὁ γὰρ ἀγαθὸς οἰκονόμος, εἰδὼς ὅτι οὐδὲν οὕτω λυσιτελές τε καὶ κερδαλέον ἐστὶν ὡς τὸ μαχόμενον τοὺς πολεμίους νικᾶν, οὐδὲ οὕτως ἀλυσιτελές τε καὶ ζημιῶδες ὡς τὸ ἡττᾶσθαι, προθύμως μὲν τὰ πρὸς τὸ νικᾶν συμφέροντα ζητήσει καὶ παρασκευάσεται, ἐπιμελῶς δὲ τὰ πρὸς τὸ ἡττᾶσθαι φέροντα σκέψεται καὶ φυλάξεται, ἐνεργῶς δ', ἐὰν τὴν παρασκευὴν ὁρᾷ νικητικὴν οὖσαν, μαχεῖται, οὐχ ἥκιστα δὲ τούτων, ἐὰν ἀπαράσκευος ᾖ, φυλάξεται συνάπτειν μάχην. μὴ καταφρόνει, ἔφη, ὦ Νικομαχίδη, τῶν οἰκονομικῶν ἀνδρῶν· ἡ γὰρ τῶν ἰδίων ἐπιμέλεια πλήθει μόνον διαφέρει τῆς τῶν κοινῶν, τὰ δὲ ἄλλα παραπλήσια ἔχει.

30 (29 Mein.) *Ἐν ταὐτῷ* (c. 3, 1. 2—11).

Καὶ ἱππαρχεῖν δέ τινι ᾑρημένῳ οἶδά ποτε αὐτὸν τοιάδε διαλεχθέντα. Ἡ ἀρχή που, ἔφη, ἐφ' ἧς ᾕρησαι,

---

2 v. *Σφόδρα γ' ἔφη — ἀμφοτέρους εἶναι προσήκει* quae praeterviderat Gesn.[1] addidi ex M, om. A | 4 *αὐτῶν* Xen.: *αὑτῶν* M A | *καὶ* M A, om. Xen. ‖ 6 *γίν-* A ‖ 7 *τὸ* tacite e Xen. addidit Gesn.[2] ‖ 8 *γε* om. A | *ἀλλ' ἐκεῖνο* e. q. s. ex M edere neglexerat Gesn.[2], primus ex A publicavit Gaisford | *ἐκεῖνο* M, Xen.: *ἐκείνῳ* A | *παριεῖς* Cobet: *παριεὶς* M A *παριεὶς* aut *παρίεις* libri Xenophontis, *παρίῃς* e corr. Xenophontis cod. Paris. 1740 ‖ 9 *ὠφελήσει* sed *ει* ex *η* corr. M[1] ‖ 11 ante *κερδαλέον* add. *ζημιῶδες* sed del. A ‖ 16 *φυλάξεται* reposui ex M, Xen.: *διασκευάσεται* A | *δ', ἂν* (praetuli *ἐὰν*) *τὴν* libri Xenophontis: *δὲ* (*δ'* ut videtur A) *αὐτὴν* M A ‖ 18 *καταφρόνει* M, Xen.: *καταφρόνει εὖ* (unde *σύ* prop. Gaisford) A ‖ 22 ecl. cum lemm. hab. S (post ecl. 54, 28 Mein.) M A (post ecl. 54, 30 Mein.) ‖ 23 *αὐτὸν* M, Xen.: *αὐτοῦ* A | 24 *ἡ ἀρχή* resectis quae apud Xenoph. praece-

ἵππων τε καὶ ἀμβατῶν ἐστιν. Ἔστι γὰρ οὖν, ἔφη. Ἴθι δὴ λέξον ἡμῖν τοῦτο πρῶτον, ὅπως διανοῇ τοὺς ἵππους βελτίους ποιῆσαι. Καὶ ὅς, Ἀλλὰ τοῦτο μέν, ἔφη, οὐκ ἐμὸν οἶμαι τὸ ἔργον εἶναι ἀλλὰ ἰδίᾳ ἕκαστον δεῖν τοῦ ἑαυτοῦ ἵππου ἐπιμελεῖσθαι. Ἐὰν οὖν, ἔφη ὁ Σωκράτης, παρέχωνταί σοι τοὺς ἵππους οἱ μὲν οὕτω κακόποδας ἢ κακοσκελεῖς ἢ ἀσθενεῖς, οἱ δὲ οὕτως ἀτρόφους, ὥστε μὴ δύνασθαι ἀκολουθεῖν, οἱ δὲ οὕτως ἀναγώγους ὥστε μὴ μένειν ὅπου ἂν σὺ τάξῃς, οἱ δὲ οὕτω λακτιστὰς ὥστε μηδὲ τάξαι δυνατὸν εἶναι, τί σοι τοῦ ἱππικοῦ ὄφελος ἔσται; ἢ πῶς δυνήσῃ τοιούτων ἡγούμενος ἀγαθόν τι ποιῆσαι τὴν πόλιν; Ἀλλὰ καλῶς τε λέγεις, ἔφη, καὶ πειράσομαι τῶν ἵππων εἰς τὸ δυνατὸν ἐπιμελεῖσθαι. Τί δέ; τοὺς ἱππέας οὐκ ἐπιχειρήσεις, ἔφη, βελτίονας ποιῆσαι; Ἔγωγ', ἔφη. Οὐκοῦν πρῶτον μὲν ἀναβατικωτέρους ἐπὶ τοὺς ἵππους ποιήσεις; Δεῖ γοῦν, ἔφη· καὶ γὰρ εἴ τις αὐτῶν καταπέσοι, μᾶλλον ἂν οὕτω σῴζοιτο. Τί γάρ; ἐάν που κινδυνεύειν δέῃ, πότερον ἐπάγειν τοὺς πολεμίους ἐπὶ τὴν ἄμμον κελεύσεις, ἔνθα περ εἰώθατε ἱππεύειν, ἢ πειράσῃ τὰς μελέτας ἐν τοιούτοις ποιεῖσθαι χωρίοις ἐν οἵοις περ οἱ πόλεμοι γίγνονται; Βέλτιον γοῦν ἔφη, καὶ τοῦτο. Τί δέ; τοῦ βάλλειν ὡς πλείστους ἀπὸ τῶν ἵππων ἐπιμέλειάν τινα ποιήσῃ; Ἔφη, καὶ τοῦτο. Θήγειν δὲ τὰς ψυχὰς τῶν ἱππέων καὶ ἐξοργίζειν πρὸς

---

dunt (v. *ἔχοις ἂν — ταῦτα ποιῆσαι*) gnomologus: *ἡ δὲ ἀρχή* Xen. | *ἔφη* addidit gnomol.: om. Xen. | *ἐφ' ἧς*] *ἐφ' ἣν* Cobet

2 *διανοεῖ* editores Xenophontis ‖ **3** *οὐκ ἐμὸν οἶμαι τὸ ἔργον εἶναι* SMA, Xen.: *οὐκ ἐμὸν εἶναι τὸ ἔργον οἶμαι* Tr. ‖ **5** *ἔργον* pro *ἵππου* Xenophontis nonnulli ‖ **6** *οὕτως* A ‖ **8** *οἱ δὲ* SA, Xen.: *οὐδὲ* M ‖ **11** *τὴν πόλιν; Καὶ ὅς, Ἀλλὰ* Xen. facile autem intercidere poterat *καὶ ὅς* propter vicinum *καλῶς* | *καλῶς γε λέγεις* Tr. ‖ **12** *καὶ πειράσομαι καὶ τῶν ἵππων* A ‖ **13** *δὲ* A, Xen.: *δαὶ* SM ‖ **14** *βελτίονα* A ‖ **15** *ἐναβατικωτέρους* A | *ποιήσεις αὐτούς; Δεῖ* libri Xenophontis ‖ **17** *οὕτωσ σώζοιτο* M | *πρότερον* M ‖ **18** *ἀπάγειν* Tr. | *ἅμμον* S ‖ **19** *περ* om. Tr. ‖ **20** *οἵοις περ* S, Xen.: *οἷσπερ* MA | *πολέμιοι* libri Xenophontis hic et in loco consimili Hipparch. 1,5 ‖ **21** *καὶ τοῦτο* om. libri Xen. | *δὲ* A: *δὲ αἱ* M *δαὶ* S; *γὰρ* libri Xenophontis ‖ **22** *ποιήσῃ* SA, dubito de M, *ποιήσει* Tr. | *ποιήσει; Βέλτιον γοῦν, ἔφη, καὶ τοῦτο* Xen.

τοὺς πολεμίους, ἅπερ ἀλκιμωτέρους ποιεῖ, διανενόησαι; Ἀλλὰ νῦν γε πειράσομαι, ἔφη. Ὅπως δέ σοι πείθωνται οἱ ἱππεῖς πεφρόντικάς τι; ἄνευ γὰρ δὴ τούτου οὔτε ἵππων οὔτε ἱππέων ἀγαθῶν καὶ ἀλκίμων οὐδὲν ὄφελος. Ἀληθῆ λέγεις, ἔφη· ἀλλὰ πῶς ἄν τις μάλιστα, ἔφη, ὦ Σώκρατες, ἐπὶ τοῦτο αὐτοὺς προτρέψαιτο; Ἐκεῖνο μὲν δήπου οἶσθα, ὅτι ἐν παντὶ πράγματι οἱ ἄνθρωποι τούτοις μάλιστα ἐθέλουσι πείθεσθαι οὓς ἂν ἡγῶνται βελτίστους εἶναι. καὶ γὰρ ἐν νόσῳ ὃν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι, τούτῳ μάλιστα πείθονται, καὶ ἐν πλοίῳ οἱ πλέοντες, ὃν ἂν κυβερνητικώτατον, καὶ ἐν γεωργίᾳ, ὃν ἂν γεωργικώτατον. Καὶ μάλα, ἔφη. Οὐκοῦν εἰκός, ἔφη, καὶ ἐν ἱππικῇ, ὃς ἂν μάλιστα εἰδὼς φαίνηται ἃ δεῖ ποιεῖν, τούτῳ μάλιστα ἐθέλειν τοὺς ἄλλους πείθεσθαι. Ἐὰν οὖν, ἔφη, ἐγώ, ὦ Σώκρατες, βέλτιστος ὢν αὐτῶν δῆλος ὦ, ἀρκέσει μοι τοῦτο εἰς τὸ πείθεσθαι αὐτοὺς ἐμοί; Ἐάν γε πρὸς τοῦτο, ἔφη, διδάξῃς αὐτοὺς ὡς τὸ πείθεσθαί σοι κάλλιόν τε καὶ σωτηριώτερον αὐτοῖς ἔσται. Πῶς οὖν, ἔφη, τοῦτο διδάξω; Πολύ νὴ Δί', ἔφη, ῥᾷον ἢ εἴ σε δέοι διδάσκειν ὡς τὰ κακὰ τῶν ἀγαθῶν ἀμείνω καὶ λυσιτελέστερά ἐστι. Λέγεις, ἔφη, σὺ τὸν ἵππαρχον πρὸς τοῖς ἄλλοις ἐπιμελεῖσθαι δεῖν καὶ τοῦ δύνασθαι λέγειν; Σὺ δ' ᾤου, ἔφη, χρῆναι σιωπῇ ἱππαρχεῖν; ἢ οὐκ ἐντεθύμησαι, ὅτι ὅσα τε νόμῳ μεμαθήκαμεν κάλλιστα ὄντα, δι' ὧν γε ζῆν ἐπιστάμεθα, ταῦτα πάντα διὰ λόγου ἐμάθομεν. καὶ εἴ τι ἄλλο

---

1 inter *ἅπερ* et *εἴπερ* fluctuantur libri Xenophontis | *ποιεῖν* libri Xenophontis | *διανενόησαι; Εἰ δὲ μή, ἀλλὰ* Xen. ‖ 2 *γε* om. Tr. | *πείθωνται* libri Xenophontis plurimi: *πείθονται* SMA; *πείσονται* Cobet ‖ 3 *τοι* pro *τι* A ‖ 5 *ἔφη* (post *μάλιστα*) om. Xen. ‖ 6 *τοῦτο* ex dativo corr. S[1] | *προτρέψετο* M ‖ 8 *ἐθέλουσιν* M ‖ 10 *οἱ πλέοντες* secludi volunt in Xen. ‖ 11 *γεωργητικώτατον* S sed corr. S[1] ‖ 12 *εἰκός, ἔφη* Gesn.[1] e Xen.: *εἰκός τε* SMA ‖ 15 *αὐτοῦ* Tr. ‖ 16 *πρὸς τούτῳ* recte Xenophontis non nulli ‖ 17 *καλλίον* M ‖ 18 *σωτηριώτερον* ex *σωτήριον* corr. S[1] ‖ 19 *εἴ σοι δέοι* Xen. ‖ 21 *ἵππαρχον* sed *αρ* e corr. M[1] ‖ 22 *τοῦ λέγειν δύνασθαι* Xen. ‖ 23 *ὅσω* ni fallor M ‖ 24 *κάλιστα* M

καλὸν μανθάνει τις μάθημα, διὰ λόγου μανθάνει, καὶ οἱ ἄριστα διδάσκοντες μάλιστα λόγῳ χρῶνται καὶ οἱ τὰ σπουδαιότατα μάλιστα ἐπιστάμενοι κάλλιστα διαλέγονται;

31 Ἡροδότου ἱστορίας ζ' (49).

Ὁ δὲ Ἀρτάβανος ἀμείβετο λέγων 'ὦ βασιλεῦ, οὔτε στρατὸν τοῦτον, ὅστις γε σύνεσιν ἔχοι, μέμφοιτ' ἂν οὔτε τῶν νεῶν τὸ πλῆθος· ἤν τε πλεῦνας συλλέξῃς, τὰ δύο τοι τὰ λέγω πολλῷ ἔτι πολεμιώτερα γίνεται. τὰ δὲ δύο ταῦτα ἐστὶ γῆ τε καὶ θάλασσα. οὔτε γὰρ τῆς θαλάσσης ἔστι λιμὴν τοσοῦτος, ὅστις ἐγειρομένου χειμῶνος δεξάμενός σευ τοῦτο τὸ ναυτικὸν φερέγγυος ἔσται διασῶσαι τὰς νέας. καίτοι οὐκὶ ἕνα αὐτὸν δεῖ εἶναι τὸν λιμένα, ἀλλὰ παρὰ πᾶσαν τὴν ἤπειρον παρ' ἣν δὴ κομίεαι· οὔκων δὴ ἐόντων τοι λιμένων ὑποδεξίων, μάθε ὅτι αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐκὶ ⟨οἱ⟩ ἄνθρωποι τῶν συμφορέων. καὶ δὴ τῶν δύο τοι τοῦ ἑτέρου εἰρημένου τὸ ἕτερον ἔρχομαι ἐρέων. γῆ δὲ πολεμίη τῇδέ τοι καθίσταται. εἰ θέλει τοι μηδὲν ἀντίξοον καταστῆναι, τοσούτῳ τοι γίνεται πολεμιωτέρη, ὅσῳ ἂν προβαίνῃς ἑκατέρω, τὸ πρόσω αἰεὶ κλεπτόμενος· εὐπρηξίης γὰρ οὐκ ἔστιν ἀνθρώποις

2 οἱ e corr. M¹ | μάλιστα SM, Xen. μάλα A; in Xen. exstinxit L. Dindorf ‖ 4 ecl. cum lemm. hab. SMA ‖ 5 ἀτραβάνης compend. A, om. Her. | στρατὸν τοῦτον ex Herodoto Gesn.¹: στρατόν τὸν SMA. στρατοῦ τούτου Stein ‖ 6 ἔχοι SM, Her.: ἔχει A ‖ 7 νεῶν Her.: νέων SM et fere A ubi νεών ‖ 8 τοι om. S | τὰ Her. τα sine acc. M.: ταῦτα SA | γίνεται MA, Her.: γίνονται S ‖ 10 τοσοῦτος οὐδαμόθι, ὡς ἐγὼ εἰκάζω, ὅστις Her. ‖ 11 εἰ pro σεῦ A | τὸ om. A ‖ 12 νῆας A | οὐκι ένα SM οὐχὶ ἕνα A | τὸν λιμένα secludunt cum Kruegero ‖ 13 αλλὰ ⟨πολλοὺς⟩ prop. Stein ‖ 13 δὴ κομιεαι (κομίεαι Tr.) S διηκωμιεαι M διήκωμι A; δὴ κομίζεαι vel δεῖ κομίσαι libri Herodotei. vide autem ne κομίεαι in libris Stobaei ortum sit ex κομίσαι | οὐκ ὦν S οὐκ ων M οὐ ὧν A ‖ 14 τοι MA, Her.: τῶν S | ὑποδεξιῶν (ὑπὸ M) SM ‖ 15 οὐκὶ (οὐκι M) SM οὐχὶ A | οἱ addidi. ὤνθρωποι Her. | συμφορέων MA: συμφορῶν S ‖ 17 δὲ seclusit Herold | κατίσταται Her. ‖ 18 θέλει τοι SM θέλοι τι A | ἀντίζοον Tr. ‖ 19 ἑκατέρω MA ἑκαστέρω S ‖ 20 ἀεὶ A | βλεπόμενος Tr. | εὐπρηξίης (εὐπραξίης S) γὰρ (γαρ sine acc. M) SM εὐπρηξίης δὲ A; inter γὰρ et δὲ fluctuantur etiam libri Herodoti, ubi recipiunt δὲ edd. | ἀνθρώποισι Her.

οὐδεμία πληθώρῃ. καὶ δή τοι, ὡς οὐδενὸς ἐναντιευμένου, λέγω τὴν χώρην πλεῦνα ἐν πλεῦνι χρόνῳ γινομένην λιμὸν τέξεσθαι. ἀνὴρ δὲ οὕτω ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν ἀρρωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ θρασὺς εἴη.

32 *Θουκυδίδου ἱστορίας δ' δημηγορίας Ἑρμοκράτους* (61, 5).

Πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν.

33 *Δημοσθένους Περὶ τῆς Ῥοδίων Ἐλευθερίας* (XV p. 193).

Οὐ γὰρ ὁμοίως οὐδεὶς ὑπέρ τε τοῦ πλεονεκτεῖν πολεμήσειεν ἂν καὶ τῶν ἑαυτοῦ, ἀλλ' ὑπὲρ μὲν ὧν ἂν ἐλαττῶνται μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν, ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν οὐχ οὕτως, ἀλλ' ἐφίενται μέν, ἐάν τις ἐᾷ, ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἐναντιωθέντας ἑαυτοὺς ἡγοῦνται.

34 *Θουκυδίδου ἱστορίας δ' δημηγορίας Παγώνδου* (92, 5).

Εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας, ὥσπερ Ἀθηναῖοι νῦν, ἐπιόντες τὸν μὲν ἡσυχάζοντα καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον ἀδεέστερον ἐπιστρατεύειν, τὸν δὲ καὶ ἔξω ὅρων προαπαντῶντα καί, ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα ἧσσον ἑτοίμως κατέχειν.

35 *Θουκυδίδου ἱστορίας ε' δημηγορίας Βρασίδου* (9, 9).

1 *οὐδεμία* Her.: *οὐδὲ μία* SM A ‖ 3 *χώρην* revocavi ex M, Her.: *χώραν* SA | *πλεῦρα* M | *πλέονι* Her. | *γινομένην* Her.: *γιγνομένην* libri Stobaei ‖ 3 *οὕτω* dedi ex M, Her.: *οὕτως* S *οὗτος* A ‖ 4 *αἰρῶ δέοι* A ‖ 6 ecl. cum lemm. hab. S M A; in lemm. om. *Θουκυδ.* S ‖ 10 ecl. cum lemm. hab. SMA ‖ 12 *ὑπέρ τε τοῦ* e Demosthene Gaisford: *ὑπὲρ δὲ τοῦ* S M A ‖ 13 *μὲν ὧν ἂν ἐλαττῶνται* S M A: *μὲν ὧν* (sed *τῶν* primo Demosthenis S, corr. m. pr.) *ἐλαττοῦνται* Dem. ‖ 17 *ἑαυτοὺς* libri Stobaei: *αὑτοῖς* Demosthenis optimi ‖ 18 ecl. cum lemm. hab. S M A; *Θουκυ*[δδ] *ἱστ*[ο] *δ'* nec plura S. *Παγώνδου* e Thuc. Gaisford; *παγωνίδου* M A ‖ 19 *ποῦ* M *τοῦ* Tr. ‖ 21 *ἑαυτοῦ* Thuc.: *αὐτῶν* SM *αὑτῶν* A ‖ 22 *καὶ* om. Thuc. ‖ 23 *ἧσσον ἑτοίμως κατέχειν* Phot. et Suid s. v. | *κατατρέχειν* ci. Reiske ‖ 24 ecl. cum lemm. hab. S M A; *τ*[~] *αυ*[τ] *ἱστ*[ο] *ε'* non plura S

Καὶ νομίσατε τρία εἶναι τοῦ καλῶς πολεμεῖν, τὸ ἐθέλειν καὶ ⟨τὸ⟩ αἰσχύνεσθαι καὶ τὸ τοῖς ἄρχουσι πείθεσθαι.

36 *Τοῦ αὐτοῦ ἱστορίας ε' δημηγορίας Ἀθηναίων* (103, 1).

Ἐλπὶς δὲ κινδύνου παραμύθιον οὖσα τοὺς μὲν ἀπὸ περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλε, τοῖς δὲ ἐς ἅπαν τὸ ὑπάρχον ἀναρριπτοῦσι, δάπανος γὰρ φύσει, ἅμα τε γιγνώσκεται σφαλέντων καὶ ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν οὐκ ἐλλείπει.

37 ⟨*Τοῦ αὐτοῦ*⟩ *ἱστορίας ε' δημηγορίας Ἀθηναίων* (102).

Ἀλλ' ἐπιστάμεθα ⟨τὰ⟩ τῶν πολεμίων ἔστιν ὅτε κοινοτέρας τὰς τύχας λαμβάνοντα ἢ κατὰ τὸ διαφέρον ἑκατέρων πλῆθος.

38 *Τοῦ αὐτοῦ ἱστορίας ε' δημηγορίας Βρασίδου* (9, 8).

Τὸ γὰρ ἐπιὸν ὕστερον δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ μαχομένου.

39 *Ἐκ τῆς Νικολάου ἐθῶν συναγωγῆς* (fr. hist. gr. III p. 458 Muell.)

Αὐταριᾶται τοὺς ἀδυνάτους τῶν στρατιωτῶν ἐν ταῖς ὁδοιπορίαις οὐδέποτε ζῶντας ἀπολείπουσι.

---

1 *τρία* om. libri Thucydidis, sed adgnoscunt scholia ‖ **2** *τὸ* (ante *αἰσχ.*) ex Thuc. Gesn.² | *καὶ τὸ τοῖς* A, Thuc.: *καὶ τοῖς* SM ‖ **4** ecl. cum lemm. hab. SMA; *τ̄ αυ^{τ} ἱστ^{ο} ε' δημηγ^{ο} α^{θθ}* S, nil nisi *ἱστορίας ε' δημηγορίας Ἀθηναίων* MA. *Θουκυδίδου* Gaisford et Meineke libris invitis. *ἐλπὶς δὲ κινδύνου* e. q. s. Dion. Hal. Thuc. iud. 393, 2 Vs. et Rad. ‖ **5** *Θουκυδίδης κινδύνου παραμυθίαν εἶπε τὴν ἐλπίδα* Proclus schol. Hesiod. opp. 94 | *κινδύνου* libri Stobaei, unum Thuc. schol., Dion. Hal.: *κινδύνῳ* libri Thuc. ‖ **7** *ἐς πᾶν* Dion. Hal. ‖ **7** *ἀναρριπτοῦσι* Tr., Thuc.: *ἀναρρίπτουσι* SMA | *δάπανος γὰρ φύσει* Thomas Mag. p. 103, 17 | *δαπανος* sine acc. SM ‖ **8** *γιγνώσκονται* Tr. | *ἔτι* om. Dion. Hal. | *τι σαυτὴν* M ‖ **10** ecl. cum lemm. hab. MA, om. S; *Θουκυδίδου* quod de suo intulerunt Gaisford et Meineke, deest in MA. praetuli *τοῦ αὐτοῦ*. collato Thucydide exspectes eclogarum 36 et 37 ordinem inversum. in archetypo quam primo omiserat librarius ecl. 37 post modo nescio an in margine suppleverit. sic facile fieri poterat ut neglegeretur ecloga in S, falso loco daretur in MA. sed pro re nata certi nil ausim adfirmare ‖ **11** *τὰ* e Thuc. add. Gesn.² | *τῶν πολέμων* scr. Hude | *κοινοτέρας* Thuc.: *καινοτέρας* MA ‖ **12** *τύ-*

40 *Τοῦ αὐτοῦ* (ibid. p. 459).

Τριβαλλοὶ τέτταρας φάλαγγας ἐν ταῖς μάχαις ποιοῦνται· τὴν πρώτην τῶν ἀσθενῶν, τὴν ἐχομένην τῶν κρατίστων, τὴν τρίτην τῶν ἱππέων, τελευταίαν τὴν τῶν γυναικῶν, αἳ αὐτοὺς εἰς φυγὴν τρεπομένους κωλύουσι βλασφημοῦσαι.

41 *Ἀντισθένους* (Plut. De Alexandri fort. aut virt. p. 336 A).

Ἀντισθένης ἔλεγεν, ὅτι πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τἀγαθὰ παρεῖναι χωρὶς ἀνδρείας· γίγνεται γὰρ οὕτως οὐ τῶν ἐχόντων ἀλλὰ κρατούντων.

42 *Δημοσθένους κατὰ Φιλίππου* (IV p. 51).

Αἰσχρόν ἐστι φενακίζειν ἑαυτοὺς καὶ ἅπαντα ἀναβαλλομένους, ὅσα ἂν ᾖ δυσχερῆ, πάντων ὑστερεῖν τῶν ἔργων, καὶ μηδὲ τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων, καὶ τὸν αὐτὸν τρόπον ὥσπερ τῶν στρατευμάτων ἀξιώσειέ τις ἂν τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω καὶ τῶν πραγμάτων τοὺς βουλευομένους ἡγεῖσθαι, ἵν' ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται, καὶ μὴ τὰ συμβάντα ἀναγκάζωνται διώκειν.

χας e Thuc. Gesn.[2]: *ψυχὰς* MA ‖ 14 ecl. cum lemm. hab. SMA; *τ̃ αυ^τ ἱστ^ο ε'* nec plura S. *Θουκυδίδου κτέ.* MA ‖ 17 ecl. cum lemm. hab. SMA ‖ 19 *αὐταριάται* ut videtur S *ἀταριάται* M *ἀνταριάται* A *αὐταρχίαται* Tr.

1 ecl. cum lemm. hab. SMA ‖ 2 *Τριβαλοὶ* A ‖ 3 *πρώτην* MA *ά* S *μίαν* Tr. ‖ 7 ecl. sine lemm. hab. S, addito lemmate MA ‖ 8 *ὀρθῶς γὰρ Ἀ. ἔλεγεν* Plut. | *πάντα* om. S. ‖ 9 *ἔχεσθαι* A | *τὰ ἀγαθὰ* M | *χωρὶς* ex *χώρας* corr. A compendium syllabae *ας* delevit A[2] | *ἀνδρίας* A[2] | *γίνεται* Tr. | *γὰρ* om. Tr. ‖ 11 ecl. cum lemm. hab. SMA ‖ 12 *φαινακίζειν* M | *ἅπαντ'* M | *ἀναβαλλομένους ἂν ᾖ* Dem. ‖ 13 *ὑστερεῖ* M | 16 ss. *καὶ τὸν αὐτὸν τρ. — τῶν πραγμάτων* in contextu omissa suppl. A[1] in marg., praecedit ab ead. m. *κ*, deletum a manu secunda quae adscripsit *κειμένων* ‖ 18 *οὕτω καὶ — ἡγεῖσθαι* om. S | *βουλομένους* A ‖ 19 *ἡγεῖσθαι* om. Dem. ‖ 20 *ἀναγκάζωνται* ex *-ονται* corr. A[2]

43 *Πλουτάρχου ἐκ τοῦ Εἰ πολιτευτέον πρεσβυτέρῳ* (p. 788 D—E).

Οἱ ῥήτορες Ἀθήνησιν Ἰφικράτει καὶ Τιμοθέῳ Χάρητα παρέφερον ἰσχυρὸν ὄντα καὶ τοιοῦτον ἠξίουν εἶναι τὸν στρατηγόν. ὁ δὲ Τιμόθεος ʻοὐ μὰ τοὺς θεούςʼ εἶπεν ʻἀλλὰ τοιοῦτον μὲν εἶναι τὸν μέλλοντα τῷ στρατηγῷ τὰ στρώματα κομίζειν, τὸν δὲ στρατηγὸν "ἅμα πρόσσω καὶ ὀπίσσω" ὁρᾶν.ʼ

44 *Ἀντιγόνου* (Ps.-Plut. reg. et imp. apophth. p. 183 D).

Ἀντίγονος ὑποχωρῶν ποτε τοῖς πολεμίοις ἐπερχομένοις, οὐκ ἔφη φεύγειν, ἀλλὰ διώκειν τὸ συμφέρον ὀπίσω κείμενον.

45 *Λαμάχου* (Ps.-Plut. reg. et imp. apophth. p. 186 F).

Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτάνοντι· τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν ʻοὐκ ἔστινʼ εἶπεν ʻἐν πολέμῳ δὶς ἁμαρτάνειν.ʼ

46 *Ἀντιγόνου.*

Ἀντιγόνος ἐρωτηθείς, πῶς ἂν τις ἐπιθοῖτο τοῖς πολεμίοις, εἶπεν

ʻἢ δόλῳ ἠὲ βίῃ ἢ ἀμφαδὸν ἠὲ κρυφηδόνʼ.

---

1 ecl. cum lemm. hab. S M A; *πρεσβυτέρων* compendiose A. apud Plutarchum sic scribitur *Εἰ πρεσβυτέρῳ πολιτευτέον*, sed *εἰ πολ. πρεσβ.* Stobaeus etiam supra p. 189. breviata leguntur verba Ps.-Plut. reg. et imp. apophth. p. 187 C ‖ **3** *οἷον οἱ ῥήτορες Ἀθήνησι Τιμοθέῳ καὶ Ἰφικράτει Χάρητα τὸν Θεοχάρους ἐπαποδύοντες ἀκμάζοντα τῷ σώματι καὶ ῥωμαλέον ἠξίουν τοιοῦτον εἶναι τὸν τῶν Ἀθηναίων στρατηγόν, ὁ δὲ Τιμ.* Plut. | *χάριτα* A, corr. A[1] ‖ **5** *οὐδὲ Τιμ.* A ‖ **6** *εἶναι*] *εἰκὸς εἶναι* suppleri vult Bernardakis ‖ **7** *πρόσσω καὶ ὀπίσσω* A: *πρόσω καὶ ὀπίσω* S M, Plut. cf. Il. I 343 *ἅμα πρόσσω καὶ ὀπίσσω* ‖ **8** *πρόσω καὶ ὀπίσω τῶν πραγμάτων ὁρῶντα καὶ μηδενὶ πάθει τοὺς περὶ τῶν συμφερόντων λογισμοὺς ἐπιταραττόμενον* Plut. ‖ **9** ecl. cum lemm. hab. S M A. Plutarchi apophth. reg. et imp. frequenter usum esse Stobaeum recte monet Elter De gnomol. Gr. hist. atque orig. part. II p. 106 ‖ **10** *ὑποχωρῶν δέ ποτε* (sc. *Ἀντίγονος*) *τοῖς π.* Ps.-Plut. | *ὑποχωρόν* Tr. ‖ **13** ecl. sine lemm. hab. S, addito lemmate M A ‖ **16** *ἁμαρτεῖν* Ps.-Plut. ‖ **17** ecl. sine lemm. hab. S, addito lemmate M A. adsumpta sit ecloga ex libro Hermippi quo supra usus est gnomologus III 5, 43 p. 269, 5. versus *ἢ δόλῳ ἠὲ βίῃ ἢ ἀμφαδὸν ἠὲ κρυφηδόν* tribuitur

47 *Δημάδης.*

Δημάδης ὁ ῥήτωρ ληφθεὶς αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ ὑπὸ Φιλίππου καὶ συσταθεὶς αὐτῷ, ἐκείνου παρὰ πότον σεμνυνομένου 'ποῦ ἡ εὐγένεια καὶ ἡ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως;' 'ἔγνως ἄν' ἔφη 'ὦ βασιλεῦ, τὴν τῆς πόλεως δύναμιν, εἰ Ἀθηναίων μὲν Φίλιππος, Μακεδόνων δὲ Χάρης ἐστρατήγει'.

48 *Ἀλεξάνδρου.*

Ἀλέξανδρος ἐρωτηθεὶς ὑπό τινος, πῶς ἐν ὀλίγῳ χρόνῳ τῆς οἰκουμένης ἐκυρίευσεν, εἶπε

'βουλῇ καὶ μύθοισι καὶ ἠπεροπηίδι τέχνῃ'.

49 *Ἀγησιλάου.*

Ἀγησίλαος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς ἐρωτηθεὶς ὑπό τινος, τίνα δεῖ τὸν στρατηγὸν ἔχειν, εἶπεν 'πρὸς μὲν

τῷ ποιητῇ a Zenobio I 93 (paroem. gr. Gott. I p. 30), hodie non nisi frustula leguntur velut *δόλῳ ἠὲ βίηφι* Od. IX 406 (cf. 408) alterumque hemistichium *ἢ ἀμφαδὸν ἠὲ κρυφηδόν* Od. XIV 330 XIX 299. respicitur fortasse versus a Polyaeno strat. prooem. 4, de quo vid. *I.* Teufer *De Homero in apophthegmatis usurpato* (Lips. a. 1890) p. 43 ‖ 18 *ἀντίγωνοσ* M | *ἐπιθοῖτο* SMA *ἐπιθῆτο* Tr. *ἐπιθεῖτο* Gaisford ‖ 20 *ἠὲ κρυφηδόν* S *ἢ ἐκρυφηδόν* M *ἢ κρυφαδόν* (η superscr.) A corr. A[1]

1 ecl. cum lemm. hab. SMA. variata legitur chria in Ps.-Plutarchi libro pro nobilit. c. 2 ‖ 3 *χαιρώνεια* Tr. *χαιρώνιαν* S *χερώνειαν* M *χερωνίαν* A[1] ‖ 4 *εὐγένεια* etiam S, fallitur Gaisford | *ἡ* (ante *ὑπεροχὴ*) om. M ‖ 6 *τὴν τῆς πόλεως δύναμιν* superscr. in A m. ant., fortasse prima | *μὲν* om. A | *ἐπεστρατήγει* corr. A[2] ‖ 8 ecl. cum lemm. hab. MA, om. S, versum *βουλῇ καὶ μ. κ. ἠ. τ.* 'in Odyssea aliquando exstitisse ex Polyaen. strat. prooem. 8 et Strab. I 2, 4 p. 17 C et XIII, 1, 41 p. 601 C probabile est, qui eum inter versus Homericos (eosque omnes ex Iliade et Odyssea depromptos) referunt' Ioannes Teufer l. c. p. 43 ‖ 10 *εἶπεν* M ‖ 11 *ἠπεροπηίδι* Tyrwhitt: *εἰπερόπηδεῖ* M *εἴπερ ὀπηδεῖ* A ‖ 12 ecl. sine lemm. hab. S, addito lemmate MA. recurrit apophthegma in gnomol. Vat. 70 '*Ὁ αὐτὸς* (sc. *Ἀγησίλαος*) *ἐρωτηθείς, τίνα δεῖ τὸν στρατηγὸν ἔχειν, εἶπεν 'πρὸς μὲν τοὺς ἐναντίους τόλμαν' κτἑ.* ubi vide quae adnotavit Sternbach, ante Sternbachium Wachsmuth *Stud. zu den gr. floril.* p. 151 s. brevius legitur dictum Plut. apophth. Lac. p. 213, ubi omittitur membrum extremum (*πρὸς δὲ τοὺς καιροὺς λ.*) ‖ 14 *ὑπό τινος* om. S | *εἶπε* (*-εν* M) SM gnomol. Vat.: *εἶπεν* (sic) *ὅτι* A idque receperunt Gaisford et Meineke

τοὺς πολεμίους τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν, πρὸς δὲ τοὺς καιροὺς λογισμόν.'

50 *'Επαμινώνδου.*

'Επαμινώνδας ὁ Θηβαῖος ἰδὼν στρατόπεδον μέγα καὶ καλὸν στρατηγὸν οὐκ ἔχον 'ἡλίκον' ἔφη 'θηρίον κεφαλὴν οὐκ ἔχει.'

51 *'Ιφικράτους* (Ps.-Plut. reg. et imp. apophth. p. 187 A).

'Ιφικράτης ἐν συμμάχῳ χώρᾳ στρατοπεδεύων καὶ χάρακα βαλλόμενος καὶ τάφρον ὀρύττων, πρὸς τὸν εἰπόντα 'τί γὰρ φοβούμεθα;' χειρίστην ἔφη φωνὴν στρατηγοῦ εἶναι τὴν 'οὐκ ἂν προσεδόκησα'.

52 *Τοῦ αὐτοῦ* (Ps.-Plut. reg. et imp. apophth. p. 187 B).

'Ρήτορος δέ τινος ἐρωτῶντος αὐτὸν ἐν ἐκκλησίᾳ 'τίς ὢν μέγα φρονεῖς, πότερον ἱππεὺς ἢ ὁπλίτης ἢ τοξότης η πελταστής;' 'οὐδείς' ἔφη 'τούτων, ἀλλ' ὁ τούτοις ἐπιτάττειν πᾶσιν ἐπιστάμενος.'

---

3 ecl. sine lemm. hab. S, addito lemmate MA. recurrit corp. Par. 545 Elt. (*ἐπαμινώνδου*), legitur etiam in gnomol. Vat. 281 '*Ο αὐτὸς* sc. *'Επαμινώνδας*) *ἰδὼν στρατόπεδον κτέ.* et paululum variata gnomol. Par. 126 Sternb. ‖ **5** *κεφαλὴν* scripsi cum S, gnom. Vat. et Par.: *καὶ κεφαλὴν* MA ‖ **7** ecl. cum lemm. hab. MA, om. S. Iphicrati dictum adscripsit etiam Polyaenus III, 9, 17 (*'Ιφκρ. ἐν τῇ φιλίᾳ τὸν χάρακα ἐβάλλετο λέγων 'οὐ στρατηγικὸν τὸ οὐκ ᾤμην'*), Scipioni Valerius Maximus VII 2, Fabio Seneca de ira II 31, 5. Stoicam apophthegmatis originem quivis, spero, agnoscet, cf. Cic. de off. I 23, 81 Seneca haud raro ‖ **8** *ἰφικράτους* A[1] | *συμμάχω* recepi ex M, nam *Εν δὲ φιλίᾳ καὶ συμμάχῳ χώρᾳ* Ps.-Plut. *ἐν τῇ φιλίᾳ* Polyaen.: *συμμάχων* ut videtur A | *χώρας* A sed σ del. ni fallor A[2] ‖ **9** *ὀρύττων ἐπιμελῶς πρὸς* Ps.-Plut. ‖ **10** *ἔφησε στρατηγοῦ φωνὴν εἶναι* Ps.-Plut. ‖ **12** ecl. sine lemm. hab. S, addito lemmate MA. narratur chria a Plutarcho De Fortuna p. 99 E An virt. doceri possit p. 440 B ‖ **13** *ῥήτορος δέ τινος ἐρωτῶντος* (*ἐπερ*-Ps.-Pl.) *αὐτὸν ἐν ἐκκλησίᾳ τίς ὢν* MA, Ps.-Plut.: *'Ιφικράτης ἐρωτηθεὶς τίς ὢν ἐν ἐκκλ.* S: tanta breviandi interpolandique temeritas in libro omnium vetustissimo ‖ **14** *ὢν* ex *ὂν* corr. M[2] ni fallor | *ἢ ὁπλίτης* om. Ps.-Plutarchi libri | *ἢ τοξότης ἢ πελταστής* libri Stobaei: *ἢ τοξότης ἢ πελταστὴς ἢ πεζός* (vel inverso ordine *ἢ πεζὸς ἢ πελταστής*) libri Ps.-Plutarchi **15** *ἀλλὰ τούτοις* in *ἀλλ' ὁ τούτοις* corr. A[2] idque recte: *ἀλλὰ τούτοις* SMA. cf. Ps.-Plut. *ἀλλ' ὁ πᾶσι τούτοις ἐπιστάμενος ἐπιτάττειν* ipse Plut.

53 *Χαβρίου* (Ps.-Plut. ibid. p. 187 D).

Χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν τοὺς μάλιστα γιγνώσκοντας τὰ τῶν πολεμίων.

54 *Θουκυδίδου ἱστορίας γ′ δημηγορίας Κλέωνος* (48).

Ὅστις γὰρ εὖ βουλεύεται πρὸς τοὺς ἀντιπάλους κρείσσων ἐστὶν ἢ μετ᾽ ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών.

55 *Τοῦ αὐτοῦ ἱστορίας δ′ δημηγορίας Βρασίδου* (86, 6).

Ἀπάτῃ γὰρ εὐπρεπεῖ αἴσχιόν τι τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ.

56 *Θουκυδίδου ⟨ἱστορίας ϛ′⟩ δημηγορίας Ἀλκιβιάδου* (91, 6).

Βεβαιότατα δ᾽ ἄν τις τοὺς πολεμίους οὕτω βλάπτοι, εἰ ἃ μάλιστα δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος ἐπιφέροι. εἰκὸς γὰρ αὐτοὺς ἀκριβέστατα ἑκάστους τὰ σφέτερα αὐτῶν δεινὰ ἐπισταμένους φοβεῖσθαι.

---

p. 99 E *ὁ τούτοις, ἔφη, πᾶσιν ἐπιτάττων καὶ χρώμενος,* p. 440 B *ἀλλ᾽ ὁ τούτοις πᾶσιν ἐπιτάττων*

1 ecl. sine lemm. hab. S, addito lemmate MA ‖ 2 *τοὺς μάλιστα* SM, Ps.-Plut., etiam A sed *κ* ex parte erasit et *μ* fecit A², quae tamen *λλ* intactum reliquit ‖ 4 ecl. cum lemm. hab. SMA; *Θουκυδ ἱστº γ′* nec plura S. *ε̄* pro libri indiculo A sed superscr. iam pr. m. *γ̄*. pro *Κλέωνος* (sic MA) prop. *Διοδότου* Gaisford idque recepit Meineke inconsideratius. coniciat quispiam Cleonis orationis eclogam ex eodem Thucydidis libro (III 37 ss.) petitam intercidisse una cum lemmate eclogae ad Diodoti orationem pertinentis (sc. *Θουκυδίδου ἱστορίας γ′ δημηγορίας Διοδότου*), cum praesertim Cleonis orationem etiam alibi excerpserit Stobaeus (cf. IV 43, 58 s). sed potest etiam ipsius gnomologi error subesse inde natus, quod Cleonis Diodotique orationes apud Thuc. sese excipiunt ‖ 5 *βούλεται* A | *πρὸς τοὺς ἐναντίους* Thuc. ‖ 7 ecl. cum lemm. hab. SMA; *τ̆ αυᵀ ἱστº δ′* nec plura S. *δημηγορία* A ‖ 8 *τι* om. libri Thuc. | *γε*] *τε* fere libri Thuc. ‖ 9 *ἐμφανῆ* A ‖ 11 *ἐπιβουλή* SA ‖ 12 ecl. cum lemm. hab. SMA; *τ̆ αυᵀ δημ. ἀλκ.* S. *ἱστορίας ϛ′* addidi. *Ἀλκιβιάδη* A ‖ 14 *τις οὕτως τοὺς πολεμίους βλ.* Thuc. ‖ 15 *ἀνδάνοιτο* A ‖ 16 *ἐπιφέρει* A ‖ 17 *ἑκάστους* Thuc.: *ἑκάστου* SMA

57 *Πύρρου.*

Πύρρος ἐπιζητούντων τινῶν παρὰ πότον πότερος κρείσσων αὐλητής, Ἀντιγενίδας ἢ Σάτυρος, 'ἐμοὶ μέν' εἶπε, στρατηγὸς Πολυσπέρχων' διδάσκων ὅτι ἀναγκαῖα δεῖ ζητεῖν καὶ μὴ ἄρχηστα.

58 *Ἀννίβαλος.*

Ἀννίβαλ ἀκούσας Στωικοῦ τινος ἐπιχειροῦντος ὅτι ὁ σοφὸς μόνος στρατηγικός ἐστιν, ἐγέλασε νομίζων ἀδύνατον εἶναι ἐκτὸς τῆς δι' ἔργων ἐμπειρίας τὴν ἐν τούτοις ἐπιστήμην σχεῖν.

59 *Λυκούργου.*

Λυκοῦργος ἐκέλευσε Λακεδαιμονίοις ⟨μὴ⟩ πολλάκις τοῖς αὐτοῖς πολεμεῖν, ἵνα μὴ ἄκοντας πολεμεῖν διδάξωσιν.

60 *Πύρρου.*

Πύρρος πρὸς τὸν ὑπισχνούμενον τὰ τακτικὰ διδάξειν ἐν δὲ παρατάξει οὐδέποτε γεγονότα, οὐκ ἔφη δεῖσθαι ἀπερισαλπίκτου στρατηγοῦ.

---

1 ecl. sine lemm. hab. S, addito lemmate M A. *Ταράσω* (sic) quod quasi lemma ante *Πύρρος* habet Tr. non expedio. vix latet *Ταύρου* nomen philosophi qui scripsit contra Stoicos (cf. Gell. XII 5, 5), quamquam Stoicorum paradoxon irridetur ecl. 58. recurrit apophthegma Pyrrhi in Theonis progymnasmatis rh. gr. II p. 100, 20 ss. Sp., brevius aliterque conceptum Ps.-Plut. reg. et imp. apophth. p. 184 C ‖ 2 *Πύρρος ὁ τῶν Ἠπειρωτῶν βασιλεὺς ζητούντων* Theo | *κρείττων* Theo ‖ 3 *Ἀντιγεννίδας* Theo ‖ 4 *Πολυσπέρχων* (sic Theo, Ps.-Plut.) Stobaeo reddidit Gesn.[2]: *πολλοὺς σπέρχων* S *πολὺ σπέρχων* M A[1] | *διδάσκων κτἑ.* om. Theo ‖ 6 ecl. sine lemm. hab. S, addito lemmate M A. iteratur ecloga gnomol. Paris. 262 Sternb. cf. Cicero de or. II 18, 75 ‖ 7 *Ἀννίβαλ* om. A ubi *ἀννίβαλος ἀκούσας* legitur. *Ἀννίβας Στωϊκοῦ τινος ἐπιχειροῦντος λέγειν, ὅτι* gnomol. Par. male ‖ 8 *στρατηγός* Tr., gnomol. Par. ‖ 9 *εἶναι* om. A | *ἐπὶ τούτοις* gnomol. Par. 11 ecl. cum lemm. hab. M A, om. S ‖ 12 *μὴ* inseruit Gesn.[2], om. M A | *πολλάκις* bis scr. A ‖ 14 ecl. sine lemm. hab. S, addito lemmate M A. iteratur ecloga sed Hannibalis dicto adhaerens gnomol. Paris. 262 Sternb. ubi post ecl. 54, 58 *ἐπιστήμην σχεῖν* pergitur sic: *πρὸς δὲ τὸν ὑπισχνούμενον — στρατηγοῦ.* intercidisse igitur ibi putes olim *Πύρρος* ante *πρὸς*, tunc capite truncatam coaluisse eclogam cum priore ‖ 16 *οὐδέποτε* S A, gnomol. Paris. *οὐ δὲ πώποτε* M | *ἀπερισαλπίκτου* (-*πικτοῦ* M) S M A *ἀπερισαλπίγκτου* A[2] Tr., gnomol. Paris. cf. ecl. 65

61 *Φιλίππου.*

Φίλιππος ἔλεγε κρεῖττον εἶναι στρατόπεδον ἐλάφων λέοντος στρατηγοῦντος ἢ λεόντων ἐλάφου στρατηγοῦντος.

62 *Ἰφικράτους.*

Ἰφικράτης τὸ στράτευμα οὕτως ἔφασκε δεῖν συντετάχθαι ὡς ἓν σῶμα, θώρακα μὲν ἔχον τὴν φάλαγγα, χεῖρας δὲ τοὺς ψιλούς, πόδας δὲ τοὺς ἱππέας, κεφαλὴν δὲ τὸν στρατηγόν.

63 (64 Mein.) *Τιμοθέου.*

Τιμόθεος πρὸς τὸν ἐρόμενον ᾧ διαφέρει στρατηγικὴ ῥητορικῆς 'ᾧ πόλεμος' ἔφη 'εἰρήνης'.

64 (63 Mein.) *Φιλίππου.*

Φίλιππος ἐρωτώμενος οὕς τινας μάλιστα φιλεῖ καὶ οὕς τινας μάλιστα μισεῖ 'τοὺς μέλλοντας' ἔφη 'προδιδόναι μάλιστα φιλῶ, τοὺς δ' ἤδη προδεδωκότας μάλιστα μισῶ'.

---

1 ecl. sine lemm. hab. S, addito lemmate M A. recurrit corp. Par. 546 Elt. (*Φιλίππου*). idem fere dictum Chabriae adsignatur a Ps.-Plutarcho reg. et imp. apophth. p. 187 D et ab Aristide *Περὶ τοῦ παραφθέγμ.* t. II p. 400, denique in gnomol. Vatic. 555 Sternb. ‖ 2 *κρεῖττον* S M: *κρεῖσσον* A, corp. Par. | *εἶναι* non. A¹ suppl. A² ‖ 3 *στρατηγοῦντος* post *ἐλάφου* iterant S M A, corp. Par., om. A². huic obsecuti sunt Gaisford et Meineke. nil nisi *ἢ λεόντων ἐλάφου* habent Aristides et Ps.-Plut. sed cf. gnomol. Vat. ubi *φοβερώτερον εἶναι στρατόπεδον ἐλάφων ἡγουμένου λέοντος ἢ λέοντων ἡγουμένης ἐλάφου.* si quid mutandum in Stobaeo, malim *ἢ λεόντων στρατηγοῦντος ἐλάφου* ‖ 4 ecl. sine lemm. hab. S, addito lemmate M A ‖ 6 *ἔχον τὴν* S *ἔχων τὴν* M *ἔχοντα τὴν* (si recte intellego Meklerum) A¹ *ἐχόντων* (om. *τὴν*) Tr. ‖ 7 *φίλους* Tr. ‖ 9 ecl. sine lemm. hab. S, lemmate addito M A, omnes post ecl. 62: ordinem huius et proximae eclogae invertit Tr., inde vulg. iteratur ecloga eisdem verbis gnomol. Paris. 263 Sternb. ‖ 10 *ἐρόμενον* S A², gnomol. Par. *ἐρώμενον* A *ἐρωτώμενον* M Tr. | *ὧι* M ‖ 12 ecl. sine lemm. hab. S, lemmate addito M A. genuinus ordo quem ex libris revocavimus huius et prioris eclogae confirmatur gnomologio Parisino 74 Sternb. ubi ecl. *Φίλιππος ἐρωτώμενος — μάλιστα μισῶ* excipitur dicto Eudamidae. comparari potest dictum Caesaris Augusti quod tradidit Ps.-Plutarchus reg. et imp. apophth. p. 207 A ‖ 13 *φιλοῖ* S

65 *Εὐδαμίδου* (Ps.-Plut. reg. et imp. apophth. p. 192 A). *Εὐδαμίδας ἀκούσας φιλοσόφου διαλεχθέντος ὅτι μόνος ἀγαθὸς στρατηγὸς ὁ σοφός ἐστιν ʻὁ μὲν λόγοςʼ ἔφη θαυμαστός, ὁ δὲ λέγων οὐ περισεσάλπικται.ʼ*

66 *Ξενοφῶντος ἐν τῷ ε΄ τῆς Κύρου παιδείας* (c. 3, 9). *Οὔτε γὰρ ἂν φίλους τις ποιήσειεν ἄλλως πως πλείονα ἀγαθὰ ἐν πολέμῳ ἢ πολέμιος δοκῶν εἶναι οὔτʼ ἂν ἐχθροὺς πλείω τις βλάψειεν ἄλλως πως ἢ φίλος δοκῶν εἶναι.*

---

1 ecl. cum lemm. hab. M A, om. S; *εὐδαμίδου* reposui ex M, *εὐδαιμονίδου* A. iteratur ecloga gnomol. Paris. 75 Sternb. *Εὐδαμίδας ἀκούσας κτέ.* ‖ 2 *Πάλιν ἀκούσας* (sc. *Εὐδαμίδας*) *φιλοσόφου κτέ.* Ps.-Plut. | *εὐδαμίδας* ex M iam Gesn.[2]: *εὐδαιμονίδας* A | *διαλεχ-* ex *διαλεγχ-* ut videtur A ‖ 4 *λόγον* A | *περισεσάλπικται* M A *ιγκται* e cod. Paris. 1985 adfert Gaisford quod vix merito receperunt Gaisford et Meineke, *περισεσάλπισται* Ps.-Plut. gnomol. Paris. tu conferas ecl. 60 *ἀπερισαλπίκτου* ‖ 5 ecl. cum lemm. hab. S M A, in lemmate *τῆς* om. MA. cf. Clemens Alex. strom. VI 2 p. 746 P. *Ξενοφῶν δὲ εἴρηκεν ʻοὐκ ἂν ἐχθροὺς ἄλλως πως βλάψειεν ἄν τις ἢ φίλος δοκῶν εἶναιʼ* quem gnomologio usum esse monet Elter De gnomol. gr. hist. atque orig. commentationis ramenta (Bonnae ed. a. 1892) p. 30 ‖ 6 *ἄλλος* A | *πῶσ* M | *πλείω* Xen. ‖ 7 *οὔτʼ ἂν* — 9 *δοκῶν εἶναι* propter homoeoteleuton om. M ‖ 8 *πλείω* Xen.: *πλείους* S A | *τίς* sup. lin. S[1] *τί* Tr. | *φίλους* A

CAPVT XIV.

ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

1 *Εὐριπίδου Κρεσφόντου* (fr. 453 N[2]).

ΧΟΡ. Εἰρήνη βαθύπλουτε καὶ
καλλίστα μακάρων θεῶν,
ζῆλός μοι σέθεν ὡς χρονίζεις.
δέδοικα δὲ μὴ πρὶν πόνοις
ὑπερβάλῃ με γῆρας,
πρὶν σὰν χαρίεσσαν προσιδεῖν ὥραν
καὶ καλλιχόρους ἀοιδὰς
φιλοστεφάνους τε κώμους.
ἴθι μοι, πότνα, πόλιν.
Τὰν δ' ἐχθρὰν στάσιν εἶργ' ἀπ' οἴ-
κων τὰν μαινομέναν τ' ἔριν
θηκτῷ τερπομέναν σιδάρῳ.

---

1 *Περὶ εἰρήνης* sicut in summario Photius libri omnes. *μη′* adpingit S, *νγ′* Tr. *ξϛ′* M A Mac. ‖ **3** ecl. cum lemm. hab. S M A; *κρέσφ°* addita compendii nota S qui chori signum servavit, *κρέσφον*[τ] M *κρεσφόντου* A. respexit carmen Aristophanes, cf. ecl. proxima. v. *Εἰρήνη* — 11 *κώμους* fabulae nomine omisso affert Polybius XII 26, 5 usus Timaeo, cf. Elter l. c. p. 8 s. ‖ **4** *Εἰρήνα* Polyb. | *καὶ* om. Pol. ‖ **7** *πόνοις* ex *πόνους* corr. S[1] *πόνων* Tr., om. Polyb. ‖ **8** *γῆρας* sed *η* in ras. A ‖ **9** *σὴν* (*σὰν* Grotius Dict. poet. p. 209) Gesn.[1] mrg.: *γὰρ* S M *περ* A, *ἂν* Polyb. | *προσιδεῖν ὥραν* Polyb.: *προειδεώραν* S *προειδε ὥραν* M *προϊδεῖν ὥραν* A ‖ **10** *καλλιχόρους* A, Polyb.: *καλλιχρόνους* SM ‖ **11** *κώμους* ex *χώρους* corr. A[1] ‖ **12** *πότνα* Meineke: *πότνια* libri | *πάλιν* Bergk ‖ **13** hinc incipere antistropham carminis vidit Bergk | *ταν δ'* Bergk: *τάνδε* S M A | *ἀπὸ οἴκων* A ‖ **14** *μαινομέναν* ex *μαινομένων* corr. S[1] *μαινομέναν* M A sed *αν* ex parte in ras. M ‖ **15** *θνητῷ* A | *σιδήρῳ* Tr.

2 *Ἀριστοφάνους Γεωργῶν* (fr. 109 K.).

Εἰρήνη βαθύπλουτε καὶ ζευγάριον βοεικόν,
εἰ γὰρ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο
σκάψαι κἀποκλάσαι καὶ λουσαμένῳ διελκύσαι
τῆς τρυγὸς ἄρτον λιπαρὸν καὶ ῥάφανον φέροντι.

3 *Βακχυλίδου Παιάνων* (fr. 4 Blass[2]).

Τίκτει δέ τε θνατοῖσιν εἰρήνα μεγάλα
πλοῦτον [καὶ] μελιγλώσσων ⟨τ'⟩ ἀοιδᾶν ἄνθεα,
δαιδαλέων τ' ἐπὶ βωμῶν
θεοῖσιν αἴθεσθαι βοῶν ξανθᾷ φλογὶ
μηρί' εὐτρίχων τε μήλων,
γυμνασίων τε νέοις
αὐλῶν τε καὶ κώμων μέλειν.
ἐν δὲ σιδαροδέτοισι

---

1 ecl. cum lemm. hab. SMA. cf. ecloga quae praecedit. iteravit eclogam Maxim. c. 37 p. 629 Combef. (*Ἀριστοφ.*) | *βοϊκόν* (sine acc. S) SMA: *βοεικόν* (ut Maximi codd. nonnulli) Dindorf ‖ **3** *τοῦ* om. A ‖ **4** *σκάψει κἀποκλάσαι* Dindorf: *σκάψαιτ' ἀποκλάσαι* S *σκάψαί τ' ἀποκλάσαι* M *σκάψαντ' ἐχθρὰν στάσιν τ' ἀποκλάσαι* (cf. ecl. praegressa) A | *τε* ante *καὶ* inserere solent, ut metro satis fiat, cum Brunckio, idque indidit iam codicis Parisini 1985 librarius si fides est Gaisfordo, om. SMA | *λουσαμένῳ 'πολαῦσαι* prop. Kock, sed catalectica dipodia iambica non opus esse monuit G. Dindorf, nova periodus, quae incipit a v. *σκάψαι*, finitur per *φέροντι* demum ‖ **5** *φαγόντι* ci. Herwerden ‖ **6** ecl. cum lemm. hab. SMA. *παιάνων τεμάχιον* in marg. adscripsit A². primum fragmenti versum epodi fuisse ultimum, stropham a v. *πλοῦτον* incipere, ab *ἔγχεά τε* antistropham perspexit Blass mus. Rhen. XXXII p. 460, cuius colometriam secutus sum ‖ **7** *ἐνατοῖσιν* M | *εἰρήνα* M: *εἰρήνη* SA | *μέγαν* maluit Bergk ‖ **8** *τ'* inseruit particula *καὶ* seclusa Boeckh | *ἀοιδᾶν* Boeckh: *ἀοιδῶν* libri ‖ **9** *ἐπιβώμων* M ‖ **10** *αἴθεσθαι* L. Dindorf, Schneidewin: *ἔθεσθε* SMA | *ξανθὰ* SA *ξανθα* M | *φίλογι* M ‖ **11** *μηρίταν* (*μηρῦταν* A) *εὐτρίχων* (*εὐτρόχων* A) SMA: *μηρί' εὐτρίχων* Blass qui duas lectiones antiquitus traditas pellucere putat: *μηρ(ι)α ταννυτρίχων* et *μηριευτρ.* ‖ **13** *μέλειν* SA *μέλλειν* M ‖ **14** Plutarchus Num. 20: '*ἐν δὲ σιδαροδέτοις πόρπαξιν* (sic Stephanus: *πορπάξειν* (vel *-άζειν*) libri Plutarchi) *αἰθᾶν* (sic Stephanus, fuerat *ἔνθα δ'* vel *ἐνθάδ'*) *ἀραχνᾶν ἔργα*', *καὶ* '*εὐρὼς δάμναται ἔγχεά τε λογχωτὰ ξίφεά τ' ἀμφήκεα, χαλκέων δὲ οὐκέτι σαλπίγγων κτύπος οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων*' | *σιδαροδέτοισι πόρπαξιν* Tr.: *σιδαροδέτοισι* (*-σιν* S) *ὄρπαξιν* (*ἔρπαξιν* A) SMA

πόρπαξιν αἰθᾶν ἀραχνᾶν ἱστοὶ πέλονται·
ἔγχεά τε λογχωτὰ ξίφεά τ᾽ ἀμφάκεα
δάμναται . . .
χαλκέων δ᾽ οὐκ ἔστι σαλπίγγων κτύπος,
οὐδὲ συλᾶται μελίφρων
ὕπνος ἀπὸ βλεφάρων,
ἀῷος ὃς θάλπει κέαρ.
συμποσίων δ᾽ ἐρατῶν
βρίθοντ᾽ ἀγυιαὶ παιδικοί θ᾽ ὕμνοι φλέγονται.

4 *Εὐριπίδου Ἐρεχθέως* (fr. 369 N.[2]).

ΧΟΡ. Κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχναις.
μετὰ δ᾽ ἡσυχίας πολιῷ γήρᾳ συνοικοίην,
ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας
Θρηίκιον πέλταν πρὸς Ἀθάνας
περικίοσιν ἀγκρεμάσας θαλάμοις
δέλτων τ᾽ ἀναπτύσσοιμι γῆρυν,
ἃν σοφοὶ κλέονται.

---

1 *αἰθᾶν* Stephanus ap. Plut.: *αἴθαν* SMA | *ἀραχνᾶν* Plut.: *ἀράχναν* SMA | *ἱστοὶ*] *ἔργα* Plut. | *πλέκονται* ci. Ursinus ‖ 2 *ἐμφάκεα* A ‖ 3 post *δάμναται* indidit *εὐρώς* ex Plut. Bergk idque recte, ut videtur, sed plura intercidisse antistrophica ratione demonstravit Blass ‖ 4 *χαλκεᾶν* ex Plutarchi librorum vestigiis Schneidewin | *οὐκ ἔστι* ap. Plut. meliores: *οὐκ ἔτι* M *οὐκέτι* S A ‖ 5 *συλᾶται* Plut.: *συλᾶτε* S M A sed sine acc. M | 6 *ὕπνον* S ‖ 7 *ἀῷος* Blass: *ἆμος* S *ἀμοσ* M *ἆμος* A. *ἀμὸν* Heyne ‖ 9 *βρίθοντ᾽* (*βρίθον τ᾽* corr. ex *βρίθοντ᾽* S[1]) *ἀγυιαὶ* S A *βρίθων τάγυιαὶ* M ‖ 10 ecl. cum lemm. hab. S M A. verba '*κείσθω — ἀράχναις*' adfert Plutarchus vit. Nic. c. 9, respicit Eustathius Od. p. 1793, 40 ‖ 11 *ΧΟΡ. Κείσθω* scripsi duce Meinekio: *᾽ρκείσθω* SMA *ἀρκείτω* Tr. *κείσθω* Plutarchus qui commonet *ᾀδόντων τὰ τοιαῦτα χορῶν.* est autem *παραχορήγημα* militum victorum, nam chorus qui proprie vocatur in Erechtheo ex mulieribus constat, quod observavit Wilamowitz anal. Eur. p. 174 | *ἀράχναις* Plut. ‖ 12 *γήρασ* S *γῆρασ* M *γήρ^α* A *γήραϊ* Tr. | *συνοικείην* A ‖ 13 *ἀοίδοιμι* A ‖ 14 *πέλταν* cod. Paris. 1985 si fides Gaisfordo: *πεαταν* sine acc. SM *πεάταν* A | *ἀθανᾶς* S *ἀθηνᾶς* M A ‖ 15 *περικίοσιν* M ut videtur, Grotius Dict. poet. p. 211: *περὶ κίοσιν* S *παρὰ κίοσιν* A | *ἐγκρεμάσας* A ‖ 16 *δέλτον* A | *ἀναπτύσοιμι* M ‖ 17 *ἂν* M | *κλέονται* Gaisford: *κλέωνται* SM *κ.λ^ε σονται* (etiam *έ* A[1]) A

5 *Φιλήμονος ἐκ Πύρρου* (fr. 71 K.).

Οἱ φιλόσοφοι ζητοῦσιν, ὡς ἀκήκοα,
περὶ τοῦτό τ' αὐτοῖς πολὺς ἀναλοῦται χρόνος,
τί ἐστιν ἀγαθόν, κοὐδὲ εἷς εὕρηκέ πω,
τί ἐστιν. ἀρετὴν καὶ φρόνησίν φασι, καὶ
πλέκουσι πάντα μᾶλλον ἢ τί τἀγαθόν.
ἐν ἀγρῷ διατρίβων τήν τε γῆν σκάπτων ἐγὼ
νῦν εὗρον· εἰρήνη 'στιν· ὦ Ζεῦ φίλτατε,
τῆς ἐπαφροδίτου καὶ φιλανθρώπου θεοῦ.
γάμους, ἑορτάς, συγγενεῖς, παῖδας, φίλους,
πλοῦτον, ὑγίειαν, σῖτον, οἶνον, ἡδονὴν
αὕτη δίδωσι· ταῦτα πάντ' ἂν ἐκλίπῃ,
τέθνηκε κοινῇ πᾶς ὁ τῶν ζώντων βίος.

6 *Εὐριπίδου* (Suppl. 481—493).

Ὅταν γὰρ ἔλθῃ πόλεμος εἰς ψῆφον λεώ,
οὐδεὶς ἔθ' αὑτοῦ θάνατον ἐκλογίζεται,
τὸ δυστυχὲς δὲ τοῦτ' ἐς ἄλλον ἐκτρέπει.
εἰ δ' ἦν παρ' ὄμμα θάνατος ἐν ψήφου φορᾷ,
οὐκ ἄν ποθ' Ἑλλὰς δορυμανὴς ἀπώλλυτο.
καίτοι δυοῖν γὰρ πάντες ἄνθρωποι λόγοιν
τὸν κρείσσον' ἴσμεν καὶ τὰ χρηστὰ καὶ κακά,

---

1 ecl. cum lemm. hab. S M A; *Φιλήμονος Ἐμπόρου* prop. Meineke ‖ 3 *περί του τόθ'* (*περὶ τοῦτό θ'* ut videtur A) *ἑαυτοῖς* S M A: corr. Meineke | *ἀναλοῖται πολὺς* A ‖ 4 *τἀγαθόν ἐστιν* prop. Brunck, *ἐστι τἀγαθόν, οὐδὲ* Meineke | *καὶ οὐδὲ εἶς* S *καὶ ουδε εἰσ* M *καὶ οὐδεὶς* A ‖ 6 *πλέκουσι*, quo irridetur artificiosior vanaque philosophorum suptilitas, non bene in *λέγουσι* mutari voluit Brunck | *ταῦτα* Tr. ‖ 8 *εἰρήνησ τὶν'* S *εἰρήνησ* (sine acc. M) *τὴν* M A: corr. Grotius ‖ 11 *ὑγίειαν* A: *ὑγείαν* S M | *ἡδονὴν* om. S ‖ 12 *αὕτη* libri nisi quod *ἄητη* M. *αὕτη δ. ταῦτα πάνθ', ἃν ἐκλίπῃ* prop. Meineke com. IV p. 22, *αὕτη δ. ταῦτα πάντ'. ἂν ⟨δ'⟩ ἐκλίπῃ* (sc. *αὕτη*) Kock melius. non praefero *ταῦτα ⟨δ'⟩ ἄν ποτ' ἐκλίπῃ* ‖ 14 ecl. cum lemm. hab. S M A ‖ 15 *ἐς* Eur. | *λεώ* ex *λεὼ* vel versa vice corr. S[1] *λεῶ* M A, *πόλεως* libri Eur. ‖ 16 *ἔθ' αὑτοῦ* Eur.: *ἔτ'* (*ἐτ'* M) *αὐτοῦ* S M A ‖ 17 *ἐκρέπει* A ‖ 18 *ψήφ* (ω supra) A ‖ 19 *ποθ' ε ἐλλὰσ* (sic) M | *ἀπώλλυτο* M, Eur.: *ἀπόλλυτο* S A ‖ 20 *γε* Eur.: *γὰρ* SMA | *ἄνθροι* A sed *ωπ* supra scr. A[2] ‖ 21 *κρείσσον'* Eur.: *κρείττονα* S M *κρείττον'* A

ὅσῳ τε πολέμου κρεῖσσον εἰρήνη βροτοῖς·
ἣ πρῶτα μὲν Μούσαισι προσφιλεστάτη,
γόοισι δ' ἐχθρά, τέρπεται δ' εὐπαιδίᾳ,
χαίρει δὲ πλούτῳ. ταῦτ' ἀφέντες οἱ κακοὶ
πολέμους ἀναιρούμεσθα καὶ τὸν ἥσσονα
δουλούμεθ' ἄνδρες ἄνδρα καὶ πόλις πόλιν.

7 *Ἀριστοφάνους Νήσων* (fr. 387 K.).

Ὦ μῶρε, μῶρε, ταῦτα πάντ' ἐν τῇδ' ἔνι·
οἰκεῖν μὲν ἐν ἀγρῷ τοῦτον ἐν τῷ γηδίῳ
ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων,
κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν,
ἔπειτ' ἀκούειν προβατίων βληχωμένων
τρυγός τε φωνὴν εἰς λεκάνην ὠθουμένης,
ὄψῳ δὲ χρῆσθαι σπινιδίοις τε καὶ κίχλαις,
καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια
τριταῖα, πολυτίμητα, βεβασανισμένα
ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ.

8 *Τοῦ αὐτοῦ Εἰρήνης* (520 s.).

Ὦ πότνια βοτρυόδωρε, τί προσείπω σ' ἔπος;
πόθεν λάβοιμ' ἂν ῥῆμα μυριάμφορον;

9 *Μενάνδρου* (fr. 719 K.).

Εἰρήνη γεωργὸν κἀν πέτραις

---

1 *κρεῖττον* libri Stob. ‖ 3 *ποιναῖσι δ' ἐχθρά* libri Eur. | *τ'* (pro *δ'*) libri Eur. | *εὐπαιδίᾳ* Eur. *εὐπαιδιᾶ* S *εὖ παιδιᾶ* MA ‖ 5 *ἀναιρούμεσθα* ex corr. libri Eur.: *ἂν αἱρούμεθα* SM *ἀναιρούμεθα* A, primo libri Eur. | *ἥσσονα* Eur.: *ἥττονα* libri Stob. ‖ 7 ecl. cum lemm. hab. SMA, *νήσσων* SMA ut supra *ῥήσσω* pro *Ῥήσῳ* MA ‖ 8 *μωρὲ μωρὲ* A ‖ 9 *μὲν ἐν ἀγρῷ πρῶτον* ci. Hirschig, quod non sufficit. *μὲν ἀργὸν αὐτὸν* Bergk, *μὲν ἀργὸν ἄπονον* (vel *ἄτρυφον*) Kaibel Herm. XXIV p. 48 adn. 2 ‖ 10 *τῶν κατ' ἄστυ πραγμάτων* prop. Nauck *Mél. gr.-rom.* VI p. 79 ‖ 12 *προβάτων* SMA: corr. Grotius ‖ 13 *αἰγός τε* Tr. | *ἠθουμένης* Herwerden ‖ 14 *ὄψων* libri: corr. Salmasius | *πηνιδίοις* SA, dubito de M: corr. Salmasius ‖ 17 *ἐπιχθυσπώλου* sed *υσ* syllaba ex parte rasa, supra *υ* accentus ut videtur radendo deletus M ‖ 18 ecl. cum lemm. hab. SMA, *ἀριστοφάνουσ* pro *τοῦ αὐτοῦ* M ‖ 21 ecl. cum lemm. hab. S M A. recurrit Maxim. c. 37 p. 629 Combef. (*Μενάνδρου*) ‖ 22 *κάν* S *κὰν* M *κἂν* A

τρέφει καλῶς, πόλεμος δὲ κἂν πεδίῳ κακῶς [ἔφυ].

10 *Ἡροδότου ἱστορίας α'* (87).

Οὐδεὶς γὰρ οὕτως ἀνόητός ἐστιν, ὅστις πόλεμον πρὸ εἰρήνης αἱρέεται.

---

1 *πόλεμωσ* M[1] *οσ* superscr. M[2] | *κακῶς* M *κακὸς* S A Max. (teste Eltero) | *ἔφυ* seclusit Salmasius ‖ 2 ecl. cum lemm. hab. SMA. iterat Maxim. c. 37 p. 629 (*Ἡροδότου*) Combef. ante Menandream, etiam Maximus genuinus, ut testatur Elter ‖ 4 *οὕτω* Her. | *πρὸς* S

CAPVT XV. PARS PRIOR.

ΠΕΡΙ ΓΕΩΡΓΙΑΣ ΟΤΙ ΑΓΑΘΟΝ.

1 *Ἀριστοφάνους Εἰρήνης* (fr. 294 K.).

Τῆς πᾶσιν ἀνθρώποισιν εἰρήνης φίλης
πιστὴ τροφός, ταμία, συνεργός, ἐπίτροπος,
θυγάτηρ, ἀδελφή· πάντα ταῦτ᾽ ἐχρῆτό μοι.
— Σοὶ δ᾽ ὄνομα δὴ τί ἐστιν; — Ὅ τι; Γεωργία.

2 (pac. superstitis 556 s.)

Ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
ἄσμενός σ᾽ ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους.

3 *Μενάνδρου Ἀδελφῶν* (fr. 13 K.).

Χαῖρ᾽, ὦ φίλη γῆ, διὰ χρόνου πολλοῦ σ᾽ ἰδὼν

---

2 ss. *Περὶ γεωργίας ὅτι ἀγαθὸν* SMA Mac. Tr. *Περὶ γεωργίας* duas nimirum capitis particulas uno titulo comprendens Photius in summario. *να´* adicit S *νδ´* Tr. *ξζ´* MA Mac. ‖ 3 ecl. cum lemm. hab. SMA ‖ 4 *τῆς* SM: *τοῖς* A quem frustra secuti sunt Gaisford Meineke Kock ‖ 6 *πάντα ταῦτ᾽ ἔγωγ᾽ ὁμοῦ* ci. Nauck *Mél. gr.-rom.* t. VI p. 78 ‖ 7 *ὅ τι;* Meineke: *ὅτι* libri ‖ 8 ecl. sine lemm. cum priore cohaerentem hab. SMA: separavit Gesn.² ‖ 9 *γεωργοῖς* Ar.: *γεωργὸς* SMA ‖ 10 *σε* M Tr. ‖ 11 ecl. cum lemm. hab. SMA, *μ^ε ἀδελφ͡* S. *Ἁλιέων* pro *Ἀδελφῶν* prop. Grauert, nam *ὁ αὐτὸς* (sc. *Μένανδρος*) *ἐν Ἁλιεῦσι* '*τὸ γὰρ τρέφον — θεόν*' Iustinus de monarch. p. 148 Otto. accedit vero quod apud eundem Iustinum l. c. pergitur *ὁ αὐτὸς ἐν Ἀδελφοῖς* (fr. 11 K.) '*θεός ἐστι τοῖς χρηστοῖς*' *κτέ.* in vetusto igitur gnomologio quo pariter usi sunt et Iustinus et Stobaeus *Ἁλιέων* eclogae ecloga *Ἀδελφῶν* erat subiecta. vides autem quam facile inter se lemmata commutari potuerint. cf. Elter de gnomol. Gr. hist. atque orig. part. III p. 127 ‖ 12 *ὦ φίλη Γῆ* prop. C. Schenkl *Wien. Stud.* XX (1898) p. 161 qui *ὅταν δὴ* (pro *δὲ*) poni iubet et interrogandi signum post *χωρίον* sic interpretatus *Denn ist damit nicht die ganze Erde für mich inbegriffen, wenn ich mein Gütchen sehe?* sed obstant v. *διὰ χρ. — ἀσπάζομαι* | *δ᾽ ἰδὼν* A

ἀσπάζομαι· τουτὶ γὰρ οὐ πᾶσαν ποιῶ
τὴν γῆν, ὅταν δὲ τοὐμὸν ἐσίδω χωρίον.
τὸ γὰρ τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν.

4 *Ἄμφιδος Ἐρίθων* (fr. 17 K.).

Εἶτ' οὐχὶ χρυσοῦν ἐστι πρᾶγμ' ἐρημία;
ὁ πατήρ γε τοῦ ζῆν ἐστιν ἀνθρώποις ἀγρός,
πενίαν τε συγκρύπτειν ἐπίσταται μόνος,
ἄστυ δὲ θέατρόν [ἐστιν] ἀτυχίας σαφῶς γέμον.

5 *Μενάνδρου Πλοκίῳ* (fr. 408 K.).

Ἆρ' ἐστὶν ἀρετῆς καὶ βίου διδάσκαλος
ἐλευθέρου τοῖς πᾶσιν ἀνθρώποις ἀγρός.

6 *Φωκυλίδου* (fr. 7 B.).

Χρηίζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ,
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

7 *Μενάνδρου Ἀνεψιοί* (fr. 63 K.).

Τὰ κακῶς τρέφοντα χωρί' ἀνδρείους ποιεῖ.

8 *Ἀριστοφάνους Ἀχαρνέων* (32 ss.).

Ἀποβλέπων εἰς τὸν ἀγρὸν εἰρήνης ἐρῶν
στυγῶ μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶ,
ὃς οὐδεπώποτ' εἶπεν, ἄνθρακας πρίω,

---

2 *ἐπίδω* ci. Elmsley ‖ **3** recurrit versus inter monstich. 490 et quidem sic *τὸ δὴ τρέφον — λέγω θεόν* ‖ 4 ecl. cum lemm. hab. SMA, *ἀμφιδοσ* M | v. *ὁ πατήρ γε* suspecta Kockio, qui prop *σωτήρ γε*, Elter *ὁ δοτήρ γε* ‖ **7** *ἐπίσταται* A: *ἐπίσταμαι* (sine acc. M) SM ‖ 8 *ἐστιν* seclusit Grotius, sed vide ne v. *σαφῶς γέμον* de suo addiderit florilegus. urbs est quasi theatrum infortunii | *σαφοῦς* A ‖ **9** ecl. cum lemm. hab. SMA: *πλοκω* SM *πλόκῳ* A, corr. Gaisford ‖ **11** *ἀνθρώποις* om. S ‖ **12** ecl. cum lemm. hab. SMA; *φωκυλίδου* M *φωκυλλ-* SA ‖ **14** *ἀμαλθείης* A *ἀμαλθέησ* M *ἀμαλθαίης* S ‖ **15** ecl. cum lemm. hab. MA, om. S ‖ **16** *χωρία* M ‖ **17** ecl. cum lemm. hab. SMA ‖ 18 *εἰρήνης* A sed syll. *νη* in ras. man. rec. ‖ **19** *στυγῶ* SMA: *στυγῶν* Ar. *στυγῶν* scripserunt in Stobaeo Gaisford et Meineke. sed verba finita quae in prioribus dederat Aristophanes, ea resecuit gnomologus posuitque *στυγῶ* et puto *ποθῶ* | *δῆμον* M, Ar.: *δῆπον* SA | *ποθῶ* Gesn.[1]: *ποθῶν* SMA, Ar. qui retineri vult *ποθῶν* propter Stobaei memoriae cum Aristophane consensum, is scribens etiam *στυγῶν* pro *στυγῶ* concedat oportet non curari verbum finitum a florilego. res difficilis est diiudicatu

οὐκ ὄξος [ὄψον] οὐκ ἔλαιον, οὐδ' ἤδη πρίω,
ἀλλ' αὐτὸς ἔφερε πάντα χὤ πρίων ἀπῆν.

9 *Μενάνδρου* (fr. 794 K.).

Ἀγροῖκος εἶναι προσποιεῖ πονηρὸς ὤν.

10 *Ἀράτου Φαινομένων* (108 ss.).

Οὔπω λευγαλέου ποτὲ νείκεος ἠπίσταντο
οὐδὲ διακρίσιος περιμεμφέος οὐδὲ κυδοιμοῦ,
αὔτως δ' ἔζωον· χαλεπὴ δ' ἀπέκειτο θάλασσα,
καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον,
ἀλλὰ βόες καὶ ἄροτρα καὶ αὐτή, πότνια λαῶν,
μυρία πάντα παρεῖχε Δίκη, δώτειρα δικαίων.

11 *Μενάνδρου Ὑδρία* (fr. 466 K.).

Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους ⟨τρόπους⟩
ἐρημία.

12 *Ἀριστοφάνους Νεφελῶν* (43 ss.).

Ἐμοὶ γὰρ ἦν ἀγροῖκος ἥδιστος βίος,
εὐρωτιῶν, ἀκόρητος, εἰκῇ κείμενος,
βρύων μελίτταις καὶ προβάτοις καὶ στεμφύλοις.

13 *Εὐριπίδου Ἀντιόπης* (fr. 188 N.[2]).

Τοιαῦτ' ἄειδε, καὶ δόξεις φρονεῖν,
σκάπτων, ἀρῶν γῆν, ποιμνίων ἐπιστατῶν,
ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα.

14 *Εὐριπίδου †Βουτημένῳ* (fr. 742 N.).

Ἄλλη πρὸς ἄλλο γαῖα χρησιμωτέρα.

---

1 *οὐκ ὄξος* Ar.: *οὐκ ὄξος ὄψον* S M A | *οὐδ' ἤδη* Ar.: *οὐχὶ δεῖ* M *οὐχι δεῖ* S *οὐχ ἡδὺ* A ‖ 2 *πανταχῶ* M A ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 4 *προσποιῇ* S ‖ 5 ecl. cum lemm. hab. S M A ‖ 6 *τότε* Ar. ‖ 7 *διὰ κρίσιος* S | *πολυμεμφέος* Ar. | *κυδυμοῦ* M ‖ 8 adfert Tzetzes in Hes. Op. 163 | *αὔτωσ* M | *ἔξωον* compend. A | *ἐπέκειτο* Tzetzes ‖ 9 *γίνωσκον* A ‖ 11 *δότειρα* A ‖ 14 ecl. cum lemm. hab. S M A, *ὑδρία* om. S. locupletior ecloga infra IV 16, 8 (*Μεν. Ὑδρίας*) ‖ 13 *τρόπους* ex Stob. IV 16, 5 inseruit Meineke ‖ 15 ecl. cum lemm. hab. S M A ‖ 19 ecl. cum lemm. hab. S M A. respexerunt locum Plato Gorg. p. 486 C aliique ex quibus plures versus eruit Valckenaer diatr. p. 86, cf. Nauck ad h. l. ‖ 20 *τοιαῦτα δ' ἔρδε* ci. Cobet | *δόξεις φρονεῖν*] *δόξης φρον τῖν'* fere A ‖ 21 *ποιμνίοις* Valckenaer ‖ 23 ecl. hab. S M A; fab. nom. om. S, *βουτημένω* add. M A, quod fort. ex duobus titulis, *Βουσίριδι* et

15 *Φιλήμονος* (fr. 105 K.).

Δικαιότατον κτῆμ' ἐστὶν ἀνθρώποις ἀγρός·
ὧν ἡ φύσις δεῖται γὰρ ἐπιμελῶς φέρει,
πυρούς, ἔλαιον, οἶνον, ἰσχάδας, μέλι.
τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα
εἰς τοὺς τραγῳδοὺς εὔθετ', οὐκ εἰς τὸν βίον.

16 *Σωκράτους.*

Ὁ Σωκράτης τὸ τῆς Ἀμαλθείας κέρας ἐξηγούμενος τοιαύτης τινὸς ἀναφορᾶς ἠξίωσεν· εἶναι γὰρ σύμβολον, ἂν μή τις ᾖ μάλθων ἀλλὰ ἐργάτης, πάντα ἕξειν τἀγαθά. κατὰ μὲν τὴν ἀμάλθειαν τοῦ μὴ μάλθωνος ταττομένου, κατὰ δὲ τὸ κέρας τοῦ βοὸς ἐργατικωτάτου ὄντος τὸν ἐργάτην ἐνσημαίνεσθαι· βότρυς δὲ ἐν τῷ κέρατι εἶναι καὶ τὰ ὅμοια, ὅτι ἐν τῇ γεωργίᾳ πάντα ἔνεστιν ὧν χρείαν ἔχομεν. διὸ καὶ ἔχοντες αὐτὸ εἰσάγονται ὅ τε ἀγαθὸς Δαίμων καὶ ἡ ἀγαθὴ Τύχη.

17 *Ξενοφῶντος* (conviv. 2, 24).

Οἶνος τὰς μὲν λύπας ὥσπερ μανδραγόρας ἄνδρα κοιμίζει, τὰς δὲ φιλοφροσύνας ὥσπερ ἔλαιον φλόγα ἐγείρει.

Τημένῳ, conflatum esse ci. Meineke. et *Εὐρ. ἐκ Βουσίριδος* alius locus affertur infra 62, 21 Mein. inter Temeni fragmenta rettulit eclogam Nauck || 24 *ἄλο γᾶα* M teste Duebnero

1 ecl. cum lemm. hab. SMA || 5 Diog. Laert. II 25 *καὶ συνεχὲς ἐκεῖνα ἀνεφθέγγετο* (sc. *Σωκράτης*) *τὰ ἰαμβεῖα ‘τὰ δ' ἀργυρώματ' ἐστὶν — εἰς τὸν βίον’* Clemens Alex. paed. II p. 222, 11 Stählin *‘ἡ πορφύρα καὶ τὰ ἀργυρώματα’ ὥς φησιν ὁ κωμικός ‘εἰς τοὺς τραγῳδοὺς χρήσιμα καὶ οὐκ εἰς τὸν βίον’* | *τὰ δ' ἀργ.* Diog. Laert. *τἀργυρώματα δ'* (*τἀργ.* M) SMA || 6 *χρήσιμ', οὐκ* Diog. Laert. | *εἰς* Diog. L. Clem. *ἐς* SMA || 7 ecl. cum lemm. hab. SMA. cynicae huius de Amaltheae cornu interpretationis similem profert inter alias Eustathius in schol. ad Dionys. v. 431, cf. E. Weber de Dione Chrys. Cynicorum sectatore (*Leipz. stud.* X) p. 256 || 8 *Ὁ* om. A | *ἀμαλθείασ* M *ἀμαλθίας* S; quid voluerit A non satis clarum, fort. *-έας* | *δέρας* A || 9 *ἀναφόροις* compend. A | *σύμβουλον* A^1 || 10 *μάχθων* A | *ἀλλ' ἐργάτης* S | *τὰ ἀγαθὰ* M || 11 *ἀμαλθίαν* S *-θέαν* MA | *ταττόμενος* A || 12 *ἐργατικώτερον* A || 17 ecl. cum lemm. hab. SMA || 18 *τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς τὰς μὲν λύπας ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους κοιμίζει κτέ.* Xen. | *κομίζει* Tr.

18 *Μουσωνίου ἐκ τοῦ Τίς ὁ φιλοσόφῳ προσήκων πόρος* (C. Musonii rel. p. 57 H.).

Ἔστι καὶ ἕτερος πόρος οὐδὲν τούτου κακίων, τάχα δὲ καὶ ἀμείνων νομισθεὶς ἂν οὐκ ἀλόγως ἀνδρί γ' εὐρώστῳ τὸ σῶμα, ὁ ἀπὸ γῆς, ἄν τ' οὖν ἰδίαν ἔχῃ τις ἄν τε καὶ μή. πολλοὶ γὰρ δὴ καὶ ἀλλοτρίαν γῆν γεωργοῦντες, ἢ δημοσίαν ἢ ἰδιωτικήν, δύνανται τρέφειν οὐ μόνον αὑτούς, καὶ τέκνα δὲ καὶ γυναῖκας· ἔνιοί γε δὴ καὶ εἰς ἄγαν ἀπὸ τούτου εὐποροῦσιν, αὐτουργικοὶ καὶ φιλόπονοι ὄντες. ἀμείβεται γὰρ ἡ γῆ κάλλιστα καὶ δικαιότατα τοὺς ἐπιμελομένους αὐτῆς, πολλαπλάσια ὧν λαμβάνει διδοῦσα καὶ ἀφθονίαν παρέχουσα πάντων τῶν ἀναγκαίων πρὸς τὸν βίον τῷ βουλομένῳ πονεῖν, καὶ ταῦτα μὲν σὺν τῷ πρέποντι, σὺν αἰσχύνῃ δ' οὐδὲν αὐτῶν. οὐ γάρ ἐστιν ἀνθρώπων οὐδεὶς μὴ θρυπτικός γε μηδὲ μαλακὸς ὤν, ὃ ἂν φαίη τῶν γεωργικῶν ἔργων ⟨ὅτι⟩οὖν αἰσχρὸν ἢ ἀνάρμοστον ἀνδρὶ ἀγαθῷ εἶναι. πῶς μὲν γὰρ οὐ καλὸν τὸ φυτεύειν; πῶς δὲ τὸ ἀροῦν; πῶς δὲ τὸ ἀμπελουργεῖν, τὸ δὲ σπείρειν, τὸ δὲ θερίζειν, τὸ δὲ ἀλοᾶν, οὐ πάντ' ἐλευθέρια ταῦτα καὶ ἀνδράσιν ἀγαθοῖς πρέποντα; καὶ μὴν τὸ ποιμαίνειν ὥσπερ Ἡσίοδον οὐ κατῄσχυνεν οὐδ' ἐκώλυεν εἶναι θεοφιλῆ τε καὶ μουσικόν, οὕτως οὐδ' ἂν ἄλλον οὐδένα κωλύσειεν. ἐμοὶ μὲν δὴ καὶ ἀρεστὸν τοῦτο πάντων τῶν

---

1 ecl. cum lemmate hab. SMA. praecessisse alteram dissertationis partem a gnomologo praetermissam apparet ex initio *Ἔστι καὶ ἕτερος*, perspexit Peerlkamp p. 280 ‖ 3 fuerit olim apud Lucium ⟨*Ἀλλ'*⟩ *ἔστι καὶ ἕτ.* vel *Ἔστι⟨δὲ⟩καὶ ἕτ.* ‖ 4 *ἀμείνω* S | *νομισθείη* Wakefield | *εὐρρώστω* A.[1] correxit plurima in hac ut in reliquis Musonii eclogis A[2], omitto res levioris momenti velut interpunctionum correctiones ‖ 7 *ἑαυτοὺς* A ‖ 8 *δὴ* Peerlkamp: *δὲ* libri ‖ 13 *πάντα μὲν* prop. Hirschig, poterat *καὶ* ⟨*πάντα*⟩ *ταῦτα μὲν* sim. | *ταῦτα μέν*⟨*τοι*⟩ ci. Blass *Lit. Zentralbl.* 1905 n. 46, sed adfirmantis est *μὲν* ‖ 15 *γε* (ut Wakefield) SM: *τε* ATr. ‖ 17 *ὁτιοῦν* ci. Gesn.[1] f. 356 mrg.: *οὖν* SMA *ὅτι* suprascr. A[2] ‖ 17 *μὲν* om. A | *οὐ* om. A[1] ‖ 19 *τὸ δὲ οὐ πάντ'* fere S | *ἐλευθερία* SMA[1] *ἐλεύθερα* A[2]: corr. Gesner ‖ 21 *κατήσχυνεν* sed *η* ex *αι* A[1] ‖ 22 *οὐδὲ ἐκ.* Tr. et ut videtur A ‖ 23 *μὲν δὴ καὶ ἀρεστὸν* SM *μὲν καὶ ἀρεστὸν* A[1] *γὰρ* inserit A[2]. *μὲν δοκεῖ ἄριστον* Pflugk, quod recepit Meineke proponens tamen *μὲν δὴ καὶ ἀρεστότατον*

ἐν γεωργίαις ἔργων, ὅτι τῇ ψυχῇ παρέχει σχολὴν πλείονα διανοεῖσθαί τι καὶ ζητεῖν παιδείας ἐχόμενον. ὅσα μὲν γὰρ ἔργα πάνυ ἐντείνει τὸ σῶμα καὶ κάμπτει, ταῦτα καὶ τὴν ψυχὴν ἀναγκάζει πρὸς αὐτοῖς εἶναι μόνοις ἢ μάλιστα συνεντεινομένην τῷ σώματι· ὅσα δὲ τῶν ἔργων ἐφίησι μὴ ἄγαν ἐντετάσθαι τὸ σῶμα, ταῦτ' οὐκ ἀπείργει τὴν ψυχὴν ἐκλογίζεσθαί τι τῶν κρειττόνων κἀκ τῶν τοιούτων λογισμῶν αὐτὴν αὑτῆς γίνεσθαι σοφωτέραν, οὗ δὴ καὶ μάλιστα πᾶς φιλόσοφος ἐφίεται. διὰ ταῦτ' ἐγὼ τὴν ποιμενικὴν ἀσπάζομαι μάλιστα· εἴ γε μὴν ἅμα φιλοσοφεῖ τις καὶ γεωργεῖ, οὐκ ἄλλον ἂν παραβάλοιμι τούτῳ βίον οὐδὲ πορισμὸν ἕτερον προτιμήσαιμι ἄν. πῶς μὲν γὰρ οὐ κατὰ φύσιν μᾶλλον ἀπὸ γῆς, ἣ τροφός τε καὶ μήτηρ ἐστὶν ἡμῶν, ἢ ἀπ' ἄλλου του τρέφεσθαι; πῶς δ' οὐκ ἀνδρικώτερον τοῦ καθῆσθαι ἐν πόλει, ὥσπερ οἱ σοφισταί, τὸ ζῆν ἐν χωρίῳ; πῶς δ' οὐχ ὑγιεινότερον τοῦ σκιατροφεῖσθαι τὸ ἔξω διαιτᾶσθαι; τί δὲ ἐλευθεριώτερον, αὐτὸν αὑτῷ μηχανᾶσθαι τὰ ἀναγκαῖα ἢ παρ' ἑτέρων λαμβάνειν; ἀλλὰ φαίνεται τὸ μὴ δεῖσθαι ἄλλου πρὸς τὰς χρείας τὰς αὑτοῦ πολὺ σεμνότερον ἢ τὸ δεῖσθαι. οὕτως ἄρα καλὸν καὶ εὐδαιμονικὸν καὶ θεοφιλὲς τὸ ζῆν ἀπὸ γεωργίας ἐστί, σύν γε τῷ καλοκἀγαθίας μὴ ὀλιγωρεῖν, ὥστε Μύσωνα

---

2 *διανεῖσθαι* A | *τι* Geel in editione Peerlkampi: *τε* SMA | *ἐχόμενα* A[2] ‖ **3** *γὰρ* om. A[1] ‖ **6** *τῶ σώματ' αὐτοῦ κἀπείργει* S *τὸ σῶμα ταὐτοῦ. καπείργει* M *τὸ σῶμα τ' αὐτοῦ κἀπείργει* A[1]: distinxit A[2] ‖ **8** *αὐτὴν αὐτῆσ γίγνεσθαι* M ‖ **9** *ταῦτ'* Tr., fort. A: *ταῦτα* SM **10** *ποιμεν-* M ex *ποιμαιν-* corr. S[1] *ποιμαιν-* A[1] | *φιλοσοφεῖ* A: *φιλοσοφοῖ* SM ‖ **11** *γεωργεῖ* A: *γεωργοῖ* SM | *παραβάλλοιμι* SMA[1]: corr. A[2] | *τοῦτον* A[1] ‖ **15** *ὥσπερ οἱ σοφισταί* seclusit Meineke, non recte. cf. Stob. III p. 644, 10 H. ‖ **16** *ὑγειν-* S | *σκιατραφεῖσθαι* A[2] ‖ **17** post *τί δὲ* non recte distinximus in ed. Mus. cum Meinekio | *αὐτόν*, sed *ο* ex *ω* corr. S[1] ‖ **18** *αὐτῶ* S Tr. *αὐτῶ* M *ἑαυτῶ* A ‖ **20** *αὐτοῦ* SMA: corr. A[2] | fort. *σεμνότερον* ⟨*ὂν*⟩ *ἢ* cf. Stob. flor. 67, 20 III p. 7, 10 Mein. | *οὕτως* A: *οὕτως* (*οὕτω* Tr.) *δ'* SM Tr. ‖ **21** *καὶ θεοφ.*] *καὶ* ex *τὸ* corr. S[1] ‖ **22** *τῶ* M Tr. *τὸ* SA[1] | Hippon. fr. 45 B. *καὶ Μύσων, ὃν ὡπόλλων ἀνεῖπεν ἀνδρῶν σωφρονέστατον πάντων.* tamquam Chenaeum commemorant multi, primus Plato Prot. p. 343 A. cf. Diog. Laert. I 106 s. | *μύσων αὐτὸν* M

τὸν Χηναῖον ὁ θεὸς ἀνεῖπε σοφὸν καὶ τὸν Ψωφίδιον Ἀγλαὸν εὐδαίμονα προσηγόρευσε, χωριτικῶς ἑκάτερον αὐτῶν βιοῦντα καὶ αὐτουργίᾳ χρώμενον καὶ τῆς ἐν ἄστει διατριβῆς ἀπεχόμενον. ἆρ᾽ οὖν οὐκ ἄξιον ζηλοῦν τε καὶ μιμεῖσθαι τούτους καὶ περιέχεσθαι σπουδῇ τοῦ γεωργεῖν;

Τί οὖν; 'οὐ δεινὸν' φαίη τις ἂν ἴσως 'ἄνδρα παιδευτικὸν καὶ δυνάμενον προβιβάζειν νέους εἰς φιλοσοφίαν ἐργάζεσθαι γῆν καὶ τῷ σώματι πονεῖν τοῖς χωρίταις παραπλησίως;' Ναί. δεινὸν ἂν τοῦτο τῷ ὄντι ἦν, εἴπερ ἐκώλυεν ἡ ἐργασία τῆς γῆς φιλοσοφεῖν ἢ ἄλλους πρὸς φιλοσοφίαν ὠφελεῖν. νῦν δὲ καὶ μᾶλλον ἄν μοι δοκοῦσιν ὠφελεῖσθαι οἱ νέοι οὐκ ἐν πόλει τῷ διδασκάλῳ συνόντες οὐδ᾽ ἐν τῇ διατριβῇ ἀκούοντες αὐτοῦ λέγοντος, ἀλλ᾽ ἐργαζόμενον ἐπὶ τῆς ἀγροικίας ὁρῶντες καὶ ἔργῳ ἐνδεικνύμενον ἅπερ ὑφηγεῖται ὁ λόγος, ὅτι χρὴ πονεῖν καὶ κακοπαθεῖν τῷ σώματι μᾶλλον ἢ ἑτέρου δεῖσθαι τοῦ τρέφοντος. τί δὲ τὸ κωλῦον ἐστὶ καὶ ἐργαζόμενον μετὰ τοῦ διδασκάλου τὸν μαθητὴν ἀκούειν τι ἅμα περὶ σωφροσύνης ἢ δικαιοσύνης ἢ καρτερίας λέγοντος; πολλῶν μὲν γὰρ λόγων οὐ δεῖ τοῖς φιλοσοφήσουσι καλῶς, οὐδὲ τὸν ὄχλον τοῦτον τῶν θεωρημάτων ἀναληπτέον πάντως τοῖς νέοις, ἐφ᾽ ᾧ φυσωμένους τοὺς σοφιστὰς ὁρῶμεν· ταῦτα γὰρ δὴ τῷ ὄντι ἱκανὰ κατατρῖψαι βίον ἀνθρώπου ἐστί. τὰ δ᾽ ἀναγκαιότατα καὶ χρησιμώτατα μαθεῖν οὐκ ἀδύνατον καὶ πρὸς ἐργασίᾳ γεωργικῇ ὄντας, ἄλλως τε καὶ οὐ

1 *χημαῖον* libri: corr. Holstenius | de Aglao vide Paus. VIII 24, 13 Plin. n. h. VII 46 Val. Max. VII 1,2 | *ψοφίδιον* (*ψοφόδ-* A) SMA: corr. Valckenaer | *Ἀγλαὸν*] vide Herodian. I p. 112, 10 L. ‖ 2 *χωριτικῶς* M *χωριστικῶς* S A ‖ 4 *τε* om. A ‖ 5 *τοῦτον* A¹ | *καὶ* A om. S M | *σπουδῇ* scripsi: *σπουδῆς* libri nisi quod *σπουδῆς τῆς* A² ‖ 6 *οὖν* om. A, *δὲ* supra lin. A² ‖ 9 *ναὶ δεινὸν ἂν* (*αν* M) *τοῦτο* SM *ναὶ γὰρ ἂν* A; *ναί. δεινὸν γὰρ ἂν τοῦτο* Gaisford et Meineke ‖ 17 *δὲ* A Tr. *δαὶ* S *δεαι* (superscr. *αι* et *ε*) (dubites igitur *δε* an *δαι* fuerit in libro antiquiore) M ‖ 19 *ἢ δικ.* MA *περὶ δικ.* S ‖ 20 *φιλοσοφοῦσι* A ‖ 21 *τοῦτον* (ut coniecit Meineke) S *τούτων* M Tr. et primo A ‖ 22 *φυσωμένους* S *φυσσωμ-* A¹ *φυσομ-* M ‖ 23 *δῶ* ut videtur pro *δὴ* M | *κατατρίψαι* S M sed ut *κατατρ* correxerit S¹ ex v. *τῷ ὄντι* per errorem iteratis: *διατρίψαι* A

διὰ παντὸς ἐργασομένους, ἀλλὰ ἀναπαύλαις χρησομένους. ὀλίγοι μὲν οὖν τὸν τρόπον τοῦτον ἐθελήσουσι μανθάνειν, οἶδ' ἀκριβῶς ἐγώ· ἔστι δὲ ἄμεινον μηδὲ προσιέναι τῷ φιλοσόφῳ τοὺς πλείονας τῶν φιλοσοφεῖν λεγόντων νέων, ὅσοι σαθροί τε καὶ μαλακοί, δι' οὓς προσιόντας ἀναπίμπλαται κηλίδων φιλοσοφία. τῶν μὲν γὰρ ἀληθινῶν ἐραστῶν φιλοσοφίας οὐκ ἔστιν οὐδείς, ὃς οὐκ ἂν ἐθελήσειε μετ' ἀνδρὸς ἀγαθοῦ διάγειν ἐν χωρίῳ, καὶ εἰ χαλεπάτατον τύχοι ὂν τὸ χωρίον, μέλλων γε ἀπολαύειν μεγάλα ταύτης τῆς διατριβῆς τῷ συνεῖναι τῷ διδασκάλῳ νύκτωρ καὶ μεθ' ἡμέραν, τῷ ἀπεῖναι τῶν ἀστικῶν κακῶν, ἅπερ ἐμπόδιον τῷ φιλοσοφεῖν, τῷ μὴ δύνασθαι λανθάνειν εὖ ἢ κακῶς τι ποιῶν, ὃ δὴ μέγιστον τοῖς παιδευομένοις ὄφελος· καὶ ἐσθίειν δὲ καὶ πίνειν καὶ καθεύδειν ἐφορώμενον ὑπ' ἀνδρὸς ἀγαθοῦ μέγα ὄφελος. ἃ δὲ γένοιτ' ἂν ἐξ ἀνάγκης ἐν τῇ συνουσίᾳ τῇ κατ' ἀγρόν, ταῦτα ἐπαινεῖ καὶ Θέογνις ἐν οἷς φησιν

καὶ μετὰ τῶν σύ γε πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
ἵζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.

ὅτι γε μὴν οὐκ ἄλλους τινὰς ἢ τοὺς ἀγαθοὺς ἄνδρας λέγει μεγάλην ἔχειν δύναμιν πρὸς ἀνθρώπων ὠφέλειαν, εἰ συνεσθίοι καὶ συμπίνοι τις αὐτοῖς καὶ συγκαθέζοιτο, ⟨ὧδε⟩ δεδήλωκεν·

ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι
† συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

---

1 *ἀλλ'* A ‖ 3 *προσεῖναι* S M A: corr. Halm ‖ 9 $\overset{η}{τύχ}$ A[1] ‖ 14 *ὑφορ-* Tr. ‖ 15 v. *ἃ δὲ γένοιτ' ἂν* — 25 *τὸν ἐόντα νόον* insititia putavit Meineke sed diatribarum indole et natura parum perspecta ‖ 18 Theogn. 33 sq. affert una cum proximo disticho Plat. Men. p. 95 D, eisdem utitur Nicostratus Stobaei (flor. 74, 64 Mein.), Stoicus opinor: *χρηστὸν δὲ καὶ τό 'μετὰ τῶν σύ γε πῖνε καὶ ἵζανε', παρ' ὧν τι φησὶ καὶ χρηστὸν ἂν ἀπολαύσαις* ‖ 18 *μετὰ τῶν σύ γε π.* M A Nicostr. *μετὰ τῶν γε σὺ π.* S: *μετὰ τοῖσιν π.* libri Theogn. *παρὰ τοῖσιν π.* Plat. | *τοῖσιν* ex *τίσιν* corr. M[1] ‖ 19 *ἵζε* Theogn. Plat. inde tacite Gesn.[1] f. 357[v], vulg.: *ἵζεο* S A *ἵζεο* M sed *ζ* in ras. corr. M[2] | *τοῖς ὧν*] *ω* e corr. S[1], qui scripserat *τοῖσιν* ut videtur ‖ 20 *γε μὴν* SM: *μὲν οὖν* A ‖ 21 *μεγάλην ἔχειν λέγει* A ‖ 22 *συνεσθίοι*

μὴ δὴ λεγέτω τις ὅτι τῷ μανθάνειν ἢ τῷ διδάσκειν ἃ χρὴ τὸ γεωργεῖν ἐμπόδιον· οὐ γὰρ ἔοικεν οὕτως ἔχειν, εἰ δὴ μάλιστ' ἂν οὕτω καὶ ἐπὶ πλεῖστον ὁ μὲν μανθάνων συνείη τῷ διδάσκοντι, ὁ δὲ διδάσκων διὰ χειρὸς ἔχοι τὸν μανθάνοντα. τούτου δὲ τοιούτου ὄντος, ὁ πόρος ἐκ γεωργίας φαίνεται ὢν τῷ φιλοσόφῳ πρεπωδέστατος.

19 *Ἐκ τοῦ Ξενοφῶντος Οἰκονομικοῦ* (5, 1—17).

Ταῦτα δέ, ὦ Κριτόβουλε ἐγὼ διηγοῦμαι, ἔφη ὁ Σωκράτης, ὅτι περ τῆς γεωργίας οὐδὲ οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. ἔοικε γὰρ αὐτῆς ἡ ἐπιμέλεια εἶναι ἅμα τε ἡδυπάθειά τις καὶ οἴκου αὔξησις καὶ σωμάτων

M *συνεσθίει* (οι superscr.) S[1] *συνεσθίει* A[1] | *ὧδε* quod addidi necessarium esse negat P. Wendland | post *δεδήλωκεν* (sic A[1]) addidit *ἐν τούτοις* A[2] in A marg. inferiore, praemisso *κείμενον*, quod verbis *ἐν τούτοις* subiungitur. eadem manus quae in Musonii ecl. IV 7, 67 corrigenda versata est hoc addit scholium *τὸ μέντοι φαύλοις καὶ μοχθηροῖς τὸν τρόπον συνδιατρίβειν καὶ κοινωνεῖν αὐτοῖς διαίτης ὅσον ἐπισφαλές, ἐν ἑτέροις* ‖ 24 s. Theognis 35 s. afferunt Plato Men. p. 95 D Xenophon apomn. I 2, 20 (Stob. III 29, 95 p. 657, 13 H.) symp. 2, 5 Clemens Alex. strom. V p. 677 P. alii, quos vide apud Bergkium. cf. Ps.-Crates epist. 29 | *μαθήσεαι* S A *μαθήσεται* M *μαθήσεαι* etiam Clem. et fortasse Stob. in Xenophontis loco citato, ubi tamen *διδάξεαι* M A, *διδάξεαι* Xen. utroque loco et Plato | *εἰ* (pro *ἢν*) A[1] ‖ 25 *συμμιγῆς* libri ut Stobaei III supra, Clem., Xenophontis apomn. plurimi, convivii omnes, Platonis: *συμμίσγῃς* recte Xenophontis apomn. cod. Paris. 1302, Theogn. *συμμιγέῃς* Cobet

1 *μὴ* (*μη* sine acc. M) *δὴ* (ut proposuit Meineke) S M: *μηδὲ* A Tr. | *τῷ* Tr.: *τὸ* S M *τὸ τῷ* A[1] | *τῷ διδ.* Tr. et A ut videtur: *τὸ διδ.* S M ‖ 2 *τῷ γεωργ.* operarum errore Gesn.[2] p. 371 ‖ 3 *ἂν* delevit A[2]; *μάλιστά γ'* Meineke | *πλείστων* A[1] corr. A[2] | *ἔχει* A[1] corr. A[2] ‖ 5 *ὁ πόρος* S A: *ὁποῖος* M ‖ 6 *πρεπωδέστατος* S M: *χρησιμώτατός τε καὶ πρεπωδέστατος* A receperunt Gaisford et Meineke. ceterum cf. Pflieger *Musonius bei Stob.* p. 38 ‖ 7 ecl. cum lemm. hab. S M A: *ἐκ ξενοφ* (τ superscr.) *οἰκονομικοῦ* (ω superscr.) S *ἐν ταυτῷ* M A[1] *ξενοφῶντος ἐκ τῶν ἀπομνημονευμάτων* A[2] *οἰκονομικοῦ* corr. A[3]. quod in M A offertur *ἐν ταὐτῷ* aut ita explicandum erit ut alteram Musonii eclogam intercidisse putemus una cum lemmate Xenophonteae aut, quod veri fortasse similius est, alterum ipsius Oeconomici locum interceptum credamus ‖ 10 *ἔοικε γὰρ ἡ ἐπιμέλεια αὐτῆς εἶναι* Xen.

ἄσκησις [καὶ] εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, προσεπιφέρει· ἔπειτα δὲ καὶ ὅσοις κοσμοῦσι καὶ βωμοὺς καὶ ἀγάλματα καὶ οἵοις αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει· ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει. καὶ γὰρ ἡ προβα⟨τευ⟩τικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ, ὥστ' ἔχειν καὶ θεοῖς ἐξαρέσκεσθαι θύοντας καὶ αὐτοὺς χρῆσθαι. παρέχουσα δὲ ἀφθονώτατα οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. καὶ τοὺς μὲν αὐτουργοὺς γυμνάζουσα διὰ τῶν χειρῶν ἰσχὺν αὐτοῖς προστίθησι, τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρίζει, πρωΐ τε ἐγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα. καὶ γὰρ ἐν τῷ χωρίῳ καὶ ἐν τῷ ἄστει ⟨ἀεὶ⟩ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν. ἔπειτα δὲ ἤν τε σὺν ἵππῳ ἀρήγειν τῇ χώρᾳ βουληθῇ τις, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία τρέφειν, ἤν τε πεζῇ, σφοδρὸν παρέχει τὸ σῶμα· ἐν ταῖς θήραις φιλοπονεῖσθαι συνεπαίρει τε ἡ γῆ καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέ-

---

1 *καί* quod ignorant libri Xenophontis, ut oscitanter e prioribus iteratum seclusi | *ὅσα* ex *οὖσα*, nisi fallor, corr. M[1] | *ἐλεύθερα* A ‖ 3 *ἐργαζομένη* A ‖ 4 *καί* om. Xen. | *ὅσοις* prop. Gaisford: *θεοὺς* libri Stob., *ὅσοι* libri Xen., nisi quod *ὅσα* cod. Guelferb. m. alt. | *καὶ βωμοὺς καὶ ἀγάλματα* MA *καὶ ἀγάλματα καὶ βωμοὺς* S *βωμοὺς καὶ ἀγάλματα* rectius libri Xen. ‖ 5 *οἵοις* M A *οἵους* S *οἴκους* Tr.: *οἷς* Xen. ‖ 7 *πολλὰ τὰ μὲν* Xen.: *τὰ μὲν πολλὰ* libri Stob. ‖ 8 *προβατευτικὴ* Xen.: *προβατικὴ* SMA ‖ 9 *θεοὺς* Cobet N. l. p. 580 ‖ 10 *ἀφθονώτατα* sed *θο* ex *ον* corr. S[1] | *ἀγαθὰ* (post *ἀφθ.*) tacite e Xen. indidit Gesn.[1] *τἀγαθὰ* in Xen. scribi voluit Cobet N. l. p. 579 ‖ 11 *ψύχει—θάλπει* S ‖ 13 *προτίθησι* A[1] ‖ 14 *ἀγείρουσα* Tr. ‖ 16 *ἀεὶ* tacite e Xen. inseruit Gesn.[1] | *ἐπικαιριώταται* S M, Xen., *-ιώτατοι* A[1]: *-ρόταται* Tr. ‖ 17 *δὲ* om. Xen. | *ἀρήγειν τις τῇ πόλει βούληται, τὸν ἵππον* Xen. ‖ 18 *ἱκανοτάτῃ ἡγεμονία* Tr. | *συντρέφειν* Xen. ‖ 19 *παρέχῃ* A Tr. | *σφοδρὸν τὸ σῶμα παρέχει· θήραις τε ἐπιφιλοπονεῖσθαι συνεπαίρει τι ἡ γῆ καὶ κυσὶν* Xen. ‖ 20 *συνεπαίρει* S *συνεπέρει* M *συνεπαίρηται* ut videtur A[1] sed *η* in *ε* mutavit A[2] | *ἐπέτειαν* (*ευπ* superscr.) S[1]

χουσα καὶ θηρία συμπαρατρέφουσα. ὠφελούμενοι δὲ ἀπὶ τῆς γεωργίας καὶ οἱ κύνες καὶ οἱ ἵπποι ἀντωφελοῦσι τὸν χῶρον, ὁ μὲν ἵππος πρωί τε κομίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν καὶ ἐξουσίαν παρέχων τοῦ δείλης ἀπιέναι, αἱ δὲ κύνες τά τε θηρία συνεξαίρουσαι κωλύουσιν ἀπὸ λύμης καρπῶν καὶ προβάτων καὶ τῇ ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι. συμπαρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ † ἡ γεωργία ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα τῷ κρατοῦντι λαμβάνειν. καὶ δραμεῖν δὲ καὶ βαλεῖν καὶ πηδῆσαι τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται; τίς δὲ τοῖς ἐργαζομένοις τέχνη πλείω ἀντιχαρίζεται; τίς δ' ἥδιον τὸν ἐπιμελούμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ τι χρῄζει; τίς δὲ ξένους ἥδιον ἢ ἀφθονώτερον δέχεται; χειμάσαι δὲ πυρὶ ἀφθόνῳ καὶ θερμοῖς λουτροῖς ποῦ πλείων εὐχέρεια ἢ ἐν χωρίῳ; ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε καὶ πνεύμασι καὶ σκιαῖς ἢ κατ' ἀγρόν; τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; τίς δὲ οἰκέταις προσφιλεστέρα ⟨ἢ⟩ γυναικὶ ἡδίων ἢ τέκνοις ποθεινοτέρα ἢ φίλοις εὐχαριστοτέρα; ἐμοὶ μὲν θαυμαστὸν δοκεῖ εἶναι, εἴ τις ἐλεύθερος ἄνθρωπος κτῆμά

---

1 *ὠφελούμενοι δὲ καὶ οἱ ἵπποι καὶ αἱ κύνες ἀπὸ τῆς γεωργίας ἀντωφ.* Xen. ‖ 4 *παρέχων ὀψὲ ἀπιέναι* Xen. | *τῆς* (pro *τοῦ*) Tr. ‖ 5 *τά τε θηρία ἀπερύκουσαι ἀπὸ λύμης* Xen. ‖ 6 v. *κωλύουσιν*—7 *συμπαρέχουσαι* homoeoteleuto abductus om. Tr. ‖ 7 *παρορμᾷ* Xen. ‖ 8 *συνόπλοισ* M | *τῇ χώρᾳ καὶ ἡ γῆ τοὺς γεωργοὺς ἐν τῷ μέσῳ* Xen., et sic, puto, olim Stob.; non bene *ἡ γεωργία καὶ ἡ γῆ τοὺς γεωργοὺς* scr. Gesn.[1] ‖ 9 *τοὺς καρποὺς τρέφουσα* Xen.: *τοῦ καρποῦ στρέφουσα* SMA ‖ 10 *δὲ* Xen.: *τε* libri Stobaei ‖ 11 *γεωργίᾳ* Tr. | *δαὶ* M ‖ 12 *πλείω τέχνη* Xen. ‖ 14 *χρῄζει* Xen. *χρήζοι* ex *χρήζει* corr. M[1] A[1] *χρήζοι* S | *δὲ ξένους* A Tr., Xen. *δαὶ ξένους* S, *δ' ἐπιξένουσ* M | *ἥδιον ἢ* om. Xen. ‖ 15 *πλείων* Xen.: *πλείω* SMA ‖ 16 *εὐχέρεια ἢ* libri Stob., etiam A Tr.: *εὐμάρεια ἢ* Xen. | *ἐν χώρῳ τῳ* Xen. | *δὲ*] *δεαι* M quod ortum apparet ex $\overset{αι}{δε}$ vel $\overset{ε}{δαι}$ ‖ 17 *δὲ* A Tr., Xen.: *δαὶ* S *δεαι* M ‖ 19 *δὲ* A Tr., Xen.: *δαὶ* S *δεαι* M | *ἢ* e Xen. tacite Gesn.[1] | *ἡδίων* Xen. *ἥδιον* SMA ‖ 20 *εὐχαριτοτέρα* Hertlein ‖ 21 *εἴ τις* Xen.: *ἤ τις* S *ἢ τίσ* M *ὅτι ὁ* A | *ἢ κτῆμα* Xen., e Xen. tacite Gesn.[1] *ἢ* om. MA Tr., puto etiam S quamquam silet Mekler

τι τούτου ἥδιον κτᾶται ἢ ἐπιμέλειάν τινα ταύτης εὕρηκεν ἡδίω ἢ ὠφελιμωτέραν εἰς τὸν βίον. ἔτι δὲ ἡ γῆ θεὸς οὖσα τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει· τοὺς γὰρ ἄριστα θεραπεύοντας αὐτὴν πλεῖστα ἀγαθὰ ἀντιποιεῖ. ἢν δ' ἄρα ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῇ ἡ γῆ, οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι τὰ σώματα καὶ τὰς ψυχάς, ἐὰν μὴ θεὸς κωλύῃ, δύνανται ἰόντες εἰς τὰς τῶν κωλυόντων λαμβάνειν ἀφ' ὧν θρέψονται. πολλάκις δ' ἐν τῷ πολέμῳ καὶ ἀσφαλέστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν μαστεύειν ἢ σὺν τοῖς γεωργικοῖς ὀργάνοις. συμπαιδεύει δὲ καὶ εἰς τὸ ἄρχειν ἡ γεωργία· ἐπί τε γὰρ τοὺς πολεμίους μετ' ἀνθρώπων δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία. τὸν οὖν μέλλοντα γεωργήσειν εὖ δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν καὶ πείθεσθαι ἐθέλοντας· τὸν δὲ ἐπὶ πολεμίους ἄγοντα ταὐτὰ δεῖ μηχανᾶσθαι δωρούμενόν τε οἷς δεῖ τοὺς ἀγαθοὺς καὶ κολάζοντα τοὺς ἀτακτοῦντας. καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργὸν ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις· καὶ ἐλπίδων δὲ ἀγαθῶν οὐθὲν ἧττον οἱ δοῦλοι τῶν ἐλευθέρων δέονται, ἀλλὰ καὶ μᾶλλον, ὅπως μένειν ἐθέλωσι. καλῶς δὲ κἀκεῖνος εἶπεν,

---

1 *τοῦτο.* Tr. | *κέκτηται* Xen. | *ἐπιμ. ἡδίω τινα ταύτης εὕρηκεν ἢ* Xen. ‖ 2 *θεὸς οὖσα* Stobaei libri, *θέουσα* vel *θέλουσα* Xen. cf. Cobet V. l.² p. 9 N. l. p. 579 ‖ 4 *τοῖς — θεραπεύουσιν* A ‖ 5 *ἐὰν* Xen. ‖ 6 *στερηθῇ ἡ γῆ* libri Stob., *στερηθῶσιν* Xen. ‖ 8 *παρασκευασμένοι* A | *καὶ τὰς ψυχὰς καὶ τὰ σώματα* Xen. ‖ 9 *ἢν μὴ θεὸς ἀποκωλύῃ* Xen. | *τὰς* Xen.: *τὰ* libri Stobaei | *τῶν ἀποκωλυόντων* Xen. ‖ 13 *τὸ ἐπαρκεῖν ἀλλήλοις ἡ γ.* Xen. | *ἡ* om. A | *μετ' ἀνθρώπων* libri Stobaei: *σὺν ἀνθρώποις* Xen. ‖ 15 *μέλλοντα εὖ γεωργήσειν δεῖ* Xen. ‖ 17 *ἐθελοντὰς* libri Stobaei, nisi *ἐθέλοντασ* M: *θέλοντας* Xen. | *δὲ* Xen.: *τε* libri Stobaei | *ταῦτα* libri tam Stobaei quam Xenophontis: corr. Camerarius ‖ 18 *δεῖ* Xen.: *δεῖν* S M A | *οἷς δεῖ* (*δεῖ* ex *δεῖν* corr. A¹) *τοὺς ἀγαθοὺς* S M A: *τοῖς ποιοῦσιν ἃ δεῖ ποιεῖν τοὺς ἀγαθοὺς* Xen. ‖ 21 *οὐδὲν* A Tr. *οὐθὲν* M, dubito de S ‖ 22 *οἱ δοῦλοι τῶν ἐλευθέρων* M A, Xen.: *τῶν ἐλευθέρων οἱ δοῦλοι* S

ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι· εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας ἔρρωνται καὶ ⟨αἱ⟩ ἄλλαι τέχναι ἅπασαι, ὅπου δὲ ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

---

3 *αἱ* addidi e Xen. | *καὶ τέχναι ἄλλαι* M | *ἂν* M, Xen.: om. S A ‖ 5 *καὶ* (post *τι*) om. A

CAPVT XV. PARS ALTERA.

ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ.

20 (57, 9 Mein.) *Μενάνδρου* (fr. 795 K.).

Ἔχει τι τὸ πικρὸν τῆς γεωργίας γλυκύ.

21 (57, 1 Mein.) *Μενάνδρου* (fr. 641 K.).

Ὁ τῶν γεωργῶν ἡδονὴν ἔχει βίος·
ταῖς ἐλπίσιν τἀλγεινὰ παραμυθούμενος.

22 (57, 2 Mein.) *Διφίλου* (fr. 89 K.).

Ἓν ὀνάριον ἐξ ἀγροῦ μοι καταβαίνει,
καθ' ἕκαστον ἐνιαυτὸν ἀγαπητῶς
ὥσπερ κανοῦν μοι πάντ' ἐνεσκευασμένον,
σπονδήν, ὀλάς, ἔλαιον, ἰσχάδας, μέλι.

---

1 ss. *Εἰς τὸ ἐναντίον* S M (cf. ad ecl. 20) A, om. in capitum catalogo M. titulus vix distinguitur a praecedente in A. non respexit hanc capitis partem Mac. *Ἔτι περὶ γεωργίας, εἰς τὸ ἐναντίον* Tr. idque imposuit Gaisfordo et Meinekio. De Photio monui supra p. 376. verae computationis vestigium servarunt etiam S M A, cum numerum priori huius capitis parti adpositum in posteriore retinerent. iterum igitur *να'* adscripsit S, non iteratum *ξζ'* etiam ad alteram partem pertinere volebant M A. defecit ab hac ratione et *νε'* addidit Tr. ‖ **3** ecl. cum lemm. hab. S in calce p. 106ᵛ, M A (ante 57, 1 Mein.); *ἐς τὸ ἐναντίον μενάνδρου* plane sicut alia lemmata praef. M ‖ **5** ecl. cum lemm. hab. S (post ecl. 56, 19 Mein.) M A (post ecl. 57, 9 Mein.); *Εὐριπίδου* Tr. ‖ **6** recurrit versus in Men. monost. cod. Vrbin. teste Meyero *Urbin. samml.* p. 443 | *βιος* sine acc. S ‖ 7 *ἐλπίσι* M | *τἀλγεινὰ π.* Tr.: *τε ἀλγεινὰ π.* S *τε ἀλγεῖν ἀπ.* M *τὰ δεινὰ π.* A ‖ **8** ecl. cum lemm. hab. S M A; *διφί-* ex *διφύ-* ut videtur corr. rubro M ‖ **9** *ἓν ὀνάριον ⟨γάρ* vel *δέ⟩ μοι καταβαῖνον ἐξ ἀγροῦ Καθ' ἕκαστον ⟨ὧδ'⟩ ἐνιαυτὸν ἀγαπητῶς ⟨ἄγει⟩ Ὥσπερ κανοῦν ἅμα πάντ' ἐνεσκ.* temptabat Kock, alii alia ‖ **11** *ὥπερ* Tr. | *πᾶνγ'* A | *ἱκανοῦν* S M A: *κανοῦν* e cod. Parisino 1985 enotavit Gaisford | *πᾶν γ'* A | *ἐνεσκευασμένον* S M A: *ἀνεσκ-* Tr. ‖ **12** *ολάς* (sine sp.) S *ἐλᾶσ* M *οὐλὰς* A

23 (57, 3 Mein.) *Μενάνδρου* (fr. 642 K.).

Ἐν τοῖς πολεμίοις ὑπερέχειν τὸν ἄνδρα δεῖ·
τὸ γὰρ γεωργεῖν ἔργον ἐστὶν οἰκέτου.

24 (57, 4 Mein.) *Ἀναξιλάου ἐκ Μυροποιοῦ* (fr. 16 vol. II p. 267 K.).

Πῶς ἔχεις; ὡς ἰσχνὸς εἶ;
— Ἀπόλλυμαι· τρέφω γὰρ ἐν ἀγρῷ χωρίον.

25 (57, 5 Mein.) *Μενάνδρου Γεωργοῦ* (fr. 96 K.).

Ἀγρὸν εὐσεβέστερον γεωργεῖν οὐδένα
οἶμαι· φέρει γὰρ ὅσα θεοῖς ἄνθη καλά,
κιττόν, δάφνην· κριθὰς δ᾽ ἐὰν σπείρω, πάνυ
† δικαίως ἀπέδωχ᾽, ὅσα ἂν καταβάλω.

26 (57, 6 Mein.) *Φιλήμονος* (fr. 98 K.).

Ἐγὼ τὸν ἀγρὸν ἰατρὸν ἐλελήθειν ἔχων·

---

1 ecl. cum lemm. hab. S M A ‖ 2 *πολεμικοῖς* prop. Kock ‖ 4 ecl. cum lemm. S M A; *Ἀναξίλλου* pro *Ἀναξιλάου* per errorem legerat Photius, unde *Ἀναξίλλης* pinacogr. Photi p. 50 Elt. *μυροπίου* (sine acc. S) S M *μύρεπίου* A. rettulere locum ad Anaxilae *Λυροποιόν*, sed, libris si oboedimus, significatur *Μυροποιός* ‖ 6 *πῶς*] *παῖς* A | *εἰς* pro *ὡς* Tr. | *ἴσχανος* (sine acc. M) S M *ἰσχανὸς* compendiose et ita exaratum ut librarius ipse litteram abundantem extinguere voluisse videatur A: *ἰσχνὸς* Valckenaer ‖ 7 *ἀπόλ-* in *ἀπόλλ-* corr. M² ‖ 8 ecl. cum lemm. hab. M A, om. S. de lemmate non dubitare debuit Blass *Lit. Centr.-Bl.* 1897 p. 1650. sed ipsis versibus damno fuit gnomologorum temeritas. discrepant enim in magna similitudine versus primum e papyro editi ab Iulio Nicole *Le laboureur de Mén.* Basil. et Genevae ed. a. 1898 p. 30 *ἀγρὸν γεωργεῖν εὐσε[βέστερον οὐδέ]να Οἶμαι· φέρει γὰρ μυρρ[ίνην κιττὸν] καλόν, Ἄνθη τοσαῦτα. τἄλλα δ᾽ [ἄν τις καταβάλ]ῃ, Ἀπέδωκεν ὀρθῶς καὶ δικαίως, οὐ [πλέο]ν, Ἀλλ᾽ αὐτὸ τὸ μέτρον. κτλ.* in his redintegrandis interim multi desudarunt, quorum conatus recensuit Kretschmar de Menandri rel. nuper repertis (Lips. a. 1906) p. 9 et 34 ss. *τἄλλα δ᾽ ἄν τις καταβάλῃ* e Menandro citat schol. Aristid. t. III p. 541, 30 Dind. (Men. fr. 899 K.). respiciunt Pollux I 227 Quintil. XII 10, 25 ‖ 9 *ἀργὸν* A | *οὐδένας* bene H. Weil ‖ 10 *ὅσω* M ‖ 11 *δάφναν* A | *δ᾽ ἐὰν* Grotius: *δὲ ἂν* M *δ᾽ ἂν* A ‖ 12 *δικαίως* M A: *δίκαιος ⟨ὢν⟩* Zedelius | *ἀπέδωκ᾽* M A sed *χ* superscr. A¹ | *ὅσα ἂν* M *ὅσ᾽ ἂν* A *ὅσας ἂν* Bentley. quod interpolavit Grotius Dict. poet. p. 219 *δίκαιος ἀπέδωκεν τόσ᾽ ὅσσ᾽ ἂν καταβάλω* (propter Wilamowitzium moneo) nullo scripsit codice adiutus ‖ 13 ecl. cum lemm. hab. SMA ‖ 14 *ἐλελήθην* M

τρέφει γὰρ οὗτος ὥσπερ ἀρρωστοῦντά με,
σιτάρια μικρὰ προσφέρων οἴνου θ᾽ ὅσον
ὀσμήν, λαχάνων ἄγει τι καὶ νὴ τὸν Δία
τὰ πετραῖα ταῦτ᾽ ὀψάρια, κάππαριν, θύμον,
ἀσπάραγον, αὐτὰ ταῦτα· καὶ δέδοικα μὴ
λίαν ἀπισχναίνων με ποιήσῃ νεκρόν.

27 (57, 8 Mein.) *Φιλήμων ἐν Ὑποβολιμαίῳ* (fr. 82 K.).

Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος.

28 (57, 7 Mein.) *Κωμικοῦ ποιητοῦ* (Com. III p. 424 K.).

Ἐγὼ γεωργῶ τὸν ἀγρόν, οὐχ ὅπως τρέφῃ
αὐτός με, παρ᾽ ἐμοῦ δ᾽ ἵνα τροφὴν προσλαμβάνῃ.
σκάπτω γὰρ αὐτὸς ἐπιμελῶς σπείρω τ᾽ ἀεί,
καὶ πάντα ποιῶ πρὸς τὸ δοῦναι καὶ λαβεῖν.
ὁ δὲ λαμβάνει μέν, ἀποδίδωσι δ᾽ οὐδὲ ἕν.

* * *

ἀποστερητὴν ἔλαθον ἀγοράσας ἀγρόν.
ἔσπειρα μὲν κριθῶν μεδίμνους εἴκοσι,
τούτων ⟨δ᾽⟩ ἀπέδωκεν οὐδ᾽ ὅλους τρεισκαίδεκα,
οἱ δ᾽ ἑπτ᾽ ἐπὶ Θήβας ἐστράτευσάν μοι, δοκῶ·
τὸ τῶν γυναικῶν ῥῆμα διατηρεῖ μόνον

---

2 *σμικρὰ* A | *τε ὅσον* SM ‖ 3 *λαχάνου* A | *τ᾽ ἀεί τι* Dobree ‖ 4 *πετραγεια* SM *πετραγεῖα* A: *πετραῖα* Salmasius ap. Grotium | *κάππαρον* A ‖ 5 *ἀσπάραττον* A ‖ 6 *ἀπισχαίνων* SMA *ἐπισχαίνων* Tr.: corr. Gesn.[2] ‖ 7 ecl. cum lemm. hab. S in calce p. 107[r], MA (post ecl. 57, 6 Mein.); *φιλημ°* S. poetae nomine omisso citatur versus a Zonara Lex. s. *νέωτα* et Etym. m. p. 600, 56, etiam a Zenobio cent. II 43 ubi vide quae adnotarunt editores ‖ 8 *ἐς* A ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 57, 6 Mein.) MA (post ecl. 57, 8 Mein.) ‖ 10 *ἔγωγε ὁρῶ* SM *ἔγωγ᾽ ὁρῶ* A: corr. Dobree | *ὅπως* SM: *ἵνα* A ‖ 12 *σπείρω* A: *σπέρω* SM ‖ 13 *δοὺς τι καὶ λ.* scripsit Kock ‖ 14 *οὐδὲ ἕν* SM *οὐδέν* A | quae post hunc versum sequuntur, a prioribus diremit novamque eclogam constituit Meineke. non ita multa intercidisse videntur Kockio, huic accedo ‖ 16 *ἔσπειραν* M | *κριθῶν* SM *κριθὴν* A unde *κριθῆς* Meineke Com. vol. V 1 p. 122 ‖ 17 *δὲ* addendum esse vidit Meineke Stob. flor. v. II p. XXIX | *ὅλους* ex *ὅλως* corr. S[1] et M[2] | *τρεισκαίδεκα* scripsi: *τρισκαίδεκα* plenis litteris SMA; *τρεῖς καὶ δέκα* maluit Kock ‖ 18 *ἑπτὰ* SM ‖ 19 *τὶ τῶν* A | *σχῆμα* SA *σῆμα* M Tr.: corr. Dobree | *μόνον* cum sequentibus coniungit A

'ὀνησιφόρα γένοιτο.' τοῦτο γίνεται·
ὃ γὰρ φέρει νῦν οὗτος, εἰς ὄνος φέρει.

29 (57, 10 Mein.) *Φαβωρίνου* (fr. 108 p. 143 Marr.).

Φασὶ δὲ καὶ ἑταιρικόν τινα ἀναγκαζόμενον ὑπὸ τοῦ πατρὸς γεωργεῖν ἀπάγξασθαι, γράψαντα ἐν γραμματιδίῳ, ὅτι ἀπέραντόν τι καὶ ἀκατάστροφον ἡ γεωργία ἦν· σπείρειν, ὅπως θερίσωμεν, εἶτα θερίζειν, ὅπως σπείρωμεν· ἄτοπόν τι τὸ χρῆμα τῆς περιόδου.

30 (57, 11 Mein.) *Ξενοφῶντος ἐκ τοῦ ⟨η'⟩ τῆς ⟨Κύρου⟩ παιδείας* (VIII 3, 38).

Σκάπτω καὶ σπείρω καὶ μάλα μικρὸν γήδιον, οὐ μέντοι πονηρόν γε, ἀλλὰ πάντων δικαιότατον· ὅ τι γὰρ λάβοι σπέρμα, καλῶς καὶ δικαίως ἀπεδίδου αὐτό τε καὶ τόκον οὐδέν τι πολύν, ἤδη δέ ποτε ⟨ὑπὸ γενναιότητος καὶ διπλάσια ἀπ⟩έδωκεν ὧν ἔλαβεν.

31 (57, 12 Mein.) *Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν.*

Ζήνων ὁ Στωϊκὸς φιλόσοφος ὁρῶν τινα τῶν γνωρίμων ὑπὸ τοῦ ἀγροῦ περισπώμενον εἶπεν 'ἐὰν μὴ σὺ τοῦτον ἀπολέσῃς, οὗτός σε ἀπολέσει.'

---

1 *ὀνησιφόρους* compendiose A ‖ 3 ecl. cum lemm. hab. SMA, *Φαβουρίνου* M ‖ 4 *ἑτερικὸν τινὰ* M ‖ 5 *γράμματι ἰδίῳ* A ‖ 6 post *γεωργία* distinguitur in libris: corr. Gesn.[1] | *ἦν* libri: corr. Gesn.[1] ‖ 9 ecl. cum lemm. hab. SMA; lemma supplevi ‖ 11 *ἔνθα δὴ ἐγὼ ἀντέτρεφον ἐκεῖνον, ἕως ἔζη, αὐτὸς σκάπτων καὶ σπείρων καὶ μάλα* Xen. ‖ 12 *λάβῃ* A ‖ 14 *ἤδη* SM, Xen., *ἴδει* A | *δέῃ* ut videtur pro *δέ* A | *ποτε ὑπὸ γενναιότητος καὶ διπλάσια ἀπέδωκεν* dedi e Xen.: *ποτ' ἔδωκεν* SMA ‖ 16 ecl. cum lemm. hab. SMA. de 'chriis' Aristoteli adscriptis vid. Rose de Ar. libr. ord. p. 53 s., Ar. pseudep. p. 611 ss. iteratur ecloga sine lemmate gnomol. Paris. 259 Sternb. 'apophthegma ... sub Isocratis nomine in cod. Ottobon. Gr. 192 f. 236ᵛ recurrit, paulo aliter concinnatum Demostheni adsignatur in cod. Vat. Gr. 742 f. 65ᵛ: *Δημοσθένης πρός τινα φιλογέωργον εἶπεν· 'ἐὰν μὴ σὺ τὸν ἀγρὸν ἀπολέσῃς, αὐτὸς σὲ ἀπολέσει'* (cod. *αὐτόσε 'ἂν ἀπολέσῃ*) Sternbach ad gnomol. Vat. 39 *Wiener Stud.* IX p. 193. cf. etiam florilegium ab H. Schenkelio editum 68 *Wien. Stud* XI p. 22 ‖ 17 *Ζήνων ὁ Στωϊκὸς ὁρῶν τινα γνώριμον* gnomol. Par. ‖ 18 *σὺ* om. gnomol. Par.

32 (57, 13 Mein.) *Ἀριστίππου.*

Ἀρίστιππος λέγοντος αὐτῷ τινος ‘διὰ σὲ ἀπόλωλεν ὁ ἀγρός’ ‘οὐκ οὖν’ ἔφη ‘κάλλιον δι’ ἐμὲ τὸν ἀγρὸν ἢ διὰ τὸν ἀγρὸν ἐμέ;’

---

1 ecl. sine lemm. hab. S, lemma *Ἀριστίππου* praefigunt MA, vix rectius, puto, quam si *Ζήνωνος* addidissent priori. videtur ecloga potius ex eadem chriarum sylloga petita esse atque praegressa, ut, si iteravit lemma gnomologus, *ἐκ τῶν αὐτῶν* (sc. *Ἀρ. χρειῶν*) scripsisse putandus sit vel suo more *Ἐν ταὐτῷ* sic ut libri offerunt III 7, 30 H. cui sententiae non obstat quod iteratur ecloga corp. Par. 449 Elt. praemisso lemmate hoc *τοῦ αὐτοῦ* (i. e. *Ἀριστίππου*) *ἀποφθέγματα*. dissimile est in aliqua similitudine quod narrat Diog. Laert. II 77. temere olim Stobaeum ex Diogene interpolabant, ut recte iudicavit Sternbach gnomol. Vat. 38 *Wiener stud.* IX p. 192 ‖ 2 *Ἀρίστιππος* S: om. MA corp. Par. | *λέγοντος δὲ* corp. Par. | *αὐτῷ τινος* SM: *τινος* (*τινὸς* corp. Par.) *αὐτῷ* A corp. Par.

CAPVT XVI.

ΠΕΡΙ ΗΣΥΧΙΑΣ.

1 (6 Mein.) *Αἰσχύλου Προμηθέως δεσμώτου* (44).

Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.

2 (1 Mein.) *Εὐριπίδου Ἀντιόπῃ* (fr. 193 N.²).

Ὅστις δὲ πράσσει πολλὰ μὴ πράσσειν παρόν,
μῶρος, παρὸν ζῆν ἡδέως ἀπράγμονα.

3 (7 Mein.) *Ἐπιχάρμου ἐξ Αὐτομόλου* (fr. 101 Kaib.).

Ἁ δ' Ἁσυχία χαρίεσσα γυνά,
καὶ Σωφροσύνας πλατίον οἰκεῖ.

4 (2 Mein.) *Εὐριπίδου Ἰφιγενείας* (Aul. 16 ss.).

Ζηλῶ σε, γέρον,
ζηλῶ σ' ἀνδρῶν ὃς ἀκίνδυνον
βίον ἐξεπέρασ' ἀγνὼς ἀκλεής·
τοὺς δ' ἐν τιμαῖς ἧσσον ἐπαινῶ.

---

1 s. *Περὶ ἡσυχίας* cum Photio omnes. *νβ'* S *λς'* (voluit *νς'*) Tr. *ξη'* MA Mac. ‖ **3** ecl. cum lemm. hab. S (post ecl. 5 Mein.) MA (tamquam capitis primam), pro fab. n. *προμη* θ non plura S *προμηθέως δεσμῶν* MA. cf. Clemens Al. strom. V 1 p. 646 P. *Αἰσχύλος κέκραγε 'τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην'.* recurrit versus inter Men. monost. 508 ‖ **4** quod in fine versus praegressi posuerat Aeschylus *σὺ δέ*, id recisum esse a vetusto quodam gnomologo docemur Clementis cum Stobaeo concordantia. inconsiderate igitur verbis *τὰ μηδὲν* praefixit *σὺ δὲ* A² ‖ **5** ecl. cum lemm. hab. S (tamquam capitis primam) MA (post ecl. 6 Mein.) ‖ **6** *πόλλ' ἃ* olim coniecimus exercit. cr. p. 16 | *χρεὼν* pro *παρόν* prop. Nauck ‖ **8** ecl. cum lemm. hab. S (post ecl. 6 Mein.) MA (post ecl. 1 Mein.), *ἐπιχαρ* μ sine f. n. S. *αυτομόλου* M *αὐτομολοῦ* A ‖ **9** *ἁ* SM *ἡ* A | *ἡσυχία* libri: corr. Meineke ‖ **10** *σωφροσύνης* Tr. | *παλάτιον* A² ‖ **11** ecl. cum lemm. hab. S (post ecl. 1 Mein.) MA (post ecl. 7 Mein.). respicit versus Cicero Tuscul. III 24, 57 ‖ **12** *ζηλῶ σε ἀνδρῶν* SMA *ζηλῶ δ' ἀνδρῶν* Eur. | *ὡς* A ‖ **14** *ἐξεπέρασ' ἀγνὼς* Eur.: *ἐξεπέρασας ἀγνώστως* SMA ‖ **15** *ἧσσον ζηλῶ* Eur.

5 (8 Mein.) *Μενάνδρου ῾Υδρίας* (fr. 466 K.).

῾Ως ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους τρόπους
ἐρημία· καὶ τῷ μελετῶντι μηδὲ ἓν
πονηρὸν ἱκανὸν κτῆμ' ἀγρὸς τρέφων καλῶς.
ἐκ τῶν ὄχλων δὲ ζῆλος, ἥ τε κατὰ πόλιν
αὕτη τρυφὴ λάμπει μέν, ἐς δ' ὀλίγον χρόνον.

6 (9 (Mein.) *Πινδάρου ῾Υπορχημάτων* (fr. 109 Schr.).

Τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς
ἐρευνασάτω μεγαλάνορος ῾Ασυχίας ἱερὸν φάος,
στάσιν ἀπὸ πραπίδος, ἐπίκοτον ἀνελών,
πενίας δότειραν,
ἐχθρὰν κουροτρόφον.

7 (10 Mein.) *Κερκίδα Μελιάμβων* (fr. 3 II[4] p. 514 B.).

῾Ο τᾶς ῥικνᾶς χελώνας ἀμναμόνευ'·
οἶκος γὰρ ἄριστος ἀλαθέως καὶ φίλος.

---

1 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) M A (post ecl. 2 Mein.). v. *ὡς ἡδὺ — ἐρημία* leguntur supra (*Μενάνδρου ῾Υδρία*) IV 15, 11, ubi *τρόπους* omittunt libri ‖ 6 *λαμπρὰ μὲν* prop. Kock ‖ 7 ecl. cum lemm. hab. S M A. v. *τὸ κοινὸν — φάος* affert poetae n. commemorato Polybius IV 31, 5. cf. Elter De gnomol. Gr. hist. atque orig. commentationis ramenta (Bonnae ed. a. 1897) p. 8 ‖ 8 *εὐδεία* M | *τιθεὶς* Pol.: *καταθεὶς* libri Stobaei ‖ 9 *ἐρευνασάτω* S[1], Pol.: *ἐρευνησάτω* S m. rec. M A | *μεγαλάνορος* Pol.: *μεγάλ' ἀν* (*ἂν* Tr.) *ὄρος* (vel *ὅροσ* M) S M A | *῾Ασυχίας* Boeckh: *ἡσυχία;* S M A, Pol., *-ίαν* Tr. | *τὸ φαιδρὸν φάος* Pol. recte ‖ 10 *πραπίδων* cod. Paris. 1985 teste Gaisfordo | *ἐπίκοτον* Grotius: *ἐπικότον* S A *ἐπὶ κότον* M *ἐπικόπον* Tr. | *ἀνέμων* S M A: corr. Grotius ‖ 12 *κουροτρόφον, οὐκ οἶδ' οὐδ' ἐπέοικεν, ἃ μὴ μάθομεν πονέεσθαι* Tr. id est primum versum eclogae 11 Mein. cum Pindari verbis sine lemmate copulavit ‖ 13 ecl. cum lemm. hab. MA, om. S. *κερκιδᾶ* A. *μελιάμβων* Meineke, *μιμιάμβων* M A. cf. quae congessere edit. Gottingenses paroemiogr. I p. 438. vide etiam Haupt opusc. II p. 397 ‖ 14 *ὁ* M A. *τὸ* scr. Gesn.[1]. fort. *οὐ τᾶς — ἀμναμόνευ'* | *τὰς* M A: corr. Gesn.[2] | *ῥικνὰς* A ‖ *ἀμναμονεῦ* (sine acc. M) M A: *ἐμναμόνευ'* Bergk, *ἀμναμονεῖ* Gaisford idque in Stobaeo etiam Meineke, *τὸ τᾶς ῥ. χ. μναμόνευ'* Meineke, qui postea *τοῦ τᾶς ῥ. χ. ὀμναμονεῖ* | *ἀλαθεωσ* sine acc. M *ἀλλὰ θεὸς* A | *καὶ*] *οἱ* prop. Bergk

11 (3 Mein.) *Εὐριπίδου Βακχῶν* (389 ss.).

ΧΟΡ. Ὁ δὲ τᾶς ἡσυχίας
βίοτος, καὶ τὸ φρονεῖν
ἀσάλευτόν ⟨τε⟩ μένει,
καὶ ξυνέχει δώματα, πόρσω γὰρ ὅμως
αἰθέρα ναίοντες ὁρῶ-
σιν τὰ βροτῶν οὐρανίδαι.

12 (4 Mein.) *Εὐριπίδου Ἡρακλειδῶν* (109 s.).

Καλὸν δ⟨έ γ'⟩ ἔξω πραγμάτων ἔχειν πόδα
εὐβουλίας τυχόντα τῆς ἀμείνονος.

13 (5 Mein.) *Εὐριπίδου Οἰνόμαος* (fr. 576 N.²).

Ὁ πλεῖστα πράσσων πλεῖσθ' ἁμαρτάνει βροτῶν.

14 (11 Mein.) *Ἐκ τῶν Βίωνος Βουκολικῶν* (IV 1 p. 140 Wil.).

Οὐκ οἶδ', οὐδ' ἐπέοικεν ἃ μὴ μάθομεν πονέεσθαι.

15 (11 contin. Mein.) *τοῦ αὐτοῦ* (fr. IV 2 ss. Wil.).

Εἴ μεν καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μῶνα
κῦδος ἐμοὶ θήσοντι, τά μοι πάρος ὤπασε Μοῖρα·

---

1 ecl. cum lemm. hab. S (post ecl. 2 Mein.) MA (post ecl. 10 Mein.); $\overset{o}{\underset{\rho}{\chi}}$ add. S ‖ 2 *ἀσυχίας* Dindorf ‖ 4 *τε* Eur.: om. SMA ‖ 5 *συνέχει* Eur. | *πόρσω γὰρ* Elmsley: *πόρρω γὰρ* SMA *πρόσω γὰρ ἀλλ'* libri Euripidei | *ὅμως* Eur.: *ὁμῶς* libri Stobaei, certe MA Tr. ‖ 6 *ὁρῶσιν* M: *ὁρῶσι* ut videdur SA, libri Euripidis quorum Laurentianus e corr. *-σιν* ‖ 8 ecl. cum lemm. hab. SMA ‖ 9 *καλῶν* M | *δέ γ' ἔξω* Eur.: *δ' ἔξω* SMA | *ἔχει* Tr. ‖ 11 ecl. cum lemm. hab. SMA. cf. Men. monost. 724 ‖ 12 *Ὁ* om. A | *πλεῖστ'* SM ‖ 13 ecl. cum lemm. hab. S (post ecl. 9 Mein.) MA (post ecl. 5 Mein.), de Tr. vide quae adnotavimus ad ecl. 9 Mein. extr. ‖ 15 *οὐδ'* om. M | *ἐποιοικεν* in *ἐπεοικεν* corr. M¹ | *μάθομεν* ex *μάθωμεν* corr. S¹ *μάθομεν* Tr. *μάθωμεν* MA; *μάθομες* scr. Ahrens | *πονέεσθαι* SA *πορεύσθαι* M ‖ 16 ecl. cum lemm. hab. SMA, *τοῦ αὐτοῦ* MA idque fuit in ipso archetypo, nam in lemmate *ἐκ τ̃ $\overset{o}{β}$ιων βουκο λικῶν* quod ad duas eclogas se excipentes pertinere vult S, *λ* (in *λικῶν*) ex *τ̃* corr. S¹, repperit igitur et ipse *τοῦ αὐτοῦ*. confirmat Tr., ubi ab *Εἴ μοι* nova orditur ecloga praefixo lemmate *Ἐκ τῶν βίωνος βουκολικῶν*: cum versu praegresso coniunxit Gesn.², cui obsecuti sunt editores sed indicata post *πονέεσθαι* lacuna Hermann et Meineke ‖ 17 post *Εἴ* (rubr.) una litt. rasa

εἰ δ' οὐχ ἁδέα ταῦτα, τί μοι πολὺ πλήονα μοχθεῖν;
εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν
ἢ Κρονίδας ἢ Μοῖρα πολύτροπος, ὥστ' ἀνίεσθαι
τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐπὶ μόχθῳ,
ἦν τάχα μοχθήσαντι μεθύστερον ἐσθλὰ δέχεσθαι.
εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθῆν
ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μήονα πάντων,
ἐς πόσον ἆ δειλοὶ καμάτως κεἰς ἔργα πονεῦμες,
ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα καὶ ποτὶ τέχνας
βάλλομες, ἱμείροντες ἀεὶ πολὺ πλήονος ὄλβω;
ἦ λαθόμεσθ' ἄρα πάντες ὅτι θνατοὶ γενόμεσθα,
χὡς βραχὺν ἐκ Μοίρας λάχομεν χρόνον.

16 (12 Mein.) *Ἀπολλώνιος Διονυσίῳ* (Epist. gr. p. 127 Herch.).

Καλὸν πρὶν παθεῖν διδαχθῆναι πηλίκον ἐστὶν ἡσυχία.

17 (13 Mein.) *Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας* (p. 31 E—32 A).

Οὐ γὰρ ἔστιν ὅστις ἀνθρώπων σωθήσεται οὔτε ὑμῖν οὔτε ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος καὶ δια-

---

in M | *μεν* Ahrens: *μοι* libri | *μελύδρια* sed *ι* e corr. M | *μῶνα* Gaisford: *μόνα* SMA *μοῦνα* Tr. ‖ 18 *μοῖρα* A Tr. sine acc. SM. *μοῖσα* Pierson

1 *πλείονα* libri. cf. 7 et 10 | *μοχθεῖν* SMA *-θῆν* Gaisford ‖ 2 *βιότῳ* ex *βιώτῳ* corr. S *βιώτω* MA *βιότω* Tr. | *ἄμμιν* Grotius D. poet. p. 223, sic etiam cod. Paris. 1985 teste Gaisfordo: *ἁμῖν* SM *ἆμβιν* A ‖ 4 *ἐπὶ μόχθῳ* Wilamowitz: *ἐνὶ μόχθῳ* (vel *-ω*) SA *ἐριμόχθω* M ‖ 5 *μεθύστερον* Meineke: *ποθ' ὕστερον* libri ‖ 6 *ἐλθῆν* SM *ἐλθεῖν* A Tr. malim *ἐνθῆν* vel *ἐνθεῖν*, nam *ἀπῆνθεν* M infra flor. 63, 26 Mein. ‖ 7 *βραδὺν* A | *μήονα* SM *μείονα* A ‖ 8 *ἆ δειλοὶ* S *αδειλοι* sine spir. et acc. M *ἀδειλοὶ* A | *καμ. κεἰς ἔργα*] praepositionem *ἀπὸ κοινοῦ* intellegendam esse monet Wilamowitz | *καὶ εἰς* A ‖ 10 *βάλλομες* sed *ο* ex *ω* et *μες* ex *μεν* corr. A[1] | *πλήονος* Tr. *πλέονος* SMA ‖ 11 *ἦ λαθόμεσθ'* Hermann: *λαθόμεθ'* (*λαθέμεθ'* A) *ἢ* (*ἡ* M *ἤ* Tr.) SMA | *γενόμεθα* SMA: tacite corr. Gesn.[1] ‖ 12 *λάχομες* Brunck ‖ 13 ecl. cum lemm. hab. MA, om. S ‖ 15 *τηλικον* M ‖ 16 ecl. cum lemm. hab. SMA. afferuntur verba ab Aristide or. vol. II p. 343 et 353 Dind. episemon *νβ'* hic in margine scriptum, tum erasum in S

κωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι, ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν ἀλλὰ μὴ δημοσιεύειν.

18 (14 Mein.) *Πλουτάρχου ἐκ τοῦ Περὶ ἡσυχίας* (vol. VII p. 119 s. Bern.).

Σοφὸν ἔοικε χρῆμα τὸ τῆς ἡσυχίας πρός τε ἄλλα καὶ εἰς ἐπιστήμην καὶ φρονήσεως μελέτην· λέγω δὲ οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἥ τις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα. αἱ μὲν γὰρ ἐν ταῖς πόλεσι καὶ τοῖς τῶν ἀνθρώπων ὄχλοις γινόμεναι μελέται γυμνάζουσι τὴν λεγομένην δριμύτητα, πανουργίαν οὖσαν· ὥστε τοὺς ἐν αὐταῖς ἄκρους οἷον ὑπὸ μαγείρων τῶν ἐν ταῖς πόλεσι χρειῶν διαπεποικιλμένους †πόσα δὲ οὐχὶ καὶ διακονήματα δεινὰ ἐργάζεσθαι. ἡ δ' ἐρημία, σοφίας οὖσα γυμνάσιον, ἠθοποιὸς ἀγαθὴ καὶ πλάττει καὶ μετευθύνει τῶν ἀνδρῶν τὰς ψυχάς. οὐδὲν γὰρ αὐταῖς ἐμπόδιόν ἐστι τῆς αὐξήσεως, οὐδὲ πρὸς πολλὰ καὶ μικρὰ νόμιμα προσπταίουσαι κάμπτονται εὐθύ, καθάπερ αἱ ταῖς πόλεσιν ἐναπειλημμέναι ψυχαί· ἀλλ' ἐν ἀέρι καθαρῷ καὶ τὰ πολλὰ ἔξω διαιτώμεναι τῶν ἀνθρώπων ἀνίασιν ὀρθαὶ καὶ πτεροφυοῦσιν, ἀρδόμεναι τῷ διαυγεστάτῳ τε καὶ λειοτάτῳ ῥεύματι τῆς ἡσυχίας, ἐν ᾧ τά τε μαθήματα τοῦ νοῦ θεοειδέστερα καὶ καθαρώτερον ὁρᾶν. διὰ

---

5 ecl. cum lemm. hab. SMA. ex bono scriptore haec sustulisse Plutarchum prodit Horatiani carminis II 16 aliqua similitudo: *otium ... neque purpura venale neque auro* comparavit Buecheler mus. Rhen. XXXVII p. 231 ‖ 7 *ἔοικεν* M | *ἡσυχίας* ex *-ης* corr. S[1] ‖ 11 *γινόμεναι* SM *γιγνόμεναι* A ‖ 14 *τῶν* om. A | ante *πόσα* lacunam signavit Wyttenbach supplens *πόσα μὲν οὐχὶ* tamquam initium eorum quae perierint. *πόσα ⟨μὲν οὐκ αὐτάρκεις εἶναι παρέχεσθαι πόσα⟩ δ' οὐχὶ — δεινοὺς ἐργάζεσθαι* prop. Bernardakis ‖ 17 *μεγεθύνει* ci. Nauck ‖ 19 *κάμπτονται*] *μ* omissum sup. lin. add. A[1] ‖ 21 *διαιτώμενοι* SMA: corr. Wyttenbach | *ἀνιᾶσιν* SMA: corr. Meineke ‖ 22 *ὀρθαὶ τῶν ἀνῶν καὶ* A ‖ 23 *τε καὶ λειοτάτῳ* SM *καὶ τελαιοτάτῳ* A ‖ 24 *θεοειδέστερα* A *θεωδέστερα* SM | *ὁρᾶν* SM *ὁρᾷ* A. *τὸ δρᾶν* ci. Duebner, *τὸ ὁρᾶν* aut *τὸ ἐνορᾶν* mavult Bernardakis. an *τὸ διορᾶν*?

τοὔτό τοι καὶ τῶν θεῶν τὰ ἱερά, ὅσα ἐκ τοῦ πάλαι ἀρχαίου νενόμισται, τοῖς ἐρημοτάτοις χωρίοις οἱ πρῶτοι, μάλιστα δὲ Μουσῶν τε καὶ Πανὸς καὶ Νυμφῶν καὶ Ἀπόλλωνος καὶ ὅσοι μουσικῆς ἡγεμόνες θεοί, διακρίναντες, ὡς οἶμαι, τὰς παιδείας κατὰ τῶν ἐν ταῖς πόλεσι δεινῶν τε καὶ μιαρῶν σινῶν.

---

1 *τοι*] *σοι* Tr. | *ἐκ τοῦ παναρχαίου* dubitanter Iacobs lect. Stob. p. 99 *ἐκ τοῦ πάλαι* [*ἀρχαίου*] Piccolos ‖ 2 post *οἱ πρῶτοι* suppleri voluit *ἐνίδρυσαν* Wyttenbach, *καθιερώκασι* Bernardakis. vitium potius in *οἱ πρῶτοι* inesse videbatur Iacobsio l. c. propono *ἵδρυνται* ‖ 5 *τὰς παιδείας κατὰ* libri: *τὰς παιδείας ἀπὸ* prop. Gesn.[1] marg. *τα παιδείας καλὰ* scr. Meineke *τὰς παιδείας καὶ τὰ* Duebner ‖ 6 *σινῶν* scripsi: *τινῶν* libri. *πηλῶν* vel *ῥύπων* exspectabat Iacobs, *τεχνῶν* Duebner, *πόνων* Bernardakis

CAPVT XVII.

ΠΕΡΙ ΝΑΥΤΙΛΙΑΣ ΚΑΙ ΝΑΥΑΓΙΟΥ.

1 *Ὁμήρου Ὀδυσσείας θ'* (138 s.).

Οὐ μὲν γάρ τί που ἐστὶ κακώτερον ἄλλο θαλάσσης
ἄνδρα τε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.

2 *Ἀλέξιδος ἐκ Συναποθνῃσκόντων* (fr. 211 K.).

Ὅστις διαπλεῖ θάλατταν ἢ μελαγχολᾷ
ἢ πτωχός ἐστιν ἢ θανατᾷ. τούτων [τῶν] τριῶν
ἑνός γ' ἀποτυχεῖν τοὐλάχιστον οὐκ ἔνι.

3 *Σοφοκλέους Σκυρίων* (fr. 511 N².).

Ἦ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν,
οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων
πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν.
λεπταῖς ἐπὶ ῥοπῇσιν ἐμπολὰς μακρὰς
ἀεὶ παραρρίπτοντες οἱ πολύφθοροι
ἢ ἔσωσαν ἀκέρδαναν ἢ διώλεσαν.

---

1 s. *Περὶ ναυτιλίας καὶ ναυαγίου* S M A Tr. *Περὶ ναυτιλίας* (*ναυτηλ-* Mac.) Photius in summario, Mac. numero *νβ'* (corr. ex *νγ*) caput insignitur S *νζ'* Tr. *ξθ'* M A Mac. sed numerum genuinum *ρξε* ad totum Stobaei opus pertinentem servavit S in marg. superiore f. 108ᵛ, cf. quae disserui Stob. III p. IX ss. ‖ 3 ecl. cum lemm. hab. S M A, *θ'* om. A ‖ 4 *οὐ γὰρ ἐγώ γέ τι φημὶ κακώτερον* Hom. | *ἄλλο* om. S A ‖ 5 *ἄνδρα γε* Homeri codicum non nulli ‖ 6 ecl. cum lemm. hab. M A, detracto lemmate S ‖ 7 *δὲ πλεῖ* ci. Hirschig | *θάλασσαν* libri ‖ 8 *θανάτα* S *θάνατα* M | *τῶν* secl. Gesn.[1] ‖ 9 *ἑνός τ'* libri: corr. Meineke ‖ 10 ecl. cum lemm. hab. S M A ‖ 11 *ἢ* (sic S M) om. A, quo non uti debuit Meineke coniciens *φεῦ* vel *ὦ* et in seqq. *ποντοναυτῶν ὡς ταλαίπωρον γένος* ‖ 12 s. gnomologo digniores quam Sophocle ‖ 13 *νείμειεν* Brunck: *νείμειαν* M A ‖ 14 *λεπτῆς* vel *-ῇς* libri: corr. Meineke | *ἐπιρροπῄισιν* S *ἐπιρροπῇσιν* M *ἐπὶ ῥοπῇσιν* A ‖ 16 *ἧσ ὥσ ἄν* (*ὡσὰν* vel *ὡγὰν* M) S M A: *ἢ 'σωσαν* Porson adv. p. 215 | *ἢ κέρδαναν* S M A: corr. Meineke

4 Ἐκ τῶν Ἀράτου Φαινομένων (292).

Τῆμος ἐπιρρήσσουσι νότοι, ὁπότ' Αἰγοκερῆι
ἐμφέρετ' ἠέλιος· τότε δὲ κρύος ἐκ Διός ἐστι
ναύτῃ μαλκιόωντι κακώτατον. ἀλλὰ καὶ ἔμπης
ἤδη πάντ' ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα
πορφύρει· ἴκελοι δὲ κολυμβάσιν αἰθυίῃσιν
πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες
ἥμεθ' ἐπ' αἰγιαλοὺς τετραμμένοι, οἱ δ' ἔτι πόρσω
κλύζονται· ὀλίγον δὲ διὰ ξύλον Ἄιδ' ἐρύκει.

5 Φιλήτα Ἐπιγραμμάτων.

Γαῖαν μὲν φανέουσι θεοί ποτε· νῦν δὲ πάρεστιν
λαιψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος.

6 Ἀντιφάνους Ἐφεσίας (fr. 100 K.).

Δύστηνος ὅστις ζῇ θαλάττιον βίον.
τῶν γὰρ πλεόντων ζητεῖν ἑκατὸν στάδια
ἐλθεῖν του δὴ κρεῖττον ἢ πλεῦσαι πλέθρον.
πλεῖς τὴν θάλατταν σχοινίων πωλουμένων;

7 (8 Mein.) Ὁμήρου (Il. XV 628).

Τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται.

---

1 ecl. cum lemm. hab. SMA; τῶν S τοῦ MA ‖ 2 ἐπιρρήσουσι A ‖ 3 συμφέρετ' Ar. ‖ 4 μαλκίοωντι Ar. μαλκιώοντι ex μαλκιόωντι fecit S[1] (errat Gaisford) μαλκιώοντι M μαλκΐοντι A probante Cobeto V. l.[2] p. 131 | κακώτερον Ar. ‖ 6 κολυμβίσιν Ar. | αἰθύησιν (-ύησιν A) SMA ‖ 7 πέρι παπταίνοντες S ‖ 8 τετραμμένον M | δ' ἔτι ut videtur SA δέ τι M | πόρσω Ar.: πόρρω SMA ‖ 9 ὀλΐγων sine acc. A | ξύλων A ‖ 10 ecl. cum lemm. hab. SMA ‖ λαιψηρὸν compendiose A αἰψηρῶν S αἰψηλῶν M ‖ 13 ecl. cum lemm. hab. SMA ‖ 15 s. verba desperata. στάδια S στάδι' MA ‖ 16 που δὴ S ποῦ δὴ M σπουδῇ A. ζῇ τις pro ζητεῖν prop. Grotius, ζῆν τιν' ⟨οὐ λέξω ποτε⟩ ci. Meineke Elmslei exemplum secutus, qui proximum versum sic scribi voluerat ἑκατὸν στάδι' ἐλθεῖν [που δὴ] κρεῖττον ἢ πλεῦσαι πλέθρον. contra που δὴ in ποσὶν mutari iussit Iacobs addit. in Athen. p. 186 qui postea (lect. Stob. p. 16) commendavit τῶν γὰρ πλ. ζῆν τιν' ἐρεῖς; στάδι' ἑκατόν Ἐλθεῖν ποσὶν δὴ κρεῖττον ἢ πλεῦσαι πλέθρον. alia prop. Dobree Adv. II p. 358 ‖ 17 a prioribus segregandum esse hunc versum intellexit Meineke. sed videtur Antiphanis esse et ipse lemmate non iterato | πλεῖς τὴν Salmasius: πλείστην SMA ‖ 18 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) A (post ecl. 6 Mein.), om. M ‖ 19 ὑπ' ἐκ libri | φέρονται] sc. ναῦται, nisi fortasse plenius

8 (7 Mein.) *Ἀρχίππου* (fr. 43 K.).

Ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ ⟨τῆς⟩ γῆς ὁρᾶν
ὦ μῆτέρ ἐστι, μὴ πλέοντα μηδαμοῦ.

9 *Μενάνδρου ἐν Θρασυλέοντι* (fr. 241 K.).

Ὁ δεύτερος πλοῦς ἐστὶ δήπου λεγόμενος,
ἂν ἀποτύχῃ τις ⟨οὐρίου⟩ [ἐν ταῖς] κώπαισι πλεῖν.

10 *Καλλιμάχου* (fr. 111 Schn.).

Ἔνθ' ἀνέμων μεγάλων κῦμα διωλύγιον.

11 *Καλλιμάχου* (fr. 111 Schn.).

Τρισμάκαρ· ἦ παύρων ὄλβιός ἐσσι μέτα,
ναυτιλίης εἰ νῆιν ἔχεις βίον· ἀλλ' ἐμὸς αἰὼν
κύμασιν αἰθυίης μᾶλλον ἐσφκίσατο.

12 *Σοφοκλέους Τυμπανιστῶν* (fr. 579 N.[2]).

Τί τούτου χάρμα μεῖζον ἂν λάβοις [ποτέ],

---

dederat olim gnomologus *τρομέουσι δέ τε φρένα ναῦται, Δειδιότες· τυτθόν γὰρ — φέρονται*

1 ecl. sine lemm. hab. S (post ecl. 6 Mein.), addito lemmate M (post ecl. 6 Mein.) A (post ecl. 8 Mein.). *Καλλιμάχου* pro lemm. Tr. p. 348 sed errore perspicuo, nam omittitur lemma *Καλλιμάχου* in Tr. infra ad ecl. 10. iteratur ecloga Anton. c. 54 p. 61 (post Epict.) Maxim. c. 52 p. 655 (post Epict.) ‖ 2 *ἀπὸ τῆς γῆς* ed. Wechel.: *ἀπὸ* (*ἀπὸ* Tr.) *γῆς* S *απογῆς* M *ἀποιγης* compend. A ‖ 3 *ἐστὶν* A ‖ 4 ecl. cum lemm. hab. MA, om. S; *ἐν θρασυλέοντι* M *ἐκ θρασυλέοντος* A ‖ 5 *δεύτερος πλοῦς* proverbium usitatissimum, testimonia collegerunt ed. Gottingenses in Greg. Cypr. II 21 paroemiogr. v. I p. 359 ‖ 6 *οὐρίου* suppeditavit Eustathius Od. p. 1453, 18 *δεύτερος πλοῦς λέγεται, ὅτε ἀποτυχών τις οὐρίου κώπαις πλέει, κατὰ Παυσανίαν*: *ἐν ταῖς* MA | *κώπεσι* M ‖ 7 ecl. cum lemm. hab. SMA ‖ 8 *διολύγιον* M ‖ 9 ecl. cum lemm. hab. MA, om. S; *καλλιμάχου* M *τοῦ αὐτοῦ* A. eiusdem carminis esse hos versus atque eclogam priorem comprobavit Schneider Callim. II p. 381 ‖ 10 *ἢ* M *ἦ* A | *ἐστι* libri: corr. Iacobs lect. Stob. p. 101 | *μέτα* Bentley: *μέγα* libri ‖ 11 *ναυτιλίησιν ἣν ἔχεις* (*ἣν ἔχης* A) MA: corr. Bentley et Nauck. *ναυτιλίης ὃς νῆιν ἔχει β.* dederat Bentley. cf. schol. Arat. 299 M. *καὶ Καλλίμαχος 'ἀλλ' ἐμὸς αἰὼν κύμασιν αἰθυίης μᾶλλον ἐσφκίσατο'* ‖ 12 *αἰθύης* MA ‖ 13 ecl. cum lemm. hab. SMA; *τῶν πανιστῶν* M. *φεῦ φεῦ, τί τούτου — λάβοις* (omissa vocula *ποτέ*) affert Plutarchus poetae et fab. nomine detracto Vit. Aemilii Pauli c. 1, *κἂν ὑπὸ — φρενί* Cicero ad Att. 2, 7, 4 sine fab. nom. ‖ 14 *τί τούτου* SM Plut. *τοῦ* A. ut staret ver-

τοῦ γῆς ἐπιψαύσαντα κἀθ᾽ ὑπὸ στέγῃ
πυκνῆς ἀκοῦσαι ψακάδος εὑδούσῃ φρενί;

13 *Εὐριπίδου Ἐρεχθέως* (fr. 355 N.²).

Ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.

14 *Μενάνδρου* (fr. 643 K.).

Τὰ μεγάλα κέρδη ῥᾳδίως ἢ πλουσίους
τοὺς παραβόλως πλέοντας ἢ νεκροὺς ποιεῖ.

15 *Ἀντιφάνους* (fr. 101 K.).

Ἐν γῇ πένεσθαι κρεῖττον ἢ πλουτοῦντα πλεῖν.

16 *Εὐφορίωνος Φιλοκτήτου* (fr. 42 Scheidw.).

Τὸν δ᾽ ἐκάλυψε θάλασσα λιλαιόμενον βιότοιο,
καὶ οἱ πήχεες ἄκρον ὑπερφαίνοντο ταθέντες
ἀχρεῖ᾽ ἀσπαίροντος ἅλις Δολοπιονίδαο,
δυστήνου· ζωὴν δὲ μεθ᾽ ὕδατος ἔκβαλε πᾶσαν
χεῖρας ὑπερπλάζων, ἅλμη δ᾽ ἐκάλυψεν† ὀδόντας.

17 *Ἀντιφάνους Μελίττης* (fr. 151 K.).]

---

sus ap. Stob., *τί τοῦδε* proposuit Valckenaer Diatr. p. 194 servato *ποτέ*, quod propter Plutarchi cum Stobaeo consensum non magis probabile puto, quam si quis maluerit *τί χάρμα τούτου μεῖζον — ποτέ*. nisi igitur ipse dormitavit gnomologus, delendum erit *ποτέ* quod ignorat Plut.

1 *τοῦ* Frob. p. 174, inde tacite Gesn.¹ f. 361ᵛ: *τῶ* SMA | *κἀθ᾽* ante Gaisfordum Meineke cur. crit. (a. 1813) p. 39: *καὶ* SMA *κἂν* Cic. ‖ 2 *πυκνᾶς ἀκούειν ψακάδος* Cic. | *ψακάδος* S¹MA *ψεκάδος* S man. rec. Tr. ‖ 3 ecl. cum lemm. hab. SMA ‖ 4 ⟨*πολλάκις δέ τοι*⟩ *Ναὸς μεγίστης κρεῖσσον ἦν μικρὸν σκάφος* prop. Herwerden Adnot. crit. et exeg. 2 p. 5 ‖ 5 ecl. cum lemm. hab. S MA ‖ 8 ecl. cum lemm. hab. SMA. Ephesiae (cf. ecl. 6) adsignant fidentes Apostolii testimonio (7, 27 *Παραινετικὴ Ἀντιφάνους τοῦ Ἐφεσίου* sic) parum certo. sine auctoris nom. citant versum Diogenian. cent. IV 83 aliique haud pauci ‖ 9 *ἐν τῇ* Tr. | *πένεσθαι* M, S corr. man. rec. alio atramento usa, Tr.: *γενέσθαι* S¹A | *κρεῖσσον* A ‖ 10 ecl. cum lemm. hab. SMA ‖ 11 *βιότοιο* SM *πλούτοιο* A. cf. Hom. Od. XXIV 536 ‖ 12 *πήχεος* A ‖ 13 *ἀχρεῖ᾽ ἀσπαίροντες* A *ἀχρεῖα σπαίροντες* S *ἃ χρεῖα σπαίροντες* M: corr. Meineke | *ἅλις*] *ἅδην* scr. Meineke ‖ 14 *ἔκβαλε* Valckenaer et Meineke: *ἔμβαλε* libri ‖ 15 *χεῖρ᾽ ὑπερπλάζων* A | *ἅλμη* (vel *-ῃ*) *δ᾽ ἐκάλυψεν ὀδόντας* libri: *ἐκάλυψε θανόντα* ci. Geel, *ἐπέρησεν ὀδόντας* Elter ‖ 16 ecl. cum lemm. hab. SMA; *μελλίτ᾽* M

Ἐπὶ χρήμασιν δ' ἂν ἔμπορος φρονεῖ μέγα,
ὧν ἐστι πάντων ἐνίοτ' ἄνεμος κύριος.

18 *Εὐριπίδου Φιλοκτήτης* (fr. 793 N.[2]).

Μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει.
ἐν γῇ δ' ὁ φόρτος, καὶ πάλιν ναυτίλλεται.

19 *Ἐκ τῶν Μόσχου Βουκολικῶν* (fr. I Wil.).

Τὰν ἅλα τὰν γλαυκὰν ὅταν ὤνεμος ἀτρέμα βάλλῃ,
τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι μοι γᾶ
ἐντὶ φίλα, ποθίει δὲ πολὺ πλέον ἅ με γαλάνα.
ἀλλ' ὅταν ἀχήσῃ πολιὸς βυθός, ἁ δὲ θάλασσα
κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα ⟨μακρὰ⟩ μεμήνῃ,
ἐς χθόνα παπταίνω καὶ δένδρεα, τὰν δ' ἅλα φεύγω·
γᾶ δέ μοι ἀσπαστά, χἀ δάσκιος εὔαδεν ὕλα,
ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ὤνεμος, ἁ πίτυς ᾄδει.
ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς,

---

1 *χρήμασιν δ' ὧν* Dobree: *χρήμασ' ἰνδῶν* (ex *ἰνδῶν* corr.) S[1] *χρήμας ἰνδῶν* M *χρήμασ' ἰδὼν* A | *φρονεῖς* ci. Dobree ‖ 3 ecl. cum lemm. hab. SMA, *φιλοκτήτη* M. prior versus legitur supra Stob. III 39, 13 (*Εὐρ. Φιλοκτήτῃ* vel *ἐν Φιλ.*), idem sine fab. nom. affertur a Clemente Alex. strom. VI p. 739 P. cf. Elter De gnomol. Gr. hist. atque orig. commentationis ramenta (Bonnae ed. a. 1897) p. 20 ‖ 4 hemistichium *μακάριος ὅστις* recurrit saepius, velut Eur. fr. 1057, Men. monost. 614 | *εὐτυχὼν* SM et supra 39, 13 ‖ 5 alterum versum priori a poeta comico adiunctum esse suspicatur Gomperz *Beitr.* III (Vindob. a. 1876) p. 18 | *κοὐ πάλιν* prop. Gesn.[1] mrg. ‖ 6 ecl. cum lemm. hab. SMA ‖ 7 *ἅλαν* compend. A | *ὤνεμος* A *ώνεμος* M *ὤνεμος* sed litt. *εμ* corr. S[1] fuerunt *ορ* vel sim. | *βάλοι* (sine acc. M) SMA *βάλλοι* Tr.: corr. Gaisford ‖ 8 *φρέναν* M | *οὐδέτι μοῖσα* SMA sed utrum *ἔτι* an *τι* voluerit S dubium: *οὐδέ τι μοι γᾶ* Salmasius ap. Grotium p. 537 *οὐδ' ἔτι μοι γᾶ* Bosius ‖ 9 *ποθίη* (sine acc. M) libri, sed *ει* superscriptum in Voss. fol. 25[v]) | *πλέον ἄμμε* (*ἅ με* Teucher) *γελάνα* Stephanus: *πλέονα μεγάλαν ἅλα* SMA ‖ 10 *πολιὸς βυθὸς* S *πολιὸσ σβῦθοσ* M (*ο* superscr.) *πολῒ σῦνθὸς* A ‖ 11 *ἐπαφρίζῃ* etiam A sed *η* in ras. | *μακρὰ* cod. Paris. 1985 teste Gaisfordo, Grotius: om. SMA ‖ 12 *παπταίνων* Tr. | *τὰν* A ex *τὰ* corr. S[1] *ταν* M ‖ 13 *ἀσπαστὰ* A *ἀπιστὰ* S *ἀπιστά* M | *χἀ* H. Stephanus: *τάχα* SMA | *δάσκιοσ* M, inde Gesn.[2]: *δ' ἄσκιος* SA ‖ 14 *ὠνεμος* (*ε* in ras. M[2]) | *ἀπίτυ* sed *τυ* in ras. m. alt. M ‖ 15 *ἦ* S *ἢ* MA | *ζώει* S *ζώη* MA

καὶ πόνος ἐντὶ θάλασσα, καὶ ἰχθύες ἁ πλάνος ἄγρα.
αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ,
καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἆχον ἀκούειν,
ἃ τέρπει ψοφέοισα τὸν ἀγρικόν, οὐχὶ ταράσσει.

20 (21 Mein.) *Γλαύκωνος.*

Γλαύκων ὁ κωμῳδὸς ἥδιον ἔλεγε παρὰ τὴν θάλατταν πεζεύειν ἢ παρὰ τὴν γῆν πλεῖν.

21 (20 Mein.) *Δημοσθένους Ὀλυνθιακῶν* (IX p. 128).

Ἕως ἂν σῴζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρα ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψῃ, τοῦτο σκοπεῖσθαι· ἐπειδὰν δ' ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή.

---

1 *ἰχθύες* Teucher: *ἰχθῦς* S *ἰχθὺς* MA | *ἁ πλάνος* cod. Paris. 1985 teste Gaisfordo: *ἀπλανῶς* SMA ‖ 2 *ἀτὰρ* A | *πλατάνω βαθυφύλλω* libri sed *βαθυφύλλωι* S ‖ 3 *ἄχον* reddunt Moscho ‖ 4 *ἁ τέρπει* cod. Paris. 1985 teste Gaisfordo: *ἀτερπῆ* SMA | *ἀγρικὸν* Stephanus: *ἀγροῖκον* SMA *ἀγροῖκ'* Tr. | *ταράσσῃ* M ‖ 5 ecl. cum lemm. hab. MA (post ecl. 19 Mein.), om. S. iteratur ecloga gnomol. Paris. 258 Sternb. ‖ 6 *παρὰ* MA *περὶ* gnomol. Paris. | *τὴν θάλατταν* M, gnomol. Paris.: *τὴν* (sic, non *τὸν* ut adnotavit Gaisford) *ἅλα* A ‖ 7 *παρὰ* MA *περὶ* gnomol. Paris. ‖ 8 ecl. cum lemm. hab. S (post ecl. 19 Mein.) MA (post ecl. 21 Mein.). adferuntur verba Aristid. vol. II p. 625 Dind. Hermogen. (rhet. gr. v. II) p. 309, 32 ss. Sp. et p. 379, 18 ss. verba *ἕως ἂν — προθύμους εἶναι* Tiber. (rhet. gr. v. III) p. 78, 8 ss. ‖ 11 *ἐφεξῆς* Aristid., Tiber. | *πρόθυμον* Aristid., Hermog. p. 379 | *ὅπως μηδεὶς μήθ' ἑκὼν μήτ' ἄκων* Aristid. | *μήτ' ἄκων* sed *τ' ἄ* in ras. A¹ ut videtur ‖ 12 *ἀνατρέψει* Aristid. recte. *ἀνατρέψῃ* codd. Demosthenis ‖ 13 *θάλασσα* A | *ὑπέρσχῃ* Tr., Dem., Arist., Hermog.: *ὑπερέχῃ* SMA

CAPVT XVIII. PARS PRIOR.

ΠΕΡΙ ΤΕΧΝΩΝ.

1 Ἄμφιδος ἐξ Ἀμπελουργοῦ (fr. 3 K.).

Οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης
παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης.
ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς
αὑτὸν λέληθε παραπλέων τὰς συμφοράς.

2 Ἱππάρχου ἐκ Ζωγράφου (fr. 2 vol. III p. 273 K.).

Πολύ γ' ἐστὶ πάντων κτῆμα τιμιώτατον
ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη.
τὰ μὲν γὰρ ἄλλα καὶ πόλεμος καὶ μεταβολαὶ
τύχης ἀνήλωσ', ἡ τέχνη δὲ σῴζεται.

3 Ἑρμοδότου (cf. Bergk p. l.^{4} III p. 637).

---

1. 2 s. *Περὶ τεχνῶν* in summario Photius duas simul huius capitis partes spectans, A: *Ὑπὲρ τεχνῶν* SMTr. caput non respexit Mac. *νγ'* ex *νδ'* corr. S *νη* Tr. *ο'* MA ‖ 3 ecl. cum lemm. hab. SMA;
δ ου
ἄμφι ἐξ ἀμπελ S ‖ 5 post *τέχνης* distinctionis nota in M ‖ 7 *αὐτοῦ* libri: corr. Meineke | *παραπλέων* SM *παραπλέον* A ‖ 8 ecl. cum lemm. hab. SMA. Hipparchus non nisi semel commemoratur tamquam filius Pisistrati a pinacographo Photii p. 62 Elt. versus duos priores affert scholiasta Dionysii Thracis (Anecd. Bekk.) p. 647, 10, poetae n. addito, item Theodosius grammat. p. 50, ubi *Ὕπαρχος* pro *Ἵππαρχος* ‖ 9 *πολλῷ γάρ ἐστι κτ. τ.* Bekk. Anecd. *πολὺ γάρ ἐστι κτ. τ.* Theod. ‖ 11 *τὰ μ. γ. ἄλλα πόλεμος ἢ καὶ μεταβολαὶ* optat Salmasius ap. Grotium | *μεταβολὴ* scr. Meineke ‖ 12 *ἀνάλωσεν* (-*σε* Tr.) *τέχνη* S *ἀνηλωσεν* (*ἀνήλωσε* A) *ἡ τέχνη* MA. *ἀνήλωσεν, τέχνη* Meineke in Stob. | *μόνη* post *δὲ* add. A ‖ 13 ecl. cum lemm. hab. SMA. *ἑρμοδότου* SMA. omisit hoc nomen pinacographus Photii, nisi ille hic quoque in codice suo invenit *Ἑρμολόχου*, quod offerunt flor. 98, 66 Mein. codices MA (*ἑρμολάου* S). cf. Elter de Stob. codice Photiano p. 52. utrobique si idem intellegendus sit auctor, nihil obstare videtur, quin tragicus poeta fuisse credatur; similiter iudicavit Bergk

Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην περισσὸς ὤν,
ἀλλ' αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα.

4 *Σιμύλου.*

Οὔτε φύσις ἱκανὴ γίγνεται τέχνης ἄτερ
πρὸς οὐδὲν ἐπιτήδευμα παράπαν οὐδενί,
οὔτε πάλι τέχνη μὴ φύσιν κεκτημένη.
τούτων ὁμοίως τοῖν δυεῖν συνηγμένων
εἰς ταὐτόν, ἔτι δεῖ προσλαβεῖν χορηγίαν,
ἔρωτα, μελέτην, καιρόν, εὐφυῆ χρόνον,
κριτὴν τὸ ῥηθὲν δυνάμενον συναρπάσαι.
ἐν ᾧ γὰρ ἂν τούτων τις ἀπολειφθεὶς τύχῃ,
οὐκ ἔρχετ' ἐπὶ τὸ τέρμα τοῦ προκειμένου.
φύσις θέλησις ἐπιμέλει' εὐταξία
σοφοὺς τίθησι κἀγαθούς· ἐτῶν δέ τοι
ἀριθμὸς οὐδὲν ἄλλο πλὴν γῆρας ποιεῖ.

5 *Μενάνδρου Αὐλητρίδος* (fr. 68 K.).

Τὰ πατρῷα μὲν ποιεῖ καιρός ποτε
ἀλλότρια, σῴζει δ' αὐτά που τὰ σώματα.
βίου δ' ἔνεστι μί' ἀσφάλει' ἐν ταῖς τέχναις.

---

3 ecl. cum lemm. hab. SMA. de Simylo cf. Meineke com. Gr. I p. XIII Kock Com. II p. 444 ‖ 4 *γίνεται* M Tr. ‖ 5 post *ἐπιτήδευμα* praecipit e v. 7 *τῶν* (sic) *δυοῖν συνηγμένων* A sed delevit ipse ‖ 6 *πάλι* (*πάλιν* cod. Paris. 1985 teste Gaisfordo) *τέχνη* Porson: *παντεχνῆ* SM *πᾶν τέχνη* A Tr. ‖ 7 fort. *τούτων* ⟨*δ'*⟩ | *τοῖν* S *τῶν* MA | *δυεῖν* S *δυῒν* M *δυοῖν* A Tr. ‖ 9 *χρόνον* SMA corruptum. *χορόν* ci. Dobree, *εὐφυῆ δ' ὁμοῦ Κριτὴν* ego. *χρόνον* tamquam librarii supplemento secluso *εὐφυῆ κριτήν*, ⟨*Ἅπαν*⟩ *τὸ ῥηθὲν — συναρπάσαι* Meineke audacter ‖ 10 *κριτὴν* Tr. *κριθὴν* S *κριθην* sine acc. MA ‖ 11 *τούτων* om. A | *τις* om. Tr. | *ἀπολειφθεὶς* SM *ἀποληφθεὶς* A Tr. ‖ 12 *ἔρχετ'* Tr. *ἔρχεται* A *ἐχετ'* sine spir. S *εχετ'* sine spir. et acc. M ‖ 13 *ἐπιμέλεια* SM ‖ 14 *καὶ ἀγαθούς* MA | *ἐτῶν* MA *ἐπῶν* S ‖ 15 *οὐθὲν* A | *πλὴν* SM *ἢ* A ‖ 16 ecl. cum lemm. hab. SMA ‖ 17 *τὰ* ⟨*γὰρ*⟩ *πατρῷα μὲν* scr. Grotius. *πατρῶα μὲν* ex *πατρῶ' ἀλλό* corr. S[1] | *ποιεῖ ποτε καιρὸς* A, erravit Gaisford ‖ 18 *δουλοῖ* sim. pro *σώζει* exspectabat Meineke, *χρώζει* prop. Kock inepte. nihil mutandum. interpretor: privat aliquando patrimonio homines infortunium, ipsis autem fere parcit ‖ 19 *ἔνεστι μί'* (*μί.* M) SM *ἔνεστιν μία* A. *ἔνεστι μὴ* operarius Gesn.[2] *ἔνεστιν* (*μί'* vel *μὴ* deleto) scripsit Gesn.[3], recte, puto, idque recepere in comicorum editione Meineke et Kock.

6 *Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ* (p. 219 A—221 C).

Ἀλλὰ μὴν τῶν γε τεχνῶν σχεδὸν πασῶν εἴδη δύο. — Πῶς; — Γεωργία μὲν καὶ ὅση περὶ τὸ θνητὸν πᾶν σῶμα θεραπεία, τό τ' αὖ περὶ τὸ σύνθετον καὶ πλαστόν, ὃ δὴ σκεῦος ὠνομάκαμεν, ἥ τε μιμητική, ξύμπαντα ταῦτα δικαιότατα ἑνὶ προσαγορεύοιτο ἂν ὀνόματι. — Πῶς καὶ τίνι; — Πᾶν ὅπερ ἂν μὴ πρότερόν ⟨τις ὂν ὕστερον⟩ εἰς οὐσίαν ἄγῃ, τὸν μὲν ἄγοντα ποιεῖν, τὸ δὲ ἀγόμενον ποιεῖσθαί πού φαμεν. — Ὀρθῶς. — Τὰ δέ γε νυν⟨δὴ ἃ⟩ διήλθομεν ἅπαντα εἶχεν εἰς τοῦτο τὴν αὐτῶν δύναμιν. — Εἶχε γὰρ οὖν. — Ποιητικὴν τοίνυν αὐτὰ συγκεφαλαιωσάμενοι προσείπωμεν. — Ἔστω. — Τὸ δὴ μαθηματικὸν αὖ μετὰ τοῦτο εἶδος ὅλον καὶ τὸ τῆς γνωρίσεως τό τε χρηματιστικὸν καὶ ἀγωνιστικὸν καὶ θηρευτικόν, ἐπειδὴ δημιουργεῖ μὲν οὐδὲν τούτων, τὰ δὲ ὄντα καὶ γεγονότα τὰ μὲν χειροῦται λόγοις καὶ πράξεσι, τὰ δὲ τοῖς χειρουμένοις οὐκ ἐπιτρέπει, μάλιστ' ἄν που διὰ ταῦτα ξυνάπαντα τὰ μέρη τέχνη τις κτητικὴ λεχθεῖσα ἂν πρέψειεν. — Ναί· πρέποι γὰρ ἄν. — Κτητικῆς δὴ καὶ ποιητικῆς ξυμπασῶν οὐσῶν τῶν τεχνῶν ἐν ποτέρᾳ τὴν ἀσπαλιευτικήν, ὦ Θεαίτητε, τιθῶμεν; — Ἐν κτητικῇ δήπου δῆλον. — Κτητικῆς δὲ ἆρ' οὐ δύο εἴδη; τὸ μὲν ἑκόν-

---

μία in archetypo adscriptum sicut supra ecl. 2 *μόνη* in A | *ἐν ταῖς τέχναις* ex *ἐν τῷ βίῳ* corr. S[1]

1 ecl. cum lemm. hab. SMA ‖ 2 *μὴν τῶν γε* Plat.: *μήν γε τῶν* SMA | *πασῶν σχεδὸν* Plat. | *δύο. — Πῶς;* Plat.: *δύο πως* puncto addito vel semicolo SMA ‖ 3 *πᾶν* om. S ‖ 5 *μιμητική* Plat.: *τιμητικὴ* SMA ‖ 6 *δικαιότατα* SMA, Platonis W (= cod. Vindob. 54) *δικαιότατ' ἂν* Platonis alii ‖ 7 *τις ὂν* (*ὢν* Platonis W) *ὕστερον* Plat.: om. SMA ‖ 8 *ἄγει* A | *τὸν δὲ* M ‖ 9 *ποῦ ποιεῖσθαι* A | post *φαμέν* signum interrog. S | *νυνδὴ ⟨ἃ⟩ διήλθομεν* Plat. (*ἃ* om. Platonis BTW): *νῦν διήλθομεν* (*διέλ-* Tr.) SMA. dubium igitur num *ἃ* in suo exemplari reppererit gnomologus ‖ 10 *αὐτῶν* Plat.: *αὐτῶν* SMA *αὐτοῦ* Tr. ‖ 12 *προσείπωμεν* ex *-ομεν* corr. S[1] | *μαθηματικὸν* Plat.: *μαθητικὸν* SMA ‖ 14 *θεραπευτικὸν* A ‖ 15 *τὰ δέοντα* A ‖ 18 *ἂν πρέψειεν* Gaisford: *ἀντρέψειεν* SMA *ἐκτρέψειεν* Tr.; *ἂν διαπρέψειεν* (*-γράψειεν* Platonis T) Plat. num olim etiam Stobaeus? ‖ 19 *πρέπει* A | *δὲ* pro *δὴ* A ‖ 21 *δή που*] *που* Plat.

των πρὸς ἑκόντας μεταβλητικὸν ὂν διά τε δωρεῶν καὶ μισθώσεων, τὸ δὲ λοιπόν, ἢ κατ᾽ ἔργα ἢ κατὰ λόγους χειρούμενον ξύμπαν, χειρωτικὸν ἂν εἴη; — Φαίνεται γοῦν ἐκ τῶν εἰρημένων. — Τί δέ; τὴν χειρωτικὴν ἆρ᾽ οὐ διχῇ τμητέον; — Πῇ; — Τὸ μὲν ἀμφαδὸν ὅλον ἀγωνιστικὸν τιθέντας, τὸ δὲ κρυφαῖον αὐτῆς πᾶν θηρευτικόν. — Ναί. — Τήν γε μὴν θηρευτικὴν ἄλογον τὸ μὴ οὐ τέμνειν διχῇ. — Λέγε ὅπῃ. — Τὸ μὲν ἀψύχου γένους διελομένους, τὸ δὲ ἐμψύχου. — Τί μήν; εἴπερ ἔστον γε ἄμφω. — Πῶς δ᾽ οὐκ ἔστον; καὶ δεῖ γε ἡμᾶς τὸ μὲν τῶν ἀψύχων, ἀνώνυμον πλὴν κατ᾽ ἔνια τῆς κολυμβητικῆς ἄττα μέρη καὶ τοιαῦτ᾽ ἄλλα βραχέα, χαίρειν ἐᾶσαι, τὸ δέ, τῶν ἐμψύχων ζῴων οὖσαν θήραν, προσειπεῖν ζῳοθηρικήν. — Ἔστω. — Ζῳοθηρικῆς δὲ ἆρα οὐ διπλοῦν εἶδος ἂν λέγοιτο ἐν δίκῃ, τὸ μὲν πεζοῦ γένους, πολλοῖς εἴδεσι καὶ ὀνόμασι διῃρημένον, πεζοθηρικόν, ⟨τὸ δ᾽ ἕτερον⟩ νευστικοῦ ζῴου πᾶν ἐνυγροθηρικόν; — Πάνυ γε. — Νευστικοῦ μὴν τὸ μὲν πτηνὸν φῦλον ὁρῶμεν, τὸ δὲ ἔνυδρον; — Πῶς δ᾽ οὔ; — Καὶ τοῦ πτηνοῦ μὲν γέ⟨νους⟩ πᾶσα ἡμῖν ἡ θήρα λέγεται

---

1 πρὸς ἑκόντας Plat.: προσέχοντας SM πρὸς ἔχοντας A | μετακλητικὸν Tr. | διά τε δωρεῶν καὶ μισθώσεων καὶ ἀγοράσεων (καὶ ἀγοράσεων καὶ μισθώσεων Platonis T), τὸ δὲ Plat.; ubi igitur dederit gnomologus καὶ ἀγοράσεων, si dedit, incertum, om. SMA ‖ 2 μισθώσεων sed εων ex ἴων A[1] ‖ 3 ξύμπαντα χειρωτικὰ A ‖ 4 τί δὲ Plat.: τί δαὶ SMA ‖ 5 ἀναφανδὸν libri Platonis | τιθέντας SMA $\overset{ε}{\text{θέντας}}$ Platonis W θέντες Platonis BT ‖ 6 τήν γε μὴν SMA, Platonis W τὴν δέ γε μὴν Plat. ‖ 10 ἔστιν Tr. | ἀνώνυμον SMA ἀνώνυμον ἐᾶν Platonis BT ἀνώνυμον ⟨ὂν⟩ recte Heindorf ‖ 11 κολυμβιτικῆς A | ἅττα S | καὶ τὰ τοιαῦτ᾽ Platonis W ‖ 12 ἐάσαι SM ‖ 14 ζωοθηρικῆς δὲ] ζωοθηρικὴ A | ἂν λέγοιτο SM, Plat. sed ἂν supra lin. S[1] λέγοιτο ἂν A ‖ 15 πολλ̏ i. e. πολλὸν A ‖ 16 τὸ δ᾽ ἕτερον tacite e Plat. addidit Gesn.[1] ‖ 17 ἐνυγροθηρικὸν libri, etiam Tr., sed -κῶν S ‖ 18 φῦλον ex φύλλον corr. S[1] ‖ 19 μὲν γένους tacite e Platonis Ald. Gesn.[1]: μέν γε SM μὲν A μὴν γένους Plat. | πᾶσιν A | post θήρα distinguitur in S | v. ἡμῖν ἡ θήρα per errorem bis dedit operarius Gaisfordi ed. Lips., bis mira neglegentia etiam Meineke

που ὀρνιθευτική. — Λέγεται. — Τοῦ δ' ἐνύδρου σχεδὸν ἁλιευτικὴ τὸ σύνολον. — ⟨Ναί.⟩ — Τί δέ; ταύτην αὖ τὴν θήραν, ἆρα οὐκ ἂν κατὰ τὰ μέγιστα μέρη δύο διέλοιμεν; — Κατὰ ποῖα; — Καθ' ἃ τὸ μὲν ἕρκεσιν αὐτόθι ποιεῖται τὴν θήραν, τὸ δὲ πληγῇ; — Πῶς λέγεις, καὶ πῇ διαιρούμενος ἑκάτερον; — Τὸ μέν, ὅτι πᾶν ὅσον ἂν ἕνεκα κωλύσεως εἴργῃ τι περιέχον, ἕρκος εἰκὸς ὀνομάζειν. — Πάνυ μὲν οὖν. — Κύρτους δὴ καὶ δίκτυα καὶ βρόχους καὶ πόρκους καὶ τὰ τοιαῦτα μῶν ἄλλο τι πλὴν ἕρκη χρὴ προσαγορεύειν; — Οὐδέν. — Τοῦτο μὲν ἄρα ἑρκοθηρικὸν τῆς ἄγρας τὸ μέρος φήσομεν ἤ τι τοιοῦτον. — Ναί. — Τὸ δὲ ἀγκίστροις καὶ τριόδουσι πληγῇ γιγνόμενον ἕτερον μὲν ἐκείνου, πληκτικὴν δέ τινα θήραν ἡμᾶς προσειπεῖν ἐν⟨ὶ λό⟩γῳ νῦν χρεών· ἢ τί τις ἄν, ὦ Θεαίτητε, εἴποι κάλλιον; — Ἀμελῶμεν τοῦ ὀνόματος, ἀρκεῖ γὰρ καὶ τοῦτο. — Τῆς μὲν τοίνυν πληκτικῆς τὸ μὲν νυκτερινὸν οἶμαι πρὸς πυρὸς φῶς γιγνόμενον ὑπ' αὐτῶν τῶν περὶ τὴν θήραν πυρευτικὴν ῥηθῆναι ⟨συμβέβηκε⟩. — Πάνυ γε. — Τὸ δέ γε μεθημερινόν, ὡς ἐχόντων ἐν ἄκροις ἄγκιστρα καὶ τῶν τριοδόν-

---

1 *που* (*υ* in ras. S) *ὀρν.* SMA *πού τις ὀρν.* Plat. | *ὀρνιθευτική* M, Plat. *ὀρνεεϊευτικη* sine acc. S *ὀρνϊετευτικὴ* A *ὀρνεοτευτική* Tr. | *Λέγεται γὰρ οὖν. — Τοῦ δὲ ἐνύδρου σχεδὸν τὸ σύνολον ἁλιευτική* Plat. ‖ 2 *Ναί* tacite e Plat. addidit Gesn.[1] | *δὲ* Plat.: *δαὶ* SMA | *αὖ* SMA, Platonis TW *ἂν* Platonis B ‖ 3 *κατὰ μέγιστα* Plat. | *διέλοιμεν* SMA *διελοίμην* Platonis BT ‖ 4 *ἕρκεσιν* in *ἕρκ-* corr. M[1] | *αὐτόθι* SMA, Platonis BT *αὐτόθεν* Platonis al. *αὐτοῖν* prop. Baumann ‖ 6 *ὅτι* SM, Plat.: *τὸ* A ‖ 7 *εἴργῃ* MA, Plat. *εἴργει* S ‖ 8 *Κυρτοὺσ* M | *δὴ* om. A | *καὶ βρόχους καὶ πόρκους* (*πορκοὺς* MA) *καὶ* SMA, Plat.: *καὶ πόρκους καὶ βρόχους καὶ* Tr. ‖ 9 *ἕρκεα* ut videtur A primo, corr. A[1] ‖ 10 *χρὴ* MA, Plat. *χρῆν* S *δὴ* Tr. idque *δεῖ* esse monuit Gaisford ‖ 12 *τριόδοισι* S | *γινόμενον* S ‖ 13 *μὲν* om. A, aberravit Gaisford | *θήραν ἡμᾶς*] *ἡμᾶς θήραν* A | *προειπεῖν* primo A, corr. A[1] ‖ 14 *ἑνὶ λόγῳ* Plat.: *ἐν τῷ* (vel *τῷ*) SMA | *χρεων* sine acc. S | *ὦ* SMA, Platonis W, om. Platonis BT ‖ 15 *καὶ* om. A ‖ 16 *τῆς τοίνυν* Plat. ‖ 17 *ὑπ' αὐτῶν τῶν*] *ὑπ' αὐτοῦ* Tr. ‖ 18 post *ῥηθῆναι* signum interrogandi in S | *συμβέβηκε* tacite e Plat. addidit Gesn.[1] | *δέ γε* SM, Plat. *δὲ* A

των πᾶν ἀγκιστρευτικόν; — Λέγεται γὰρ οὖν. — Τοῦ τοίνυν ἀγκιστρευτικοῦ τῆς πληγῆς τὸ μὲν ἄνωθεν εἰς τὸ κάτω γιγνόμενον διὰ τὸ τοῖς τριόδουσιν οὕτω μάλιστα χρῆσθαι τριοδοντία τις, οἶμαι, κέκληται. — Φασὶ γοῦν τινές. — Τὸ δέ γε λοιπόν ἐστιν ἓν ἔτι μόνον ὡς εἰπεῖν εἶδος. — Ποῖον; — Τὸ τῆς ἐναντίας ταύτῃ πληγῆς, ἀγκίστρῳ τε γιγνόμενον καὶ τῶν ἰχθύων οὐχ ᾗ τις ἂν τύχῃ τοῦ σώματος, ὥσπερ τοῖς τριόδουσιν, ἀλλὰ περὶ τὴν κεφαλὴν καὶ τὸ στόμα τοῦ θηρευθέντος ἑκάστοτε, καὶ κάτωθεν εἰς τοὐναντίον ἄνω ῥάβδοις καὶ καλάμοις ἀνασπώμενον· οὗ τί φήσομεν, ὦ Θεαίτητε, δεῖν τοὔνομα λέγεσθαι; — Δοκῶ μέν, ὅπερ ἄρτι προυθέμεθα δεῖν ἐξευρεῖν, τοῦτο αὐτὸ νῦν ἀποτετελέσθαι. — Νῦν ἄρα τῆς ἀσπαλιευτικῆς, περὶ οὗ σύ τε κἀγὼ συνωμολογήκαμεν, οὐ μόνον τοὔνομα ἀλλὰ καὶ τὸν λόγον περὶ αὐτὸ τοὔργον εἰλήφαμεν ἱκανῶς. ξυμπάσης γὰρ τέχνης τὸ μὲν ἥμισυ μέρος κτητικὸν ἦν, κτητικοῦ δὲ χειρωτικόν, χειρωτικοῦ δὲ θηρευτικόν, τοῦ δὲ θηρευτικοῦ ζῳοθηρικόν, ζῳοθηρικοῦ δὲ ἐνυγροθηρικόν, ἐνυγροθηρικοῦ δὲ τὸ κάτωθεν τμῆμα ὅλον ἁλιευτικόν, ἁλιευτικῆς δὲ πληκτικόν, πληκτικῆς δὲ ἀγκιστρευτικόν· τούτου δὲ τὸ περὶ τὴν κάτωθεν ἄνω πληγὴν ἀνασπωμένην, ἀπ᾿ αὐτῆς τῆς πράξεως ἀφομοιωθὲν τοὔνομα, ἡ νῦν ἀσπαλιευτικὴ ζητηθεῖσα ἐπίκλην γέγονε. — Παντάπασι μὲν οὖν τοῦτό γε ἱκανῶς δεδήλωται.

---

1 *πᾶν ἀγκιστρευτικόν* Plat.: *παναγκιστρευτικήν* (*παναγκεσ-* M) SMA | v. *Λέγεται γὰρ* — 15 *εἰλήφαμεν ἱκανῶς* om. S ‖ 2 *ἀγκιστρευτικοῦ* etiam MA sic ut Plat., fallitur Gaisford | *πληκτικῆς* Plat. ‖ 3 *γιγνόμενον* M, Plat. *γιν-* A ‖ 4 *τριοδοντία* M, Plat.: *τριοδοντικὰ* A | *οἶμαί τις* Platonis T ‖ 6 *Τὸ ποῖον* Plat. | *ἀγκῆστρω* M ‖ 7 *οὐχ ᾗ τις* (*ᾗ τις* Platonis B): *οὐχ ἢ τισ* M *οὐχ εἴ τις* A ‖ 10 *οὗ* Plat.: *οὐ* MA ‖ 11 *δοκῶ μὲν* MA, Platonis B, *δοκῶμεν* Platonis TW ‖ 12 *δεῖν* Plat.: *δ'* MA ‖ 13 *ἀσπαλιτικῆσ* M ‖ 14 *οὗ σύ* MA, libri Platonis: *σύ* Heindorf e Ficino ‖ 16 *γὰρ* reposui e MA, Plat.: *τοιγαροῦν* S | *κτητικοῦ*] *κτητικὸν* A ‖ 17 *χειρωτικοῦ*] *χειρωτικὴ* A ‖ 18 *ζωοθηρικόν* S, Plat.: om. MA | *ἐνυγροθηρικόν* S, Plat.: om. MA ‖ 21 *τὴν* Tr., Plat.: *τῇ* SMA ‖ 23 *Παντάπασι* Plat.: *πάντας εἰ* SMA. fallitur de A Gaisford, qui perspexit *παντάπασι* reponendum esse

7 *Ἐν ταὐτῷ* (p. 235 C—236 C).

Κατὰ δὴ τὸν παρεληλυθότα τρόπον τῆς διαιρέσεως ἔγωγέ μοι καὶ νῦν φαίνομαι δύο καθορᾶν εἴδη τῆς μιμητικῆς· τὴν γὰρ ζητουμένην ἰδέαν, ἐν ὁποτέρῳ ποθ' ἡμῖν οὖσα τυγχάνει, καταμαθεῖν οὐδέπω μοι δοκῶ νῦν δυνατὸς εἶναι. — Σὺ δ' ἀλλ' εἰπὲ καὶ δίελε πρῶτον ἡμῖν ⟨τίνε⟩ τὼ δύο λέγεις. — Μίαν μὲν τὴν εἰκαστικὴν ὁρῶν ἐν αὐτῇ τέχνην. ἔστι δ' αὕτη μάλιστα, ὁπόταν κατὰ τὰς τοῦ παραδείγματος συμμετρίας τις ἐν μήκει καὶ πλάτει καὶ βάθει, καὶ πρὸς τούτοις ἔτι χρώματα ἀποδιδοὺς τὰ προσήκοντα ἑκάστοις, τὴν τοῦ μιμήματος γένεσιν ἀπεργάζηται. — Τί δέ; οὐ πάντες οἱ μιμούμενοί τι τοῦτ' ἐπιχειροῦσι δρᾶν; — Οὔκουν ὅσοι γε τῶν μεγάλων πού τι πλάττουσιν ἔργων ἢ γράφουσιν. εἰ γὰρ ἀποδιδοῖεν τὴν τῶν καλῶν ἀληθινὴν συμμετρίαν, οἶσθ' ὅτι σμικρότερα μὲν τοῦ δέοντος τὰ ἄνω, μείζω δὲ τὰ κάτω φαίνοιτ' ἂν διὰ τὸ τὰ μὲν πόρρωθεν, τὰ δ' ἐγγύθεν ὑφ' ἡμῶν ὁρᾶσθαι. — Πάνυ μὲν οὖν. — Ἆρ' οὖν οὐ χαίρειν τὸ ἀληθὲς ἐάσαντες οἱ δημιουργοὶ νῦν οὐ τὰς οὔσας συμμετρίας ἀλλὰ τὰς δοξούσας εἶναι καλὰς τοῖς εἰδώλοις ἐναπεργάζονται; — Πάνυ μὲν οὖν. — Τὸ μὲν ἄρα ἕτερον ⟨οὐ⟩ δίκαιον, εἰκός γε ὄν, εἰκόνα καλεῖν; — Ναί. — Καὶ τῆς γε μιμητικῆς τὸ ἐπὶ

---

1 ecl. cum lemm. hab. MA, om. S ‖ 3 *ἔγωγέ μοι καὶ νῦν φαίνομαι* in marg. add. A[1] ‖ 4 *γὰρ* MA: *δὲ* Plat. | *εἰδέαν* M ‖ 6 *καὶ δίελε πρῶτον* reposui ex MA, Platonis W: *πρῶτον καὶ δίελε* Plat. | *τίνε* tacite e Plat. addidit Gesn.[2] ‖ 7 *λέγειν* A | *ἰκαστικὴν* M ‖ 8 *αὐτὴ* A ‖ 9 *καὶ πλάτει καὶ βάθει* dedi ex MA, Plat.: *καὶ βάθει καὶ πλάτει* tacite Gesn.[2] ex Platonis Ald. ‖ 10 *καὶ* (ante *πρ. τ.*) om. A ‖ 11 *ἑκάστοις* MA, Platonis W: *ἑκάσταις* Platonis BT ‖ 12 *δὲ* A, Plat.: *δαὶ* M ‖ 14 *ἀποδίδοιεν* MA | *κώλων* prop. Badham ‖ 15 *σμικρότερα* M, Plat.: *σμικρότατον* compend. A ‖ 16 *τἄνω* A *τ' ἄνω* M | *φαίνητ' ἂν* M ‖ 17 *δὲ ἐγγύθεν* M *μὲν ἐγγύθεν* A ‖ 18 *πάνυ μὲν οὖν* MA, Platonis T: *δοκεῖ μοι πάνυ μὲν οὖν* Platonis W, om. Platonis B ‖ 19 ⟨*οἱ*⟩ *νῦν* Heindorf ‖ 20 *δοξούσας* M, Plat.: *δοξάσας* A | *πάνυ μὲν οὖν* MA, Platonis BT: *παντάπασί γε* Platonis W ‖ 21 *οὐ* addidi e Platone, *οὐδὲ* tacite Gesn.[2] e Platonis Ald.: om. MA ‖ 22 post *καλεῖν* tacite non nulla e Platonis Ald. inseruit Gesn.[2] libris invitis | *τῆς γε μιμητικῆς* M, Plat.: *τοῖς γε μιμεῖται* A

τούτῳ μέρος κλητέον ὅπερ εἴπομεν ἐν τῷ πρόσθεν, εἰκαστικήν; — Κλητέον. — Τί δέ; τὸ φαινόμενον μὲν διὰ τὴν οὐκ ἐκ καλοῦ θέαν ἐοικέναι τῷ καλῷ, δύναμιν δὲ εἴ τις λάβοι τὰ τηλικαῦτα ἱκανῶς ὁρᾶν, μηδέ εἰκὸς ᾧ φησιν ἐοικέναι, τί καλοῦμεν; ἆρ᾽ οὐκ, ἐπείπερ φαίνεται μέν, ἔοικε δὲ οὔ, φάντασμα; — Τί μήν; — Οὐκοῦν πάμπολυ καὶ κατὰ τὴν ζωγραφίαν τοῦτο τὸ μέρος ἐστὶ καὶ κατὰ ξύμπασαν μιμητικήν; — Πῶς δ᾽ οὔ; — Τὴν δὴ φάντασμα ἀλλ᾽ οὐκ εἰκόνα ἀπεργαζομένην τέχνην ἆρ᾽ οὐ φανταστικὴν ὀρθότατ᾽ ἂν προσαγορεύοιμεν; — Πολύ γε. — Τούτω τοίνυν ⟨τὼ⟩ δύο ἔλεγον εἴδη τῆς εἰδωλοποιητικῆς, εἰκαστικὴν καὶ φανταστικήν. — Ὀρθῶς.

8 ***Τοῦ αὐτοῦ*** (leg. p. 709 B).

Θεὸς μὲν πάντα, καὶ μετὰ θεοῦ τύχη καὶ καιρός, τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. ἡμερώτερον μὴν τρίτον συγχωρῆσαι τούτοις ἕπεσθαι δεῖν τέχνην.

9 ***Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ*** (p. 281 D—E).

Πρῶτον μὲν τοίνυν δύο τέχνας οὔσας περὶ πάντα τὰ

---

1 *τούτῳ* Plat.: *τοῦτο* MA | *εἴ κασтικὴν* M ‖ 2 *κλητέον* A, Plat.: *κτητέον* M | *δὲ* A, Plat.: *δαὶ* M ‖ 3 *οὐκ ἐκ* recte olim Gesn.[2] ex M, Plat.: *τοῦ* A | *ἐοικέναι* Plat.: *εἰκέναι* MA | *λάβοι* M, Plat.: *λάβῃ* A ‖ 4 *τὰ τηλικαῦτα* ex em. A[1], videtur *τὴν τηλικαύτην* fuisse, nisi hoc ex illo putes correctum | *μηδ᾽* (vel *μηδὲ*) *εἰκὸς* Plat.: *μηδὲ* (*μὴδ᾽* A) *ἐοικὸς* MA | *ᾧ* Plat. *ὦ* M: *ᾗ* A | *ἐοικέναι* A, Plat.: *εἰκέναι* M ‖ 5 *ἆρα* M ‖ 7 *τὴν* om. A | *κατὰ ξύμπασαν* (*σύμ-* Platonis plurimi) MA, Plat.: *κατὰ τὴν ξύμπασαν* Platonis T ‖ 8 *δὲ οὔτην* M | *φάντασμα* MA, Platonis W: *φαντάσματα* Platonis BT ‖ 10 *ὀρθότατ᾽ ἂν* Plat.: *ὀρθότατα* M *ὀρθότητα* A | *τούτω* Plat.: *τοῦτο* MA ‖ 11 *τὼ* tacite e Plat. addidit Gesn.[2] | *ἔλεγον* Plat.: *ἔλεγεν* MA | *εἰδωλοποιΐκησ* M | *ἱκαστι-* M ‖ 12 *καὶ* M, Plat.: *τε καὶ* A ‖ 13 ecl. cum lemm. hab. S MA recurrit Maxim. c. 48 p. 649 Comb. (post Plat.). legitur ecloga etiam ap. Iulianum epist. ad Themist. 257 D p. 333 Hertl., eadem intra maius excerptum Stob. I 6, 17[b] p. 88, 21 W. et IV 1, 128 p. 77, 5 H. ‖ 14 *καιρὸσ* sed *σ* ex *ω* corr. M[1] | *τἀνθρώπινα* Plat., Iulian., Stobaeus supra loco utroque, hoc ipso loco Tr.: *ἀνθρώπινα* SMA ‖ 15 *μὲν* Stob. I | *μὴν τούτοις συγχωρῆσαι τρίτον δεῖν ἕπεσθαι τ.* Iulian. ‖ 16 *ξυγχ.* Stob. I, Plat. | *δεῖν ἕπεσθαι* Stob. supra utrobique, Plat., Iulian. ‖ 17 ecl. cum lemm. hab. SMA, *τ αυ* S qui om. *τοῦ* ante *πολ.*

δρώμενα θεασάμεθα. — Τίνας; — Τὴν μὲν τῆς γενέσεως οὖσαν ξυναίτιον, τὴν δὲ αὐτὴν αἰτίαν. — Πῶς; — Ὅσαι μὲν τὸ πρᾶγμ' αὐτὸ ⟨μὴ⟩ δημιουργοῦσι, ταῖς δὲ δημιουργούσαις ὄργανα παρασκευάζουσιν, ὧν μὴ παραγενομένων οὐκ ἄν ποτ' ἐργασθείη τὸ προστεταγμένον ἑκάστῃ τῶν τεχνῶν, ταύτας μὲν οὖν ξυναιτίους, τὰς δ' αὐτὸ τὸ πρᾶγμ' ἀπεργαζομένας αἰτίας. — Ἔχει γοῦν λόγον.

10 *Πλουτάρχου ἐκ τοῦ Περὶ μαντικῆς* (v. VII p. 113 Bernard.).

Τῶν τεχνῶν, ὡς ἔοικε, τὰς μὲν ἡ χρεία συνέστησεν ἐξ ἀρχῆς καὶ μέχρι νῦν διαφυλάσσει·

χρειὼ πάντ' ἐδίδαξε· τί δ' οὐ χρειώ κεν ἀνεύροι

τῶν ἀναγκαίων; ὑφαντικὴν οἰκοδομικὴν ἰατρικὴν καὶ ὅσαι περὶ γεωργίαν ἀναστρέφονται· τὰς δ' ἡδονή τις προσηγάγετο καὶ κατέσχε, τὴν τῶν μυρεψῶν καὶ τῶν ὀψοποιῶν καὶ κομμωτικὴν πᾶσαν καὶ ἀνθοβαφίαν. ἔστι δὲ ὧν τὴν πιθανότητα καὶ τὴν ἀκρίβειαν καὶ τὸ καθάριον ἀγαπῶντες ἐκμανθάνουσι καὶ περιέπουσιν, ὡς ἀριθμητικὴν καὶ γεωμετρίαν καὶ κανονικὴν πᾶσαν καὶ ἀστρολογίαν, ἅς φησιν ὁ Πλάτων, καίπερ ἀμελουμένας, βίᾳ ὑπὸ χάριτος αὔξεσθαι.

11 *Ξενοφῶντος ἐν γ' Ἀπομνημονευμάτων* (c. 10, 1—8).

1 *τὴν μὲν τῆς* SMA (errat Gaisford) *τὴν μὲν* Plat. ‖ 2 *ξυν-* SMA | *ὅσαι* Plat.: *ὡς αἱ* SMA ‖ 3 *μὴ* tacite e Plat. inseruit Gesn.[1] ‖ 6 *μὲν συναιτίους* Plat. ‖ 7 *γοῦν* (*γοὖν* M) SMA, Plat.: *γὰρ οὖν* Tr. ‖ 8 ecl. cum lemm. hab. SMA. libri indiculum (*β'*) quem offert Bernardakis, ignorant codd. Stob. ‖ 12 Eratosthenis versus legitur infra flor. 95, 15 Mein. (*Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον*) *Ἀρχύτας* (Amphissensis, ut monet Meineke anal. Alex. p. 353) *ἀναγνοὺς τὸν Ἐρατοσθένους Ἑρμῆν, τοῦτον ἐπήνεγκε στίχον ʿχρειὼ — κεν ἀνεύροι;ʾ* | *δ' οὐ* Stob. flor. 95: *δ' ὠ* S *δ' ὁ* M *δ' ὅ* A *δὲ* Tr. | *κεν* SMA, flor. 95: *μὲν* Tr. | *ἀνεύροι* S, sine sp. et acc. M[1], *ἀνεύροι* etiam flor. 95: *ἂν* (*'ἂν* M[2]) *εὕροι* AM[2] ‖ 13 *ὑφαντικὰς* compend. A | *καὶ ὅσαι περὶ γεωργίαν* (*-γίας* A) MA: *γεωργίαν καὶ ὅσαι περὶ γεωργίαν* S ‖ 15 *καὶ ⟨τὴν⟩ τῶν ὀψοπ.* ci. Bernardakis ‖ 16 *κομμωτικὴν* ut videtur A: *κωμμωτικὴν* SM *κωμμοτικὴν* Tr. | *ἀνθοβαφίαν* A *ἀνθοβάθειαν* (*-βαθεῖαν* M) SM ‖ 20 *ὁ Πλάτων*] rei p. p. 528 C ‖ 22 ecl. cum lemm. hab. SMA

Εἰσελθών ποτε πρὸς Παρράσιον τὸν ζωγράφον, Ἆρα, ἔφη, ὦ Παρράσιε, ἡ γραφική ἐστιν εἰκασία τῶν ὁρωμένων; τὰ γοῦν κοῖλα καὶ τὰ ὑψηλὰ κοὶ τὰ σκοτεινὰ καὶ τὰ φωτεινὰ καὶ τὰ σκληρὰ καὶ τὰ μαλακὰ καὶ τὰ τραχέα καὶ τὰ λεῖα καὶ τὰ νέα καὶ τὰ παλαιὰ σώματα διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε. Ἀληθῆ λέγεις, ἔφη. Καὶ μὴν τά γε καλὰ εἴδη ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι, ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα, οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε φαίνεσθαι. Ποιοῦμεν γάρ, ἔφη, οὕτω. Τί γάρ; ἔφη, τὸ πιθανώτατον καὶ ἥδιστον καὶ φιλικώτατον καὶ ποθεινότατον καὶ ἐρασμιώτατον ἀπομιμεῖσθε τῆς ψυχῆς ἦθος; ἢ οὐδὲ μιμητὸν τοῦτο; Πῶς γὰρ ἄν, ἔφη, μιμητὸν εἴη, ὦ Σώκρατες, ὃ μήτε συμμετρίαν μήτε χρῶμα μήτε ὧν σὺ εἶπας ἄρτι μηδὲν ἔχει μηδὲ ὅλως ὁρατόν ἐστιν; Ἆρ' οὖν, ἔφη, γίγνεται ἐν ἀνθρώπῳ τό τε φιλοφρόνως καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκοῦν τό γε μιμητὸν ἐν τοῖς ὄμμασι; Καὶ μάλα, ἔφη. Ἐπὶ δὲ τοῖς τῶν φίλων ἀγαθοῖς καὶ τοῖς κακοῖς ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα οἵ τε φροντίζοντες καὶ οἱ μή; Μὰ Δί' οὐ δῆτα, ἔφη· ἐπὶ μὲν γὰρ τοῖς ἀγαθοῖς φαιδροί, ἐπὶ δὲ τοῖς κακοῖς σκυθρωποὶ γίνονται· Οὐκοῦν, ἔφη, καὶ ταῦτα δυνατὸν ἀπεικάζειν; Καὶ μάλα,

---

1 *Εἰσελθὼν ποτε* gnomologus resecto nimirum Xenophontei capituli initio: *εἰσελθὼν μὲν γάρ ποτε* Xen. | *πρὸς* MA, Xen.: *πρὸς τὸν* S | *τὸν ζωγράφον καὶ διαλεγόμενος αὐτῷ· Ἆρα* Xen. ‖ 2 *ἡ* (*ὡς ἡ* A) ante *γραφ.* collocant SMA, ante *εἰκασία* libri Xenophontis. cf. Cobet N. l. p. 701 ‖ 6 *ἐκμιμεῖσθε* SMA sed ex *-σθαι* corr. S¹ A¹ ‖ 7 *ἐπεὶ* A ‖ 8 *ἕνι* S | *ἄμεπτα* A ‖ 10 *ποιεῖται* M | *οὕτως* MA ‖ 11 *τὸ* om. fere libri Xenophontis ‖ 12 *ἀπομιμεῖσθε* SA: *ἀπομιμεῖσθαι* M, libri Xenophontis ‖ 13 *ἦθος* SM, libri Xenophontis: *εἶδος* A | *μιμητόν ἐστι τοῦτο* Xen. | *ἂν* om. A ‖ 15 *ὅλος* M ‖ 16 *τό τε* SMA: *πώποτε* libri Xenophontis ‖ 17 *ἐχθρῶς* recte libri Xenophontis: *αἰσχρῶς* SMA ‖ 18 *τό γε* SMA ut libri Xenophontis, ubi *τοῦτό γε* reponunt e Xenophontis Vossiano | *σώμασι* A ‖ 21 post *ἔφη* e prioribus iterat *οὐκ οὖν τό γε μιμητὸν ἐν τοῖς σώμασιν; καὶ μάλα ἔφη* A sed ipse librarius punctis subductis delevit ‖ 23 *δυνατοὶ* A

ἔφη. Ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον, ⟨καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον⟩ καὶ τὸ σωφρονικόν τε καὶ φρόνιμον καὶ τὸ ὑβριστικόν τε καὶ τὸ ἀπειρόκαλον καὶ διὰ τοῦ προσώπου καὶ διὰ τῶν σχημάτων καὶ ἑστώτων καὶ κινουμένων ἀνθρώπων διαφαίνει. Ἀληθῆ λέγεις, ἔφη. Οὐκοῦν καὶ ταῦτα μιμητά; Καὶ μάλα, ἔφη. Πότερον οὖν, ἔφη, νομίζεις ἥδιον ὁρᾶν τοὺς ἀνθρώπους δι' ὧν τὰ καλά τε καὶ ἀγαθὰ καὶ ἀγαπητὰ ἤθη φαίνεται ἢ δι' ὧν τὰ αἰσχρά τε καὶ πονηρὰ καὶ μισητά; Πολὺ νὴ Δί', ἔφη, διαφέρει, ὦ Σώκρατες.

Πρὸς δὲ Κλίτωνα τὸν ἀνδριαντοποιὸν εἰσελθών ποτε καὶ διαλεγόμενος αὐτῷ, Ὅτι μέν, ἔφη, ὦ Κλίτων, ἀλλοίους ποιεῖς δρομεῖς τε καὶ παλαιστὰς καὶ πύκτας καὶ παγκρατιαστάς, ὁρῶ γε καὶ οἶδα· ὃ δὲ μάλιστα ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους, τὸ ζωτικὸν φαίνεσθαι, πῶς τοῦτο ἐνεργάζῃ τοῖς ἀνδριᾶσιν; ἐπεὶ δὲ ἀπορῶν ὁ Κλίτων οὐ ταχὺ ἀπεκρίνατο, Ἆρα, ἔφη, τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον ζωτικώτερον ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; Καὶ μάλα, ἔφη. Οὐκοῦν τά τε ὑπὸ τῶν σχημάτων καταρτώμενα καὶ τὰ ἀνασπώμενα ἐν τοῖς σώμασι, καὶ τὰ συμπιεζόμενα καὶ τὰ διελκόμενα, καὶ ⟨τὰ⟩ ἐντεινόμενα καὶ τὰ ἀνιέμενα ἀπεικάζων, ὁμοιότερά τε τοῖς ἀληθινοῖς καὶ πιθανώτερα ποιεῖς φαίνεσθαι;

---

1 *καὶ τὸ μεγαλοπρεπές τε* bis scripsit S | *καὶ ἐλευθέριον* A, libri Xenophontis: *καὶ τὸ ἐλ.* SM ‖ 2 *καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον* probabiliter post *ἐλευθέριον* e Xen. addidit Gesn.[1] f. 364 v ‖ 3 *τὸ* ante *ἀπειρ.* recte abest a libris Xenophontis ‖ 7 *τοὺς* SA, Xen.: *αὐτοὺσ* M ‖ 8 *τε* om. S | *καὶ ἀγαθὰ* MA, libri Xen.: *καὶ τὰ ἀγαθὰ* S ‖ 9 post *μισητὰ* habet *καὶ μάλα ἔφη* sed suppunxit A ‖ 10 *δί'* ex *δία* corr. S[1] ‖ 11 *Κλείτωνα*, mox *Κλείτων* libri Xenophontis | *κλίτονα* in *κλίτωνα* corr. M[1] ‖ 12 *καλοί, οὓς* Dindorf perbene ‖ 14 *ὁρῶ τε καὶ* libri Xenophontis ‖ 15 *τοὺς ἀνθρώπους* om. A ‖ 16 *ἀνδριάσιν* libri nisi quod *ἀνδράσιν* A ‖ 18 *ζωτικώτερον* ex *-ότερον* corr. M[1]; *ζωτικωτέρους* recte libri Xenophontis ‖ 20 *κατασπώμενα καὶ τἀνασπώμενα* Xen. ‖ 21 *τὰ* ante *διελκ.* om. A, aberravit Gaisford ‖ 22 *τὰ* ante *ἐντειν.* inserui e Xen. | *ἐκτεινόμενα* Tr. | *ἀνιέμενα* Xen.: *ἀνειμένα* SMA ‖ 23 *πιθανωτέροις* A

Πάνυ μὲν οὖν, ἔφη. Τὸ δὲ καὶ τὰ ἤθη τῶν ποιούντων τι σωμάτων ἀπομιμεῖσθαι οὐ ποιεῖ τινα τέρψιν τοῖς θεωμένοις; Εἰκὸς γοῦν, ἔφη. Οὐκοῦν καὶ τῶν μὲν μαχομένων ἀπειλητικὰ τὰ ὄμματα εἰκαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένων ἡ ὄψις μιμητέα; Σφόδρα γ', ἔφη. Δεῖ ἄρ', ἔφη, τὸν ἀνδριαντοποιὸν τὰ τῆς ψυχῆς ἔργα τῷ εἴδει προσεικάζειν.

---

1 *τὰ πάθη* Xen. ‖ 4 *ἀπείληται* A ‖ 5 *ἡ ὄψις* S M A: *ὄψις* libri Xenophontei | *γε* M | *δεῖ ἄρ' ἔφη* om. Tr. ‖ 6 *τὰ ἔργα τῷ τῆς ψυχῆς εἴδει* prop. Hartman *τὰ ἔργα τῆς ψυχῆς τῷ εἴδει* scripsit Gilbert ‖ 7 *προσηκάζειν* A

CAPVT XVIII. PARS ALTERA.

ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ.

12 (61, 1 Mein.) *Μενάνδρου Ἁλιέως* (fr. 14 K.).

Ὁ πρῶτος εὑρὼν διατροφὴν πτωχῷ τέχνην
πολλοὺς ἐποίησεν ἀθλίους· ἁπλοῦν γὰρ ἦν
τὸν μὴ δυνάμενον ζῆν ἀλύπως ἀποθανεῖν.

13 (61, 2 Mein.) *Ἀντιφάνους ἐκ Κναφέως* (fr. 123 K.).

Ὅστις τέχνην κατέδειξε πρῶτος τῶν θεῶν,
οὗτος μέγιστον εὗρεν ἀνθρώποις κακόν.
ὅταν γὰρ ἀπορῆταί τις, ἂν μὲν ἀργὸς ᾖ,
ἐλθὼν ἀπεκινδύνευσεν ἡμέραν μίαν,
ὥστ' ἢ γεγονέναι λαμπρὸς ἢ τεθνηκέναι.
ἡμεῖς δ' ἔχοντες ἀρραβῶνα τὴν τέχνην
τοῦ ζῆν, ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν,
ἐξόν τε μικρὸν διαπορηθῆναι χρόνον,
τὸν βίον ἅπαντα τοῦτο δρᾶν αἱρούμεθα.

14 (61, 3 Mein.) *Μενάνδρου Ὕμνιδος* (fr. 473 K.).

---

1 continuatur caput *Περὶ τεχνῶν*, ut testatur Photius, ubi tituli *Περὶ τεχνῶν* et *Περὶ δεσποτῶν καὶ δούλων* se excipiunt. nec titulus novus additur in SMA nec numerus in MA. *νδ'* (rubr. *νζ̄*) legitur in S. *εἰς* (*ἐσ* M) *τὸ ἐναντίον* praemittunt SMA ita tamen ut cum lemmate *μενάνδρου ἁλιέωσ* coniungat M: *ΕΤΙ ΠΕΡΙ ΤΕΧΝΩΝ ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ. ΛΟΓΟΣ νθ'*. Tr. non respexit in excerpendo Mac. ‖ **3** ecl. cum lemm. hab. SMA, *μ[ε] ἀλιέως* S ‖ **4** *διατροφὴν* om. M ‖ **7** ecl. cum lemm. hab. SMA, *ἐκναφέως* S *ἐκ ναφέωσ* M ‖ **8** *πρῶτος κατέδειξε* A ‖ **9** *μέγιστον* MA Tr. *μέγιστος* S ‖ **10** *ᾖ* Iacobs lect. Stob. p. 101: *ἦν* libri ‖ **12** *λαμπρὸν* libri: corr. Naber mnemos.[2] VIII p. 49 ‖ **16** *ἐρούμεθα* M ‖ **17** ecl. cum lemm. hab. SMA, *ὕμνιδος* SA *ὑμνιδοσ* sine spir., *μ* in corr. M. cf. quae diximus ad Stob. III 37, 17. afferuntur versus a Maximo Tyrio diss. XI 7 poetae nomine commemorato. tres (5. 12. 14) se excipiunt Menandreae ex litterarum ordine

Οὐ πάνυ τι γηράσκουσιν αἱ τέχναι καλῶς,
ἂν μὴ λάβωσι προστάτην φιλάργυρον.

15 (61, 4 Mein.) *Εὐριπίδου Πολυίδου* (fr. 635 N.[2]).

Οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι
τῆς φαυλότητος· καὶ γὰρ ἐν κοινῷ ψέγειν
ἅπασι κεῖσθαι δυστυχὲς κοὐκ εὐτυχές.

16 (61, 5 Mein.) *Ξενοφῶντος ἐκ τοῦ Οἰκονομικοῦ* (4, 2—3).

Καλῶς, ἔφη, λέγεις, ὦ Κριτόβουλε. καὶ γὰρ αἱ βαναυσικαὶ καλούμεναι καὶ ἐπίρρητοί εἰσι καὶ εἰκότως μὲν δὴ πάνυ ἀδοξοῦνται ὑπὸ τῶν πόλεων. καταλυμαίνονται γὰρ τὰ σώματα τῶν τε ἐργαζομένων καὶ ἐπιμελουμένων καὶ τὰς ψυχὰς ἀναγκάζουσαι καθῆσθαι καὶ σκιατραφεῖσθαι, ἔνιαι δὲ καὶ πρὸς πῦρ ἡμερεύειν. τῶν δὲ σωμάτων θηλυνομένων καὶ αἱ ψυχαὶ ἐπὶ πολὺ ἀρρωστότεραι γίγνονται. καὶ ἀσχολίας δὲ μάλιστα ἔχουσι καὶ φίλων καὶ πόλεων συνεπιμελεῖσθαι ⟨αἱ⟩ βαναυσικαὶ καλούμεναι. ὥστε εἰκότως σοι δοκοῦσι κακοὶ ἂν καὶ φίλοις χρῆσθαι καὶ ταῖς πατρίσιν ἀλεξητῆρες εἶναι. καὶ ἐν ἐνίαις μὲν τῶν πόλεων,

---

1 *τι* S *τι* ex *το* vel *τοι* corr. M[1] *τοι* A | *γὰρ πράττουσιν* Herwerden | *οὐ πάνυ τι — κακῶς, ἂν δὴ λάβωσι προστάτην φιλάργυρον*; violentius C. Schenkl *Wien. Stud.* XX (1898) p. 164. malim *ἀφιλάργυρον* ‖ 3 ecl. cum lemm. hab. SMA, *πολυειδει* sine acc. S. *πολυείδου* MA ‖ 4 *οἱ τὰς τέχνας ἀσκοῦντες* prop. Nauck ‖ 5 *καὶ γὰρ* Musgrave: *τε γὰρ* SMA, falsa de A rettulit Gaisford. *εἴπερ* F. G. Schmidt ‖ 6 *κοὐκ* Grotius D. poet. p. 233: *οὐκ* SMA ‖ 7 ecl. cum lemm. hab. SMA ‖ 8 *ἀλλὰ καλῶς* Xen. | *αἵ γε βαναυσικαὶ* Xen. ‖ 9 *ἐπίρρητοι* Tr., Xen.: *ἐπίρητοι* M *ἐπήρητοι* S[1]A *ἐπί*^{ρ}*ρητοι* corr. man. rec. S. *ἐπίρρητοί τε* secundum Bekk. Anecd. p. 345,5 scr. G. Sauppe | *μὲν δὴ* SMA *μέντοι* Xen. ‖ 10 *ἀδοξοῦνται πρὸς τῶν πόλεων* Xen. cf. Cobet N. l. p. 599 ‖ 11 *τε* om. Tr. ‖ 12 *ἀναγκάζουσαι* M Tr., Xen. *ἀναγκάζουσι* A. dubito de S | *καθ*^{η}*εισθαι* corr. A[1] | *σκιατροφεῖσθαι* S ‖ 13 *ἔνια* M ‖ 14 *ἐπὶ πολὺ* M *ἐπιπολὺ* SA: *πολὺ* Xen. secluserim *ἐπι* ut ex dittographia quadam subnatum | *γίγνονται* A, Xen. *γίνονται* SM ‖ 15 *πόλεως* Xen. ‖ 16 *αἱ* inserui e Xen. | *βασανικαὶ* A | *εἰκότως σοι* SMA corrupte: *οἱ τοιοῦτοι* Xen. ‖ 17 *κακοὶ* ex *κακῶν* corr. S[1] | *ἂν* om. Xen. | *χρῆσθαι* om. A | *ταῖς* ex *τοῖς* correxisse videtur A[1] | *πατράσιν* compend. A | *ἀλεξιτῆρες* A ‖ 18 *τῶν* om. A

μάλιστα δὲ ἐν ταῖς εὐπολέμοις δοκούσαις εἶναι οὐδ' ἔξεστι τῶν πολιτῶν οὐδενὶ βαναυσικὰς τέχνας ἐργάζεσθαι.

17 (61, 6 Mein.) *Πλάτωνος ἐκ τοῦ Πολιτικοῦ* (p. 258 D—E).

Ἆρ' οὖν οὐκ ἀριθμητικὴ μὲν καί τινες ἕτεραι ταύτῃ συγγενεῖς τέχναι ψιλαὶ τῶν πράξεών εἰσι, τὸ δὲ γνῶναι παρέσχοντο μόνον; — Ἔστιν οὕτως. — Αἱ δέ γε περὶ τεκτονικὴν αὖ καὶ ξύμπασαν χειρουργίαν ὥσπερ ἐν ταῖς πράξεσιν ἐνοῦσαν ξύμφυτον τὴν ἐπιστήμην κέκτηνται, καὶ συναποτελοῦσιν τὰ γιγνόμενα ὑπ' αὐτῶν σώματα πρότερον οὐκ ὄντα. — Τί μήν; — Ταύτῃ τοίνυν ξυμπάσας ἐπιστήμας διαίρει, τὴν μὲν πρακτικὴν προσειπών, τὴν δὲ μόνον γνωστικήν. — Ἔστω σοι ταῦθ' ὡς μιᾶς ἐπιστήμης τῆς ὅλης εἴδη δύο.

18 (61, 7 Mein.) *Τοῦ αὐτοῦ ἐκ τοῦ Φιλήβου* (p. 55 D—56 A).

Ἐν δὴ ταῖς χειροτεχνικαῖς διανοηθῶμεν πρῶτα εἰ τὸ μὲν ἐπιστήμης αὐτῶν μᾶλλον ἐχόμενον, τὸ δ' ἧττον ἔνι, καὶ δεῖ τὰ μὲν ὡς καθαρώτατα νομίζειν, τὰ δὲ ὡς ἀκαθαρτότερα. — Οὐκοῦν χρή. — Τὰς τοίνυν ἡγεμονικὰς διαληπτέον ἑκάστων αὐτῶν χωρίς; — Ποίας καὶ πῶς; — Οἷον πασῶν που τεχνῶν ἄν τις ἀριθμητικὴν χωρίζῃ καὶ μετρητικὴν καὶ στατικήν, ὡς ἔπος εἰπεῖν φαῦλον τὸ καταλειπόμενον ἑκάστης ἂν γίγνοιτο. — Φαῦλον μὲν δή. —

---

1 *οὐδ' ἔξεστι* Xen.: *οὐ δεξαιό* (*δέξαιό* Tr.) *τι* S *οὐδέξαιό τι* M *οὐδεξαιό* (*τϊ* supra) A ‖ **2** *οὐδενὶ*] *οὐδέν. ἡ* M ‖ **3** ecl. cum lemm. hab. SMA; in lemm. *πολιτ* cum compendio in ras. S ‖ **4** *καί τινες ἕτεραι* SM, Plat. *καὶ ἕτεραι ἄλλαι* A | *ταύτῃ συγγ.* Plat.: *ταύτης συγγ.* SMA ‖ **5** *πράξεων εἰσίν* M ‖ **8** *ἐνοῦσαν* S, Plat.: *ἐνοῦσαι* MA ‖ **9** *συναποτελοῦσι* (*ξυν-* dederim Stobaeo) Plat.: *νῦν ἀποτελοῦσαν* SMA ‖ **10** *οὐκούντα* M ‖ **11** *διαίρει* Plat. *διαίρει* an *διαιρεῖ* voluerit M non satis liquet *διαιρεῖ* SA ‖ **12** *γνωριστικὴν* A | *σοι* om. A ‖ **14** ecl. cum lemm. hab. SMA ‖ **15** *πρῶτα* SM, Plat.: *πρῶτον* A | *εἰς* Tr. ‖ **17** *δεῖ* S, e corr. M[1], Platonis T: *δὴ* A et primo M, Platonis B | *καθαρώτερα* A ‖ **18** *ἀκαθαρτότερα* libri sed *ο* ex *ω* S[1] | *ἡγεμονικὰς* tacite e Plat. Gesn.[1]: *ἡγεμονίας* SMA ‖ **20** *που* supra lin. A[1] | *τις* A: *γ' εἰς* an *τ' εἰς* dubium in S *τ' εἰς* M *γ' εἰς* Tr. | *ἀριθμητικὴ* A ‖ **21** *μετρητικὴ* (prius *η* in ras. corr. ex *ϊ* ut videtur) *καὶ στατικὴ* A ‖ **22** *γένοιτο* A

Τὸ γοῦν μετὰ ταῦτα εἰκάζειν λείποιτ' ἂν καὶ τὰς αἰσθήσεις καταμελετᾶν ἐμπειρίᾳ καί τινι τριβῇ, ταῖς τῆς στοχαστικῆς προσχρωμένους δυνάμεσιν ἃς οἱ πολλοὶ τέχνας ἐπονομάζουσι, μελέτῃ καὶ πόνῳ τὴν ῥώμην ἀπειργασμένας. — Ἀναγκαιότατα λέγεις.

---

1 *μετὰ* tacite e Plat. Gesn.[1]: *μέγα* S M A *μελετᾶν* Tr. | *λείποι* Tr. ‖ 2 *τῆς* om. A sed exstat hasta (a m.[1]) ut appareat librarium litt. *τ* exarare iam voluisse, destitisse tamen ‖ 4 *ἀπειργασμένας* libri sed *ει* ex *ε* ni fallor corr. M[1]

CAPVT XIX.

ΠΕΡΙ ΔΕΣΠΟΤΩΝ ΚΑΙ ΔΟΥΛΩΝ.

1 *Εὐριπίδου Ἑλένη* (726 s.).

Κακὸς γὰρ ὅστις μὴ σέβει τὰ δεσποτῶν,
καὶ ξυγγέγηθε καὶ συνωδίνει κακοῖς.

2 *Εὐριπίδου Ἑλένη* (728 ss.).

Ἐγὼ [δὲ δοῦλος] ⟨μὲν εἴην⟩, κεἰ πέφυχ᾽ ὅμως λάτρις,
ἐν τοῖσι γενναίοισιν ἠριθμημένος
δούλοισι, τοὔνομ᾽ οὐκ ἔχων ἐλεύθερον,
τὸν νοῦν δέ. κρεῖσσον γὰρ τόδ᾽ ἢ δυοῖν κακοῖν
ἕν᾽ ὄντα χρῆσθαι, τὰς φρένας τ᾽ ἔχειν κακὰς
ἄλλων τ᾽ ἀκούειν δοῦλον ὄντα τῶν πέλας.

3 *Εὐριπίδου Μελεάγρῳ* (fr. 529 N.[2]).

---

1 s. *Περὶ δεσποτῶν καὶ δουλῶν* cum Photio SMA Mac. numero *νε′* denotat caput S, *ξ′* Tr. *οα′* MA, num. om. Mac. ‖ 3 ecl. cum lemm. hab. SMA ‖ 5 *ξυγγέγηθε* M, Eur. *συγγέγηθε* SA | *συνωδίνει* SA, Eur. *νυνωδίνει* M | *κακοῖς* om. A ‖ 6 ecl. cum lemm. hab. SMA, *ἑλέ* subdita compendii lineola (ut ante primam eclogam) S poetae nomine non iterato. lemma om. Tr. excipiunt se versus eclogae primae et secundae ap. Eur., at gnomologo invito duas in unam contraxit eclogam Meineke ‖ 7 *μὲν εἴην* Eur.: *δὴ* (*δ᾽ εἰ* A) *δοῦλος* (quod ex interpretatione ortum videtur, cf. *λάτρις*) SMA | *κεἰ* Musgrave: *εἰ* SM om. A, *καὶ* libri Eur. | *πέφυχ᾽ ὅμως* A, Eur.: *πέφυκεν ὅμως* (*ομως* sine sp. et acc. S) SM | *λάτρϊσ* sed *ϊ* fort. ex *η* corr. M[1] ‖ 9 *δούλοιστι* M | *τοὔνομ᾽* Eur.: *τοῦτ᾽ ὄνομ᾽* S *τοῦτ᾽ οὔνομ᾽* (*οὔνομ᾽* ex *οὔνομα* corr. M[1]) M *τοῦτ᾽ ὄμμα* A ‖ 10 *τόδ᾽ ἢ* Eur.: *τόδε* SM *τόδ^ε* A | *κακοῖν* S, Eur.: *κακόν* M *κακῶν* A ‖ 11 *ἕν᾽ ὄντα* Eur.: *ἐνδόντα* SMA, in libro primitivo igitur *ΕΝΔΟΝΤΑ* | *τ᾽ ἔχειν* Eur.: *τῶ ἔχειν* SMA ‖ 12 *δῆλον* A ‖ 13 ecl. cum lemm. hab. SMA; *μελ^ε* S

Ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν
καὶ δεσπόταισι δοῦλον εὐμενῆ δόμοις.

4 *Εὐριπίδου Ἀντιόπη* (fr. 216 N.[2]).

Οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας
γνώμας διώκειν οὐδ' ἐς ἀργίαν βλέπειν.

5 *Μενάνδρου* (fr. 796 K.).

Λυπεῖ με δοῦλος μεῖζον οἰκέτου φρονῶν.

6 *Μενάνδρου* (fr. 644 K.).

Ὅταν τύχῃ τις εὐνοοῦντος οἰκέτου,
οὐκ ἔστιν οὐθὲν κτῆμα κάλλιον βίῳ.

7 **Τοῦ αὐτοῦ** (fr. 1093 K.).

Ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν
ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον.

8 *Φιλήμονος Θηβαίων* (fr. 31 K.).

Ἐμοῦ γάρ ἐστι κυριεύων εἷς ἀνήρ·
τούτων δὲ καὶ σοῦ μυρίων τ' ἄλλων νόμος,
ἑτέρων τύραννος, τῶν τυραννούντων φόβος.
δοῦλοι βασιλέων εἰσίν, ὁ βασιλεὺς θεῶν,
ὁ θεὸς Ἀνάγκης. πάντα δ', ἂν σκοπῇς, ὅλως
ἑτέρων πέφυκεν ἥττον'· ὧν δὲ μείζονα,

---

1 cf. infra 12 et Men. mon. 556: *ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν* ‖ **3** ecl. cum lemm. hab. SMA, *ἀντιο*^{π} S, *ἀντιόπη* M *ἀντιγόνη* A ‖ **6** ecl. cum lemm. hab. SMA. hinc detortus versus qui legitur inter Men. mon. 323 *λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν.* cf. Herwerden Collectan. (L. B. a. 1903) p. 177 ‖ **8** ecl. cum lemm. hab. SMA, *μ*^{ε} S *τοῦ αὐτοῦ* ‖ **9** *ὅταν ἀτυχῇ τις, εὐνοοῦντος οἰκέτου οὐκ ἔστιν οὐδὲν κτέ.* scr. Kock, immerito | *εὐγνοοῦντος* A ‖ **10** Men. mon. 423 *οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.* cf. Gregor. Naz. t. 37 p. 923 Migne | *οὐθὲν* SM *οὐδὲν* A ‖ **11** ecl. cum lemm. hab. SMA. Philippo tribuitur ecloga infra 35, non Philemoni, ut festinantius adnotavit Gesn.[2] marg. desinant tandem editores deuti errore Gesneri ‖ **13** *ζεῖν* A hic et infra ‖ **14** ecl. cum lemm. hab. SMA ‖ **15** *κυριεύων* scripsi: *κύριος* SMA. *κύριος ⟨μὲν⟩* Gesn.[1] f. 365[2] (inde cod. Paris. 1985 teste Gaisfordo) non apte ‖ **16** *τούτων* SM *τοῦτον* A. *τούτου* scr. Meineke ‖ **17** *ἑτέρων* male irrepsisse ex v. 20 putat Herwerden Anal. cr. p. 37 reponens *νόμου τύραννος.* idem inter v. 17 et 18 opinatur non nulla intercidisse ‖ **20** *ἥττον', ὧν* Dobree: *ἡττόνων* SM *ἧττον* A. recte distinxit verba Weil *Rev. cr.* 1885 p. 278

τούτοις ἀνάγκη ταῦτα δουλεύειν ἀεί.

9 *Ἀντιφάνους* (fr. 265 K.).

Δούλῳ γὰρ οἶμαι πατρίδος ἐστερημένῳ
χρηστὸς γενόμενός ἐστι δεσπότης πατρίς.

10 *Μενάνδρου* (fr. 580 K.).

Τί διὰ κενῆς εἶ χρηστός; ⟨εἴ γ'⟩ ὁ δεσπότης
αὐτὸς ⟨μὲν⟩ ἀπολεῖ πάντα, σὺ δὲ μὴ λαμβάνεις,
σαυτὸν ἐπιτρίβεις, οὐκ ἐκεῖνον ὠφελεῖς.

11 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 251 N.²).

Κρείσσω γὰρ οὔτε δοῦλον οὔτ' ἐλεύθερον
τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσιν.

12 *Εὐριπίδου Ἀντιόπῃ* (fr. 217 N.²).

Τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;

13 *Εὐριπίδου Ἀρχελάου* (fr. 261 N.²).

ΧΟΡ. Ἔσωσα δούλην οὖσαν. οἱ γὰρ ἥσσονες
τοῖς κρείσσοσιν φιλοῦσι δουλεύειν βροτῶν.

14 *Εὐριπίδου Ἀλεξάνδρου* (fr. 48 N.²).

Σοφὸς μὲν οὖν εἶ, Πρίαμ', ὅμως δέ σοι λέγω,
δούλου φρονοῦντος μᾶλλον ἢ φρονεῖν χρεὼν

---

1 *οὕτως ἀνάγκη πάντα* prop. Dobree ‖ **2** ecl. cum lemm. hab. MA, om. S ‖ **3** *δοῦλοι* MA: corr. Gesn.² ‖ **4** *χρηστὸς*] ante *χρηστὸς* habet *ἐστι δ' ἔπος τ γ* sed punctis deleta | *δεσπότης πατρίς* feliciter restituit Gesn.²: *δέπο///σ* (post *ο* una litt. rasa, ipsum *ο* e corr. M.²) *τῆσ πατρίδοσ* M *δ' ἔπος τῆς πατρίδος* A ‖ **5** ecl. cum lemm. hab. SMA ‖ **6** *⟨εἴ γ'⟩ ὁ δεσπ.* prop. Gaisford, *⟨εἰ γὰρ⟩ ὁ δ.* Iacobs ‖ **7** *μὲν* suppl. Grotius Dicta poet. p. 235 | *ἀπολεῖ* scripsi: *ἀπόλλει* S *ἀπολλύει* MA. aptum futurum tempus: sibi aliquid sumere iubetur servus, priusquam erus, prodigus ut est et luxuriosus, profuderit omnia | *λαμβάνεις* libri sed *ει* ex *η* corr. M¹ ‖ **8** *σαυτὸν* Grotius; *σεαυτὸν* libri ‖ **9** ecl. cum lemm. hab. SMA; *ἀρχελάου* M ‖ **10** *κρείσσω* Pflugk: *κρεῖσσον* SMA | *γὰρ οὔτε* Tr.: *γάρ τε* SMA ‖ **11** *σώφροσιν* MA (erravit Nauck), *σώφροσι* S ‖ **12** ecl. cum lemm. hab. SMA; *ἀντιόπησ* M ‖ **14** ecl. cum lemm. hab. SMA, chori nota accessit ex S, ubi *αρχε̄ χ* (o supra) ‖ **15** *ἔσωσε* vel *ἐγῷδα δ. οὖσαν* ci. Meineke, *ἔγνων σε δούλην οὖσαν* (ρ supra) Gomperz *Nachl.* p. 24 s. ‖ **16** *κρείσσοσι* S ‖ **17** ecl. cum lemm. hab. SMA, *ἀλεξ*^{αδ} S lineola infra adiecta ‖ **19** post *χρεὼν* fortius distinguit M

οὐκ ἔστιν ἄχθος μεῖζον οὐδὲ δώμασι
κτῆσις κακίων οὐδ' ἀνωφελεστέρα.

15 *Εὐριπίδου Ἀλεξάνδρου* (fr. 49 N.[2]).

Ἤλεγχον· οὕτω γὰρ κακὸν δοῦλον γένος·
γαστὴρ ἅπαντα, τοὐπίσω δ' οὐδὲν σκοπεῖ.

16 *Εὐριπίδου Ἀλεξάνδρου* (fr. 50 N.[2]).

Δούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος,
πρὸς τῶν ὁμοίων πόλεμον αἴρονται μέγαν.

17 *Μενάνδρου Προεγκαλῶν* (fr. 419 K.).

Τὸ δὲ
κελευόμενον μέν ἐστιν ἀσφαλέστατον
δούλῳ ποεῖν, ὥς φασιν.

18 *Εὐριπίδου Ἀλεξάνδρου* (fr. 57 N.[2]).

Ὦ παγκάκιστοι καὶ τὸ δοῦλον οὐ λόγῳ
ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι.

19 (27 Mein.) *Μενάνδρου Παιδίον* (fr. 370 K.).

Ἂν πάντα δουλεύειν ὁ δοῦλος μανθάνῃ,

---

1 *ἔστ'* A ‖ 3 ecl. cum lemm. hab. SM, om. A; *ἀλεξάν*^{δ} S *ἀλεξάν*^{δρ} M. cum priore in unam eclogam coniunxit Meineke invito utique gnomologo ‖ 4 *δοῦλον* libri: *δούλων* tacite Nauck ‖ 5 *οὐδεὶς σκοπεῖ* prop. Wecklein *Stud. zu Eur.* p. 420 ‖ 6 ecl. cum lemm. hab. SMA; nil nisi *εν ταυ*^{τ} S ‖ 7 *δεσπόται* Bothe ‖ 8 *τῶν* SM *τὸν* A Tr. | *αἱροῦνται* SMA: corr. Elmsley ‖ 9 ecl. cum lemm. hab. MA, om. S ‖ 10 *τὸ δ' εὖ* libri: *τὸ δὲ* V. Iernstedt praeeunte Grotio ‖ 11 *μόνον ἐστὶν* prop. Nauck *Mél. Gréco-Rom.* t. VI p. 113 | *ἐστι* A ‖ 12 *δούλῳ ποιεῖν* tacite Grotius idque confirmat M ubi *δουλω ποιεῖν*, cum in A sit *δουλοποιεῖν* ‖ 13 ecl. hab. lemmate post ecl. 16 non iterato S, addito lemmate M, om. A ‖ 14 *οὐ λόγῳ*] *οὐ τύχῃ* ci. Cobet mnemos. IX p. 133 ‖ 15 *ἀλλὰ τῇ φύσει* Iacobs. recipi iubet haec conamina Nauck trag. dict. ind. p. XV ‖ 16 ecl. cum lemm. hab. S (post ecl. 26 Mein.) M (post ecl. 18 Mein.), om. A. pro lemm. *μ*^{ε} nec plura S *μενάνδρου παιδίον* M. *Παιδίον* tacite Gaisford. cf. Philo Alex. Quis rerum div. heres 1, 5 vol. III p. 2, 5 ss. Wendl. *θαυμάσιοι δὲ ἀρεταὶ ἥ τε εὐτολμία καὶ ἡ ἐν τῷ δέοντι παρρησία πρὸς τοὺς ἀμείνους, ὡς καὶ τὸ κωμικὸν ἀψευδῶς μᾶλλον ἢ κωμικῶς εἰρῆσθαι δοκεῖν 'ἂν πάνθ' ὁ δοῦλος ἡσυχάζειν μανθάνῃ, πονηρὸς ἔσται· μεταδίδου παρρησίας'* ‖ 17 *ἂν — μανθάνῃ* Philo: *ἅπαντα — μανθάνει* SM. *al.* *εἰ πάντα* Gesn.[1] marg.

πονηρὸς ἔσται. μεταδίδου παρρησίας,
βελτίον' αὐτὸν τοῦτο ποιήσει πολύ.

20 (19 Mein.) *Εὐριπίδου Ἀλεξάνδρου* (fr. 51 N.[2]).

Δούλους γὰρ οὐ
καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν.

21 (28 Mein.) *Φιλήμονος Ἐξοικιζομένου* (fr. 22 K.).

Κἂν δοῦλος ᾖ τις, οὐθὲν ἧττον, δέσποτα,
ἄνθρωπος οὗτός ἐστιν, ἂν ἄνθρωπος ᾖ.

22 (29 Mein.) *Φιλήμονος Παίδων* (fr. 56 K.).

Κακόν ἐστι δούλῳ δεσπότης πράττων κακῶς·
μετέχειν ἀνάγκη τῶν κακῶν γὰρ γίγνεται.

23 (20 Mein.) *Εὐριπίδου Ἀλκμέωνος* (85 N.[2]).

Μέτεστι τοῖς δούλοισι δεσποτῶν νόσου.

24 (21 Mein.) *Εὐριπίδου ἐκ Βουσίριδος* (fr. 313 N.[2]).

Δούλῳ γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν,
εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι.

25 (22 Mein.) *Εὐριπίδου Ἀλκμέωνος* (fr. 86 N.[2]).

Ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν,
πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει.

26 (23 Mein.) *Εὐριπίδου Εὐρυσθέως* (fr. 375 N.[2]).

---

1 *βελτίον'* Iacobs lect. Stob. p. 102: *βέλτιστον* SM ‖ **3** ecl. habet lemmate non iterato S (post ecl. 18) addito lemmate M (post ecl. 27 Mein.) A (post ecl. 17). de S vide ad ecl. 18 ‖ **5** *κρείττονασ* M ‖ **6** ecl. hab. S (post ecl. 27 Mein.) MA (post ecl. 19 Mein.), lemma SA, om. rubricator in M sicut etiam ipsius eclogae litt. initialem ad proximam eclogam delapsus ‖ **7** *ἦν* SMA: corr. cod. Paris. 1985 teste Gaisfordo | *δεσπότις* A ‖ **8** cf. Stob. III 3, 12 p. 195, 1 H. | *ἀν* sine acc. S ‖ **9** ecl. hab. SMA; *τ' αὖ παίδων* S *φιλήμονος παίδων* A *φίλημονος ἐξοικιζομένου* M cf. quae dixi ad ecl. priorem. 'fort. *Παιδίῳ* vel *Παιδαρίῳ*' Meineke Com. IV p. 17 ‖ **10** *πράττων* Meineke in comicorum ed.: *πράσσων* libri ‖ **11** *γίνεται* M Tr. ‖ **12** ecl. hab. S (post ecl. 29 Mein.) M (post ecl. 29 Mein.) om. A; *ἀλκμέωνος* M *βουσιρι*$^{\delta}$ S. hinc fortasse Busiridi potius quam Alcmeoni versum dandum esse putat Nauck; non recte. pro re nata enim errorem is commisisse credendus erit librarius, quem suo Marte ordinem eclogarum invertisse intelleximus, vide quae enucleavimus proleg. Stob. v. III p. LV ss. LVIII ‖ **14** ecl. cum lemm. hab. SMA, om. A ‖ **17** ecl. cum lemm. hab. SMA, *ἀλκμέωνοσ* M *ἀλκμαίωνος* SA ‖ **20** ecl. cum lemm. hab. SMA

† *Πιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον*
† *τοιοῦτόν τ' εἶναι, καὶ στέγειν τὰ δεσποτῶν.*

27 (24 Mein.) *Εὐριπίδου Ἀλκμήνης* (fr. 93 N.²).

Ἀεὶ δ' ἀρέσκειν τοῖς κρατοῦσι· ταῦτα γὰρ
δούλοις ἄριστα· κἀφ' ὅτῳ τεταγμένος
εἴη τις, ἁνδάνοντα δεσπόταις ποιεῖν.

28 (25 Mein.) *Εὐριπίδου Ἑκάβης* (332 s.).

Αἰαῖ· τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεὶ
τολμᾷ θ' ἃ μὴ χρή, τῇ βίᾳ κρατούμενον.

29 (30 Mein.) *Σοφοκλέους Ἀκρισίῳ* (fr. 60 N.²).

Δῆλον γάρ· ἐν δεσμοῖσι δραπέτης ἀνὴρ
κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει.

30 (26 Mein.) *Εὐριπίδου Ἴωνος* (854 ss.).

Ἓν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει
τοὔνομα· τὰ δ' ἄλλα πάντα τῶν ἐλευθέρων
οὐδεὶς κακίων δοῦλος, ὅστις ἐσθλὸς ᾖ.

31 *Μενάνδρου Θετταλῇ* (fr. 231 K.).

Εὐθυμία, Τίβιε, τὸν δοῦλον τρέφει.

32 *Εὐβούλου* (fr. 129 K.).

Πολλοὶ φυγόντες δεσπότας, ἐλεύθεροι

---

1 s. verba pessime habita quaeque nostris quidem subsidiis probabiliter nemo expedierit ‖ **2** *τοιοῦτόν τ'* SMA. *τοιοῦτον οἷον* ci. Weil | *στέργειν* Tr. ‖ **3** ecl. cum lemm. hab. MA, om. S ‖ **5** *κἀφ-ότῳ* M *κἀφί τῳ* A ‖ **6** *ἀνδάνοντα* MA ‖ **7** ecl. cum lemm. hab. SMA, *αἰκάβησ* M ‖ **8** *αἰαὶ* S *οὐαὶ* MA | *πέφυκ' ἀεὶ* SMA *πεφυκέναι* libri Eur. meliores sed ut *πέφυκ' ἀεὶ* tamquam vetus discrepantia commemoretur a Triclinio ‖ **9** *κρατούμενον*] *νικώμενον* Euripidis libri ‖ **10** ecl. cum lemm. hab. S (post ecl. 29 Mein.) MA (post ecl. 25 Mein.) ‖ **11** post *δῆλον γάρ* distinxit Nauck. *δοῦλον γὰρ ἐν δεσμοῖσι* Grotius Dict. poet. p. 237 ‖ **13** ecl. sine lemm. hab. S (post ecl. 25 Mein.) addito lemmate MA (post ecl. 30 Mein.) ‖ **14** *ἓν γάρ τι* Eur.: *ἐν* (*ἓν* ni fallor A) *ἄργει* SMA ‖ **16** *οὐδὲν κακίων* recte Dobree ‖ **17** ecl. cum lemm. hab. MA (post ecl. 26 Mein.), om. S; *θετ-ταλῆ* (ε supra) MA ‖ **18** *βίε* M *βί* A: *βέλτιστε* prop. Gaisford, *τοι, Τίβιε* Bentley, *Τίβειε* Headlam *Restor. of Men.* (Cantabr. 1908) p. 5 collatis Men. Herois v. 40 et 47 Lef. sed scribitur etiam *Τίβῖε*, velut Oxyrh. pap. VI p. 153 v. 3 | *τρέφει* etiam A, errat Gaisford ‖ **19** ecl. cum lemm. hab. SMA ‖ **20** *φυγόντες* ex *-τας* corr. S¹ *φαγόντες* A

ὄντες πάλιν ζητοῦσι τὴν αὐτὴν φάτνην.

33 *Σοφοκλέους* (fr. 854 N.[2]).

Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος.

34 *Μενάνδρου* (fr. 581 K.).

Ἐμοὶ πόλις ἐστὶ καὶ καταφυγὴ καὶ νόμος
καὶ τοῦ δικαίου τοῦ τ' ἀδίκου παντὸς κριτὴς
ὁ δεσπότης. πρὸς τοῦτον ἕνα δεῖ ζῆν ἐμέ.

35 *Φιλίππου* (Menandri fr. 1093 K.).

Ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν
ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον.

36 *Θεόγνιδος* (535 s.).

Οὔ ποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν,
ἀλλ' αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.

37 *Εὐριπίδου Μηδείας* (54 s.).

Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται.

---

1 *ποθοῦσι* mavult Nauck *Mél. Gréco-Rom.* t. VI p. 94 | *τὴν αὐτὴν φάτνην*] Zenob. III 50 apte comparat O. Crusius ‖ 2 ecl. cum lemm. hab. SMA. cf. Gregorius Nazianzenus in carmine de virtute (Migne patrol. 37, 722) v. 686 s. *εἶναι γάρ, εἶναι τἀνδρός, ὡς ἀκούομεν, τὸ σῶμα δοῦλον, τὸν τρόπον δ' ἐλεύθερον.* Elter De gnomol. Gr. hist. atque orig. part. III p. 114 s. ‖ 4 ecl. cum lemm. hab. SMA. initia horum versuum (sc. *ΟΙΜ* et *ΚΑΙΤ* et *Ο ΔΕΣ* leguntur etiam in cod. membran. Petropolitano, ex quo post Tischendorfium et Cobetum nonnulla comicorum fragmenta edidit V. Iernstedt Petrop. a. 1891. librum Russorum lingua conscriptum non vidi, sed cf. Kock mus. Rhen. XLVIII (1893) p. 236 Kretschmar de Men. rel. nuper repertis (Lips. a. 1906) p. 117. tribus versibus a Stobaeo servatis excipitur in codice Petrop. alius quem sic redintegravit Iernstedt *ΕΠΙΣ*[*φαλῆ μὲν*] *ΠΑΝΤΑ ΤΑΝΘΡ*[*ώπων· ἐμοὶ*] *ΟΙΜ*⟨*αι*⟩ *πόλις ἐστὶ* ‖ 8 ecl. cum lemm. hab. MA, om. S. *Φιλιππίδου* prop. Meineke. sed *Φιλίππου* legisse videtur pinacographus Photi qui Philippum inter poetas rettulit p. 58 Elt. Menandro datur distichon supra ecl. 7 ubi vide quae adnotavi ‖ 9 *ἐστὶν* A ‖ 10 *ζεῖν* A, corr. A[1] ‖ 11 ecl. cum lemm. hab. SMA. adfert versus Philo Alex. II 469 Richt. ‖ 12 *δουλίη* SM | *ἰθεῖα* Theogn. ‖ 13 *αἰεὶ* Theogn. ‖ 14 ecl. cum lemm. hab. SMA, *μηδεία* M. adfert versus poetae n. addito Aelianus de nat. anim. VII 28. Eumathius VIII p. 575 Didot. ‖ 16 *πίτνοντα* Eur.: *πίπτοντα* SMA

38 *Εὐριπίδου Μελανίππης* (fr. 511 N.[2]).

Δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ·
πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.

39 *Εὐριπίδου Φρίξῳ* (fr. 831 N.[2]).

Πολλοῖσι δούλοις τοὔνομ' αἰσχρόν, ἡ δὲ φρὴν
τῶν οὐχὶ δούλων ἔστ' ἐλευθερωτέρα.

40 *Ἀλέξιδος* (Com. III p. 744 K.).

Ἀλλ' ἐπὶ τὸ πλῆθος ἐμφερεῖς τοὺς οἰκέτας
ἔχοντας ὄψει τοὺς τρόπους τοῖς δεσπόταις.
τοῖς ἤθεσιν γὰρ οἷς ὑπηρετοῦσ' ἀεὶ
προσέχουσα τούτοις ἡ φύσις κεράννυται.

41 *Εὐριπίδου Ἀντιόπης* (fr. 218 N.[2]).

Φεῦ φεῦ· τὸ δοῦλον ὡς ἁπανταχῇ γένος
πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός.

42 *Βίωνος ἐν τῷ Περὶ δουλείας.*

Φησὶν ὁ Βίων· οἱ ἀγαθοὶ οἰκέται ἐλεύθεροι, οἱ πονηροὶ ἐλεύθεροι δοῦλοι πολλῶν ἐπιθυμιῶν.

43 *Φαβωρίνου* (fr. 63 p. 127 Marr.).

Ζάμολξις οἰκέτης ἦν Πυθαγόρου, καὶ προσεκύνησαν αὐτὸν οἱ Γέται.

44 *Μητροδώρου* (fr. 58 Koerte).

---

1 ecl. cum lemm. hab. SMA. v. 1 recurrit in flor. Mon. 130 ‖ 2 *γὰρ* om. flor. Mon. | *διαφθερεῖ* flor. Mon.: *διαφθείρει* SMA ‖ 4 ecl. cum lemm. hab. SMA, *Φρίξῳ* S *φρίξος* MA ‖ 7 ecl. cum lemm. hab. SMA ‖ 9 post *δεσπόταισ* fortior distinctio in M ‖ 10 *τοῖς ὑπηρετοῦσι καὶ* SMA: corr. Valckenaer ‖ 12 ecl. cum lemm. hab. SMA; *ἀντιόπη* M ‖ 15 ecl. cum lemmate hab. SMA, *βίωνος* SM $\overset{β}{δ}$*ίωνος* A. legitur etiam III 2, 38 H. frustra Dioni dederunt eclogam Gaisford et Meineke, cf. proleg. in Telet.[2] p. LXXXVIII | *ἐν τῷ περὶ δουλείας φησὶν* (*φησὶ* A) *ὁ βίων* om. S ‖ 17 *οἱ δὲ πονηροὶ* Stob. III | v. *πολλῶν ἐπιθυμιῶν* interpretis sane sunt, ut sensit Meineke, sed fortasse ipsius gnomologi, cf. proleg. in Tel.[2] p. CII adn. ‖ 18 ecl. cum lemm. hab. MA, om. S; *φαβουρίνου* MA. cf. Herodot. IV 14 Diog. Laert. VIII 1 Porphyr. vit. Pythag. 14, al. ‖ 19 *ζάμολξις* libri, non *ζάλμοξις* ‖ 20 *οἱ Γέται* Hemsterhusius: *οἱ ποτέ* (*ποτὲ* A) MA; *οἱ τότε* scr. Gesn.[2] ‖ 21 ecl. cum lemm. hab. MA, om. S. recurrit lemmate et *δοῦλος* omissis exc. Vind. 6. cf. etiam append. Vat. 46 p. 41 Sternb.

Δοῦλος ἀναγκαῖον μὲν κτῆμα, οὐχ ἡδὺ δέ.

45 *Δημοκρίτου* (fr. 270 Diels[2]).

Οἰκέταισιν ὡς μέρεσι τοῦ σκήνεος χρῶ ἄλλῳ πρὸς ἄλλο.

46 *Δίωνος ἐκ τοῦ Οἰκονομικοῦ* (fr. V vol. II p. 309 Arn.).

Χρὴ οὖν δεσπόζειν ἐπιεικῶς καὶ ἀνεθῆναί ποτε βουλομένοις ἐπιτρέπειν. αἱ γὰρ ἀνέσεις παρασκευαστικαὶ πόνων εἰσί, καὶ τόξον καὶ λύρα καὶ ἄνθρωπος ἀκμάζει δι' ἀναπαύσεως.

47 *Διογένους.*

Διογένης ἀποδράντος τοῦ οἰκέτου οὐκ ἐφρόντιζε δεινὸν εἶναι λέγων, εἰ Διογένης μὲν χωρὶς αὐτοῦ ζῆν οὐ δύναται, αὐτοῦ δ' ἐκεῖνος χωρὶς δύναται.

48 *Ἐκ τῶν Σερήνου ἀπομνημονευμάτων.*

Γελλίας ὁ Ἀκραγαντῖνος ἐπιξενωθεὶς ἀνδρὶ σκληρῷ καὶ ἀπὸ παντὸς πορίζοντι, ὃς οὐδὲ καθεύδειν τοῖς οἰκέταις ἐπέτρεπεν, ἀλλ' ἄλλος ἄλλο τι τὴν νύκτα εἰργάζετο, ὑποδεξάμενος καὶ αὐτὸς τοῦτον εἰς Ἀκράγαντα ἀφικόμενον μετὰ δεῖπνον συνεκάλει τὰ παιδία τῶν οἰκετῶν, τὰ δὲ ἦν πάμπολλα, καὶ τοῖς μὲν ἐδίδου κάρυα τοῖς δὲ σῦκα ξηρά. ἐρομένου δ' ἐκείνου πόθεν παιδία τοσαῦτα; ‛ταῦτα' ἔφη ‛οἱ ἐμοὶ οἰκέται ἐν νυξὶ ποιοῦσι'.

---

2 ecl. cum lemm. hab. MA, om. S ‖ 3 *οἰκέτισιν* sed supra prius *ι* aliquid rasi, fortasse *α* M *οἰκέταισῖ* A; *οἰκέτῃσιν* tacite Gesn.[2] p. 385 | *ἄλλο* MA: *ἄλλῳ* tacite Gesn.[2] ‖ 4 ecl. cum lemm. hab. SMA, in lemmate *οἰκ* S ‖ 9 ecl. sine lemm. hab. S, addito lemmate MA. cf. Tel.[2] p. 41, 13 H. Diog. Laert. VI 55 Seneca de tranqu. an. c. 8 Aelian. v. h. XIII 28 ‖ 13 ecl. cum lemm. hab. SMA; in lemm. *σερίνου* libri. iteratur ecloga sine lemmate gnomol. Paris. 76 Sternb. cf. quae de Archyta Tarentino narrantur Athen. XII p. 519 B Aelian. v. h. XII 15 ‖ 14 *Γελλίας* reposui ex SM, gnomol. Paris. (cf. Diodor. XIII 83): *Γολλίας* (non *Πολλ-* ut scribit Gaisford) A. *ὁ Ἀκραγαντῖνος Τελλίας* commemoratur Athen. p. 4 A Kaib. ‖ 15 *οὐδὲ*] *μηδὲ* A ‖ 17 *αὐτὸν τοῦτον* gnomol. Paris. ‖ 18 *τῶν οἰκετῶν καὶ ἐδίδου τοῖς μὲν κάρυα τοῖς δὲ σῦκα* (*σίκα* cod.) *ξηρά· τὰ παιδία δ' ἦσαν πάμπολλα· ἐρομένου δὲ πόθεν κτλ.* gnomol. Paris. ‖ 19 *καὶ ἐδίδου τοῖς μὲν* M (ut gnom. Par.) quod fortasse praeferendum | *κάροια* sed primo *κάρυα* M ‖ 20 *δ' ἐκείνου* S om. MA | *ἐν νυξὶ* om. S

49 *Πλάτωνος* (epist. VIII p. 354 E).

Δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα πάγκακον, ἔμμετρος δὲ οὖσα πανάγαθον. μετρία δὲ ἡ θεῷ δουλεία, ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις. θεὸς δὲ ἀνθρώποις σώφροσι νόμος.

50 ⟨*Νόμων ϛ'* p. 762 E⟩.

Ὁ μὴ δουλεύσας οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου.

51 *Ἡροδότου ἱστορίας η'* (68).

Πρὸς δέ, ὦ βασιλεῦ, καὶ τόδε ἐς θυμὸν βάλεο, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι γίνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί.

52 *Πλάτωνος Νόμων ϛ'* (p. 777 B—778 A).

Ἐπειδὴ δύσκολόν ἐστι τὸ θρέμμα ἄνθρωπος, καὶ πρὸς ἀναγκαίαν διόρισιν, τὸ δοῦλόν τε ἔργῳ διορίζεσθαι καὶ ἐλεύθερον καὶ δεσπότην, οὐδαμῶς εὔχρηστον ἐθέλειν εἶναί τε καὶ γίγνεσθαι φαίνεται, χαλεπὸν δὴ τὸ κτῆμα· ἔργῳ

---

1 ecl. cum lemm. hab. SMA. ecloga legitur supra IV 7, 59 p. 263, 1 addito lemmate *Πλ. ἐκ τῆς πρὸς τοὺς Δίωνος οἰκείους ἐπιστολῆς.* hoc ipsum autem lemma etiam nostrae eclogae olim praefixum fuisse credideris, et confirmatur suspicio eis quae monui ad ecl. proximam ‖ **3** *πάγκακον* Stob. supra, Ps.-Plat.: *πάγκακος* SM *πάμκακ°* A | *δ' οὖσα* M ‖ **4** *θεῷ* Stob. supra, Ps.-Plat.: *θεῶν* SMA | *δὲ ἡ* ut supra etiam hic (quamquam de S silet Mekler) libri: *δὴ ἡ* tacite Gaisford, inde Meineke | *ἀνθρώποισι* A ‖ **5** *σώφροσι νόμος, ἄφροσι δὲ ἡδονή* Stob. supra et Ps.-Plato ‖ **6** eclogam cum priore cohaerentem hab. SMA. scriptoris igitur nomen, ut saepius, aut in ipso gnomologio aut certe in librorum quibus hodie utimur archetypo iteratum non erat, *νόμων ϛ'* autem quod ego inserui intercidit inter *νόμος* et *ὁ μή*. legitur ecloga supra intra uberius excerptum IV 2, 38 p. 176, 12 ‖ **9** ecl. cum lemm. hab. SMA ‖ **10** *βάλεο* A *βάλλεο* M idque eo compendio S ut non mirum sit quod *βάλλε* praebet Tr. *βάλευ* Her. ubi fluctuantur libri inter *βάλευ* et *βαλέο* ‖ **13** ecl. cum lemm. hab. SMA ‖ **15** *διώρισθαι* Tr. ‖ **16** *ἐθέλειν* libri ut Platonis cod. Paris. 1807: *ἐθέλει* Ast ‖ **17** *γίγνεσθαι φαίνεται, χαλεπὸν* libri sicut Plat.: *γίγνεσθαι. — Φαίνεται. — Χαλεπὸν* Ast | *χαλεπὸν οὖν τὸ κτῆμα ἔργῳ πολλάκις ἐπιδέδεικται* Athenaeus VI p. 264 F ubi ex arbitrio etiam quae sequuntur excerpta sunt

γὰρ πολλάκις ἐπιδέδεικται περὶ τὰς Μεσσηνίων συχνὰς εἰωθυίας ἀποστάσεις γίγνεσθαι, ... , καὶ ἔτι τὰ τῶν λεγομένων περιδίνων τῶν περὶ τὴν Ἰταλίαν γιγνομένων παντοδαπὰ κλωπῶν ἔργα τε καὶ παθήματα· πρὸς ἅ τις ἂν πάντα βλέψας διαπορήσειε, τί χρὴ δρᾶν περὶ πάντων τῶν τοιούτων. δύο δὴ λείπεσθον μόνω μηχανά, μήτε πατριώτας ἀλλήλων εἶναι τοὺς μέλλοντας ῥᾷον δουλεύσειν, ἀσυμφώνους τε εἰς δύναμιν ὅ τι μάλιστα, τρέφειν δὲ αὐτοὺς ὀρθῶς, μὴ μόνον ἐκείνων οὕνεκα, πλέον δὲ αὑτῶν προτιμῶντας· ἡ δὲ τροφὴ τῶν τοιούτων μήτε τινὰ ὕβριν ὑβρίζειν εἰς τοὺς οἰκέτας, ἧττον δέ, εἰ δυνατόν, ἀδικεῖν ἢ τοὺς ἐξ ἴσου. διάδηλος γὰρ ὁ φύσει καὶ μὴ πλαστῶς σέβων τὴν δίκην, μισῶν δὲ ὄντως τὸ ἄδικον, ἐν τούτοις

1 *περί τε τὰς* Athen. | *μεσηνίων* M A Tr. *μεσσηνίων* S si fides est Mekleri silentio ‖ 2 *εἰωθύας* S, omisit vocabulum Athen. | *γίγνεσθαι* om. Athen. | post *γίγνεσθαι* quae offert Plato *καὶ περί γε* (*γε* om. Ath.) *τὰς τῶν ἐκ μιᾶς φωνῆς πολλοὺς οἰκέτας κτωμένων πόλεις, ὅσα κακὰ ξυμβαίνει* tacite Stobaeo inseruit (quamquam *καὶ* dedit pro *κακὰ*) Gesn.[1], malui lacunam signare ‖ 3 *περιδείνων* Athen. in *-δίνων* corr. Platonis cod. Paris. 1807: *πέρι δεινῶν* S *περὶ δεινῶν* M Tr. *περιδεινῶν* A | *τῶν* om. Athen. | *ἰκαλίαν* M | *γιγνομένων* om. Athen. ‖ 4 *παντοδαπὰ* S M, Plat.: *παντοδαπῶν* Athen., *παντοδαπῶν ἔργων τὲ καὶ* A sed *ἔργων τὲ* expunxit A[1] | *κλωπῶν* S M *κλοπῶν* A, Plat., Athen.; in Platone delevit Naber, frustra in Athenaeo Kaibel | *καὶ* A | *τε* om. Athen. ‖ 5 *ἂν πάντα* (*πάντα* om. Tr.) S M A recte: *ἅπαντα* Platonis et Athenaei libri | *διαπορήσειε τί* Plat. Athen., idque servavit etiam M ubi *διαπορῆσαι αἴ τι*, inde *διαπορῆσαί τι* S *διαπορήσαι τί* A | *δρᾶν* Plat., Athen.: *δ' ἂν* SA *δᾶν* M | *περὶ ἁπάντων* Plat., Ath. ‖ 6 *τῶν* M Tr., Plat., Ath., om. SA | *λείπεσθον* A, Plat., Ath.: *λίπεσθον* SM | *μόνω μηχανά* Plat.: *μήχαναι*|||||| (supra *μονό*) S et *μονό* inseruit et *αι* in ras. scr. S[1] *μονομήχανα* M *μόνονήχανα* A *μηχαναί* (om. *μόνω*) Ath. | *μὴ πατρ.* Athen. ‖ 7 *ῥᾷον* om. Ath. ‖ 8 *ὅ τι μάλιστα εἰς δύναμιν* hoc ordine Ath. | *δὲ* om. A ‖ 9 *μόνων* S | *ἕνεκα* Plat., Ath. | *δὲ αὑτῶν* (vel *αὐ-*) Plat., SM *δ' ἑαυτῶν* Ath. *δὲ αὐτὸν* A ‖ 10 *προτιμῶντας* Plat., Ath.: *προτιμῶντες* SMA | *προτιμῶντας ὑβρίζειν τε ἥκιστα εἰς αὐτούς. κολάζειν δὲ ἐν δίκῃ δούλους δεῖ κτὲ.* ceteris omissis Ath. | *ὕβριν* om. A ‖ 11 *εἰς* om. Tr. | *εἰ* om. A ‖ 12 *μὴ* super lin. S[1] ‖ 13 *δεόντωσ* M

τῶν ἀνθρώπων, ἐν οἷς αὐτῷ ῥᾴδιον ἀδικεῖν· ⟨ὁ⟩ περὶ τὰ τῶν δούλων οὖν ἤθη καὶ πράξεις γιγνόμενός τις ἀμίαντος τοῦ τε ἀνοσίου πέρι καὶ ἀδίκου, σπείρειν εἰς ἀρετῆς ἔκφυσιν ἱκανώτατος ἂν εἴη, ταὐτὸν δ' ἔστιν εἰπεῖν τοῦτο ὀρθῶς ἅμα λέγοντα ἐπί τε δεσπότῃ καὶ τυράννῳ καὶ πᾶσαν δυναστείαν δυναστεύοντι πρὸς ἀσθενέστερον ἑαυτοῦ. κολάζειν γε μὴν ἐν δίκῃ δούλους δεῖ, καὶ μὴ νουθετοῦντας ὡς ἐλευθέρους θρύπτεσθαι ποιεῖν· τὴν δὲ οἰκέτου πρόσρησιν χρὴ σχεδὸν ἐπίταξιν πᾶσαν γίγνεσθαι, μὴ προσπαίζοντας μηδαμῇ μηδαμῶς οἰκέταις, μήτ' οὖν θηλείαις μήτε ἄρρεσιν, ἃ δὴ πρὸς δούλους φιλοῦσι πολλοὶ σφόδρα ἀνοήτως θρύπτοντες χαλεπώτερον ἀπεργάζεσθαι τὸν βίον ἐκείνοις τε ἄρχεσθαι καὶ ἑαυτοῖς ἄρχειν.

---

1 *ὁ* e Platone inseruit Gesn.[1] ‖ 3 *σπείρειν* Plat.: *σπέρειν* S A *πέρειν* M ‖ 4 *ἱκανότατος* M A | *ἔστ' εἰπεῖν* Plat. ‖ 6 *ἀσθενεστέραν* M ‖ 7 *γε* S A, Plat. *τε* M; *δὲ* Athen. | *μὴν* om. Ath. | *δεῖ* S M A, Ath.: *δ' ἀεὶ* codd. Platonis ‖ 10 *οἰέταις* sed *κ* superscr. S[1] | *μήτε* (ante *ἄρρ.*) Plat., Ath., M: *μήτ'* S A ‖ 13 *αὐτοῖς* A

CAPVT XX. PARS PRIOR.

ΠΕΡΙ ΑΦΡΟΔΙΤΗΣ ΠΑΝΔΗΜΟΥ ΠΑΡΕΧΟΥΣΗΣ ΤΗΝ ΑΙΤΙΑΝ ΤΗΣ ΓΕΝΕΣΕΩΣ ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ ΚΑΙ ΠΕΡΙ ΕΡΩΤΩΣ ΤΩΝ ΚΑΤΑ ΤΟ ΣΩΜΑ ΗΔΟΝΩΝ.

1 *Εὐριπίδου Αἰόλῳ* (fr. 26 N.²).

Τῇ δ' Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα·
τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς.
τύχοιμι δ' αὐτῆς ἡνίκ' ἐστὶν εὐμενής.

2 *Εὐριπίδου Ἀντιόπῃ* (fr. 213 N.²).

Κόρος δὲ πάντων· καὶ γὰρ ἐκ καλλιόνων
λέκτροις ἐπ' αἰσχροῖς εἶδον ἐκπεπληγμένους,
δαιτὸς δὲ πληρωθείς τις ἅσμενος πάλιν
φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα.

3 *Εὐριπίδου Ἱππολύτῳ* (fr. 428 N.²).

Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν

---

1 ss. titulum ut supra dedimus offerunt S M A Tr., ceterum spatii aliquantulum post *ἔρωτος* S. verba *παρεχούσης — ἀνθρώποις* om. Photius in summario. nil nisi *Περὶ ἀφροδίτης* excerpsit Mac. *νϛ'* adscr. S, *ξα'* Tr. *οβ'* M A Mac. ‖ **5** ecl. cum lemm. hab. S M A. eclogas 1—5 lemmate *εὐρ.* comprendit, praeterea eclogae primae poetae nomen praefigit S¹ ‖ **9** ecl. cum lemm. hab. SMA. de S vide quae dixi ad ecl. 1. Greg. Naz. vol. II p. 242 C *κόρος δὲ πάντων καὶ καλῶν καὶ χειρόνων* comparavit Nauck ‖ **10** *καλιόνων* S M post hanc vocem dimidius versus vacuus in S ‖ **11** *ἐπ'* Wyttenbach: *ἐν* SMA ‖ **12** *πληρωθείσησ ἅσμενος* M ‖ **13** *ἥσθῃ* S *ἥσθη* M *ἧση* A. *ἥσθην* Athenaeus X p. 421 F ubi hic versus adfertur nomine poetae commemorato ‖ **14** ecl. cum lemm. hab. SMA, de S vide quae monuimus ad ecl. 1. laudat versus omisso poetae et fab. nomine Plutarchus mor. p. 778 B

νοσοῦσ᾽ ὁμοίως τοῖς διώκουσιν ἄγαν.

4 *Εὐριπίδου Ἀντιγόνη* (fr. 162 N.²).

Ἀνδρὸς δ᾽ ὁρῶντος εἰς Κύπριν νεανίου
ἀφύλακτος ἡ τήρησις, ὡς κἂν φαῦλος ᾖ
τἄλλ᾽, εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτατος·
ἣν δ᾽ ἂν προσῆται Κύπρις, ἥδιστον λαβεῖν.

5 *Εὐριπίδου Ἱππολύτῳ* (443 ss.).

Κύπρις γὰρ οὐ φορητόν, ἢν πολλὴ ῥυῇ·
ἣ τὸν μὲν εἴκονθ᾽ ἡσυχῇ μετέρχεται,
ὃν δ᾽ ἂν περισσὰ καὶ φρονοῦνθ᾽ εὕρῃ μέγα,
τοῦτον λαβοῦσα, [οὕτω] πῶς ⟨δοκεῖς;⟩ καθύβρισεν.

6 *Σοφοκλέους* (fr. 855 N.²).

Ὦ παῖδες, ἥ τοι Κύπρις οὐ Κύπρις μόνον,
ἀλλ᾽ ἐστὶ πάντων ὀνομάτων ἐπώνυμος.
ἔστιν μὲν Ἅιδης, ἔστι δ᾽ ἄφθιτος βία,
ἔστιν δὲ λύσσα μανιάς, ἔστι δ᾽ ἵμερος
ἄκρατος, ἔστ᾽ οἰμωγμός· ἐν κείνῃ τὸ πᾶν
σπουδαῖον, ἡσυχαῖον, εἰς βίαν ἄγον.

---

1 *τοῖς διώκουσιν ἄγαν* SMA *τοῖς ἄγαν θηρωμένοις* recte Plut. ubi v. l. quae adfertur *τοῖς ἀγαθὰ ᾑρημένοις* explanavit Cobet N. l. p. 83. *διώκουσιν ἄγαν* de suo gnomologus metri ut alibi (fort. etiam p. 438, 3) securus ‖ 2 ecl. cum lemm. hab. SMA, de S vide quae monui ad ecl. 1 ‖ 3 *ἐρῶντος* SMA: corr. Musgrave ‖ 4 *ἄπρακτος ἡ φύλαξις* temptabat Nauck *Eur. stud.* II p. 157, alii alia | *ὡς κἂν* Nauck: *κἂν* (*καν* sine acc. S) *γὰρ* SMA ‖ 5 *τἄλλ᾽* tacite Gesn.¹: *τὰ δ᾽ ἄλλα* SMA¹ *τά γ᾽* (inductis verbis *τὰ δ᾽ ἄλλα*) A² | *ἔρωτα* S *ἔρωτας* MA | *σοφώτατος* prop. Meineke: *σοφώτερος* SMA ‖ 6 *ἣν δ᾽ αὖ* ci. Boissonade. versus nondum expeditus | *κόπρισ* M ‖ 7 ecl. cum lemm. hab. SMA ‖ 8 *φορητός* Eur. | *ἀν* M *ἂν* A ‖ 9 *εἴκοντ᾽* S *εἴκοντα* M *εἴκονθ᾽* ex *ἥκονθ᾽* A¹ *ἥκονθ᾽* Tr. ‖ 10 *περισσὸν* Eur. ‖ 11 *πῶς δοκεῖς;* Eur.: *οὕτω πῶς* (*πωσ* M) SMA. ante *οὕτω* add. *γ᾽* A² ‖ 12 ecl. cum lemm. hab. SMA. poetae et fab. nomine omisso verba *ὦ παῖδες — λύσσα μανιάς* adfert Plutarchus amator. p. 757 A. Euripidi tribuit versus Nauck, cum Nauckio alii ‖ 14 *πολλῶν* Plut. recte ‖ 15 *μία* A¹. *βίος* prop. Bothe ‖ 16 *μανιάς* Porson: *μαινάς* SMA sed prius *α* ex corr. S¹ *μανίας* Plut. | *ἐστι*^{ν} *δ᾽* S¹ ‖ 17 *ἄκραντος* Bothe, *εὔκρατος* Herwerden | *ἐν κείνῃ* SMA *ἐν ἐκείνῃ* Tr. ‖ 18 *ἡσύχαιον* S *ἡσύχιον* MA in *ἡσύχαιον* corr. M¹ | *ἐς* MA

ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι
ψυχή. τίς οὐχὶ τῆσδε δεύτερος θεοῦ;
εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει,
ἔνεστι δ' ἐν χέρσου τετρασκελεῖ γονῇ·
νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερόν,
ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω.
τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν;
εἴ μοι θέμις, θέμις δὲ τἀληθῆ λέγειν,
Διὸς τυραννεῖ πλευμόνων; ἄνευ δορός,
ἄνευ σιδήρου· πάντα τοι συντέμνεται
Κύπριδι τὰ θνητῶν καὶ θεῶν βουλεύματα.

7 *Ἐκ τῶν Βίωνος Βουκολικῶν* (V p. 141 Wil.).

Ταὶ Μοῖσαι τὸν ἔρωτα τὸν ἄγριον οὐ φοβέονται,
ἐκ θυμῶ ⟨δὲ⟩ φιλεῦντι καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
κἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ἀείδῃ,
τῆνον ὑπεκφεύγοντι καὶ οὐκ ἐθέλοντι διδάσκειν·
ἢν δὲ νόον τις ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ,
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
μάρτυς ἐγών, ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀληθής.
ἢν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,

---

1 *ἐντήκεται*] *ἀνθάπτεται* optat Meineke Com. IV p. 660. *ἐντήκεται γὰρ τλημόνων, ὅσοις ἔνι, ψυχῇ* ci. F. G. Schmidt 2 *ψυχή*] *πνοή* ci. Meineke | *τίς*] *τῆς* A[1] | *οὐχὶ* Grotius Dict. poet. p. 241: *οὔτι* S M A | *τῆσδε* om. A | *δεύτερος θεοῦ* Nauck: *τῆς θεοῦ βορός* S M A ‖ 3 *πλωτῶν γένη* immerito Nauck. *εἰσέρχεσθαι* cum dativo iunctum legitur etiam O. C. 372 beneque convenit tragicae dictioni *ἰχθύων πλωτῷ γένει* ‖ 4 *χέρσου δ' ἔνεστιν ἐν* scr. Nauck | *χέρσου* ex dat. corr. S[1] | *τετρασκελεῖ* ex *-ῇ* corr. M[1] | *γονῇ*] *γένει* A ‖ 5 *τοὐκείνης*] *τοῦ κείνη* M ‖ 6 *ἐν φηρσὶν* ci. Meineke ‖ 8 *εἴ μοι θέμις*] cf. Soph. Phil. 661 | *μοι*] *μα* ni fallor M *μὴ* A | *λέγεις* A ‖ 9 *δορόσ* sed *σ* e corr. M ‖ 11 *Κύπριδι* Herwerden: *κύπρις* S M A ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 13 *οὐ* Gesn.[1]: *ἦ* S *ἢ* M A ‖ 14 *ἐκ θυμῶ δὲ φιλεῦντι* Valckenaer: *ἠκ* (*ἧκ* sed *κ* ex *η* M[1] *ἢ 'κ* A) *θυμῶ φιλέοντι* S M A | *ἕποντα* M ‖ 15 *κ' ἢν* (sed *η* ex *α* S[1]) S A *κὴν* M | *ἀείδῃ* cod. Paris. 1985 ut testatur Gaisford: *δεῖ δὴ* S M A[1] *δὴ δὴ* Tr. *ὁπηδη* sup. lin. A[2], huc pertinet ab eadem m. in margine scriptum *οἶμαι* ‖ 17 *τις* Brunck: *τῶ* libri | *δονεῦ μένοσ* M | *μελίσδει* A ‖ 18 *προρρέοντι* A ‖ 19 *ἀλαθής* Brunck ‖ 20 *ἣν* M | *βροτὸν* M *βρο-*

βαμβαίνει μοι γλῶσσα καὶ ὡς πάρος οὐκέτ' ἀείδει·
ἦν δ' αὖτ' ἐς τὸν ἔρωτα καὶ ἐς Λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει αὐδά.

8 *Ζωπύρου* (fr. 1 p. 832 N.²).

Μηδεὶς ἄπειρος τῶν ἐμῶν εἴη φίλων
ἔρωτος, εὐτυχῶν δὲ τὸν θεὸν λάβοι.

9 *Ἀριστάρχου* (fr. 2 p. 728 N.²).

Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν,
οὐκ οἶδ' ἀνάγκης θεσμόν· ᾧ πεισθεὶς ἐγὼ
οὕτω κρατηθεὶς τάσδ' ἀπεστάλην ὁδούς.
οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν
τίθησι καὶ τὸν ἄπορον εὑρίσκειν πόρον.

10 *Ἀναξανδρίδου* (fr. 61 K.).

Ἔρως σοφιστοῦ γίνεται διδάσκαλος
σκαιοῦ πολὺ κρείττων πρὸς τὸν ἀνθρώπων βίον.

11 *Εὐριπίδου Αὔγῃ* (fr. 269 N.²).

Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
ἢ σκαιός ἐστιν ἢ καλῶν ἄπειρος ὢν

τῶν S¹ in *βροτὸν* corr. nescio an non eadem m. S *βροτὸν* ex *βροτῶν* corr. A¹

1 *μοι* A *μευ* S, in ras. M ‖ **2** *αὖτ'* sine sp. S | *ἐς τὸν* S *εἰς τὸν* A *ἐστὶν* M ‖ **3** *χαίρουσα* M | *ῥέει* Gesn.¹: *ῥεῖ* SMA | *αὐδά* Cobet mnemos.² II 110: *ὠδά* (*ᾠδά* M) libri ‖ **4** ecl. cum lemm. hab. MA, om. S ‖ **6** *ἔρωτος* ci. Gesn.² p. 387 mrg.: *βροτός* MA | *εὐτυχὼν* MA: *εὐτυχῶν* Gesn.²; *ἐντυχὼν* Meineke, *εὖ φρονῶν* ego olim ‖ **7** ecl. cum lemm. hab. SMA ‖ **10** *οὕτω*] *πόθῳ* Meineke; *οἴστρῳ* mavult Nauck ‖ **11** *τὸ ἀσθενῆ* S ‖ **12** *ἄσπορον — σπόρον* A¹, corr. A² | *πόρον*] *πόνον* M ‖ **13** ecl. cum lemm. hab. SMA ‖ **14** *γίνεται* SMA ‖ **15** *σκαιοῦ* ineptissimum videtur Meinekio, qui scripsit *Κείου* 'i. e. Prodici, cuius sapientia vel in proverbium abiit.' *σκαιοῦ* defendere studuit Herwerden mnemos.² VI p. 67 | *κρεῖττον* A] *πρὸς τὸν* MTr. *πρὸς τῶν* SA, *τῶν πρὸς* dubitans prop. Meineke ‖ **16** ecl. cum lemm. hab. SMA; *Αὔγῃ* Meineke: *αὐγή* SA *αὐγῇ* M. om. fab. nom. Ath. XIII p. 600 D: *κατὰ τὸν αὐτὸν οὖν ποιητήν* '*Ὅστις Ἔρωτα μὴ μόνον κρίνει θεόν, ἢ σκαιός — θεόν*'. Caecilius Statius (Com.² fr. XV p. 76 Ribb.) ap. Cic. Tusc. IV 32, 68 ‖ **17** *ὅστις ⟨δ'⟩ ἔρωτα* scribitur in Athen. ‖ **18** interpolatori tribuit versum Wilamowitz De trag. gr. fragm. p. 28

οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

12 *Ἀντιφάνους* (fr. 324 K.).

[Εἴ] τίς φησὶ τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν;
ἦ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος.
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἕτερον ἢ τεθνηκέναι.

13 *Ἀλέξιδος* (fr. 289 K.).

Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος.

14 *Μενάνδρου Θησαυρῷ* (fr. 235 K.).

Εἶτ' οὐ μέγιστός ἐστι τῶν θεῶν Ἔρως
καὶ τιμιώτατός γε τῶν πάντων πολύ;
οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα
ἄνθρωπος οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους,
ὃς οὐχὶ τούτῳ μερίδα τῷ θεῷ νέμει
τῆς οὐσίας· ὅσοις μὲν οὖν πράως ἔχει,
νέοις ἔτ' οὖσι τοῦτο προστάττει ποεῖν·
οἱ δ' εἰς τὸ γῆρας ἀναβολὰς ποιούμενοι,
οὗτοι προσαποτίνουσι τοῦ χρόνου τόκους.

15 *Μενάνδρου Συναριστώσαις* (fr. 449 K.).

---

1 *οὐκ οἶδεν ὄνθ' ἥδιστον* Meineke ‖ 2 ecl. cum lemm. hab. SMA. Theophili Philaulo adsignantur versus cum quinque aliis ab Athenaeo XIII p. 563 A. Theophilum poetam ignorat pinacographus Photi ‖ 3 *τίς* Ath.: *εἴ τις* libri Stobaei | *ἔρωτας* A ‖ 6 *οὐδὲν ἄλλο πλὴν* Ath. ‖ 7 ecl. cum lemm. hab. SMA ‖ 10 lemma *Μενάνδρου ἐν* (*ἐν* om. MA) *θησαυρῷ* (-*ῶν* A), quod versui *τῆς οὐσίας κτἑ.* tamquam novae eclogae initio praefigitur in SMA, huc revocavit Meineke duce Tyrwhitto, qui perspexit verbis *εἶτ' οὐ* (11) — *χρόνου τόκους* novam eclogam eamque continuam offerri ‖ 11 verba *εἶτ' οὖν* cum priore ecloga cohaerent in SMA | *εἶτ' οὐ* Valckenaer: *εἴτ'* (*εἶτ'* ut videtur M) *οὖν* SM *εἴτουν* A ‖ 12 *γε* om. A ‖ 15 *τῷ θεῷ* S *τῶν θεῶν* MA ‖ 16 v. *τῆς οὐσίας* cum prioribus coniunxit Tyrrwhitt, vide quae monui ad 10 | *ὅσοις* om. A | *ἔχ* (ε supra) A ‖ 17 *αἰτοῦσι* SMA: corr. Gesn.[1] f. 369 marg. | *προστάττειν* Tr. | *ποεῖν* S *ποιεῖν* MA ‖ 19 *προσαποτίνουσι* (*προσαποτεῖν* cum ου supra compend. S) *τοῦ χρόνου* SMA *προσαποτείνουσιν ὡραίους* Tr. in quo latere *ἀωρίας* frustra suspicatur Bentley ‖ 20 ecl. cum lemm. hab. MA, om. S

Ἔρως δὲ τῶν θεῶν
ἰσχὺν ἔχων πλείστην ἐπὶ τούτου δείκνυται·
διὰ τοῦτον ἐπιορκοῦσι τοὺς ἄλλους θεούς.

16 *Μιμνέρμου* (fr. 1 p. l. II⁴ p. 25 B.).

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης;
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή·
οἷ' ἥβης ἄνθεα γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ καλὸν ἄνδρα τιθεῖ,
αἰεί μιν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,
οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου,
ἀλλ' ἐχθρὸς μὲν παισίν, ἀτίμαστος δὲ γυναιξίν·
οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

17 *Μενάνδρου Ναυκλήρου* (fr. 352 K.).

Καὶ φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν.

18 *Μενάνδρου Θησαυρῷ* (fr. 237 K.).

Πολλοῖς ὑπέκκαυμ' ἐστ' ἔρωτος μουσική.

19 *Θεοκρίτου* (III 20).

---

4 ecl. cum lemm. hab. S M A, sed ipsius eclogae nil nisi primum distichon S. hoc adfert etiam Plutarchus de virt. mor. p. 445 F sine nomine poetae: *ἀκολάστων μὲν γὰρ 'τίς δὲ χάρις, τί δὲ τερπνὸν ἄνευ χρυσῆς Ἀφροδίτης — μέλει.* respicit Horatius Epist. I 6, 65 et schol. ad h. l. ‖ **5** *τίς δὲ βίος τι δὲ* A Tr. *τίς δαὶ βίος τί δαὶ* S M | *χρυσέης* Meineke ‖ **7** *μειλίχια* M A¹: corr. Gesn.² | *δῶρα Διώνης* prop. Hecker ‖ **8** *οἷ' ἥβης ἄνθεα* Bergk idque confirmat M ubi *οἱ ἥβησ ἄνθεα* nec multum distat A ubi *εἰ ἥβης ἄνθεα.* Ahrens *οἷ' ἥβης ἄνθεα* | *γίνεται* M ‖ **9** *ἐπεὶ δ'* tacite scr. Gesn.²: *ἐπεί τ'* M A | *ὀδῦνηρὸν* (*ῦ* ex *α* vel *ο* corr. A²) A *ἀδυνηρὸν* M | *ἐπέλθῃ* (sicut tacite dederat Gesn.²) A *ἐπέλθοι* M ‖ **10** *ὅ τ'* ex *οὔτ'* corr. A² | *κακὸν* Hermann ‖ **11** *αἰεὶ* (ut tacite correxerat Gesn.²) A *ἀεὶ* M | *μιν* Bergk: *μὲν* libri | *τείρουσι* (ut tacite emendaverat Gesn.²) A: *τείνουσι* M | **15** ecl. cum lemm. hab. S M A, pro lemm. *μ^ε* nec plura S. *ναυκλήρου* M *ναυκλήρω* ut videtur A ‖ **17** ecl. cum lemm. hab. M A, om. S. *θησαυρῷ* (quod scripserat Meineke) M *θησαυροῖς* A. poetae nom. commemorato respicit versum Philodemus de mus. p. 80 s. (cf. ibid. p. 16) Kemke ‖ **18** *ἔρωτος* A *ἔρωτασ* M ‖ **19** ecl. cum lemm. hab. S M A. sine poetae n. adfertur ab Eumathio Ism. am. IV p. 105: *ἔστιν κἂν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις*

Ἔστι καὶ ἐν κενεοῖσι φιλήμασιν ἁδέα τέρψις.

20 *Μενάνδρου* (fr. 797 K.).

Ὀργὴ φιλούντων ὀλίγον ἰσχύει χρόνον.

21 *Μενάνδρου Ἥρωι* (fr. 209 K.).

Δέσποιν', ἔρωτος οὐδὲν ἰσχύει πλέον·
οὐδ' αὐτὸς ὁ κρατῶν ⟨τῶν⟩ ἐν οὐρανῷ θεῶν
Ζεύς, ἀλλ' ἐκείνῳ πάντ' ἀναγκασθεὶς ποεῖ.

22 *Εὐριπίδου Ἀνδρομέδας* (fr. 138 N.²).

Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσιν βροτῶν,
ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,
οὐκ ἔστι ποίας λείπεται τόδ' ἡδονῆς.

23 (24 Mein.) *Σοφοκλέους Τραχινίαις* (441 ss.).

Ἔρωτι μέν νυν ὅστις ἀντανίσταται
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ·
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει.

24 (25 Mein.) *Τοῦ αὐτοῦ Φαίδρᾳ* (fr. 607 Dind.).

---

1 *φιλήμασιν* M A¹ *φιλάμασιν* A². *φιλάμασιν* etiam auctor carm. Ps.-Theocr. XXVII 4 ‖ 2 ecl. cum lemm. hab. M A, om. S. recurrit versus inter monost. 410, ubi *ὀργὴ φιλοῦντος μικρὸν ἰσχύει χρόνον* ‖ 4 ecl. cum lemm. hab. S M A, μ^{ε} pro lemmate, non plura S. Davo tribuendos esse versus contra Myrrhinam eram se defendenti conicit Lefebvre *Fragm. d'un manuscr. de Mén.* p. 18 ‖ 5 *ὦ δέσποιν'* A sed *ὦ* videtur linea transfixum ‖ 6 *τῶν* addidit Grotius | *θεῶν* om. A ‖ 7 vide quae dixi *Berl. philol. wochenschr.* 1909 p. 358 | *πάντ'* (*πάντα* S) *ἀναγκασθεὶς* S M *ἀναγκασθεὶς πάντα* A | *ποεῖ* S *ποιεῖ* M A ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 11 *ἔστι ποίας* S M A: *ἔσθ' ὁποίας* Pflugk | *τόθ'* S *τόδ'* (sic ut Gaisford ed. Lips.) M A ‖ 12 ecl. cum lemm. hab. S (post ecl. 23 Mein.) M A (post ecl. 22 Mein.) ‖ 13 *μέν νυν* Soph.: *μὲν νοῦν* (sic) S *μὲν οὖν* M A *μὲν γοῦν* Tr. *μεν . . ῦν* primo Sophoclis cod. Laur. duabus litteris (fort. *το*) erasis ‖ 16 ecl. cum lemm. hab. S M A (post ecl. 24 Mein.); *τ' αυτ' φαίδραι* S *σοφοκλέους φαίδρα* M A. tres versus priores Euripidi adscribit fab. n. non addito Clemens Alex. strom. VI p. 745 P., cui obsecutus locum inter Euripidis Hippolyti velati fragmenta recepit Nauck p. 493 ed. sec. at Clementem potius putaveris quam gnomologum errasse. et deceptus est Clemens lemmate eclogae proximae, cui suam sedem reddidimus M A libros secuti. verum perspexit etiam Elter De gnomol. gr. hist. atque orig. commentationis ramenta (Bonnae ed. a. 1897) p. 28 s. quod autem oratio

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται. .
καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει
Ζεὺς ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται.

25 (23 Mein.) *Εὐριπίδου Ἱππολύτῳ* (fr. 430 N.^{2}).

Ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον
ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,
Ἔρωτα, πάντων δυσμαχώτατον θεόν.

26 *Ἐκ τῶν Βίωνος Βουκολικῶν* (VI Wil.).

Ἁ μεγάλα μοι Κύπρις ἔθ' ὑπνώοντι παρέστα
νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα
ἐς χθόνα νευστάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον·
'μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν Ἔρωτα δίδασκε.'
ὣς λέγε· χἃ μὲν ἀπῆνθεν, ἐγὼ δ' ὅσα βουκολίασδον,
νήπιος ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον,
ὡς εὗρεν πλαγίαυλον ὁ Πάν, ὡς αὐλὸν Ἀθάνα,
ὡς χέλυν Ἑρμάων, κίθαριν ὡς ἁδὺς Ἀπόλλων.
ταῦτά μιν ἐξεδίδασκον· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί με δίδασκε
θνατῶν ἀθανάτων τε πόθους καὶ ματέρος ἔργα.

Euripidem potius prodere visa est Nauckio, id nihil miri habet in Phaedra fabulis posterioris aevi Sophoclei adnumeranda. cf. Bergk *gr. lit.* III p. 375 n. 67 Wilamowitz *Eur. Hipp.* p. 57

3 *ταράσσει* Clem. | *καπι πόντων* M ‖ 4 *ἀπείργειν* sed *ειν* in ras. manu recentiore ut videtur A ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 22 Mein.) M A (post ecl. 25 Mein.) ‖ 8 *ἀμηχανουσιν* (sine acc.) M ‖ 10 ecl. cum lemm. hab. S (post ecl. 25 Mein.) M A (post ecl. 23 Mein.) ‖ 11 *μοι* om. A | *ὑπνώοντι* M *ὑπνόωντι* S *ὑπνόοντι* A | *παρέστη* A sed *-στη* ex *-στα* fecit A^1 ‖ 12 *καλῆς* A ‖ 13 *χθόναν εὐστάζοντα* (om. *ἐς*) M | *τοσόνδε μοι* S acutum in altero o posuit etiam M ‖ 14 *βοῦτα* A *βούτα* M *βουτα* S ‖ 15 *ὧς* S *ὅσ* M M A^1 *ὧσ* M^2 marg. | *ἀπῆνθεν* M^1 idque reposui: *ἀπῆλθε* S *ἀπῆλθεν* M^2 mrg., A ‖ 17 *πλαυγίαυλον* M | *ὅπα* S *ὅπαν* M *ὄπα* ni fallor A^1: corr. Gesn.^{1}, A^2 | *ἀθανά* S M ‖ 18 *κιθάραν* Grotius Dict. poet. p. 539 | *ἄνυσ'* Ahrens ‖ 19 *ἐδίδασκον* Tr. ‖ 20 *ἄειδε* A | *με δίδασκεν* M *μεδί-δασκε* (*μ' ἐδ.* A) S A ‖ 21 *πόθως* recte Brunck: *πόθους* (*πά-* S) S M A Tr.

κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν Ἔρωτα δίδασκον,
ὅσσα δ' Ἔρως με δίδαξεν ἐρωτύλα πάντα διδάχθην.

27 *Τοῦ αὐτοῦ* (VII Wil.).

Ἕσπερε, τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενήας,
Ἕσπερε κυανέας ἱερὸν φίλε Νυκτὸς ἄγαλμα,
τόσσον ἀφαυρότερος μήνας, ὅσον ἔξοχος ἄστρων,
χαῖρε φίλος, καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι
ἀντὶ σελαναίας τὺ δίδου φάος, ὥνεκα τήνα
σάμερον ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωρὰν
ἔρχομαι, οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντας ἐνοχλέω·
ἀλλ' ἐράω· καλόν τοι ἐρασσαμένῳ συναρέσθαι.

28 *Τοῦ αὐτοῦ* (VIII Wil.).

Ὄλβιοι ⟨οἱ⟩ φιλέοντες, ἐπὴν ἴσον ἀντεράωνται.
ὄλβιος ἦν Θησεὺς τῶ Πειριθόω παρεόντος,
εἰ καὶ ἀμειλίκτοιο κατήλυθεν εἰς Ἀΐδαο.
ὄλβιος ἦν χαλεποῖσιν ἐν ἀξείνοισιν Ὀρέστας,
οὕνεκά οἱ ξυνὰς Πυλάδας αἵρητο κελεύθους.

---

1 *ἐκλαθέμαν* A | *ὅσων* M ex *ὅσωι* ut videtur corr. S[1] *ὅσον* A || 2 *ὅσα* A | *με δίδαξεν* A *μ' ἐδίδαξεν* S M *μ' ἐδίδασκεν* Tr. | *πάντ' ἐδιδάχθην* libri: corr. Wilamowitz || 3 ecl. cum lemm. hab. S M A || 4 *τᾶς* vel *τοὺς* A | *ἐρατᾶς* Tr.: *ἔρωτας* S[1]M A[1] (*ἐρατᾶς* prius *α* supr. lin.) S[2] | *ἀφρογενείας* A || 6 *τόσον* A[1] | *ἀφαυρότερος* Vrsinus: *-τερον* S M A | *μήνασ* M *μήινας* S *μείνας* A[1] | *ἄστρον* A || 8 *ὥνεκα τῆνα* Tr. *ὧν ἑκα τῆνα* S *ὧν ἕκα τῆνα* M *ὧν ἑκατὴνα* habuisse videtur A[1] *οὕνεκα τήνα* corr. A[2] || 9 *φωρὰν* cod. Paris. 1985 ut testatur Gaisford: *φωρᾶν* S M A *φωρῶν* Tr. || 10 *ὁδοιπορέοντ'* (*-τα* A) *ἐνοχλέω* *-λῶ* A) S M A: corr. Gaisford || 11 *τοι* Wilamowitz: *δέ τ'* libri | *ἐρασσα-* SM *ἐρασα-* A[1] *ἐρρασσαμένην* A[2] | *συναρέσθαι opitulari, favere* Ahrens: *συνερᾶσθαι* libri || 12 ecl. cum lemm. hab. M A, om. S || 13 *οἱ* addidit Gesn.[2]: om. M A[1] add. A[2] ex Gesnero opinor | *ἐπὴν ἴσον* Grotius: *ἐπήνισον* M *ἐπὰν ἴσ^{ο}ων* A sed *ο* superscr. A[2] | *ἀντεράωνται* cod. Paris. 1985 teste Gaisfordo: *αντέραόντε* M *ἀντεράοντ^{εαι}* A sed *αι* add. A[2] || 14 *θησεὺσ* M *θασεὺς* A | *παρεόντος* M *περ^{ι}εόντος* A sed *ϊ* A[2] || 16 *ἦν* om. A | *Χαλύβεσσιν* Wakefield | *ἐνὶ ξείνοισιν* Meineke || 17 *ὤνεκα* Ahrens | *Πυλάδας ⟨φίλος⟩* prop. Gesn.[2] marg. | *αἵρητο* Ahrens: *ἄρκτο* M *ἄροι^{το}* A. *Πυλάδας ⟨φίλος⟩ ἄρτο* ci. Meineke

ἦν μάκαρ Αἰακίδας ἑτάρω ζώοντος Ἀχιλλεύς,
ὄλβιος ἦν θνάσκων, ὅτι οἱ μόρον αἰνὸν ἄμυνεν.

29 Ἐκ τῶν Μόσχου τοῦ Σικελιώτου Βουκολικῶν (II Wil.).

Ἤρατο Πὰν Ἀχῶς τᾶς γείτονος, ἤρατο δ' Ἀχὼ
σκιρτατᾶ Σατύρω, Σάτυρος δ' ἐπεμήνατο Λύδᾳ.
ὡς Ἀχὼ τὸν Πᾶνα, τόσον Σάτυρος φλέγεν Ἀχώ,
καὶ Λύδα Σατυρίσκον· Ἔρως δ' ἐσμύχετ' ἀμοιβά.
ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα,
τόσσον ὁμῶς φιλέων ἠχθαίρετο, πάσχε δ' ἃ ποίει.
ταῦτα λέγω πᾶσιν τὰ διδάγματα τοῖς ἀνεράστοις·
στέργετε τοὺς φιλέοντας, ἵν' ἢν φιλέητε φιλῆσθε.

30 Πλάτωνος ἐκ τοῦ Συμποσίου (p. 183 B).

Ὃ δὲ δεινότατον, ὥς γε λέγουσιν οἱ πολλοί, ὅτι καὶ ὀμνύντι μόνῳ ξυγγνώμη παρὰ θεῶν ἐκβάντι τὸν ὅρκον· ἀφροδίσιον γὰρ ὅρκον οὔ φασιν εἶναι. οὕτω καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι πᾶσαν ἐξουσίαν πεποιήκασιν τῷ ἐρῶντι, ὡς ὁ νόμος φησὶν ὁ ἐνθάδε.

---

1 ἑταιροζώοντοσ M ἑταίρω ζώοντος A: corr. Gesn.[2] ‖ 2 θνάσκων A θρά- M. Homeri Il. XVIII 98, 121 commonet Wilamowitz ‖ 3 ecl. cum lemm. hab. SMA; ἐκ τῶν om. S. βασιλικῶν M ‖ 4 ἦρα libri: corr. Wakefield | τᾶσ γείτονοσ M τὼς γείτονας A | ἤρατο Gesn.[2]: ἠρᾶτο (ηρ- M) SMA ‖ 5 σκιρτᾶ A[1] σκιρτατᾶ A[2] σκιρτητᾶ SM | ἐπεμείνατο A | λύδᾳ A[2]: λύδαν SM ‖ 6 ὡς ἀχὼ A ὡς ἀχῶς SM | ἀχὼ S ἀχῶ MA ‖ 8 ὅσον A | τήνων ex τῆνον corr. S[1] | ἐμίσ^{ει} A sed ι add. A[2] ‖ 9 τόσον ^{ἠ} A | ἐχθραιρεδόπασχεδαποίη (ἠ corr. S[1]) S ἤχθαιρεδό πασχε δ' ἀπ^{ή}οι M ἤχθαιρ^{εν} δἔ^{α}π σχεδ'ἅ ποίει (ν A[2], δ lineola transfixum ab A[2], ε post δ litt. ex ο fec. A[2], eadem ἅ ex ἄ et ει ex η) A ἔχθαιρε δόπασκε δ' ἀποίνα Tr. ἠχθαίρετο, πάσχε δ' agnovit Gesn.[2] ηχθαιρεδο archetypum habuisse vitio aegyptiaco monet Wilamowitz ‖ 10 πᾶσιν M πᾶσι SA ‖ 11 φιλέηται φιλῆσθαι M ‖ 12 ecl. cum lemm. hab. SMA. ὃ — 16 ἐρῶντι Cyrillus adv. Iulian. VI 187c ‖ 13 δεινότατος A | γε om. A | λέγουσιν ex λέγει corr. S[1] ‖ 14 μόνον A | ξυνγνώμη M | τὸν ὅρκον SMA, Platonis non nulli: τῶν ὅρκων Platonis T τῶν ὅρκον Platonis B ‖ 15 ὅριον M[1] ὅρκον M[2]. ὅρκον ⟨ὅρκον⟩ οὔ φασιν εἶναι ci. Hertz, ὅρκον οὔ φασιν εἶναι ⟨ἐμποίνιμον⟩ Osann proverbii memor in schol. citati (cf. Stob. III 28, 5 H.). fort. ἀφρ. γὰρ ⟨ὅρκον ἐμποίνιμον⟩ ὅρκον οὔ φ. εἶναι ‖ 17 ὁ om. Tr.

31 *Χρυσίππου* (fr. 720 Arn.).

Εἰπόντος τινός 'οὐκ ἐρασθήσεται ὁ σοφός· μαρτυρεῖ γοῦν Μενέδημος, Ἐπίκουρος, Ἀλεξῖνος', 'ταύτῃ' ἔφη 'χρήσομαι ἀποδείξει· εἰ γὰρ Ἀλεξῖνος ὁ ἀνάγωγος καὶ Ἐπίκουρος ὁ ἀναίσθητος καὶ Μενέδημος ⟨ὁ λῆρος⟩ οὔ φασιν, ἐρασθήσεται ἄρα.'

32 *Ἀριστοτέλους.*

Ἀριστοτέλης ὁ Κυρηναῖος φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος εἰ ὁ ἔρως ἕνεκα τῆς συνουσίας γίγνεται 'οὔτ'' ἔφη 'διὰ τοῦτο οὔτ' ἄνευ τούτου.'

33 *Δημοκρίτου* (fr. 271 Diels[2]).

Ἐρωτικὴν μέμψιν ἡ ἀγαπωμένη λύει.

34 *Πλουτάρχου ἐκ τοῦ Περὶ ἔρωτος* (vol. VII p. 130 Bern.).

Τῶν Μενάνδρου δραμάτων ὁμαλῶς ἁπάντων ἓν συν-

---

1 ecl. cum lemm. hab. MA, om. S. *Εὐρυσίσπου* A ‖ 3 *γ' οὖν* M | *ταύτῃ* libri. *τῇ αὐτῇ* Cobet V. l.[2] p. 10, receperunt Meineke et Vsener Epic. p. 332 ‖ 4 *ἢ γὰρ* Vsener ‖ 5 *Μενέδημος ⟨ὁ κύων καὶ λῆρος⟩* prop. Gesn.[2] in versione coll. Diog. Laert. II 140, *Μενέδημος ⟨ὁ λῆρος⟩* scripserunt Cobet, Meineke, Vsener | *οὔ φασιν* Cobet: *οὔ φησὶν* libri. *οὔ φασιν;* Vsener ‖ 7 ecl. sine lemm. hab.
τλ
S, addito lemm. MA, *ἀριστοτέλουσ* M *ἀριστοππ* (ο corr. in ι, add. ππ A[2]) A *ἀριστίππου* igitur voluit A[2], referri volunt ad Aristotelem Cyrenaeum, Theodori aequalem, cf. Zeller *phil.*[3] II 1 p. 295. ecloga recurrit gnomol. Paris. 257 Sternb. (*Ἀριστοτέλης ὁ Κυρηναῖος κτἑ.*). scripsit *Ἀριστίππου* Meineke ‖ 8 *Ἀριστοτέλης* SMA, gnom. Paris.: *Ἀρίστιππος* cod. Paris. 1985 teste Gaisfordo, fort. ex Gesn.[1] f. 370 marg.: '*Camers legit Ἀρίστιππος*' idque recepit Meineke. cf. mus. Rhen. XXXIX p. 372 | *ὑπό τινος* MA, om. S, gnom. Paris. ‖ 9 *ἕνεκα τῆς συνουσίας* (*τῆς* om. Tr.) SMA *ἕνεκεν συνουσίας* gnom. Paris. | *γίγνεται* ut videtur SA *γίνεται* MTr. gnomol. Paris. | *οὔτε, ἔφη, διὰ τοῦτο οὔτε δίχα τούτου* eleganter prop. Meineke ‖ 11 ecl. cum lemm. hab. SMA, om. S ‖ 12 *ἀγαπωμένη* corruptum. *ἀγάπη* (*εὐνὴ* Meineke, *στρωμνὴ* M. Haupt, *ἐνεστὼ* Mekler) *μούνη* Nauck. *ἀγαπῶ* vel *Ἀγαπὼ μόνη* Diels ‖ 13 ecl. cum lemm. hab.
χ
SMA; *πλουταρ ἐκ τοῦ π. ἐ.* S *ἐκ τῶν πλουτάρχου περὶ ἔρωτος* MA ‖ 14 *ὁμαλῶς* S *οὐμαλῶσ* M *οὐ κακῶς* A; *οὐχ ἁπλῶς* Wilamowitz (Leo *Plaut. forsch.* p. 126 adn. 1) minus recte, cf. Plut. Pericl. 6

εκτικόν ἐστιν, ὁ ἔρως, οἷον πνεῦμα κοινὸν διαπεφυκώς. ὄντ᾿ οὖν μάλιστα θιασώτην τοῦ θεοῦ καὶ ὀργιαστὴν τὸν ἄνδρα συμπεριλαμβάνωμεν εἰς τὴν ζήτησιν, ἐπεὶ καὶ λελάληκε περὶ τοῦ πάθους φιλοσοφώτερον. ἄξιον γὰρ εἶναι θαύματος φήσας τὸ περὶ τοὺς ἐρῶντας, ὥσπερ ἔστιν, ἅμα λαλεῖ· εἶτα ἀπορεῖ καὶ ζητεῖ πρὸς ἑαυτόν·

τίνι δεδούλωνταί ποτε;
ὄψει; φλύαρος· τῆς γὰρ αὐτῆς πάντες ἂν
ἤρων· κρίσιν γὰρ τὸ βλέπειν ἴσην ἔχει.
ἀλλ᾿ ἡδονή τις τοὺς ἐρῶντας ἐπάγεται
συνουσίας; πῶς οὖν ἕτερος ταύτην ἔχων
οὐδὲν πέπονθεν ἀλλ᾿ ἀπῆλθε καταγελῶν,
ἕτερος ⟨δ᾿⟩ ἀπόλωλε; καιρός ἐστιν ⟨ἡ⟩ νόσος
ψυχῆς· ὁ πληγεὶς δ᾿ εἴσω δὴ τιτρώσκεται.

ταῦτα τίν᾿ ἐστὶ σκεψώμεθα· καὶ γὰρ ἔχει τι κρουστικὸν καὶ κινητικὸν αἴτιον, ⟨εἰ μήτε τὴν ὄψιν⟩ μήτε τὴν συνουσίαν αἰτίαν εἶναι πιθανόν ἐστιν· ἀρχαὶ γὰρ αὗται

1 *διαπεφυκώς* libri, *διακεχυκώς* scr. Meineke, *διαπεφοιτηκώς* ci. Bernardakis ‖ 2 *ὄντ᾿* Bernardakis: *ὅν* libri. *ὅν — ὀργιαστὴν* ⟨*ἴσμεν*⟩ *τὸν ἄνδρα* scr. Meineke | *μάλιστα* om. A ‖ 3 *συμπεριλαμβάνομεν* libri: corr. Meineke | *τὴν* om. A ‖ 4 *περι* (sine acc. M) SM *ἀπὸ* A | v. *τοῦ πάθους* e. q. s. om. M, ubi pergitur in flor. 74, 11 Mein. (*εστ εργον κτἑ.*). compage foliorum in antiquiore codice soluta haud pauca alieno loco inserta sunt, sed ut interciderit unum. de cod. A vid. ad p. 157, 10 ‖ 5 *φήσας* Iacobs lect. Stob. p. 104: *φῆσαι* SA | *ὥσπερ ἔστιν ἄλλον ἄλλα φιλεῖν, εἶτα* prop. Iacobs ‖ 7 Menandri fr. 541 K. | *δεδούλωνται* SA *δεδούλωται* Tr. ‖ 9 inter *γὰρ* et *τὸ* spatiolum in S ‖ 12 *οὐδὲ ἓν* SA: corr. Grotius | *ἀλλὰ* libri ‖ 13 *δ᾿* addidit Dobree | *καιρός* SA[1] hic et infra p. 446,22, Plut. amator. p. 763 B (ubi poetae n. commemorato afferuntur verba *καιρός — τιτρώσκεται*) *ἔρως* Stobaei A[2] hic et infra | post *καιρός* distinguitur in S | *ἐστιν ἡ νόσος* legitur infra p. 446,22 et sic Plut. p. 763 B: *ἔστη νόσος* S *ἐστι νόσος* A Tr. ‖ 14 *εἴσω δὴ* SA, lacuna sex septemve litt. in Plut. p. 763 B; coniecturarum paucas commemoro: *εἰσβολῇ* prop. Bentley, *ἔνδοθεν* Dorvillius, *εἰς ὕλην* (sc. *τὴν ψυχήν*) anonymus *the journal of philol.* X p. 21 ‖ 15 *τίνα* (sic) SA | *τι κρουστικὸν* SA *τινὰ κρουστικὸν* Tr. ‖ 16 *αἴτιον* A *αἰτίαν* S | *εἰ μήτε τὴν ὄψιν* addidit Halm lect. Stob. p. 17, praeiverat Gesn.[1] in versione | *οὐσίαν* A | *πιθανὸν* ex *πιστὸν* corr. S[1] ‖ 17 *αὗται* (ut scr. Meineke) A: *αὐταί* S

τινες ἴσως, ἡ δὲ ἰσχὺς καὶ ῥίζωσις τοῦ πάθους ἐν ἑτέροις. ἡ δ' ἀπόδειξις ἐλαφρὰ καὶ οὐδ' ἀληθής· οὐ γὰρ ἔχει κρίσιν ⟨ἴσην⟩ τὸ βλέπειν, ὥσπερ οὐδὲ τὸ γεύεσθαι. καὶ γὰρ ὄψις ὄψεως καὶ ἀκοῆς ἀκοὴ φύσει τε μᾶλλον διήρθρωται καὶ τέχνῃ συγγεγύμνασται πρὸς τὴν τοῦ καλοῦ διάγνωσιν, ἐν μὲν ἁρμονίαις καὶ μέλεσιν αἱ τῶν μουσικῶν, ἐν δὲ μορφαῖς καὶ ἰδέαις αἱ τῶν ζωγράφων· ὥσπερ εἰπεῖν ποτε Νικόμαχον λέγουσι πρὸς ἄνθρωπον ἰδιώτην φήσαντα μὴ καλὴν αὐτῷ φανῆναι τὴν Ζεύξιδος 'Ἑλένην· 'λάβε γάρ' ἔφη 'τοὺς ἐμοὺς ὀφθαλμούς, καὶ θεός σοι φανήσεται'. πολὺ δὲ καὶ μυρεψοὶ περὶ τὰ ὀσφραντὰ καὶ νὴ Δία ὀψοποιοὶ περὶ τὰ γευστὰ διατριβῇ καὶ συνηθείᾳ διαφέρουσαν ἡμῶν κρίσιν ἔχουσι. πάλιν δὲ τὸ συνουσίᾳ τὸν ἔρωτα μὴ κρατεῖσθαι, διὰ τὸ τῇ αὐτῇ συγγενόμενον ἄλλον ἀπαλλαγῆναι καὶ καταφρονῆσαι . . . . ., τοιοῦτόν ἐστιν, οἷον εἰ λέγοι τις μηδὲ χυμῶν ἡδονῇ δεδουλῶσθαι Φιλόξενον τὸν ὀψοφάγον, ὅτι τῶν αὐτῶν Ἀντισθένης γευσάμενος οὐδὲν ἔπαθε τοιοῦτον· μηδὲ ὑπὸ οἴνου μεθύειν Ἀλκιβιάδην, ὅτι Σωκράτης πίνων τὸν ἴσον οἶνον ἐνῆφεν. ἀλλὰ ταῦτα μὲν ἐάσωμεν, τὰ δ' ἐφεξῆς, ἐν οἷς ἤδη τὴν αὑτοῦ δόξαν ἀποφαίνεται, σκοπῶμεν.

καιρός ἐστιν ἡ νόσος
ψυχῆς.

εὖ καὶ ὀρθῶς. δεῖ γὰρ ἅμα τοῦ πάσχοντος εἰς ταὐτὸ καὶ τοῦ ποιοῦντος ἀπάντησιν γενέσθαι, πρὸς ἄλληλά πως

---

1 *ἑτέροις* in ras. S ‖ 3 *ἴσην* addidit Gesn.[1] ‖ 6 *αἱ τῶν* S *αὐτῶν* A ‖ 7 *εἰδέαις* S | *αἱ τῶν* S *αὐτῶν* A | *ζωγράφων* ci. Gesn.[1] marg.: *ζώων φρένες* libri ‖ 8 *λέγουσι* om. A ‖ 9 *γὰρ ἔφη* om. Tr. ‖ 11 *πολὺ* A *πολλοὶ* S sed alt. *λ* postmodo inseruit et *ο* ex *υ* corr. S[1] ‖ 12 *συνήθεια* A ‖ 14 s. *ἄλλον ⟨μὲν δουλοῦσθαι ἄλλον δ'⟩ ἀπαλλαγῆναι* prop. Wyttenbach et horum simile iam desideravit Gesn.[1] cum interpretaretur *quoniam . . . alter irretiatur, alter contemnens abeat.* potius post *καταφρονῆσαι* intercidisse *ἄλλον ἀπολωλέναι καὶ δουλοῦσθαι* sim. putat Meineke retinens ordinem in Menandri versibus indicatum ‖ 16 *λέγοι* S *λέγει* A | *ἡδονὴ* A ‖ 19 *ὅτι* SA *ὅτε* Tr. ‖ 21 *αὑτοῦ* tacite Meineke: *αὐτοῦ* libri ‖ 22 Menandri fr. 541 K. | *καιρὸς* S A[1] *ἔρως* A[2] ‖ 24 *καὶ* om. A | *δεῖ* S *ἀεὶ* A

ἐχόντων· ὡς ἄκυρον εἰς τὴν τοῦ τέλους ἀπεργασίαν ἡ δραστικὴ δύναμις, ἂν μὴ παθητικὴ διάθεσις ᾖ. τοῦτο δὲ εὐστοχίας ἐστὶ καιροῦ τῷ παθεῖν ἑτοίμῳ συνάπτοντος ἐν ἀκμῇ τὸ ποιεῖν πεφυκός.

35 *Πλάτωνος ἐκ τοῦ Συμποσίου* (p. 189 D — 192 D).

Ἡ γὰρ πάλαι ἡμῶν φύσις οὐχ αὑτὴ ἦν ἥπερ νῦν, ἀλλ' ἀλλοία. πρῶτον μὲν γὰρ τρία ἦν γένη τὰ τῶν ἀνθρώπων, οὐχ ὥσπερ νῦν δύο, ἄρρεν καὶ θῆλυ, ἀλλὰ καὶ τρίτον προσῆν κοινὸν ⟨ὂν⟩ ἀμφοτέρων τούτων, οὗ νῦν ὄνομα λοιπόν, αὐτὸ δὲ ἠφάνισται· ἀνδρόγυνον γὰρ τότε μὲν ἦν καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε ἄρρενος καὶ θήλεος, νῦν δὲ οὐκ ἔστιν ἀλλ' ἢ ἐν ὀνείδει ὄνομα κείμενον. ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώπου τὸ εἶδος στρογγύλον, νῶτόν τε καὶ πλευρὰς κύκλῳ ἔχον, χεῖρας δὲ τέτταρας εἶχε, καὶ σκέλη τὰ ἴσα ταῖς χερσί, καὶ πρόσωπα δύο ἐπὶ αὐχένι κυκλοτερεῖ, ὅμοια πάντῃ· κεφαλὴν δὲ ἐπ' ἀμφοτέροις τοῖς προσώποις ἐναντίοις ⟨κειμένοις⟩ μίαν, καὶ ὦτα τέτταρα, καὶ αἰδοῖα δύο, καὶ τἄλλα πάντα ὡς ἀπὸ τούτων ἄν τις εἰκάσειεν. ἐπορεύετο δὲ καὶ ὀρθὸν ὥσπερ νῦν, ὁποτέρωσε βουληθείη· καὶ ὁπότε ταχὺ ὁρμήσειε θεῖν, ὥσπερ οἱ κυβιστῶντες καὶ εἰς ὀρθὸν τὰ σκέλη περιφερόμενοι κυβιστῶσι κύκλῳ,

---

2 *διάθεσις* corr. S[1]. fuisse videtur *δύναμις* ex proximis iteratum Meklero ‖ **3** *ἑτοίμῳ* Wyttenbach: *ἐμοί πως* S *ἔμοιγέ πως* A ‖ **4** *πεφυκός* Tr. *πεφυκώς* SA ex *-ός* corr. S[1] ‖ **5** ecl. hab. SA (post ecl. 34) M (post IV 2, 25 p. 156, 18 ubi vide), lemma om. M. initium ecl. usque ad *θήλεος* (12) offert Euseb. praep. ev. XII 12 ‖ **6** v. *ἡ γὰρ πάλαι* — p. 448, 10 *λέγεται, τὸ εἰς* om. M | *αὐτὴ* Platonis B *ἡ αὐτὴ* Eus.: *αὕτη* SA, Platonis T ‖ **7** *ἦν τὰ γένη τὰ τῶν* Stob., Plat.: *τῶν* Platonis W, Eus.; fallitur Burnet ‖ **8** *δύο* om. A | *καὶ* S (ut Plat.), om. A Tr. ‖ **9** *ὂν* addidi e Plat. ‖ **10** *γὰρ ἓν τότε* Platonis B | *γὰρ τότε μὲν*] *μὲν γάρ τοτε* A ‖ **12** *τοῦ τε*] *τοῦτο* A | *ἐν* (*ἂν* A) *ὀνείδει* A, Platonis T: *ἓν ὂν εἴδει* Tr. p. 364, Platonis B. dubito de Stobaei S, silet Mekler ‖ **14** *τε* om. Plat. ‖ **15** *τέτταρας* Plat. *τέσσαρας* SA, cf. 18 ‖ **18** *κειμένοις* tacite e Plat. Gesn.[1]: om. SA ‖ **19** *ὡς* Plat.: *ὅσα* SA ‖ **20** *ὁποτέρωσε* Plat.: *ὁποτέρως* SA ‖ **21** *θεῖν* Stob., Platonis B: *ἐλθεῖν* Platonis T ‖ **22** *εἰς ὀρθὸν τὰ σκέλη* Plat.: *εἰς ὀρθὰ ὄντα σκέλη* SA. fuerit olim *ὀρθὰ* (*ὂν* suprascr.) *τὰ*

τότε ὀκτὼ οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι ταχὺ ἐφέροντο κύκλῳ. ἦν δὲ διὰ ταῦτα τρία τὰ γένη καὶ τοιαῦτα, ὅτι τὸ μὲν ἄρρεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον, τὸ δὲ θῆλυ τῆς γῆς, τὸ δὲ ἀμφοτέρων μετέχον τῆς σελήνης, ὅτι καὶ ἡ σελήνη ἀμφοτέρων μετεῖχεν· περιφερῆ δὲ δὴ ἦν καὶ αὐτὰ καὶ ἡ πορεία αὐτῶν διὰ τὸ τοῖς γονεῦσιν ὅμοια εἶναι. ἦν οὖν τὴν ἰσχὺν δεινὰ καὶ τὴν ῥώμην, καὶ τὰ φρονήματα μεγάλα εἶχον, ἐπεχείρησαν δὲ τοῖς θεοῖς, καὶ ὃ λέγει Ὅμηρος περὶ Ἐφιάλτου τε καὶ Ὤτου, περὶ ἐκείνων λέγεται, τὸ εἰς τὸν οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν, ὡς ἐπιθησομένων τοῖς θεοῖς. ὁ οὖν Ζεὺς καὶ οἱ ἄλλοι θεοὶ ἐβουλεύοντο ὅ τι χρὴ αὐτοὺς ποιῆσαι, καὶ ἠπόρουν· οὔτε γὰρ ὅπως ἀποκτείναιεν εἶχον καὶ ὥσπερ τοὺς γίγαντας κεραυνώσαντες τὸ γένος ἀφανίσαιεν· αἱ τιμαὶ γὰρ αὐτοῖς καὶ τὰ ἱερὰ τὰ παρὰ τῶν ἀνθρώπων ἠφανίζετο· οὔτε ὅπως ἐῷεν ἀσελγαίνειν. μόλις δὲ ὁ Ζεὺς ἐννοήσας λέγει ὅτι ‘Δοκῶ μοι’ ⟨ἔφη⟩ ‘ἔχειν μηχανήν, ὡς ἂν εἶέν τε ἄνθρωποι καὶ παύσαιντο τῆς ἀκολασίας ἀσθενέστεροι γενόμενοι. νῦν μὲν γὰρ αὐτούς, ἔφη, διατεμῶ δίχα ἕκαστον, καὶ ἅμα μὲν ἀσθενέστεροι ἔσονται, ἅμα δὲ χρησιμώτεροι ἡμῖν διὰ τὸ πλείους τὸν ἀριθμὸν γεγονέναι· καὶ βαδιοῦνται ὀρθοὶ ἐπὶ δυοῖν σκελοῖν. ἐὰν δὲ ἔτι δοκῶσιν ἀσελγαίνειν καὶ μὴ θέλωσιν ἡσυχίαν ἄγειν, πάλιν αὖ, ἔφη, τεμῶ δίχα, ὥστε ἐφ' ἑνὸς πορεύσονται σκέλους ἀσκωλίζοντες’. ταῦτα

---

1 *ὀκτὼ τότε* Platonis B ‖ 5 *μετεῖχεν* S A *μετέχει* libri Plat.; *ὅτι — μετέχει* secl. Iahn | *δὴ* om. A ‖ 6 *τοῖς*] *τῆς* A ‖ 8 *θεοῖς* Plat.; *θείοις* S supra *ι* posuit accentum circumflexum eiusve similem lineolam A[1] ‖ 9 *τε* om. A ‖ 10 *τὸν οὐρανὸν*] hinc incipit M f. 159r ‖ 11 *γοῦν* (pro *οὖν*) A ‖ 13 *ἀποκτεινεεν* compend. A ‖ 14 post *γὰρ* addidit *ἂν* Schanz auctore Astio ‖ 15 *τὰ ἱερὰ τὰ* libri Stob.: *ἱερὰ τὰ* Platonis B T ‖ 16 *ἐῶ ἐν* M | *μόγις δὴ* Plat. ‖ 17 *ἔφη* tacite e Plat. addidit Gesn.[1] f. 371v | *εἶέν τε*] *ἴωνται* A | *ἄνθρωποι* S M A, libri Plat.: corr. Voegelin ‖ 18 *ἀσθενέστεροι γενόμενοι* secl. Kreyenbühl ‖ 19 *νῦν δὲ γὰρ* Tr. ‖ 21 *τὸν* ex *τῶν* corr. A[1] ‖ 22 *δέ τι* Platonis B T ‖ 23 *ἐθέλωσιν* Platonis T *μὴ 'θέλωσιν* Baiter | *αὖ* om. A ‖ 24 *ἀσκωλίζοντες*] *ἀσχαλίζοντες* A | *ταῦτα — p. 449, 6 ἰᾶσθαι ἐκέλευεν* Euseb. praep. ev. XII 12

εἰπὼν ἔτεμνε τοὺς ἀνθρώπους δίχα, ὥσπερ οἱ τὰ ᾀὰ τέμνοντες καὶ μέλλοντες ταριχεύειν, ἢ ὥσπερ οἱ τὰ ᾠὰ ταῖς θριξίν· ὅντινα δὲ τέμοι, τὸν Ἀπόλλω ἐκέλευεν τό τε πρόσωπον μεταστρέφειν καὶ τὸ τοῦ αὐχένος ἥμισυ πρὸς τὴν τομήν, ἵνα θεώμενος τὴν αὐτοῦ τμῆσιν κοσμιώτερος εἴη ὁ ἄνθρωπος, καὶ τἆλλα ἰᾶσθαι ἐκέλευεν. ὁ δὲ τό τε πρόσωπον μετέστρεφε, καὶ ξυνέλκων πανταχόθεν τὸ δέρμα ἐπὶ την γαστέρα νῦν καλουμένην, ὥσπερ τὰ σύσπαστα βαλλάντια, ἓν στόμα ποιῶν ἀπέδει κατὰ μέσην τὴν γαστέρα, ὃ δὴ τὸν ὀμφαλὸν καλοῦσιν. καὶ τὰς μὲν ἄλλας ῥυτίδας ⟨τὰς⟩ πολλὰς ἐξελέαινε καὶ τὰ στήθη διήρθρου, ἔχων τι τοιοῦτον ὄργανον οἷον οἱ σκυτοτόμοι περὶ τὸν καλάποδα λεαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας· ὀλίγας δὲ κατέλιπε τὰς περὶ αὐτὴν τὴν γαστέρα καὶ τὸν ὀμφαλόν, μνημεῖον εἶναι τοῦ παλαιοῦ πάθους. ἐπειδὴ οὖν ἡ φύσις δίχα ἐτμήθη, ποθοῦν ἕκαστον τὸ ἥμισυ τὸ αὑτοῦ ξυνῄει, καὶ περιβάλλοντες τὰς χεῖρας καὶ συμπλεκόμενοι ἀλλήλοις, ἐπιθυμοῦντες ξυμφῦναι, ἀπέθνῃσκον ὑπὸ τοῦ λιμοῦ καὶ τῆς ἄλλης ἀργίας διὰ τὸ μηδὲν ἐθέλειν χωρὶς ἀλλήλων ποιεῖν. καὶ ὁπότε τι ἀποθάνοι τῶν ἡμίσεων, τὸ δὲ λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει καὶ συνεπέπλεκτο, εἴτε γυναικὸς τῆς ὅλης ἐντύχοι ἡμίσει, ὃ

---

1 *ἔτεμνε*] *ἔτεμε* A | *ὥσπερ* — 2 *ταριχεύειν* Photius, Suidas | *ᾠὰ* SMA *ᾠιὰ* Platonis BT, Suid. *ὄα* Ruhnkenius ad Tim. p. 189 **2** *τέμνοντες καὶ* secl. Kreyenbühl | *ἢ ὥσπερ* (om. *οἱ*) *τὰ ᾠιὰ ταῖς θριξίν* Platonis B. delevit verba Sydenham ‖ **3** *Ἀπόλλωνα ἐκέλευσε* A ‖ **5** *αὑτοῦ* Platonis T, *αὐτοῦ* SMA, Plat. B ‖ **6** *ἰᾶσθε* M ‖ **7** *ξυνέλκων* ex *-κον* ut videtur corr. M[1] ‖ **9** *βαλλάντια* S, Platonis T: *βάλλοντα* Platonis B, *βαλάντια* M, *βαλάκτια* A | *ἀπέδει* sed *ει* in corr. M[1] *ἀπέδησε* A | *μεσ* (*ην* superscr.) in *μεσον* corr. A[1] ‖ **11** *τὰς* tacite e Platone indidit Gesn.[1] f. 372ᵛ | *ἐξελέαινε*] tertium *ε* ex *αι* corr. S[1] ‖ **15** *παλαιοῦ* ex vocis nescio cuius correctione S[1] | *ἐπειδὴ* — 18 *ξυμφῦναι* adfert Priscianus XVII 159 (Gr. l. III p. 187) | *ἐπειδὴ* M, Plat.: *ἐπεὶ* SA ‖ **16** *τὸ αὑτοῦ* Platonis T: *τὸ αυτοῦ* Platonis B *τοῦ* (*τὸ* A) *αὐτοῦ* SMA *τε* Prisc. | **17** *ξυνῄει* (vel *-ήει*) SMA, Platonis T, Prisc.: *ξυνεῖναι* Platonis B | *ἀμπλεκόμενοι* A ‖ **18** *ξυμφῆναι ἀπέθνισκον* A ‖ **19** *τοῦ* om. Platonis B | *μηθὲν* A ‖ **22** *συνεπέπλεκτο* S, Plat.: *ξυν-* MA | *ἡμισείας* A

δὴ νῦν γυναῖκα καλοῦμεν, εἴτε ἀνδρός· ⟨καὶ⟩ οὕτως ἀπώλλυντο. ἐλεήσας δὲ ὁ Ζεὺς ἄλλην μηχανὴν πορίζεται, καὶ μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν· τέως γὰρ καὶ ταῦτα ἐκτὸς εἶχον, καὶ ἐγέννων καὶ ἔτικτον οὐκ εἰς ἀλήλλους ἀλλ' εἰς γῆν, ὥσπερ οἱ τέττιγες. μετέθηκέ τε οὖν οὕτως αὐτῶν εἰς τὸ ἔμπροσθεν καὶ διὰ τούτων τὴν γένεσιν ἐν ἀλλήλοις ἐποίησεν, διὰ τοῦ ἄρρενος ἐν τῷ θήλει, τῶνδε ἕνεκα, ἵνα ἐν τῇ συμπλοκῇ ἅμα μὲν εἰ ἀνὴρ γυναικὶ ἐντύχοι, γεννῷεν καὶ γίγνοιτο τὸ γένος, ἅμα δ' εἰ καὶ ἄρρεν ἄρρενι, πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσίας καὶ διαπαύοιντο καὶ ἐπὶ τὰ ἔργα τρέποιντο καὶ τοῦ ἄλλου βίου ἐπιμελοῖντο. ἔστι δὴ οὖν ἐκ τόσου ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς ἀνθρώποις καὶ τῆς ἀρχαίας φύσεως συναγωγὸς καὶ ἐπιχειρῶν ποιῆσαι ἓν ἐκ δυοῖν καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην. ἕκαστος οὖν ἡμῶν ἐστιν ἀνθρώπου σύμβολον, ἅτε τετμημένος ὥσπερ αἱ ψῆτται, ἐξ ἑνὸς δύο· ζητεῖ δὴ ἀεὶ τὸ αὑτοῦ ἕκαστον σύμβολον. ὅσοι μὲν οὖν τῶν ἀνδρῶν τοῦ κοινοῦ τμῆμά εἰσιν, ὃ δὴ τότε ἀνδρόγυνον ἐκαλεῖτο, φιλογύναικές τέ εἰσιν καὶ οἱ πολλοὶ τῶν μοιχῶν ἐκ τούτου τοῦ γένους γεγόνασιν, καὶ ὅσαι αὖ γυναῖκες φίλανδροί τε καὶ μοιχεύτριαι. ὅσαι δὲ τῶν γυναικῶν γυ-

---

1 *καὶ* tacite e Platone add. Gesn.[1] | *οὕτως ἀπώλλυντο* Plat.: *οὕτω* (*οὔτε* M A) *ἀπόλλυτο* S M A. *οὕτω* ante vocales ubi traditur Stobaei libris in prosae orationis scriptoribus tolerandum videtur ‖ 6 *οὕτω* Platonis B T, in Platone conservavit Burnet | *αὐτῶν*] *αὖ* Schanz | *ἔμπροσθεν* S M A *πρόσθεν* Platonis B T. *αὐτῶν εἰς τὸ πρόσθεν* secl. Iahn | *τούτων* M A, Plat.: *τοῦτο* S ‖ 7 *γέννησιν* Vermehren | *ἐν* (ante *ἀλλ.*) Plat.: *νέαν* S M A ‖ 8 *τῶνδε* accentu supra *ε* eraso M | *γὰρ* post *τῶνδε* add. A ‖ 9 *γίγνοιτο τὸ γένος* S ut fere Platonis B T: *γίγνοιντο τὸ γένος* M *γένοιτο τὸ γένος* A; *τὸ* del. Vsener ‖ 10 *ἄρρην* Platonis B T W | *ἄρρενι* A, Plat.: *ἄρρεν* S M ‖ 12 *ἐκ τόσου ὁ ἔρως* Plat.: *ἐκτὸς οὗ ὁ ἔρως* S *ἐντὸσ οὗ ὁ ἔρωσ* M *ἐκτοσ οὗ ἔρως* A[1] *οὗ* suprascripsit et *οὗ* deleto superaddidit *ὁ* A[2] ‖ 14 *ἓν* Plat.: *ἕνα* S M A ‖ 15 *ἀνθρώπου*] *ἄνθρωποσ* M ‖ 16 *τετιμημένος* A ‖ 17 *αὑτοῦ* S *αὐτοῦ* M A | *ἕκαστος* Platonis T W ‖ 18 *τμῆμα* Plat.: *τμήματος* S M A. cf. p. 451, 1. 4 ‖ 21 *φιλομοιχεύτριαι* A | post *μοιχεύτριαι τμήματος* addidit v. *ἐκ τούτου τοῦ γένους γίγνονται* Gesn.[1] f. 372[v], om. S M A, in Platone addubitavit Hommel, secl. Badham

ναικὸς τμῆμά εἰσιν, οὐ πάνυ αὗται τοῖς ἀνδράσι τὸν νοῦν προσέχουσιν, ἀλλὰ μᾶλλον πρὸς τὰς γυναῖκας τετραμμέναι εἰσίν, καὶ ⟨αἱ⟩ ἑταιρίστριαι ἐκ τούτου τοῦ γένους γίγνονται. ὅσοι δὲ ἄρρενος τμῆμά εἰσιν, τὰ ἄρρενα διώκουσιν, καὶ τέως μὲν ἂν παῖδες ὦσιν, ἅτε ⟨τεμάχια⟩ ὄντα τοῦ ἄρρενος, φιλοῦσι τοὺς ἄνδρας καὶ χαίρουσι ξυγκατακείμενοι καὶ ξυμπλεκόμενοι τοῖς ἀνδράσι, καί εἰσιν οὗτοι βέλτιστοι τῶν παίδων καὶ μειρακίων, ἅτε ἀνδρειότατοι ὄντες φύσει. φασὶ δὲ δή τινες αὐτοὺς ἀναισχύντους εἶναι, ψευδόμενοι· οὔτε γὰρ ὑπ' ἀναισχυντίας τοῦτο δρῶσιν ἀλλ' ὑπὸ θάρρους καὶ ἀνδρείας καὶ ἀρρενωπίας, τὸ ὅμοιον αὐτοῖς ἀσπαζόμενοι. μέγα δὲ τεκμήριον· καὶ γὰρ τελεωθέντες μόνοι ἀποβαίνουσιν εἰς τὰ πολιτικὰ ἄνδρες οἱ τοιοῦτοι. ἐπειδὰν δὲ ἀνδρωθῶσι, παιδεραστοῦσι καὶ πρὸς γάμους καὶ παιδοποιίας οὐ προσέχουσι τὸν νοῦν φύσει, ἀλλ' ὑπὸ τοῦ νόμου ἀναγκάζονται· ἀλλ' ἐξαρκεῖ αὐτοῖς μετ' ἀλλήλων καταζῆν ἀγάμοις οὖσι. πάντως μὲν οὖν ὁ τοιοῦτος παιδεραστής τε καὶ φιλεραστὴς γίγνεται, ἀεὶ τὸ ξυγγενὲς ἀσπαζόμενος. ὅταν μὲν οὖν καὶ αὐτῷ ἐκείνῳ ἐντύχῃ τῷ αὑτοῦ ἡμίσει καὶ ὁ παιδεραστὴς καὶ ἄλλος πᾶς, τότε καὶ θαυμαστὰ ἐκπλήττονται φιλίᾳ τε καὶ οἰκειότητι καὶ ἔρωτι, οὐκ ἐθέλοντες ὡς ἔπος εἰπεῖν χωρίζεσθαι ἀλλήλων οὐδὲ ἐπὶ σμικρὸν χρόνον. καὶ οἱ διατελοῦντες μετ' ἀλλήλων διὰ βίου οὗτοί εἰσιν, οἳ οὐδ' ἂν ἔχοιεν εἰπεῖν ὅ τι βούλονται σφίσι παρ' ἀλλήλων γίγνεσθαι. οὐδενὶ γὰρ ἂν δόξειε τοῦτ' εἶναι ἡ

---

3 *αἱ* addidi e Plat. ‖ **4** *δὲ* S *δ'* MA ‖ **5** *ἕως* Ast | *παῖδες* sed *ες* in ras. M | *τεμάχια* e Plat. addidit Gesn.[1] | *ἄρσενος* S ‖ **6** *ξυγκ-* sed *ξ* in ras. M ‖ **7** *οὗτοι* ⟨*οἱ*⟩ Hommel ‖ **8** *τῶν* ante *μειρ.* add. A ‖ **9** *δὲ* om. A ‖ **10** *οὐ γὰρ* recte Plat. | *τοῦτο δρῶσιν* (*-σι* A) SMA ut libri Platonis: *δρῶσι τοῦτο* Tr. p. 366 ‖ **12** *δὲ* om. A ‖ **14** *παιδεραστοῦσι* ex *-ῶσι* corr. S[1] ‖ **15** *ἀλλ' ὑπὸ* et quae sequuntur om. S | *φύσει — ἀναγκάζονται* del. Hug | *ἀλλ' — ἀναγκ.* del. Iahn ‖ **16** *ἀλλὰ* M ‖ **17** *οὖσι* om. Plat. | *παιδεράστη* M *παιδεράστης* A ‖ **19** *μὲν οὖν*] *μέντοι* Sauppe, *μὲν* Schanz | *καὶ* M sicut libri Plat.: om. A | *αὑτοῦ* Plat., *αὐτοῦ* MA ‖ **20** *παιδεράστης* MA *θαυμαστὰ* A ut libri Plat., *θαυμαστὰσ* M; *θαυμαστότατ'* Badham ‖ **22** *ἐπὶ* om. libri Platonis ‖ **24** *εἰσὶν* A ‖ **25** *οὐδενὶ*] *οὐδὲν* Platonis BTW, *οὐδὲ* ex emend. Platonis apogr. Parisin. 1812

τῶν ἀφροδισίων ξυνουσία, ὡς ἄρα τούτου ἕνεκα ἕτερος ἑκατέρῳ χαίρει συνὼν οὕτως ἐπὶ μεγάλης σπουδῆς· ἀλλ' ἄλλο τι βουλομένη ἡ ψυχὴ ἑκατέρου δήλη ἐστίν, ὃ οὐ δύναται εἰπεῖν, ἀλλὰ μαντεύεται ὃ βούλεται, καὶ αἰνίττεται.

36 *Ἐν ταὐτῷ* (p. 195 A — 197 E).

Φημὶ οὖν ἐγὼ πάντων θεῶν εὐδαιμόνων ὄντων Ἔρωτα, εἰ θέμις καὶ ἀνεμέσητον εἰπεῖν, εὐδαιμονέστατον εἶναι αὐτῶν, κάλλιστον ὄντα καὶ ἄριστον. ἔστι δὲ κάλλιστος ὢν τοιόσδε. πρῶτον μὲν νεώτατος θεῶν, ὦ Φαῖδρε. μέγα δὲ τεκμήριον τῷ λόγῳ αὐτὸς παρέχεται, φεύγων φυγῇ τὸ γῆρας, ταχὺ ὂν δῆλον ὅτι· θᾶττον γοῦν τοῦ δέοντος ἡμῖν προσέρχεται. ὃ δὴ πέφυκεν Ἔρως μισεῖν καὶ οὐδ' ἐντὸς πολλοῦ πλησιάζειν. μετὰ δὲ νέων αἰεὶ ξύνεστί τε καί ἔστιν· ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει. ἐγὼ δὲ Φαίδρῳ πολλὰ ἄλλα ὁμολογῶν τοῦτο οὐχ ὁμολογῶ, ὡς Ἔρως Κρόνου καὶ Ἰαπετοῦ ἀρχαιότερός ἐστιν, ἀλλὰ φημὶ νεώτατόν τε αὐτὸν εἶναι θεῶν καὶ ἀεὶ νέον, τὰ δὲ παλαιὰ πράγματα περὶ θεούς, ἃ Ἡσίοδος καὶ Παρμενίδης λέγουσιν, Ἀνάγκῃ καὶ οὐκ Ἔρωτι γεγονέναι, ⟨εἰ ἐκεῖνοι⟩ ἀληθῆ λέγουσιν. οὐ γὰρ ἂν ἐκτομαὶ οὐδὲ δεσμοὶ ἀλλήλων ἐγένοντο, καὶ ἄλλα πολλὰ καὶ βίαια, εἰ Ἔρως ἐν αὐτοῖς ἦν, ἀλλὰ φιλία καὶ εἰρήνη, ὥσπερ νῦν, ἐξ οὗ Ἔρως τῶν θεῶν βασιλεύει. νέος μὲν οὖν ἐστι,

---

2 *ἑκατέρῳ*] *ἑτέρῳ* Plat. | *οὕτως*] *οὐτ' ὡσ* M ‖ 3 *ἄλό τι* M | *ἡ ψυχὴ ἑκατέρου*] *ἑκατέρου ἡ ψυχὴ* Plat. | *ἐστι* A ‖ 4 *ἐνίττεται* M ‖ 5 ecl. cum lemm. hab. SMA ‖ 9 *αὐτῶν* Plat.: *αὐτὸν* SMA ‖ 9 *πρῶτα* A ‖ 10 *τῶν λόγων* A | *φυγῇ*] *ἐν φυγῇ* A ‖ 11 *ταχὺ — προσέρχεται* delevit Heusde Spec. crit. p. 62 ‖ 12 *οὐδ' ἐντὸς* SMA: *οὐ δόντος* vel *οὐδ' ὄντος* libri Platonis ‖ 13 *πλησιάζει* Platonis B | *αἰεὶ* hic etiam Platonis B T ‖ 14 *ἔστιν ⟨νέος⟩* Sauppe ‖ 15 *ἀεὶ πελάζει* Plat.: *δεῖ πελάζειν* SMA ‖ 17 *τε* om. Plat. ‖ 18 *νέον* ex *νέων* fecit S[1] | *πράγματα* SMA, Platonis T: *γράμματα* Platonis B ‖ 19 *Παρμ.*] *Ἐπιμενίδης* ci. Ast ‖ 20 *εἰ ἐκεῖνοι* tacite e Plat. add. Gesn.[1] f. 372[v] | *λέγουσι* (*-σιν* M) SMA sed *ου* in ras. S: *ἔλεγον* Plat. hoc fortasse reponendum etiam in Stob., nam *λέγουσι* iteratum videtur ex 19 ‖ 21 *ἐγένοντο*] *ἐγίγνοντο* libri Platonis | *πολλὰ*] *καὶ πολλὰ* A ‖ 22 *εἰ ἔρως* Gesn.[1] ex Plat.: *ἱερῶς* SMA[1]

πρὸς δὲ τῷ νέῳ ἁπαλός· ποιητοῦ δέ ἐστιν ἐνδεὴς οἷός περ ἦν ὁ Ὅμηρος πρὸς τὸ ἐπιδεῖξαι θεοῦ ἁπαλότητα. Ὅμηρος γὰρ Ἄτην θεόν τέ φησιν εἶναι καὶ ἁπαλήν· τοὺς γοῦν πόδας αὐτῆς ἁπαλούς φησιν εἶναι λέγων

τῆς μένθ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδεος
πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει.

καλῷ οὖν μοι [δοκεῖ τεκμηρίῳ τὴν ἁπαλότητα ἀποφαίνειν, ὅτι οὐκ ἐπὶ σκληροῦ βαίνει, ἀλλ' ἐπὶ μαλθακοῦ. τῷ αὐτῷ δὴ καὶ ἡμεῖς χρησώμεθα τεκμηρίῳ περὶ Ἔρωτος ὅτι ἁπαλός. οὐ γὰρ ἐπὶ γῆς βαίνει οὐδ' ἐπὶ κρανίων, ἅ ἐστιν οὐ πάνυ μαλακά, ἀλλ' ἐν τοῖς μαλακωτάτοις τῶν ὄντων βαίνει καὶ οἰκεῖ. ἐν γὰρ ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται, καὶ οὐκ αὖ ἐν πάσαις ἑξῆς ταῖς ψυχαῖς, ἀλλὰ ᾗτινι ἂν σκληρὸν ἦθος ἐχούσῃ ἐντύχῃ, ἀπέρχεται, ᾗ δ' ἂν μαλακόν, οἰκίζεται. ἁπτόμενον οὖν ἀεὶ καὶ ποσὶ καὶ πάντῃ ἐν μαλακωτάτοις τῶν μαλακωτάτων, ⟨ἁπαλώτατον⟩ ἀνάγκη εἶναι. νεώτατος μὲν δή ἐστι καὶ ἁπαλώτατος, πρὸς δὲ τούτοις ὑγρὸς τὸ εἶδος. οὐ γὰρ ἂν οἷός τε ἦν πάντῃ περιπτύσσεσθαι οὐδὲ διὰ πάσης ψυχῆς καὶ εἰσιὼν τὸ πρῶτον λανθάνειν καὶ ἐξιών, εἰ σκληρὸς ἦν. συμμέτρου δὲ καὶ ὑγρᾶς οὐσίας μέγα τεκμήριον ἡ εὐσχημοσύνη, ὃ δὴ διαφερόντως ἐκ πάντων ὁμολογουμένως Ἔρως ἔχει· ἀσχημοσύνῃ γὰρ καὶ

---

1 *ποιητοῦ*] *ι* supr. lin. S¹ ‖ **2** *περ* om. libri Platonis | *ὁ* S, om. MA, libri Plat. ‖ **3** *θεόν* ex *θεῶν* S¹ *θεῶν* MA¹ | *φησιν* om. libri Plat. ‖ **5** Il. XIX 92 | *τῆς* SMA, libri Plat.: *τῇ* Aristarchus, Homeri codices | *οὔδεος* (*οὐδεὸσ* sed post *ε* una litt. rasa M) SMA, Platonis BT: *οὔδει* Platonis W, Homeri codices ‖ **6** *πίλναται* (sed *ν* corr. S¹) S *πίτνᾶται* sed *τν* in ras. M *πιτνᾶται* A *πίλναται* ex *πίδν*- Platonis T *πήδναται* Platonis B | *ἄρα* sed *ρ* in corr. M | *εἴγε* M ‖ **7** *οὖν δοκεῖ μοι τεκμ.* Plat. ‖ **9** *δὴ*] *δὲ* S | *χρησόμεθα* S | *ἔρωτα* Plat. ‖ **10** *ὅτε* A ‖ **11** *ἅ* ex *ἀλλ* S¹ | *ἀλλὰ* M | *τῷ μαλακωτάτῳ* Tr. ‖ **12** *καὶ βαίνει καὶ οἰκεῖ* Plat. ‖ **13** *αὖ ἑξῆς ἐν πάσαις* Plat. ‖ **17** *ἁπαλώτατον* tacite ex Plat. inseruit Gesn.¹ f. 373ᵛ ‖ **19** *περιπτύσεσθαι* M ‖ **20** *πάσης τῆς ψυχῆς* Gesn.² p. 397 ‖ **21** *ἦν*] *ἢ* in ras. M¹ ut videtur | *καὶ ὑγρᾶς* del. Iahn | *οὐσίας* SMA: *ἰδέας* Plat. ‖ **22** *καὶ* ante *διαφ.* tacite ex Platonis Ald. addidit Gesn.¹

Ἔρωτι πρὸς ἀλλήλους ἀεὶ πόλεμος. χρόας δὲ κάλλος κατ᾽ ἄνθη δίαιτα τοῦ θεοῦ σημαίνει· ἀνανθεῖ γὰρ καὶ ἀπηνθηκότι καὶ σώματι καὶ ψυχῇ καὶ ἄλλῳ ὁτῳοῦν οὐκ ἐνίζει Ἔρως, οὗ δ᾽ ἂν εὐώδης τε καὶ εὐανθὴς τόπος ᾖ, ἐνταῦθα δὲ καὶ ἵζει καὶ μένει.

Περὶ μὲν οὖν κάλλους τοῦ θεοῦ καὶ ταῦτα ἱκανὰ καὶ ἔτι πολλὰ λείπεται, περὶ δὲ ἀρετῆς Ἔρωτος μετὰ ταῦτα λεκτέον, τὸ μὲν μέγιστον ὅτι Ἔρως οὔτε ἀδικεῖ οὔτε ἀδικεῖται οὔτε ὑπὸ θεοῦ οὔτε θεόν, οὔτε ὑπ᾽ ἀνθρώπου οὔτε ἄνθρωπον. οὐδὲ γὰρ αὐτὸς βίᾳ πάσχει, εἴ τι πάσχει, βία γὰρ Ἔρωτος οὐχ ἅπτεται, οὔτε ποιῶν ποιεῖ· πᾶς γὰρ ἑκὼν Ἔρωτι πάνθ᾽ ὑπηρετεῖ· ἃ δ᾽ ἂν ἑκὼν ἑκόντι ὁμολογήσῃ, φασὶν ‘οἱ πόλεων βασιλεῖς νόμοι’ δίκαια εἶναι. πρὸς δὲ τῇ δικαιοσύνῃ σωφροσύνης πλείστης μετέχει. εἶναι γὰρ ὁμολογεῖται σωφροσύνη τὸ κρατεῖν ἡδονῶν καὶ ἐπιθυμιῶν, Ἔρωτος δὲ μηδεμίαν ἡδονὴν κρείττω εἶναι· εἰ δὲ ἥττους, κρατοῖντ᾽ ἂν ὑπὸ Ἔρωτος, ὁ δὲ κρατοῖ, κρατῶν δὲ ἡδονῶν καὶ ἐπιθυμιῶν ὁ Ἔρως διαφερόντως ἂν σωφρονοίη. καὶ μὴν εἴς γε ἀνδρείαν Ἔρωτι ‘οὐδὲ Ἄρης ἀνθίσταται.’ οὐ γὰρ ἔχει Ἔρωτα Ἄρης, ἀλλὰ Ἔρως

---

1 *ἡ κατ᾽ ἄνθη δίαιτα* tacite ex Plat. Gesn.[1]: *ἢ κατ᾽ ἄνθη* (*κατάνθη* M) *δὴ τὰ* S M *ἢ καὶ τὰ ἄνθη δὴ τὰ* A ‖ **2** *σημαίνει· ἀνανθεῖ* Plat.: *σημήνειαν· ἀνθεῖ* S *σημήνεια. ἀνθεῖ* M *σημήνει.* (αι supra) *ἄνθεῖ* A; *σημαίνειεν, ἀνθεῖ* Tr. p. 367 ‖ **4** *ἐνίζει*] *ἐρίζει* M | *εὐανθής τε καὶ εὐώδης* Plat. ‖ **5** *δὲ καὶ ἵζει* Tr. p. 367: *δὲ κ᾽ ἵζει* S A *δέ κ ἵζει* M; *δὲ* om. libri Plat. ‖ **8** *οὔτε ἀδικεῖ* om. M A ‖ **9** *θεόν* Plat.: *θεῶν* S M *ὑπὸ θεῶν* A ‖ **10** *ἄνθρωπον* Plat.: *ἀνθρώπων* S M A | *οὔτε γὰρ* Plat. ‖ **11** ante *ποιῶν* male *βίᾳ* invexit Gesn.[1] | *πᾶς*] *πῶς* A ‖ **12** *πᾶν* Plat. | *ἃ δ᾽ ἂν ἑκὼν* Plat.: *ἀν δ᾽ αν ἑκὼν* S *ἄν δ᾽ ὰν εκὼν* M *ἀν δ᾽ ἀνέκων* A; *ἃ δ᾽ ἄν τις ἑκὼν* ex Platonis Ald. Gesn.[1] | *ἑκοντὶ* S ‖ **13** Alcidamas ap. Aristot. rhet. III 3 *τοὺς τῶν πόλεων βασιλεῖς νόμους* | *πόλεων* S M A *τῶν πόλεων* Tr. *πόλεως* Plat. | *βασιλῆς* Plat. ‖ **14** *πλείστης* S M, libri Plat., *πλεῖστος* A; *πλεῖστον* Cobet N. l. p. 108 ‖ **17** *ὑπὸ τοῦ ἔρωτος* ex Plat. Aldina Gesn.[1] | *κρατοῖ* S, Plat.: *κρατεῖ* M A Tr. ‖ **19** *σωφρονοίη* e *σωφροσύνη* corr. A[1]; *σωφρονοῖ* Plat. | *ἀνδρίαν* A sed *ει* corr. A[1] ‖ **20** *οὐδὲ Ἄρης ἀνθ.*] Soph. Thyest. fr. 235 N.[2] legitur supra Stob. I p. 71,20 W.

Ἄρη, Ἀφροδίτης, ὡς λόγος· κρείττων δὲ ὁ ἔχων τοῦ ἐχομένου· τοῦ δὲ ἀνδρειοτάτου τῶν ἄλλων κρατῶν πάντων ἂν ἀνδρειότατος εἴη. περὶ μὲν οὖν δικαιοσύνης καὶ σωφροσύνης καὶ ἀνδρείας τοῦ θεοῦ εἴρηται, περὶ δὲ σοφίας λείπεται· ὅσον οὖν δυνατόν, πειρατέον μὴ ἐλλείπειν. καὶ πρῶτον μέν, ἵν' αὖ καὶ ἐγὼ τὴν ἡμετέραν τέχνην τιμήσω ὥσπερ Ἐρυξίμαχος τὴν αὑτοῦ, ποιητὴς ὁ θεὸς σοφὸς οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι· πᾶς γοῦν ποιητὴς γίγνεται,

κἂν ἄμουσος ᾖ τὸ πρίν,

οὗ ἂν Ἔρως ἅψηται. ᾧ δὴ πρέπει ἡμᾶς μαρτυρίῳ χρήσασθαι, ὅτι ποιητὴς ὁ Ἔρως ἀγαθὸς ἐν κεφαλαίῳ πᾶσαν ποίησιν τὴν κατὰ μουσικήν· ἃ γάρ τις ἢ μὴ ἔχει ἢ μὴ οἶδεν, οὔτ' ἂν ἑτέρῳ δοίη οὔτε ἂν ἄλλον διδάξειεν. καὶ μὴν τήν γε τῶν ζῴων ποίησιν πάντων τίς ἐναντιώσεται μὴ οὐχὶ Ἔρωτος εἶναι σοφίαν, ᾗ γίγνεταί ⟨τε⟩ καὶ φύεται πάντα τὰ ζῷα; ἀλλὰ τὴν τῶν τεχνῶν δημιουργίαν οὐκ ἴσμεν, ὅτι οὗ μὲν ἂν ὁ θεὸς οὗτος διδάσκαλος γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη, οὗ δ' ἂν Ἔρως μὴ ἐφάψηται, σκοτεινός; τοξικήν γε μὴν καὶ ἰατρικὴν καὶ μαντικὴν Ἀπόλλων ἀνεῦρεν ἐπιθυμίας καὶ ἔρωτος ἡγεμονεύσαντος, ὥστε καὶ οὗτος Ἔρωτος ἂν εἴη μαθητής, καὶ Μοῦσαι μουσικῆς καὶ Ἥφαιστος χαλκείας καὶ Ἀθηνᾶ ἱστουργίας καὶ ʽΖεὺς κυβερνᾶν θεῶν τε καὶ ἀνθρώπων᾿. ὅθεν δὴ καὶ κατε-

---

1 *ἄρη* SM, Plat.: *ἀρῆ* A, *ἄρην* cod. Paris. 1985 teste Gaisfordo | *κρεῖττον* A ‖ 3 *ἂν* M (ni fallor), Platonis T: om. SA, Platonis B ‖ 4 *ἀνδρίας* A ‖ 5 *δυνατὸν* ex *-τέον* S[1] ‖ 6 *ἵν'* (*ἱν* M) *αὖ* SM, Plat. T *αὖ* Plat. B: *ἵν' οὖν* A ‖ 7 *ἐριξίμαρχος* A | *αὐτοῦ* M ‖ 8 *θεὸς σοφὸς* (*σοφος* sine acc. S, si recte rettulit Mekler) S, Plat.: *θεόσοφος* MA Tr. | *οὕτωσ* ex *οὗτοσ* M[1] | *πᾶς*] *πῶς* A ‖ 10 Eur. fr. 663 N.[2] ubi vide quae collegit Nauck | *ᾖ*] *εἴη* A[1] ‖ 11 *χρῆσθαι* Plat. sed cf. supra (Symp. p. 195 E) *τῷ αὐτῷ καὶ ἡμεῖς χρησώμεθα τεκμηρίῳ περὶ Ἔρωτα κτἑ.* ‖ 14 *μὲν* Platonis BT | *μὲν δὴ* Plat. ‖ 15 *πάντως* A | *ἐναντιώσεται* M ‖ 16 *ἡ* M *ἤ* A | *τε* e Plat. addidi post *-ται* ‖ 17 *τὰ ζῶα* A, Plat.: *ζῶα* SM | *τῶν* supra vers. addidit A[1] ‖ 21 *ἀνεῦρεν* etiam Platonis BT ‖ 22 *οὕτωσ* M ‖ 23 *καὶ Ζεὺς — 24 ἀνθρώπων* om. S. tragici alicuius verba agnovit Vsener ‖ 24 *κυβερνᾶν* A, Platonis BTW, *κύβερναν* M

σκευάσθη τῶν θεῶν τὰ πράγματα Ἔρωτος ἐγγενομένου, δῆλον ὅτι κάλλους· αἴσχει γὰρ οὐκ ἔπεστιν Ἔρως· πρὸ τοῦ δέ, ὥσπερ ἐν ἀρχῇ εἶπον, πολλὰ καὶ δεινὰ θεοῖς ἐγίγνετο, ὡς λέγεται, διὰ τὴν τῆς Ἀνάγκης βασιλείαν· ἐπειδὴ δ᾽ ὁ θεὸς οὗτος ἔφυ, ἐκ τοῦ ἐρᾶν τῶν καλῶν πάντα τὰ ἀγαθὰ γέγονεν καὶ θεοῖς καὶ ἀνθρώποις. Οὕτως ἐμοὶ δοκεῖ, ὦ Φαῖδρε, Ἔρως πρῶτον αὐτὸς ὢν κάλλιστος καὶ ἄριστος μετὰ τοῦτο τοῖς ἄλλοις ἄλλων τοιούτων αἴτιος εἶναι. ἐπέρχεται δέ μοί τι καὶ ἔμμετρον εἰπεῖν, ὅτι οὗτός ἐστιν ὁ ποιῶν

εἰρήνην μὲν ἐν ἀνθρώποις, πελάγει δὲ γαλήνην
νηνεμίαν τ᾽ ἀνέμων, κοίτην τε ὕπνον τ᾽ ἐνὶ κήδει.

οὗτος γὰρ ἡμᾶς ἀλλοτριότητος μὲν κενοῖ, οἰκειότητος δὲ πληροῖ, τὰς τοιάσδε ξυνόδους μετ᾽ ἀλλήλων πάσας τιθεὶς ξυνιέναι, ἐν ἑορταῖς, ἐν χοροῖς, ἐν εὐθυμίαις γιγνόμενος ἡγεμών· πρᾳότητα μὲν πορίζων, ἀγριότητα δὲ ἐξορίζων· φιλόδωρος εὐμενείας, ἄδωρος δυσμενείας· ἵλεως ἀγαθοῖς, θεατὸς σοφοῖς, ἀγαστὸς θεοῖς· ζηλωτὸς ἀμοίροις, κτητὸς

---

1 *ἐγγενομένου* Plat.: *ἐγγινομένου* S M A; *ἐγγιγν-* tacite Gaisford ‖ **2** *αἴσχει γὰρ* — 9 *αἴτιος εἶναι* om. S | *ἔπεστιν* M A, Platonis T: *ἔνι* Platonis B e corr.; *ἔπι* scr. Burnet | *πρὸ τοῦ* Plat.: *πρώτου* M A ‖ **3** *θεὸς* A[1] ‖ **4** *ἐγγίγνετο* M ‖ **5** *δὲ* M | *οὕτωσ* M ‖ **6** *πάντα τὰ ἀγαθὰ* M A *πάντ᾽ ἀγαθὰ* Plat. ‖ **7** *πρὸ τῶν* (ut in archetypo fuerit fort. *πρῶτον*) M A *πρῶτος* Plat. | *αὐτὸς* Plat.: *αὐτῶν* M A ‖ **9** *ἐπέρχεται* — 12 *ἐνὶ κήδει* Hermogenes *Περὶ ἰδεῶν* II 4 vol. II p. 363
ἐν
Sp. | *τι*] *τε* A | *ἐμμέτρως* Hermog. ‖ **11** *μὲν εἰρήνην μὲν ἀνοις* del. *μὲν* et inseruit *ἐν* A[1] | *ἐν* om. M ‖ **12** *τ᾽ ἀνέμων* S M A *ἀνέμων* Platonis B T *δ᾽ ἀνέμοις* Hermog. | *κοίτην τε* (*τὲ* M) S M A *κοίτην* Platonis B T, Hermog. *κοίτῃ θ᾽* G. Dindorf | *τ᾽ ἐνὶ* (*ἔνι* S *ἐνι* M) *κήδει* (*κηδει* sine acc. S) S M A, Hermog.: *τε νικηδει* Platonis B (in marg. vitii nota) *τε νηκηδῆ* Platonis T; *νηκηδῆ* Dindorf ‖ **13** *γὰρ*] *δὲ* Plat. cf. Proclus in Alcib. I 58 Creuz. *ὁ μὲν γὰρ ἀλλοτριότητος κενοῖ καὶ οἰκειότητος πληροῖ, καθάπερ φησὶν ὁ τοῦ Πλάτωνος Ἀγάθων* | *ἀλλοτριώτατος* A sed corr. A[1] ‖ **15** *ἐν εὐθυμίαις* libri Stob.: *ἐν θυσίαις* Plat. | *γενομένος* A ‖ **17** *ἵλεως ἀγαθὸς* Platonis B T; *ἵλεως ἀγανὸς* recte Vsener

εὐμοίροις· τρυφῆς, ἁβρότητος, χλιδῆς, χαρίτων, ἱμέρου, πόθου πατήρ· ἐπιμελὴς ἀγαθῶν, ἀμελὴς κακῶν· ἐν πόνῳ, ἐν φόβῳ, ἐν πόθῳ, ἐν λόγῳ κυβερνήτης, ἐπιβάτης, παραστάτης τε καὶ σωτὴρ ἄριστος, ξυμπάντων τε θεῶν καὶ ἀνθρώπων κόσμος, ἡγεμὼν κάλλιστος καὶ ἄριστος, ᾧ χρὴ ἕπεσθαι πάντ᾽ ἄνδρα ἐφυμνοῦντα καλῆς ᾠδῆς μετέχοντα, ἣν ᾄδει θέλγων πάντων θεῶν τε καὶ ἀνθρώπων νόημα.

---

1. 2 *ἱμέρου πόθου* S M, Platonis T *ἱμέρου* (om. *πόθου*) A *ἡμέρου πόθου* Platonis B ‖ **3** *ἐν πόθῳ ἐν φόβῳ* colloc. A. ut emendarent verba alii aliud proposuere ‖ **4** *παραστ.*] *καταστάτης* Tr. p. 368 | *ξυμπάντων* — 5 *ἄριστος* om. A ‖ **6** *καλῆς ᾠδῆς* S M A *καλῶς ᾠδῆς* Platonis B T; *καλῶς καλῆς ᾠδῆς* ex Platonis Ald. Gesn.[1] *καὶ ᾠδῆς* Madvig Adv. cr. I p. 396 ‖ **7** *ἣν ᾄδει* Plat.: *ἵν᾽* (*ἵνα* A) *ἄδῃ* S A *ἵν᾽ ἄδει* (?) M

CAPVT XX. PARS ALTERA.

ΨΟΓΟΣ ΑΦΡΟΔΙΤΗΣ· ΚΑΙ ΟΤΙ ΦΑΥΛΟΣ Ο ΕΡΩΣ ΚΑΙ ΠΟΣΩΝ ΕΙΗ ΚΑΚΩΝ ΓΕΓΟΝΩΣ ΑΙΤΙΟΣ.

37 (1 Mein.) *Δικαιογένους* (fr. 1 p. 775 N.[2]).

Ὅταν δ' ἔρωτος ἐνδεθῶμεν ἄρκυσιν,
θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα,
ἢ τοῖς ἀνάγκης ἐν γένει πεφυκόσιν.

38 (4 Mein.) *Εὐριπίδου Ἀντιγόνῃ* (fr. 161 N.[2]).

Ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς.

39 (2 Mein.) *Μενάνδρου Ἀφροδισίων* (fr. 85 K.).

Ἀλλ' ὅταν ἐρῶντα νοῦν ἔχειν τις ἀξιοῖ,
παρὰ τίνι τἀνόητον οὗτος ὄψεται;

40 (5 Mein.) *Εὐριπίδου Δανάῃ* (fr. 322 N.[2]).

Ἔρως γὰρ ἀργὸν κἀπὶ τοῖς ἀργοῖς ἔφυ.

---

1 ss. titulum offerunt SMA Tr. Mac., sed nil nisi *ψόγος Ἀφροδίτης* Mac., om. Photius priore nimirum inscriptione etiam hanc alteram capitis indicans partem. ceterum *περὶ ψόγου* (pro *ψόγος*) in capitulorum conspectu M, *φαῦλον* pro *φαῦλος* A. *νζ'* et *ξ̄* subrubr. S, *ξβ'* Tr., *με'* MA Mac. ‖ 4 ecl. cum lemm. hab. SMA. *δικαιογένους* Phot. (cf. Elter de Stob. cod. Phot. p. 52) SM *διογένους* A ‖ 5 *ἄρκυσι* libri ‖ 6 *τὴν χάριν ποιούμεθα* verba nondum expedita ‖ 7 *ἢ τοῖς ἀπ' ἀρχῆς* prop. Nauck, *ἢ τοῖσιν ἄγχιστ'* Meineke | *πεφυκόσιν* M *πεφυκόσι* SA ut videtur ‖ 8 ecl. cum lemm. hab. S (post ecl. 3 Mein.) MA (post ecl. 1). iteratur versus a Plutarcho fab. nomine non addito Stob. IV 20, 68 p. 470, 20 ‖ 10 ecl. cum lemm. hab. S (post ecl. 1 Mein.) MA (post ecl. 4 Mein.); *μ^ε* pro lemm., non plura S. fort. *Ἀφροδισίῳ* ‖ 12 *παρὰ* (*παρα* S) *τίνι* S Tr. *παρα τινι* M *παρά τινι* A | *τανώνητον* S *τ᾽ἀνώνητον* M *τἀνόνητον* A: corr. Grotius ‖ 13 ecl. cum lemm. hab. S (post ecl. 4 Mein.) MA (post ecl. 2 Mein.). versus primus legitur p. et f. n. om. apud Plut. Amator. p. 757 A ‖ 14 *τοῖς ἔργοις* SMA: corr. Pierson Verisim. p. 135. *τοιούτοις* Plut.

φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα,
φεύγει δὲ μόχθους· ἓν δέ μοι τεκμήριον,
οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν,
ἐν τοῖς δ' ἔχουσιν † ἡβητὴς πέφυχ' ὅδε.

41 (3 Mein.) *Μενάνδρου* (fr. 798 K.).
Μόνος ἔστ' ἀπαρηγόρητον ἀνθρώποις ἔρως.

42 (6 Mein.) *Εὐριπίδου* (fr. 136 N.²).
Σὺ δ' ὦ κάκιστε [πάντων] θεῶν τε κἀνθρώπων ⟨Ἔρως,⟩
ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά,
ἢ τοῖς ἐρῶσιν εὐμενὴς παρίστασο.

43 (11 Mein.) *Ἀρχιλόχου* (fr. 103 B.).
Τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς
πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευεν,
κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας.

44 (7 Mein.) *Εὐριπίδου Ἀνδρομέδας* (fr. 1054 N.²).
Ἔρωτα δεινὸν ἔχομεν· ἐκ δὲ τῶν λόγων

---

2 *ἐν δέ μοι* A ‖ 4 *δεσπότης* ci. Kayser, alii alia. sed vereor ne extrema verba gnomologi potius sint quam ipsius poetae. post formulam *ἓν δέ μοι τεκμ.* brevem expectes et concinnam sententiam, non orationem bimembrem qua bis idem dicatur haud sine acuminis detrimento. nec fere aliter iudicavit Herwerden Exerc. cr. p. 46, sed vide mus. Rhen. LVIII p. 145 | *πέφυκ* SM ‖ **5** ecl. cum lemm. hab. S (post ecl. 2 Mein.) MA (post ecl. 5 Mein.), *του αὐτοῦ* compend. S ‖ **6** *μόνος* A *μόνον* SM ‖ **7** ecl. cum lemm. hab. S (post ecl. 5 Mein.) MA (post ecl. 3 Mein.). Andromedae esse locum docet Lucianus de conscr. hist. c. 1 citans primum versum. poetae nom. comm. eosdem versus quattuor aliis auctos adfert Athen. XIII p. 561 B ‖ **8** *κάκιστε πάντων θεῶν τε* (*τε* om. S) SMA *τύραννε θεῶν τε* Ath. *θεῶν τύραννε* Luc. | *ἔρως* Ath. Luc.: om. SMA ‖ **9** *τὰ καλὰ* SMA, Ath. *τὰ κακὰ* Tr. ‖ **10** *εὐμενὴς παρίστασο* interpolationis gnomologae exemplum memorabile, cf. Ath. *ἢ τοῖς ἐρῶσιν, ὧν σὺ δημιουργὸς εἶ, Μοχθοῦσι μόχθους εὐτυχῶς συνεκπόνει* ‖ **11** ecl. cum lemm. hab. S (post ecl. 10 Mein.) MA (post ecl. 6 Mein.) ‖ **12** *Τοῖωσ* (*T* rubr.) M¹ ‖ **13** *πολλὴν* A Tr. *πολὺν* SM ‖ **14** *ἐν* Tr. | *στήθεων* A ‖ **15** ecl. cum lemm. hab. S (post ecl. 6 Mein.) MA (post ecl. 11 Mein.). inter incertae sedis fragmenta rettulit versus Nauck Fritzschii iudicio obtemperans qui quidem *Ἀνδρομέδας* lemma putavit potius ad ecl. priorem *σὺ δ' ὦ κάκιστε κτἑ.* pertinere ‖ **16** *δεσπότην* ante *ἔρωτα* tamquam clausulam prioris versiculi suppleri vult Meineke | *ἔχομεν* Tr.: *ἔχωμεν* SM *ἔχομεν* (ω supra o) A¹

ἑλοῦ τὰ βέλτισθ'· ὡς ἄπιστόν ἐστ' ἔρως,
κἀν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν φιλεῖ.

45 (12 Mein.) Ἀρχιλόχου (fr. 84 B.).

Δύστηνος ἔγκειμαι πόθῳ
ἄψυχος, χαλεπῇσι θεῶν ὀδύνῃσιν ἕκητι
πεπαρμένος δι' ὀστέων.

46 (13 Mein.) Σοφοκλῆς ἐν Ἀχιλλέως Ἐρασταῖς (fr. 153 N.[2]).

Τὸ γὰρ νόσημα τοῦτ' ἐφίμερον κακόν·
ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι.
ὅταν πάγου φανέντος αἰθρίου χεροῖν
κρύσταλλον ἁρπάσωσι παῖδες εὐπαγῆ,
τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους·
τέλος δ' ὁ χυμὸς οὔθ' ὅπως ἀφῇ θέλει
οὔτ' ἐν χεροῖν τὸ πῆγμα σύμφορον μένειν.
οὕτω δὲ τοὺς ἐρῶντας αὑτὸς ἵμερος

---

1 βέλτιστα SM | ὥστ' libri: corr. Pierson | ἐπ ἔρωσ M || 2 κἀν] καὶ A | οἰκεῖν S ἀκεῖν M ναρκεῖν A, inde ἄρχειν dubitans Meineke, qui ita verba ad sanitatem revocare studebat ὡς ἀπειστόν ἐστ' ἔρως Κἀν τῷ κρατίστῳ τῶν φρενῶν ἄρχειν φιλεῖ. contra ὡς ἄπιστόν ἐστ' ἔρως Καὶ τῷ κακίστῳ τῶν φρενῶν εἴκειν φ. Tucker *Class. rev.* XVIII (1904) p. 198 || 3 ecl. cum lemm. hab. S (post ecl. 11 Mein.) MA (post ecl. 7 Mein.); ἀ αυ S || 4 ἔγκειμαι sed ει e corr. M[1] || 5 ἕκτη operarum error ap. Gesn.[2] || 7 ecl. cum lemm. hab. S M A. respicit fortasse Plutarchus de garrul. p. 508 D, poetae et fab. nom. commemorato Zenobius V 58 ubi vide Gotting. || 8 ἔρωτος γὰρ νόσημα S M A: τὸ γὰρ νόσημα Dobree Adv. I p. 52. putaveris igitur in antiquiore gnomologio fuisse τὸ γὰρ νόσημα (ἔρωτος supra scr.). non bene νόσημ' ἔρωτος cod. Paris. 1985 teste Gaisfordo || 10 χερσὶν (sine acc. S) SMA: corr. Scaliger ap. Grotium Dict. poet. p. 263 || 11 παῖδες εὐπαγῆ Nauck: παιδιαῖσαγῆ S παιδιαῖς ἄγη (ἄγῃ A) MA. παῖδες ἀσταγῆ praeivit Salmasius ap. Grotium; π. εὐαγῆ ci. Elter || 12 ποταινίους cod. Paris. 1985 teste Brunckio et Gaisfordo: ποτ' ἐνίους SMA || 13 ὁ κρυμὸς ci. Meineke qui οὔτ' ἀφίεσθαι θέλει coniecit sed dubitans ipse. οὔτ' ἀπεστράφθαι θέλει O. Apelt, οὔτ' ἀπωσθῆναι θέλει ego. audaciora proposuit Headlam *Class. rev.* XVII (1903) p. 293 | ὅτωσ M || 14 πῆγμα Gomperz: κτῆμα S. κτῆμ' ἀσύμφορον MA || 15 οὕτω γε (δὲ Meineke) ci. Gesn.[1] f. 374 marg.: οὔτε SMA | αυτὸς S αὐτὸσ M

δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προσίεται.

47 (14 Mein.) *Φανοκλέους* (Anth. lyr.² ed. Bergk p. 165).

Ἢ ὡς Οἰάγροιο πάις Θρηΐκιος Ὀρφεὺς
ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην,
πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ' ἀείδων
ὃν πόθον, οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ,
ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι
ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν.
τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι
ἔκτανον εὐήκη φάσγανα θηξάμεναι,
οὕνεκα πρῶτος ἔδειξεν ἐνὶ Θρήκεσσιν ἔρωτας
ἄρρενας, οὐδὲ πόθους ᾔνεσε θηλυτέρων.
τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ' αὐτὴν
εἰς ἅλα Θρηϊκίην ῥῖψαν ὁμοῦ χέλυϊ
ἥλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ
ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις.
τὰς δ' ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα·
ἠχὴ δ' ὣς λιγυρῆς πόντον ἐπέσχε λύρης,
νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν
ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν.
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
πέτρας καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ.
ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς

---

1 *δρᾶν καί τι μὴ δρᾶν* scr. Meineke | *προίεται* SMA: corr. Meineke ‖ 2 ecl. cum lemm. hab. SMA. cf. Ruhnkenius Opusc.² II p. 636 ss. ‖ 3 *οἰάγρου* A | *πάϊς* Tr. *παῖς* SM *παῖδες* A | *θρηϊκίου* libri, corr. A² sed accentu non mutato ‖ 4 *καλαῖν* MA¹ | *στέρξαι* A¹ ‖ 5 *πολλάκισ* M ‖ 6 *οὐδέ οἱ ἦν* Hermann Orph. p. 785 ‖ 7 *ἄγραπνα* M | *ψυχὴν* A | *μελεδῶναι* SMA *μελεδῶνες* Tr. ‖ 8 *δερκομένου* SMA *δερκόμενον* Tr. | *καλαῖν* MA¹ ‖ 9 *βιστορίδες* M ‖ 10 *εὐήκη* SMA *εὐμήκη* Tr. ‖ 11 *πρῶτον* (*πρῶτος* A²) *δεῖξεν* libri. *πρῶτον ἔδειξεν* scr. Gesn.¹ inde *πρῶτος ἔδειξεν* Nauck recte *Mél. Gréco-R.* t. IV p. 497 ‖ 12 *θηλυτεράων* S ‖ 13 *αὐτὴν* prop. Gesn.¹ marg., inde A²: *υπῆν* S *ὑπῆν* M *ἀπῆν* A¹ ‖ 14 *θρηικίαν* A¹ ‖ 15 *ηλω* S *ήλω* M ‖ 19 *αἰγιαλους* sine acc. S ‖ 20 *ὀρφίην* S ‖ 22 *φόρτον* Tr. | *ἔπειθεν* libri nisi quod *ἔπυθεν* Tr. *ἔπεισεν* quod spreverat Lobeck Aglaoph. p. 865, malebat Bergk Anth. lyr.² p. XIX ‖ 23 *κιθαριστυς* sine acc. S

νῆσον ἔχει, πασέων δ᾽ ἐστὶν ἀοιδοτάτη.
Θρῆκες δ᾽ ὡς ἐδάησαν ἀρήϊοι ἔργα γυναικῶν
ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος,
ἃς ἀλόχους ἔστιζον, ἵν᾽ ἐν χροΐ σήματ᾽ ἔχουσαι
κυάνεα στυγεροῦ μὴ λελάθοιντο φόνου.
ποινὰς δ᾽ Ὀρφῆϊ κταμένῳ στίζουσι γυναῖκας
εἰς ἔτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.

48 (8 Mein.) *Εὐριπίδου Δικτυΐ* (fr. 340 N.²).

Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ,
ἢν τ᾽ αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ,
κἄπειτα τίκτει πόλεμον· εἰς δ᾽ ἀνάστασιν
δόμων περαίνει πολλάκις τὰ τοιάδε.

49 (9 Mein.) *Θεοκρίτου* (I 100 s. Wil.).

Τὰν δ᾽ ἄρα χὠ Δάφνις ποταμείβετο· Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής.

50 (10 Mein.) *Εὐριπίδου ἐκ Μελεάγρου* (fr. 524 N.²).

Ἡ γὰρ Κύπρις πέφυκε τῷ σκότῳ φίλη·
τὸ φῶς δ᾽ ἀνάγκην προστίθησι σωφρονεῖν.

51 (15 Mein.) *Μενάνδρου Ἀνδρίᾳ* (fr. 48 K.).

Τὸ δ᾽ ἐρᾶν ἐπισκοτεῖ
ἅπασιν, ὡς ἔοικε, καὶ τοῖς εὖ λόγῳ

---

1 δ᾽ om. S ‖ 2 ἀρήϊα Tr. ‖ 3 ἐσῆλθεν Tr.: εἰσῆλθεν S M A ‖ 4 ἅς δ᾽ (vel ἅς τ᾽) ἀλ. scr. Bergk | χροΐ sine acc. S ‖ 5 πόνου A ‖ 6 κταμένω sed κτα in ras. M¹ | στίζουσι S στίξουσι M A ‖ 7 εἵνεκεν S ἵν᾽ ἧκεν (ἵκεν A) M A ‖ 8 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) M A (post ecl. 14 Mein,). versus duos priores om. p. et fab. nom. exhibet Galenus de Hipp. et Gal. decr. IV 6 (149) p. 383 Müll. id est Chrysippus fr. mor. 475 p. 126, 6 Arn. cf. Elter De gnomol. Gr. hist. atque orig. part. I p. 19 ‖ 10 ἄν τ᾽ αὖ βιάζῃ S Voss., αντ᾽ ἀβιάζη M ἀντ᾽ ἀ βϊάζην (ην ex ειν corr. A¹) A; ἂν γὰρ βιάζῃ Gal. | ἐκτείνειν A ‖ 11 καίπειτα M ‖ 13 ecl. cum lemm. hab. M A, om. S ‖ 14 Δάφνις ποταμείβετο Theocr.: δάφνησ ποτ᾽ ἀμείβετο M A | Κύπριν βαρεῖαν A ‖ 15 νεμεσσατὰ (sed ατ in ras. M¹) M, Theocr. μεσσατὰ A ‖ 16 ecl. cum lemm. hab. S M A ‖ 19 ecl. cum lemm. hab. S (post ecl. 14 Mein.) M A (post ecl. 10 Mein.); ἀνδρεία S A ἀνδρ^ε M ‖ 21 ἅπασιν om. S | εὖ λόγῳ E. Hoffmann mus. Rhen. XLI p. 152, cf. ibid. XXXI p. 241, 2: εὐλόγως libri. de dativo vide Kuehner-Gerth II 1 p. 384. εὐπόρως ci. Blaydes Adv. in Com. II p. 200

καὶ τοῖς κακῶς ἔχουσιν.

52 (16 Mein.) *Κλεινίου.*

Μή τις ἀτιμάτω θνητῶν πολύδακρυν ἔρωτα,
μηδὲ πόθον παίδων μηδ' ἱμερτὴν φιλότητα,
τῶν ἰότητι Μύρων κατέβη πολύκλαυτον ἐς ᾅδην.

53 (17 Mein.) *Μενάνδρου Ἀνεψιοί* (fr. 59 K.).

Φύσει γὰρ ἔστ' Ἔρως
τοῦ νουθετοῦντος κωφόν· ἅμα δ' οὐ ῥᾴδιον
νεότητα νικᾶν ἐστι καὶ θεὸν λόγῳ.

54 (18 Mein.) *Μενάνδρου Θησαυρῷ* (fr. 236 K.).

Ὅταν δ' ἐρῶντος τόλμαν ἀφέλῃς, οἴχεται,
εἰς τοὺς ἰαλέμους τε τοῦτον ἔγγραφε.

55 (19 Mein.) *Ἐκ τῶν Μόσχου τοῦ Σικελιώτου Βουκολικῶν* (III p. 139 Wil.).

Ἀλφειὸς μετὰ Πεῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
ἔρχεται εἰς Ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ,
ἕδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα καὶ κόνιν ἱράν;
καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι, τὰν δὲ θάλασσαν
νέρθεν ὑποτροχάει, κοὐ μίγνυται ὕδασιν ὕδωρ,
ἁ δ' οὐκ οἶδε θάλασσα διερχομένου ποταμοῖο.
κῶρος δεινοθέτας κακομάχανος αἰνὰ διδάσκων
καὶ ποταμὸν διὰ φίλτρον Ἔρως ἐδίδαξε κολυμβῆν.

---

1 *κακῶς* Clericus: *καλῶς* libri ‖ 2 ecl. cum lemm. hab. SMA ‖ 3 *ἀτιμάτω* Meineke: *τιμάτω* (*ά* ex *ᾶ* corr. M[1]) libri | *θηλεῶν* prop. Meineke dubitans ‖ 5 *τάων* libri: corr. Meineke | *Μύρων* prop. Gaisford: *μοιρῶν* SMA | *πολύκλαυστον* libri: corr. Meineke ‖ 6 ecl. cum lemm. hab. SMA; *ἀνεψιός* libri, *Ἀνεψιοί* Meineke; potest etiam *Ἀνεψιοῖς* ‖ 7 *ἔστ'* Gesn.[1]: *ἔσται* SMA *ἔστιν* Tr. ‖ 8 *κωφός* Blaydes | *ἐνὶ δ'* Nauck. hoc comprobans in proximis *ἐστι, κἂν θεὸς ᾖ, λόγῳ* Herwerden. non accedo ‖ 10 ecl. cum lemm. hab. SMA, *μενάνδρου* (*μ*[ε] S) SM *τοῦ αὐτοῦ* A. tres ex litterarum ordine se excipiunt fabulae Menandreae, fortasse quinque, si etiam ecl. 41 *Ἀφροδισίου* est vel *Ἀνεψιῶν* ‖ 11 *ἔρωτος* 'argutius' visum est Grotio (Dict. p. 540) ‖ 12 *ἔγραφε* A ‖ 13 ecl. cum lemm. hab. SMA, in lemm. *τοῦ* dedi ex SMA, om. Gaisford et Meineke, *σικελικοῦ* Tr. *βουκολικῶν* om. S ‖ 15 *πεῖσαν* SMA | *ὁδεύει* M ‖ 18 *ἐμβαίνει* S *-νη* MA | *τὴν* Tr. ‖ 19 *ὑποτροχάει* S *-άη* MA ‖ 20 *ποταμοῦ* M ‖ 21 *δεινοθέτας* suspectavit Hemsterhusius | *κακομήχανος* A | *ἀναδιδάσκων* A ‖ 22 *ἐρῶσ* M | *κολυμβεῖν* A

56 (20 Mein.) *Τοῦ αὐτοῦ* (Buc. gr. app. VIII 7—10. 16—17 Wil.).

Χρῶτα μὲν οὐ λευκός, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτῷ
δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·
οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά,
ἐν δὲ χολὰ νόος ἐστὶν ἀνάμερος, ἠπεροπευτάς.
καὶ πτερόεις ὡς ὄρνις ἐφίπταται ἄλλον ἐπ' ἄλλῳ,
ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.

57 (21 Mein.) *Ἐκ τῶν Βίωνος Σμυρναίου Βουκολικῶν* (IX p. 142 Wil.).

Ἰξευτὰς ἔτι κῶρος ἐν ἄλσεϊ δενδράεντι
ὄρνεα θηρεύων, τὸν ὑπόπτερον εἶδεν Ἔρωτα
ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δὲ νόησε,
χαίρων ὥνεκα δὴ μέγα φαίνετο τὤρνεον αὐτῷ,
τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων
τᾷ καὶ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευεν.
χὠ παῖς ἀσχαλάων, ὅκα οἱ τέλος οὐδὲν ἀπάντη,
τὼς καλάμως ῥίψας ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
ὅς νιν τάνδε τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ,
καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
μειδιάων κίνησε κάρη καὶ ἀμείβετο παῖδα·

1 ecl. cum lemm. hab. S M A. integrum carmen legitur in bucolicorum syll. et in Anthol. Pal. IX 440 ‖ 3 *λεκός* S | *ἴκελος* libri Stob. ‖ 5 *μελίφωνα* M ‖ 6 *ἐν δὲ χολᾶ* (*χόλαι* ex S adfert Meineke in bucol.) *νόος* libri: corr. et dist. Valckenaer. *ὡς δὲ χολὰ* cod. Theocr. Vat. 11 Sanctamand. ‖ 9 ecl. cum lemm. hab. S M A, *ἐκ τῶν τοῦ βίωνος σμ. β.* Tr. ‖ 11 *δενδράεντι* Tr.: *δένδρα ἐντὶ* S M A[1] ‖ 12 *ὑπόπτερον* Briggs: *ἀπότροπον* S M A | post *ἔρωτα* habent *ὧν ἕνεκα δὴ μέγα φαίνετο* (*φαίνεται* A) *ὄρνεον* (*ὀρνέων* S) *αὐτῷ* (*αὐτῶ* M) S M A praecepta ex v. 14, deleta sunt in S A et quidem alio atramento quam quo prima m. utitur in S ‖ 13 *ἑσδόμενον* S M A | *ἐνόασε* S M A: corr. Hermann. *δὲ νόησεν* Wilamowitz ‖ 41 *τὤρνεον* Valckenaer: *ὄρνεον* libri ‖ 15 *ἀλλήλοισι* A ‖ 16 *ἀμφεδίκευεν* M ‖ 17 *ἀσχαλάων, ὅκα οἱ* Porson: *ἀσχαλάων οὕνεχάοἱ* (*οὕνεκά οἱ* Tr.) S *ἀσχαλῶν ὑονεχά οἱ* M *ἀσχαλωνὕονεχαοἱ* (superscr. *ὅ* *κ*) A sed *ου* et *κ* et spiritum superscr. A[2] | *ἀπάντη* Tr., sine acc. S *ἀπαντῇ* M *ἁπαντῇ* A[1] accentum mutavit A[2] ‖ 18 *ἵκανε* M ‖ 19 *ὅς δὴ τάνδε* A | *τέχναν* A *τέχνα* M *τέχνην* S | *λεγεν* sine acc. S

‘φείδεο τᾶς θήρας μηδ’ ἐς τόδε τὤρνεον ἔρχευ.
φεῦγε μακράν· κακόν ἐντι τὸ θηρίον· ὄλβιος ἔσσῃ,
εἰσόκε μή νιν ἕλῃς· ἢν δ’ ἀνέρος ἐς μέτρον ἔλθῃς,
οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος αὐτὸς ἀφ’ αὑτῶ
ἐλθὼν ἐξαπίνας κεφαλὰν ἔπι σεῖο καθιξεῖ.’

58 (22 Mein.) *Τοῦ αὐτοῦ* (X p. 143 Wil.).

Ἄμερε Κυπρογένεια, Διὸς τέκος ἠὲ θαλάσσας,
τίπτε τόσον θνατοῖσι καὶ ἀθανάτοισι χαλέπτεις;
τυτθὸν ἔφαν· τί νυ τόσσον ἀπήχθεο καὶ τὶν αὐτᾷ,
ταλίκον ὡς πάντεσσι κακὸν τὸν Ἔρωτα τεκέσθαι,
ἄγριον ἄστοργον μορφᾷ νόον οὐδὲν ὅμοιον;
ἐς τί δέ νιν πτανὸν καὶ ἑκαβόλον ὤπασας ἦμεν,
ὡς μὴ πικρὸν ἐόντα δυναίμεθα τῆνον ἀλύξαι;

59 (23 a Mein.) *Εὐριπίδου Μηδείας* (330).

Φεῦ φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.

60 (23 Mein.) *Θεοκρίτου* (III 15—18).

Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦρα λεαίνας

---

1 *τὰν θήραν* Tr. | *τόδε τὤρνεον* cod. Paris. 1985 teste Gaisfordo: *τόδε τ’ ὄρνεον* SM *τόδ’ ὄρνεον* A ‖ **2** *κακον εντι* sine acc. et spir. M | $\overset{σ}{ἔση}$ S[1] *ἔσση* (vel *-ῃ*) MA. *ἐσσῇ* Brunck ‖ **3** *εἰσόκε* Ahrens: *εἰς ὅκα* S *εἰσόκα* MA | *νιν* Meineke: *μιν* libri. cf. v. 12 | *ἢν δ’*] *ἢ δϊ* A[1] | malim *ἔνθῃς*, nam *ἀπῆνθεν* supra in Bione (p. 441, 15) servavit M ‖ **4** *ἀπάλμενος* SMA: *ἐπάλμενος* Tr. ‖ **5** malim *ἐνθὼν* cf. adn. 3 | $\overset{α}{ἐπί}$ *σειο* M | *κ///θιξεῖ* (una litt. rasa, fort. *α*) M ‖ **6** ecl. cum. lemm. hab. MA, om. S ‖ **7** *Κυπρογένηα* prop. Meineke | *ἢ ἐθαλάσσασ* M *ἠὲ θαλάσσας* A. *ἠδὲ θ.* scr. Gesn.[2] idque comprobarunt Preller-Robert *Gr. myth.* I[4] p. 354, *οὐδὲ θ.* Hermann et Meineke ‖ **9** *ἀπήχθεο* A *ἀπέχθεο* M | *τιναυτα* sine acc. M *τίν’ αὐτὰ* A[1]: *τὶν αὐτᾷ* Graefius, *τεῒν αὐτᾷ* Hermann. illud recte defendit Ferd. Sommer *Glotta* I p. 238 adn. 2 ‖ **10** *τηλίκον* A | *τέκναι* sed *ν* in ras. ut videtur M *τέκηαι* A: corr. Hermann ‖ **11** *ὁμοῖον* MA *ὅμοιον* Gesn.[2] ‖ **12** *ἔστι* A | *νιν* sed *ιν* in ras. M[1] ‖ **13** *ἀλῦξαι* M ‖ **14** ecl. cum lemm. hab. S (post ecl. 23 Mein.) MA (post ecl. 22 Mein.); $\overset{δ}{μη}$ poetae nom. omisso S ‖ **16** ecl. cum lemm. hab. S (post ecl. 21 Mein.) MA (post ecl. 23[a] Mein.). resp. schol. Eur. Hec. 1144, t. I p. 257,3 Dind. Thomas Mag. p. 233,5, Eustathius ad Il. p. 1054,53 ‖ **17** *λεαίνας* Theocr.: *λεαίνης* S, Thom. M. *λεαίνησα* M $\overset{α}{λεαίνησ}$ A in archetypo igitur corrigi voluit nescio quis *λεαίνας*

μαστὸν ἐθήλαξεν, δρυμῷ τέ νιν ἔτραφε μάτηρ,
ὅς με κατασμύχων καὶ ⟨ἐς⟩ ὀστέον ἄχρις ἰάπτει.

61 (24 Mein.) *Εὐριπίδου Ῥαδάμανθυς* (fr. 659 N.[2]).

Ἔρωτες ἡμῖν εἰσι παντοῖοι βίου·
ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν·
τῷ δ' οὐχὶ τούτου φροντὶς, ἀλλὰ χρημάτων
πολλῶν κεκλῆσθαι βούλεται πάτωρ δόμοις·
ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν
λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ·
οἱ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν
ζητοῦσιν. οὕτω βίοτος ἀνθρώπων πλάνη.

62 (25 Mein.) *Ξενοφῶντος ἐν τῷ α' Ἀπομνημονευμάτων* (c. 3, 11—13).

Ὦ τλῆμον, ἔφη ὁ Σωκράτης, καὶ τί ἂν οἴει παθεῖν καλὸν φιλήσας; ἆρα οὐκ ἂν αὐτίκα μάλα δοῦλος μὲν εἶναι ἀντ' ἐλευθέρου, πολλὰ δὲ δαπανᾶν εἰς βλαβερὰς ἡδονάς, πολλὴν δὲ ἀσχολίαν ἔχειν τοῦ ἐπιμεληθῆναί τινος καλοῦ κἀγαθοῦ, σπουδάζειν δ' ἀναγκασθῆναι, ἐφ' οἷς οὐδ' ἂν μαινόμενος σπουδάσειεν; Ὦ Ἡράκλεις, ἔφη ὁ Ξενοφῶν, ὡς δεινήν τινα λέγεις δύναμιν τοῦ φιλήματος εἶναι. Καὶ τοῦτο, ἔφη ὁ Σωκράτης, θαυμάζεις; οὐκ οἶσθα ὅτι

---

1 *μαστὸν* SMA *μασδὸν* codd. Theocr. *μαζὸς* schol. Eur. *μαζὸν* Thom. M. | *ἐθήλαξεν* (-ξε A) SMA *-αζε* vel *-αζεν* Theocr. | *μιν* libri Theocriti ‖ 2 *ὥσ* M | *καὶ ἐς ὀστέον* Theocr.: *καὶ ὀστέων* (*ὀστέον* M) SMA ‖ 3 ecl. cum lemm. hab. SMA, poet. n. om. S; duobus versibus aucta legitur ecl. supra Stob. II c. 8 p. 155 W. cum lemm. *τοῦ αὐτοῦ*, ubi praecedit Eur. fr. 1026 N.[2] sine p. et f. nom.; versus 7 legitur sine p. et f. n. schol. Eur. Or. 1197 Schw. ‖ 5 *ἱμέρει* A ‖ 6 ante hunc versum per errorem praecip. *τῷ δ' ἀρ. μηδὲν ὑγιὲς* (om. *ἐκ*) *φρ.* A ‖ 7 *καλεῖσθαι βούλομαι* schol. Eur. | *πατὴρ* libri hic et Stob. II, schol. Eur.: corr. Dindorf | *δόμοις*] *δ' ὅμως* libri supra, *δόμων* schol. Eur. ‖ 8 *ἐκ* om. A, *ἐα* M ‖ 9 *λέγοντα* libri supra ‖ 11 *βίοτος* A et sic Tr. p. 372: *βίωτος* S (in quo *ω* ex *ο* corr. S[1]) M *βιωτὸς* libri supra ‖ 12 ecl. cum lemm. hab. SMA; *τῷ* om. S ‖ 14 *ἂν* A sed superscr. *οὐκ* A[2] | *πείθειν* A[1] ‖ 15 *κακὸν* A[1] | *οὖν* pro *ἂν* A ‖ 19 *ὦ Ἡράκλεις* dedi e Xen.: *ὁ ἡρακλῆς* (*ἡράκλης* A[2]) SMA *ἡράκλεις* Tr. | *ὁ ξενοφῶν* Tr., Xen.: *ὦ ξενοφῶν* SMA ‖ 21 *οἶσθα ὅτι* libri Stob.: *οἶσθ' ἔφη* vel *οἶσθα ἔφη ὅτι* libri Xenoph.

τὰ φαλάγγια οὐδ' ἡμιωβελιαῖα τὸ μέγεθος ὄντα προσαψάμενα μόνον τῷ στόματι ταῖς τε ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους καὶ τοῦ φρονεῖν ἐξίστησι; Ναὶ μὰ Δί', ἔφη ὁ Ξενοφῶν· ἐνίησι γάρ τι τὰ φαλάγγια κατὰ τὸ δῆγμα. Ὦ μωρέ, ἔφη ὁ Σωκράτης, τοὺς δὲ καλοὺς οὐκ οἴει φιλοῦντας ἐνιέναι τι ὃ σὺ οὐχ ὁρᾷς; οὐκ οἶσθα ὅτι τοῦτο τὸ θηρίον, ὃ καλοῦσι καλὸν καὶ ὡραῖον, τοσούτῳ δεινότερόν ἐστι τῶν φαλαγγίων, ὅσῳ ἐκεῖνα μὲν ἁψάμενα, τοῦτο δὲ οὐδ' ἁπτόμενον, ἐάν τις αὐτὸ θεᾶται, ἐνίησί τι καὶ πάνυ πρόσωθεν τοιοῦτον, ὥστε μαίνεσθαι ποιεῖν; ἴσως δὲ καὶ οἱ ἔρωτες τοξόται διὰ τοῦτο καλοῦνται, ὅτι καὶ πόρρωθεν οἱ καλοὶ τιτρώσκουσιν. Ἀλλὰ ξυμβουλεύω σοι, ὦ Ξενοφῶν, ὁπόταν ἴδῃς τινὰ καλόν, φεύγειν προτροπάδην· σοὶ δ', ὦ Κριτόβουλε, συμβουλεύω ἀπενιαυτίσαι· μόγις γὰρ ἂν ἴσως ἐν τοσούτῳ χρόνῳ τὸ δῆγμα ὑγιὲς γένοιτο.

63 (26 Mein.) *Φαβωρίνου* (fr. 85 p. 137 Marr.).

Πάθος τί μοι προσέπεσε τῇ ψυχῇ, καὶ ⟨ὅ⟩ τι μὲν ἔστιν οὐκ οἶδα· ἔρωτα δὲ αὐτὸ λέγουσιν εἶναι οἱ μεμνη-

---

1 *τὰ φαλάγγια κτέ.*] Clemens Alex. paed. III p. 281, 13 ss. Stähl. *ἢ οὐκ ἴστε ὅτι τὰ φαλάγγια προσαπτόμενα μόνον τῷ στόματι ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους, φιλήματα δὲ πολλάκις ἐνίησιν ἰὸν ἀκολασίας;* respiciuntur verba etiam strom. II p. 178 Stähl. Theodoret. XII 57 p. 314 Raed. cf. etiam Harpocratio s. *Φαλάγγια,* Eustath. Il. p. 924, 7 | *ἡμιωβελιαῖα* S: *ἡμιωβολιαῖα* M Tr., libri Xenophontis plurimi, *ἡμιοβολιαῖα* A. *ἡμιοβελιμαῖα* Xenophontis cod. Paris. 1302, unde *ἡμιωβελιαῖα* recte in Xen. Gilbert | *προσαψάμενοι* in *-α* corr. M[1] ‖ 2 *ταῖς τε* M, Xen.: *ταῖς* S A ‖ 4 *τϊ* in *τοι* corr. A[1] ‖ 6 *ὃ σὺ* S M *ἢ γὰρ* A: *ὅτι σὺ* Xen. ‖ 8 *ἁψαμενα* sine acc. S | *τοῦτο δὲ* etiam A, aberravit Gaisford ‖ 9 *οὐχ ἁπτόμενον* A | *ἐάν τις* S A, libri Xen.: *ἐὰν δὲ τις* M (?) Tr. | *αὐτὸ* ex *αὐτὰ* ut videtur in ras. corr. man. dub. M | *τε* pro *τι* A ‖ 10 *πρώσωθέν* M | v. *ἴσως δὲ — τιτρώσκουσιν* quae etiam Xenophontis libri exhibent e Xenophonte recte expulit L. Dindorf ‖ 11 *πόρρωθεν* SMA *πρόσωθεν* libri Xenophontis ‖ 14 *ἀπαντῆσαι* A[1], corr. eadem m. in marg. | *μόλις* libri Xenophontis ‖ 15 *ἂν πως* Cobet | *ὑγιὴς γένοιο* recte libri Xenophontis ‖ 16 ecl. cum lemm. hab. S M A, *φαβουρ-* M. descr. Maxim. c. 26 p. 610 Combef. ‖ 17 *μοι* M A *μου* S | *ὅ* inseruit Meineke ‖ 18 v. *ἔρωτα δ' — μεμνημένοι* legi in S Meklero non magis constat quam Gaisfordo, leguntur in M A Tr. | *μεμνημένοι* A

μένοι. βάσκανε δαῖμον καὶ ἀλόγιστε, ἀσθενεῖ προσελήλυθας σώματι φέρειν σε μὴ δυναμένῳ· ἐξίσταμαί σοι, δαῖμον, παραχωρῶ σοι τῆς μάχης· οὐκ εἰμί σου στρατιώτης.

64 (27 Mein.) *Θεοφράστου* (fr. CXV Wimm.).

Ἔρως δέ ἐστιν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολή ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον, βραδεῖαν δὲ τὴν ἀπόλυσιν.

65 (28 Mein.) *Προδίκου* (fr. 7 Diels[2]).

Ἐπιθυμίαν μὲν διπλασιασθεῖσαν ἔρωτα εἶναι, ἔρωτα δὲ διπλασιασθέντα μανίαν γίγνεσθαι.

66 (29 Mein.) *Θεοφράστου* (fr. CXIV Wimm.).

Θεόφραστος ὁ φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος τί ἐστιν ἔρως, ʻπάθοςʼ ἔφη ʻψυχῆς σχολαζούσηςʼ.

67 (30 Mein.) *Ἐκ τῶν Πλουτάρχου Ὅτι οὐ κρίσις ὁ ἔρως* (vol. VII p. 132, 15 ss. Bernard.).

Οἱ μὲν γὰρ νόσον τὸν ἔρωτα, οἱ δ' ἐπιθυμίαν, οἱ δὲ μανίαν, οἱ δὲ θεῖόν τι κίνημα τῆς ψυχῆς καὶ δαιμόνιον, οἱ δὲ ἄντικρυς θεὸν ἀναγορεύουσιν. ὅθεν ὀρθῶς ἐνίοις ἔδοξε τὸ μὲν ἀρχόμενον ἐπιθυμίαν εἶναι, τὸ δ' ὑπερβάλλον μανίαν, τὸ δὲ ἀντίστροφον φιλίαν, τὸ δὲ ταπεινότερον ἀρρωστίαν, τὸ δ' εὐημεροῦν ἐνθουσιασμόν. διὸ καὶ πυρ-

---

1 *δαῖμοιν* sed *ο* ex *ω* ut videtur radendo factum M ‖ 2 *σοι* Boissonade: *σου* SMA ‖ 3 *σου* SM, Max. *σοι* A *σοι* ⟨*ἴσος*⟩ *στρ.* ci. Meineke, *σου* ⟨*κρείττων*⟩ *στρ.* ego ‖ 4 ecl. cum lemm. hab. SMA. recurrit Maxim. c. 26 p. 610 (*Θεοφράστου*); cf. Gaisfordi adnotationem et quae congessit Wyttenbach Bibl. crit. XII 25 ‖ 8 ecl. cum lemm. hab. SMA ‖ 11 ecl. sine lemm. hab. S, addito lemmate MA. recurrit ecloga gnomol. Vat. 332 Sternb. *Ὁ αὐτὸς* (sc. *Θεόφραστος*) *ἐρωτηθεὶς ὑπό τινος τί ἐστιν ἔρως εἶπε ʻπάθος ψυχῆς σχολαζούσηςʼ.* cf. cod. Vatic. 1144 f. 217ᵛ et 229ᵛ = Append. Vat. p. 43 n. 70 et p. 72 n. 33 Sternb. Libanius progymn. vol. IV p. 1122 R. alia praeterea collegit Sternbach ad gnomol. Vat., quibus addatur florilegium Schenkelii (*Wien. stud.* XI p. 17) 39. comparari potest praeter Diogenem Cynicum ap. Diog. Laert. VI 51, Publilium Syr. 34 etiam Ovidius rem. am. 135 ss. ‖ 12 *ὁ φιλόσοφος* addidi ex MA, om. S | *ὑπό* (*παρά* A) *τινος* MA, om. S ‖ 13 *ἔφη* om. A Tr. ‖ 14 ecl. cum lemm. hab. SMA. expectes lemma *Πλ. ἐκ τοῦ Ὅτι κτέ.* ‖ 16 *νόσον* Cobet N. l. p. 284: *νοῦν* SMA ‖ 20 *μανίαν εἶναι* A[1]

φόρον αὐτὸν οἵ τε ποιηταὶ λέγουσιν οἵ τε πλάσται καὶ γραφεῖς δημιουργοῦσιν, ὅτι καὶ τοῦ πυρὸς τὸ μὲν λαμπρὸν ἥδιστόν ἐστι, τὸ δὲ καυστικὸν ἀλγεινότατον.

68 (31 Mein.) *Ἐν ταὐτῷ* (ibid. p. 132, 26 ss.).

Ὥσπερ γὰρ τοὺς φίλους ὑγιαίνοντας μέν, ἂν πλημμελῶσιν, ἐξελέγχειν καὶ νουθετεῖν κράτιστόν ἐστιν, ἐν δὲ ταῖς παρακοπαῖς καὶ τοῖς φρενετισμοῖς εἰώθαμεν μὴ διαμάχεσθαι μηδὲ ἀντιτείνειν, ἀλλὰ καὶ συμπεριφέρεσθαι καὶ συνεπινεύειν· οὕτω τοὺς δι' ὀργὴν ἢ πλεονεξίαν ἁμαρτάνοντας ἀνακόπτειν τῇ παρρησίᾳ δεῖ καὶ κωλύειν, τοῖς δ' ἐρῶσιν ὥσπερ νοσοῦσι συγγνώμην ἔχειν. διὸ κράτιστον μὲν ἐξ ἀρχῆς τοιούτου πάθους σπέρμα μὴ παραδέχεσθαι μηδὲ ἀρχήν· ἂν δὲ ἐγγένηται, ἴθι ἐπὶ ἀποτροπαίων βωμοὺς θεῶν κατὰ τὸν Πλάτωνα, ἴθι ἐπὶ τὰς τῶν σοφῶν ἀνδρῶν συνουσίας, ἐξέλασον αὑτοῦ τὸ θηρίον πρὶν ὄνυχας φῦσαι καὶ ὀδόντας· εἰ δὲ μή, μαχέσῃ τελείῳ κακῷ, τὸ παιδίον τοῦτο καὶ νήπιον ἐναγκαλιζόμενος. τίνες δέ εἰσιν οἱ τοῦ ἔρωτος ὄνυχες καὶ ὀδόντες; ὑποψία, ζηλοτυπία. ἀλλὰ ἔχει τι πιθανὸν καὶ ἀνθηρόν. ἀμέλει καὶ ⟨ἡ⟩ Σφὶγξ εἶχεν ἐπαγωγὸν τὸ ποίκιλμα τοῦ πτεροῦ, καὶ

εἰ μὲν πρὸς αὐγὰς ἡλίου, χρυσωπὸν ἦν
νώτισμα θηρός· εἰ δὲ πρὸς νέφη βάλοι,
κυανωπὸν ὥς τις Ἶρις ἀντηύγει σέλας.

οὕτω δὴ καὶ ὁ ἔρως ἔχει τι χάριεν καὶ οὐκ ἄμουσον ἀλλὰ

---

4 ecl. cum lemm. hab. S M A ‖ 7 *φρενιτισμοῖς* S M A: corr. Duebner ‖ 8 *καὶ* ante *συμπεριφ.* om. A, cui frustra obsecutus est Meineke, respondent inter se *καὶ — καὶ* | 9 *τοὺς μὲν* A sed *μὲν* A² | *πλεονεξίαν ἁμαρτάνοντας* (*ἁμαρ-* Tr.) M A Tr.: *πλεονεξίαν ἂν ἁμαρτάνοντας* S ‖ 10 *κολούειν* subdubitans prop. Bernardakis ‖ 12 *παρέχεσθαι* A superscr. A² (*αδ*): *παρέχεσθαι* SM ‖ 13 v. *μηδὲ ἀρχήν* expunxit A² ‖ 14 *θεῶν* om. A | *κατὰ τὸν Πλ.*] de legg. p. 854 B ‖ 15 *αὑτοῦ* reposui ex S *αὐτοῦ* M *σαυτοῦ* A² ‖ 17 *καὶ* delevit A² ‖ 19 *ἡ* addidit A²: om. S M A¹ | *σφιγξ* sine acc. S ut mox *ἰρις* ‖ 21 Trag. fr. adesp. 541 N.² | supra *ἡλίου* scr. *τρέψειε* A² ‖ 23 *ὥσ* ex *ὅσ* corr. A¹ | *ἀνταυγεῖ* (sine acc. M) S M A *ἀντηύγει* A² ‖ 24 *χαρίεν* M A¹

αἱμύλον καὶ ἐπιτερπές· ἁρπάζει δὲ καὶ βίους καὶ οἴκους καὶ γάμους καὶ ἡγεμονίας, οὐκ αἰνίγματα προβάλλων ἀλλ' αὐτὸς αἴνιγμα δυσεύρετον ὢν καὶ δύσλυτον, εἰ βούλοιτό τις προτείνειν, τί μισεῖ καὶ φιλεῖ, τί φεύγει καὶ διώκει, τί ἀπειλεῖ καὶ ἱκετεύει, τί ὀργίζεται καὶ ἐλεεῖ, ⟨τί⟩ βούλεται παύσασθαι καὶ οὐ βούλεται, τί χαίρει τῷ αὐτῷ μάλιστα καὶ ἀνιᾶται, τοῦτο λῦσαι καὶ θεραπεῦσαι. τῆς μὲν γὰρ Σφιγγὸς τὸ αἴνιγμα τὰ πλεῖστ' ⟨ἄπιστ⟩α καὶ πεπλασμένα ἔχει· οὔτε γὰρ τρίπους ὁ γέρων ἀληθῶς, εἴ ⟨τι⟩ προσείληφε τοῖς ποσὶ βοηθεῖν· οὔτε τετράπους ὁ νήπιος, ἐπεὶ ταῖς χερσὶν ὑπερείδει τὴν τῶν βάσεων ὑγρότητα καὶ ἀσθένειαν. τὰ δὲ τῶν ἐρώντων πάθη ἀληθῆ· στέργουσιν, ἐχθραίνουσι· τὸν αὐτὸν ποθοῦσιν ἀπόντα, τρέμουσι παρόντος· κολακεύουσι λοιδοροῦσι, προαποθνήσκουσι φονεύουσιν, εὔχονται μὴ φιλεῖν καὶ παύσασθαι φιλοῦντες οὐ θέλουσι· σωφρονίζουσι καὶ πειρῶσιν, παιδεύουσι καὶ διαφθείρουσιν, ἄρχειν θέλουσι καὶ δουλεύειν ὑπομένουσι. τοῦτο αἴτιον γέγονε μάλιστα τοῦ μανίαν ὑποληφθῆναι τὸ πάθος·

ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς,

ἐρωτικὸς ἀνὴρ Εὐριπίδης φησίν.

69 (32 Mein.) *Τοῦ αὐτοῦ Περὶ ἔρωτος* (Ibid. p. 134, 19 ss.).

Ὁ ἔρως οὔτε τὴν γένεσιν ἐξαίφνης λαμβάνει καὶ ἀθρόαν ὡς ὁ θυμός, οὔτε παρέρχεται ταχέως καίπερ εἶναι πτηνὸς λεγόμενος· ἀλλ' ἐξάπτεται μαλακῶς καὶ

---

1 *καὶ* (ante *βίους*) delevit A[2] ‖ **2** *ἡγεμονίας* Wyttenbach: *ἡγεμόνας* S M A ‖ **3** *ὢν* ex *ὃν* corr. A[1] ‖ **4** *τί μισεῖ*] *τίμιος εἰ* A ‖ **5** *τί* inseruit Wakefield ‖ **6** *τίνι χαίρει* prop. Bernardakis ‖ **7** post *θεραπεῦσαι* suppleri vult *χαλεπώτατον ἔσται* sim. Bernardakis ‖ **8** *πλεῖστ' ἄπιστα* scripsi: *πλεῖστα* libri ‖ **9** *εἴ τι* Gaisford: *εἰ* libri ‖ **11** *ὑπερείδει* S A *ἐπερείδει* M ‖ **12** *πάθη ⟨πάντ'⟩ ἀληθῆ* ci. Piccolos ‖ **13** *παρόντα* Tr. ‖ **16** *πηρῶσιν* S M A: corr. Wyttenbach ‖ **17** *ἐθέλουσι* A ‖ **18** *τοῦ* S M: *τὸ* A ‖ **20** Euripidis Antigonae adsignatur versus huius ipsius capitis ecloga 34. Eur. fr. 161 N.[2] | *ἤρων* sed *-ων* in ras. M[1] ut videtur | *τοῦ* A[1] *τὸ* supra lin. A[2] | *ἔρως* S M *πάθος* A ‖ **22** ecl. cum lemm. hab. S M A ‖ **25** *μαλακὸς* S M A: tacite corr. Gesn.[1] f. 377 v

σχεδὸν οἷον ἐντήκων ἑαυτόν· ἁψάμενός τε τῆς ψυχῆς παραμένει πολὺν χρόνον, οὐδ' ἐν γηρῶσιν ἐνίοις ἀναπαυόμενος ἀλλὰ ἐν πολιαῖς ἀκμάζων ἔτι πρόσφατος καὶ νεαρός. ἂν δὲ καὶ λήξῃ καὶ διαλυθῇ χρόνῳ μαρανθεὶς ἢ λόγῳ τινὶ κατασβεσθείς, οὔπω παντάπασιν ἐξαπήλλακται τῆς ψυχῆς, ἀλλ' ἐναπολείπει πυρίκαυτον ὕλην καὶ σημεῖα θερμὰ καθάπερ οἱ κεραυνοὶ τυφόμενοι. λύπης μὲν γὰρ οὐδὲν ἀπαλλαγείσης ἴχνος ἐν τῇ ψυχῇ παραμένει συνοικοῦν οὐδ' ὀργῆς τραχείας πεσούσης, συστέλλεται δὲ καὶ φλεγμονὴ ἐπιθυμίας παρεχούσης τραχὺ κίνημα· τὰ δὲ ἐρωτικὰ δήγματα, κἂν ἀποστῇ τὸ θηρίον, οὐκ ἐξανίησι τὸν ἰόν, ἀλλὰ ἐνοιδεῖ τὰ ἐντὸς σπαράγματα, καὶ ἀγνοεῖται τί ἦν, πῶς συνέστη, πόθεν εἰς τὴν ψυχὴν ἐνέπεσεν.

70 (33 Mein.) *Σωστράτου ἐν β' Κυνηγετικῶν* (cf. Plut. Parall. p. 310 B).

Κυάνιππος τῷ γένει Θεσσαλὸς γήμας Λευκώνην τὰ πολλὰ διὰ φιλοκύνηγον ἐνέργειαν ἐν ὕλαις διέτριβεν. ἡ δὲ νεόνυμφος ὑπολαμβάνουσα συνήθειαν αὐτὸν ἔχειν μεθ' ἑτέρας γυναικὸς κατ' ἴχνος ἠκολούθησε τῷ προειρημένῳ καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ τὸ μέλλον ἀπεκαραδόκει. τῶν δὲ πέριξ κλάδων αἰφνιδίως σεισθέντων, οἱ στιβευταὶ κύνες . . . . . δόξαντες καὶ αὐτὴν ἀλόγου ζῴου δίκην

---

1 *ἐκτήκων* Tr. ‖ 2 *οὐδὲν* A¹ | *ἐνέοις* ut videtur M ‖ 4 *μαρανθὴς* A¹ ‖ 5 *κατασβεσθεὶς* S M *κατασκευασθεὶς* A sed super scr. *επασθεὶς* A² idque recte *κατεπασθεὶς* interpretatur Mekler | *οὔτω* Tr. | *ἐξ* in verbo *ἐξαπήλλ.* postmodo inseruit S¹ ‖ 6 *πυρίκαυστον* Tr. ‖ 8 *σύνοικον* libri: *συνοικοῦν* nescio quis ‖ 9 *συστέλλεται* Piccolos: *στέλλεται* libri ‖ 10 *ἐρ. δήγματα*] cf. Soph. fr. 757 N.² ‖ 11 *ἐνοιδεῖ* A²: *ἐνιδροῖ* S M A ‖ 12 *ἀγνοεῖ* A ‖ 14 ecl. cum lemm. hab. S M A. cf. Parthenius *Ἐρωτ. παθ.* X p. 21, 8 ss. ed. Sakolowski ‖ 16 *Θετταλὸς ἐπὶ θήραν συνεχῶς ἐξῄει· ἡ δὲ νεόνυμφος αὐτοῦ ὑπολαβοῦσα διὰ τὸ πολλάκις ἐν ὕλαις μένειν συνήθειαν ἔχειν μεθ' ἑτέρας, κατ' ἴχνος ἠκολούθησε τῷ Κυανίππῳ· καὶ ἔν τινι κτέ.* Plut. ‖ 19 *τῷ προειρημένῳ* M A *τούτῳ* S cf. p. 472, 17 ‖ 21 *πέριξ* et *αἰφνιδίως* et *στιβευταὶ* om. Plut. | *οἱ κύνες θηρίον εἶναι δόξαντες ὥρμησαν καὶ τὴν φίλανδρον ἀλόγου δίκην ζῴου διεσπάραξαν* Plut., unde *κύνες θηρίον εἶναι* (vel *κ. θηρίον*) *δόξαντες* reponi volunt in Stobaeo Gaisford et Meineke. indicavi lacunam

διεσπάραξαν. τῆς δὲ πράξεως αὐτόπτης γενόμενος Κυάνιππος ἑαυτὸν ἐπικατέσφαξεν.

71 (34 Mein.) *Ἐκ τῶν Θεοδώρου Μεταμορφώσεων* (Plut. Parall. p. 310 F—311 A).

Σμύρνα Κινύρου θυγάτηρ εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ γεννήσαντος τῇ τροφῷ τὴν ἀνάγκην ἐδήλωσεν· ἡ δὲ δόλῳ τὸν δεσπότην ἐνήδρευσεν, εἶπε γὰρ ἐρᾶν τινὰ αὐτοῦ γείτονα παρθένον. ἀσεβῶς οὖν κατ᾽ ἄγνοιαν ἀναστρεφόμενος καὶ γνοὺς ὕστερον ξιφήρης τὴν ἀσελγεστάτην ἐπεδίωκεν· ἡ δὲ περικατάληπτος γινομένη κατὰ πρόνοιαν Ἀφροδίτης εἰς ὁμώνυμον δένδρον μετεμορφώθη.

72 (35 Mein.) *Σωστράτου ἐν δευτέρῳ Τυρρηνικῶν* (Plut. Parall. p. 312 C).

Αἴολος τῶν κατὰ Τυρρηνίαν βασιλεὺς τόπων ἔσχεν ἐξ Ἀμφιθέας θυγατέρας ἓξ καὶ τὸν αὐτὸν ἀριθμὸν ἀρρένων παίδων, ὧν ὁ πρεσβύτατος Μακαρεὺς Κανάκης τῆς ἀδελφῆς ἐρασθεὶς ἐβιάσατο τὴν προειρημένην. Αἴολος

---

1 *τῆς δὲ πρ.*] *ὁ δὲ Κυάνιππος τῆς ἀνελπίστου πράξεως αὐτόπτης γενόμενος ἑαυτὸν ἀπέσφαξεν· ὡς Παρθένιος ὁ ποιητής* Plut. ‖ 2 *ἐπικατέσφαξιν* M A *ἰκατέσφαξεν* S ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 5 *Σμύρνα Κινύρου θυγάτηρ διὰ μῆνιν Ἀφροδίτης ἠράσθη τοῦ γεννήσαντος καὶ τῇ τροφῷ* Plut. ‖ 6 *τὴν ἀνάγκην τοῦ ἔρωτος ἐδ.* Plut. malim in Stob. *τῇ τροφῷ ⟨τοῦ ἔρωτος⟩ τὴν ἀν.* ‖ 7 *ἡ δὲ δόλῳ ὑπῆγε τὸν δεσπότην· ἔφη γὰρ γείτονα παρθένον ἐρᾶν αὐτοῦ καὶ αἰσχύνεσθαι ἐν φανερῷ προσιέναι. ὁ δὲ συνήει. ποτὲ δὲ θελήσας τὴν ἐρῶσαν μαθεῖν φῶς ᾔτησεν, ἰδὼν δὲ ξιφήρης* Plut. | *ἐνήδρευσεν* S M A *ἐνύδρευσαν* Tr. ‖ 10 *ἐδίωκεν* Plut. | *ἡ δὲ κατὰ πρόνοιαν Ἀφροδίτης εἰς ὁμώνυμον δένδρον μετεμορφώθη· καθὰ Θεόδωρος ἐν ταῖς Μεταμορφώσεσιν* Plut. | *περικατάληπτος γινομένη* S M A *περὶ κατάνην προσγινομένη* Tr. ‖ 12 ecl. cum lemm. hab. M A, om. S; *ἐν β̄ τυραννικῶν* M A sed *τυρρηνικῶν* ex *τυραννικῶν* corr. A[1]. cf. quae composuit Nauck ad Aeolum Eurip. illustrandam Tr. Gr. fr.[2] p. 365 s. ‖ 14 *τόπων* ignorat Plut. ‖ 15 *καὶ τὸν αὐτὸν — παίδων*] *καὶ ἴσους ἄρρενας* Plut., ubi etiam proxime valde discrepant, pergitur enim ita *Μακαρεὺς δὲ ὁ νεώτατος ἔρωτι ἔφθειρε μίαν, ἡ δὲ παιδίον ἐκύησεν. ἐμπεσοῦσα δὲ καὶ ξίφους πεμφθέντος ὑπὸ τοῦ πατρός, ἄνομον* (? cf. Mueller H G F. IV p. 504) *κρίνασα ἑαυτὴν διεχρήσατο· ὁμοίως δὲ καὶ ὁ Μακαρεύς· ὡς Σώστρατος ἐν δευτέρᾳ Τυρρηνικῶν* ‖ 16 *ὧν* A *ὢν* M ‖ 17 *ἐρασθεὶς*] per *ἐρασθεὶς* in

δὲ περὶ τούτων μαθὼν τῇ θυγατρὶ ξίφος ἔπεμψεν· ἡ δὲ ὡς νόμον δεξαμένη τὸν σίδηρον αὑτὴν ἀνεῖλε. Μακαρεὺς δὲ τὸν γεννήσαντα προεξιλεωσάμενος ἔδραμεν εἰς τὸν θάλαμον· εὑρὼν δὲ τὴν ἀγαπωμένην αἱμορραγοῦσαν τῷ αὐτῷ ξίφει τὸν βίον περιέγραψε.

73 (36 Mein.) *Κλειτάρχου ἐν ε' περὶ Ἀλεξάνδρου* (Script. Al. M. p. 76 Muell.).

Θεασ. βύβλϊος οὗπερ κάλλει τὴν ἀνθρωπίνην διενεγκόντος φύσιν τὴν ἰδίαν ἐρασθῆναι θυγατέρα Μύρραν ὀνόματι . . . .

74 (37 Mein.) *Ἀριστοκλέους ἐν β' Παραδόξων* (cf. Plut. Parall. p. 312 E).

⟨Ἀριστώνυμος⟩ Ἐφέσιος τῷ γένει νεανίας τῶν ἐπισήμων, υἱὸς Δημοστράτου, ταῖς δ' ἀληθείαις Ἄρεως· οὗτος τὸ θῆλυ μισῶν γένος νυκτὸς βαθείας εἰς τὰς πατρῴας ἔτρεχεν ἀγέλας καὶ ὄνῳ συνεγένετο θηλείᾳ. ἡ δὲ ἔγκυος γενομένη ἔτεκε κόρην εὐειδεστάτην Ὀνοσκελίαν τοὔνομα, τὴν προσηγορίαν λαβοῦσαν ἀπὸ τοῦ συμπτώματος.

M desinit f. 164ᵛ, incipit f. 165ᵛ a verbis *μὴ τῷ χαριζομένῳ* eclogae 41 Mein. totum folium igitur transiluit qui exaravit codicem M

6 ecl. cum lemm. hab. A, om. SM. *κλειτάρχ* ο(υ) A, non *κλείταρχος* ut dedit Gaisford ‖ 8 *Θεασ. βύβλϊ* ος in A agnovit Mekler. in marg. m. rec. lemma *θέας*. legendum videtur Gaisfordo *Θείας . . Βύβλον* sim. coll. schol. Lycophr. 829 (p. 265 Scheer), *Θείαντος Βυβλίου* Muellero, cf. Apollod. bibl. III 183 p. 159 W. | *ὑπερενεγκόντος* prop. Meineke ipse dubitans ‖ 11 ecl. cum lemm. hab. SA, om. M; *ἐν β'* S *ἐν ᾱ* non recte A, nam *ὡς Ἀριστοτέλης ἐν δευτέρᾳ παραδόξων* subscribit Plut. vid. Mueller HGF. IV p. 330. *Ἀριστοκλῆς* quod testatur Photius indic. p. 59 Elt. corruptum videtur Eltero ‖ 13 *⟨Ἀριστώνυμος⟩ Ἐφέσιος* Meineke cum Plutarcho. nam cum patris nomen commemorarit scriptor, ipsius iuvenis nomen non praeteriisse putandus erit. ita autem Plut.: *Ἀριστώνυμος Ἐφέσιος υἱὸς Δημοστράτου ἐμίσει γυναῖκας, ὄνῳ δ' ἐμίσγετο· ἡ δὲ κατὰ χρόνον ἔτεκε κόρην κτέ.* ‖ 14 *οὗτος* Iacobs lect. Stob. p. 107: *τοῦτο* SA ‖ 16 *συνεγίνετο* SA *συνεγένετο* Tr. | *ἔγκυος* S *ἔγγυος* A Tr. ‖ 17 *γινομένη* A | *ὀνοσκελίαν* SA (inde Apostol. cent. XIV 70 Arsen.

75 (38 Mein.) *Ζωπύρου ἐν γ' Θησεΐδος* (Plut. Parall. p. 314 A).

Θησεὺς Αἰγέως καὶ Αἴθρας παῖς, ταῖς δ' ἀληθείαις Ποσειδῶνος, ἔχων υἱὸν ἐξ Ἱππολύτης Ἀμαζόνος Ἱππόλυτον, ἐπέγημεν αὐτῷ μητρυιὰν Φαίδραν τὴν Μίνωος θυγατέρα καὶ Πασιφάης. αὕτη τοῦ προγόνου εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τὴν τροφὸν αὐτῷ περὶ συνόδων ἀπέστειλεν· ὁ δ' ὡς κατέλιπε τὰς Ἀθήνας κυνηγίαις προσευκαίρει· τῆς δὲ προαιρέσεως ἡ ἀσελγὴς ἀποτυχοῦσα ψευδεῖς κατὰ τοῦ σώφρονος ἐπιστολὰς ἐχάραξε, καὶ διὰ τὴν ὑπερβολὴν τῶν ἐρώτων βρόχῳ τὸν βίον περιέγραψε. Θησεὺς δὲ ἐκ Θηβῶν ὑποστρέψας καὶ τὰς διαβολὰς ἀνάγνους ἐκ τῶν τριῶν εὐχῶν ἃς εἶχε παρὰ Ποσειδῶνος μίαν εἰς τὸν υἱὸν ἐδαπάνησεν· ἐαριζομένου δὲ τοῦ Ἱππολύτου παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης ταῦρος ἐπιφανεὶς ἐπτοίησε τοὺς ἵππους, οἵτινες ἀνατρέψαντες τὸ ἅρμα καὶ σύροντες τὸν δεσπότην ἀπέκτειναν.

76 (39 Mein.) *Πλάτωνος ἐκ τοῦ Φαίδρου* (p. 233 A).

Καὶ μὲν δὴ βελτίονί σοι προσήκει γίγνεσθαι ἐμοὶ πειθομένῳ ἢ ἐραστῇ. ἐκεῖνοι μὲν γὰρ καὶ παρὰ τὸ βέλτιστον τά τε λεγόμενα καὶ τὰ πραττόμενα ἐπαινοῦσι, τὰ μὲν δεδιότες μὴ ἀπέχθωνται, τὰ δὲ καὶ αὐτοὶ χεῖρον διὰ τὴν ἐπιθυμίαν γιγνώσκοντες. τοιαῦτα γὰρ ὁ ἔρως ἐπι-

---

viol. p. 385 W.). *Ὀνόσκελιν* Plut. *Ὀνοσκελίδα* Meineke | *τὴν προσηγ. — συμπιώματος* om. Plut.

1 ecl. cum lemm. hab. A, om. SM. *Ζώπυρος* hoc ipso loco testatur pinacogr. Photii p. 60 Elt. cf. Kalkmann de Hippol. Eur. p. 52 ss. ‖ 3 *Αἰγέως — παῖς* om. Plut. | *δ'* om. Plut. ‖ 4 *ἔχων δ' ἐξ Ἱππ.* Plut. ‖ 5 *αὐτῷ* om. Plut. ‖ 6 *θυγατέρα καὶ Πασιφάης* om. Plut. | *αὕτη*] *ἥτις* Plut. ‖ 7 *τὴν τροφὸν ἔπεμψεν· ὁ δὲ καταλείψας Ἀθήνας καὶ εἰς Τροιζῆνα παραγενόμενος κυνηγεσίαις προσανέκειτο* Plut. ‖ 10 *καὶ βρόχῳ τὸ ζῆν ἀνήρτησε. Θησεὺς δὲ πιστεύσας ᾐτήσατο παρὰ Ποσειδῶνος ἀπολέσθαι τὸν Ἱππόλυτον, ἐκ τῶν τριῶν εὐχῶν ἃς εἶχε παρ' αὐτοῦ· ὁ δὲ παρ' αἰγιαλὸν ἐπὶ ἅρματος τυχόντι ταῦρον ἔπεμψε καὶ ἐπτόησε τοὺς ἵππους, οἳ συνέτριψαν τὸν Ἱππόλυτον* ‖ 16 *ἐποίησε* A[1]. fuit igitur *ἐπτοίησε*, non *ἐπτόησε* ‖ 18 ecl. cum lemm. hab. SA, om. M ‖ 19 *γίνεσθαι* S *γίγνεσθαι* A *γενέσθαι* Plat. idque dederim etiam Stobaeo ‖ 23 *γινώσκοντες* A

δείκνυται· δυστυχοῦντας μέν, ἃ μὴ λύπην τοῖς ἄλλοις παρέχει, ἀνιαρὰ ποιεῖ νομίζειν· εὐτυχοῦντας δὲ καὶ τὰ μὴ ἡδονῆς ἄξια παρ᾽ ἐκείνων ἐπαίνων ἀναγκάζει τυγχάνειν· ὥστε πολὺ μᾶλλον ἐλεεῖν τοῖς ἐρωμένοις ἢ ζηλοῦν αὐτοὺς προσήκει.

77 (40. 41 Mein.) Ἐν ταὐτῷ (p. 237 A. 237 D—238 C).

Ἄγετε δή, Μοῦσαι, εἴτε δι᾽ ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ λιγὺ ὂν ταύτην ἔσχετ᾽ ἐπωνυμίαν, ξύμ μοι λάβεσθε τοῦ μύθου, ὅν με ἀναγκάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν . . . . ὅτι μὲν οὖν δὴ ἐπιθυμία τις ὁ ἔρως, ἅπαντι δῆλον· ὅτι δ᾽ αὖ καὶ μὴ ἐρῶντες ἐπιθυμοῦσι τῶν καλῶν, ἴσμεν. τῷ δὴ τὸν ἐρῶντά τε καὶ μὴ κρινοῦμεν;

---

2 ποιεῖν S ‖ 3 ἐπαίνου Plat. ‖ 4 πολὺ supra lin. A[1] | τοῖς ἐρωμένοις S A ut Platonis libri meliores: τοὺς ἐρωμένους Tr., sicut pr. m. Platonis cod. Ven. 184 ‖ 6 ecl. cum lemm. hab. S A, om. M. v. ἄγετε δὴ ὦ Μοῦσαι λίγειαι affert Hermogenes Περὶ ἰδεῶν vol. II p. 364 Speng. ἄγετε δὴ Μοῦσαι λίγειαι, εἴτε δι᾽ ᾠδῆς εἶδος μουσικόν, εἴτε διὰ γένος τὸ Λιγύων ταύτην ἐπέσχετε τὴν ἐπωνυμίαν Platonis n. commemorato Menander Περὶ ἐπιδεικτικῶν vol. III p. 335 Speng. ἄγετε — μύθου Dionysius Hal. VI p. 969 R. (V 1 p. 140, 8 Vs. et Rad.) epist. ad Cn. Pompeium VI p. 763 Reisk. (p. 21 Krueg.), Heraclitus alleg. Hom. LXXIV p. 149 Mehl. ‖ 7 ὦ ante Μοῦσαι tacite e Plat. indidit Gesn.[1], om. S A | λίγειαι S λιγεῖαι A ubi in marg.
λίγειαι
m. rec. λίγυος ‖ 8 γένος μουσικὸν τὸ λιγὺ ὂν S A γένος μουσικὸν τὸ λιγύων libri Platonis γένος το Λιγύων μουσικόν Dionysius γένος τι μουσικὸν Heraclitus | ἔσχετ᾽ (ἔχετ᾽ Tr.) S A, libri Plat., ἔσχετε τὴν Dionysius, Heraclitus ‖ 9 λάβεσθε (sine acc. Tr.), libri Plat.: λαβέσθαι S A ‖ 10 post λέγειν indicavi lacunam. nam desiderari mythum modo promissum merito monuit Gesn.[1] mrg. v. ὅτι μὲν κτἑ. coniunxi cum prioribus sic ut leguntur in S, neque lemma additur in A: non recte quasi novam eclogam constituit Gesn.[1], inde vulg. cohaesisse autem haec putanda sunt in gnomologio cum antecedentibus, sive additus erat mythus sive non additus. si non additus erat, verba ὅτι μὲν οὖν κτἑ. vel ideo eiusdem eclogae sunt atque praegressa, quia mytho detracto in prioribus de amore omnino nihil legeretur; si autem additus erat, eo minus erat cur ea quae apud Platonem coniuncta offerebantur dirimeret gnomologus | ὁ om. A ‖ 11 ἁπαντῇ A | καὶ οἱ μὴ ἐρ. prop. Madvig Adv. I p. 398 ‖ 12 τῷ compend. inseruit S[1] γε Tr.

δεῖ αὖ νοῆσαι, ὅτι ἡμῶν ἐν ἑκάστῳ δύο τινε ἐστὸν ἰδέα ἄρχοντε καὶ ἄγοντε, οἷν ἑπόμεθα ᾗ ἂν ἄγητον, ἡ μὲν ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν, ἄλλη δὲ ἐπίκτητος δόξα, ἐφιεμένη τοῦ ἀρίστου. τούτω δὲ ἐν ἡμῖν τοτὲ μὲν ὁμονοεῖτον, ἔστι δὲ ὅτε στασιάζετον· καὶ τοτὲ μὲν ἡ ἑτέρα, ἄλλοτε δὲ ἡ ἑτέρα κρατεῖ. δόξης μὲν οὖν ἐπὶ τὸ ἄριστον λόγῳ ἀγούσης καὶ κρατούσης τῷ κράτει σωφροσύνη ὄνομα· ἐπιθυμίας δὲ ἀλόγως ἑλκούσης ἐπὶ ἡδονὰς καὶ ἀρξάσης ἐν ἡμῖν τῇ ἀρχῇ ὕβρις ἐπωνομάσθη. ὕβρις δὲ δὴ πολυώνυμον· πολυμελὲς γὰρ καὶ πολυειδές· καὶ τούτων τῶν ἰδεῶν ἐκπρεπὴς ἣ ἂν τύχῃ γενομένη, τὴν αὑτῆς ἐπωνυμίαν ἐπονομαζόμενον τὸν ἔχοντα παρέχεται, οὔτε τινὰ καλὴν οὔτε ἐπαξίαν κεκλῆσθαι. περὶ μὲν γὰρ ἐδωδὴν κρατοῦσα τοῦ λόγου τε τοῦ ἀρίστου καὶ τῶν ἄλλων ἐπιθυμιῶν ἐπιθυμία γαστριμαργία τε καὶ τὸν ἔχοντα ταὐτὸν τοῦτο κεκλημένον παρέξεται· περὶ δ' αὖ μέθας τυραννεύσασα, τὸν κεκτημένον ταύτῃ ἄγουσα, δῆλον οὗ τεύξεται προσρήματος· καὶ τἄλλα δὴ τὰ τούτων ἀδελφὰ καὶ ἀδελφῶν ἐπιθυμιῶν ὀνόματα τῆς ἀεὶ δυναστευούσης, ὃ προσήκει καλεῖσθαι, πρόδηλον. ἧς δ' ἕνεκα πάντα ⟨τὰ⟩ πρόσθεν εἴρηται, σχεδὸν μὲν ἤδη φανερόν· λεχθὲν δὲ ἢ μὴ λεχθὲν πάντως σαφέστερον, ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τὸ ὀρθὸν ὁρμώσης κρατήσασα

---

1 *δεῖ αὖ* S A, libri Platonis; *δεῖ δὴ* scr. Schanz | *ἐν ἑκάστῳ* tacite e Plat. Gesn.[1]: *ἕνεκα τῶ* S *ἕνεκα τῷ* A Tr. | *τινες* A | *ἰδέα* Plat.: *ειδέα* sine spir. S *εἰδέα* Tr. *ἕνεκα τῷ ἰδέαι* (non deest *ἐστὸν*) A ‖ 2 *ἂν ἄγητον* A Tr., Plat.: *ἀνάγητον* S ‖ 4 *ἀρίστου* etiam A (non *καλοῦ ἀρίστου* ut adnotavit Gaisford) ‖ 5 *τοτὲ* S A *τότε* Tr., libri Plat. *πότε* oscitanter Gesn.[1], inde *ποτὲ* Gaisford et Meineke ‖ 8 *ἐπιθυμίαι* Tr. ‖ 10 *ἰδεῶν* A, Platonis T *ἰδέων* Platonis B *ἡδεῶν* S *ἡδέων* Tr. ‖ 11 *ἐκπρεπης* (sine acc.) *ἧ* S | *αὑτῆς* Plat.: *αὐτῆς* libri Stob., *αυτῆς* sine spir. Plat. B | *ὀνομαζόμενον* Plat. ‖ 13 *κεκτῆσθαι* Platonis B | *ἐδοδὴν* (ω superscr.) A, corr. A[1] ‖ 14 *λόγου τε* (*τὲ* Tr.) S, Platonis T: *λόγου* A, Platonis B; *τοῦ τε λόγου τοῦ* ci. Buttmann | *ἐπιθυμία* superscr. S[1] ‖ 16 *δ'* S A, Plat. *δὲ* Tr. | *ἐκτημένον* Schanz ‖ 19 *ὃ* S *ὁ* A *ᾗ* codd. Platonis ‖ 20 *τὰ* tacite e Plat. inseruit Gesn.[1], om. S A ‖ 21 *πάντως* S A, Plat. Ven. 189: *πᾶν πως* libri Plat. ‖ 22 v. *ἡ γαρ*

ἐπιθυμία πρὸς ἡδονὴν ἀχθεῖσα κάλλους, καὶ ⟨ὑπὸ⟩ αὖ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος ἐρρωμένως ῥωσθεῖσα νικήσασα ἀγωγὴ ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, ἔρως ἐκλήθη.

78 (42 Mein.: Ibid. p. 238 D — 240 C)

Εἶεν, ὦ φέριστε· ὃ μὲν δὴ τυγχάνει ὂν περὶ οὗ βουλευτέον, εἴρηταί τε καὶ ὥρισται, βλέποντες δὲ δὴ πρὸς αὐτὸ τὰ λοιπὰ λέγωμεν, τίς ὠφέλεια ἢ βλάβη ἀπό τε ἐρῶντος καὶ μὴ τῷ χαριζομένῳ ἐξ εἰκότος συμβήσεται. τῷ δὴ ὑπὸ ἐπιθυμίας ἀρχομένῳ δουλεύοντί τε ἡδονῇ ἀνάγκη που τὸν ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ παρασκευάζειν [κρείττοσι δέ]· νοσοῦντι δὲ πᾶν ἡδὺ ⟨τὸ⟩ μὴ ἀντιτεῖνον, κρεῖττον δὲ καὶ ἴσον ἐχθρόν. οὔτε δὴ κρείττω οὔτε ἰσούμενον ἑκὼν ἐραστὴς παιδικὰ ἀνέξεται, ἥττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπεργάζεται· ἥττων δὲ ἀμαθὴς σοφοῦ, δειλὸς ἀνδρείου, ἀδύνατος εἰπεῖν ῥητορικοῦ, βραδὺς ἀγχίνου. τοσούτων κακῶν καὶ ἔτι πλειόνων κατὰ τὴν διά-

---

κτἑ., affert Dionysius ad Cn. Pompeium VI p. 763 Reisk. (p. 22 Krueg.), de Demosth. VI p. 970 R. (V 1 p. 140, 14 Vs. et Rad.) omitto Hermiae discrepantias p. 86 Ast | *τὸ ὀρθὸν*] *τἀγαθὸν* altero loco Dionysius

1 *ἀχθεῖσα*] *ἄγουσα* altero loco Dionysius | *ὑπὸ* tacite e Plat. inseruit Gesn.[1], om. SA. *ὑπὸ αὖ* om. altero loco Dionysius ‖ 2 *ἑαυτῇ* Platonis B ‖ 3 *ἐρρωμένως* om. Tr. | *ἀγωγῇ* codd. Platonis ‖ 4 *ἐπωνυμίαν* S, libri Platonis, priore loco Dionysius, *τὴν ἐπωνυμίαν* A *ἐπιθυμίαν* altero loco Dionysius ‖ 5 ecl. habet lemmate non iterato SA, etiam M, ubi tamen initium eclogae lacuna illa absorptum est identidem significata. cum prioribus cohaeret in A Tr., puto etiam in S quamquam nihil adnotavit Mekler. seiunxit Gesn.[1], sed num recte, dubito ‖ 6 *βουλευταῖον* A ‖ 8 *ὠφελία* Platonis cod. T ‖ 9 inde a v. *μὴ τῷ χαριζομένῳ* rursus incipit M f. 165[v] | *ἐξ εἰκότος* MA, Plat.: *ἐξεικότως* S *ἐξηκότως* Tr. ‖ 10 *δὴ* SMA, Plat., *μὲν δὴ* tacite ex Platonis Ald. Gesn.[1] idque imposuit Gaisfordo et Meinekio ‖ 11 post *παρασκευάζειν* quod addunt *κρείττοισ δὲ* (*δὲ* in *δέ* corr. M) SMA *κρείττοσι δὲ* Tr. tacite seclusit Gesn.[1] Platonem secutus ‖ 12 *δὲ* (ante *πᾶν*) om. A | *τὸ* tacite ex Platone inseruit Gesn.[1] | *μὴ* om. Platonis B ‖ 13 *τὸ κρεῖττον* prop. Hirschig | *ἐχθρῶν* A, corr. A[1] ‖ 15 *ἀπεργάσεται* Stephanus | *ἥττων* SA, Plat., *ἥττων* ex *ἧττον* corr. M[1] *ἥττω* Tr. ‖ 16 *δηλὸσ* M

νοιαν ἐραστὴν ἐρωμένῳ ἀνάγκη γιγνομένων τε καὶ φύσει ἐνόντων† τῶν μὲν ἥδεσθαι, τὰ δὲ παρασκευάζειν, ἢ στέρεσθαι τοῦ παραυτίκα ἡδέος. φθονερὸν δὴ ἀνάγκη εἶναι, καὶ πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείργοντα καὶ ὠφελίμων, ὅθεν ἂν μάλιστ' ἀνὴρ γίγνοιτο, μεγάλης αἴτιον εἶναι βλάβης, μεγίστης δὲ τῆς ὅθεν ἂν φρονιμώτατος εἴη. τοῦτο δὲ ἡ θεία φιλοσοφία τυγχάνει ὄν, ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόρρωθεν εἴργειν, περίφοβον ὄντα τοῦ καταφρονηθῆναι· τά τε ἄλλα μηχανᾶσθαι, ὅπως ἂν ᾖ πάντα ἀγνοῶν καὶ πάντα ἀποβλέπων εἰς τὸν ἐραστήν, οἷος ὢν τῷ μὲν ἥδιστος, ἑαυτῷ δὲ βλαβερώτατος εἴη. τὰ μὲν οὖν κατὰ διάνοιαν ἐπίτροπός τε καὶ κοινωνὸς οὐδαμῇ λυσιτελὴς ἀνὴρ ἔχων ἔρωτα. Τὴν δὲ τοῦ σώματος ἕξιν τε καὶ θεραπείαν οἵαν τε καὶ ὡς θεραπεύσει οὗ ἂν γένηται κύριος, ὃς ἡδὺ πρὸ ἀγαθοῦ ἠνάγκασται διώκειν, δεῖ μετὰ ταῦτα ἰδεῖν. ὀφθήσεται δὲ μαλθακόν τινα καὶ οὐ στερεὸν διώκων, οὐδ' ἐν ἡλίῳ καθαρῷ τεθραμμένον ἀλλ' ὑπὸ συμμιγεῖ σκιᾷ, πόνων μὲν ἀνδρείων καὶ ἱδρώτων ξηρῶν ἄπειρον, ἔμπειρον δὲ ἁπαλῆς καὶ ἀνάνδρου διαίτης, ἀλλοτρίοις χρώμασι καὶ κόσμοις χήτει οἰκείων κοσμούμενον, ὅσα τε καὶ ἄλλα τούτοις ἕπεται πάντα ἐπιτηδεύοντα, ἃ δῆλα καὶ οὐκ ἄξιον περαιτέρω προβαίνειν, ἀλλ' ἓν κεφάλαιον ὁρισαμένους ἐπ' ἄλλο ἰέναι· τὸ γὰρ τοιοῦτον σῶμα ἐν πολέμῳ τε καὶ ἄλλαις χρείαις ὅσαι μεγάλαι οἱ μὲν ἐχ-

1 *ἐραστὴν*] *τοῦ ἐραστοῦ* e Platonis Ald. interpolavit Gesn.[1] ‖ 2 *ἐνόντων τῶν μὲν* S M A, Platonis cod. T *ἓν ὄντων τῶν μὲν* Platonis B *ἐνόντων μὲν* Nutzhorn ‖ 3 v. *φθονερὸν* — 8 *καταφρονηθῆναι* leguntur supra Stob. III 3, 47 H. (*Πλάτωνος*) ‖ 4 *ἀπείργονται* A ‖ 8 *τοῦ* S M, Stob. III, Plat.: *τῶ* A ‖ 10 *πάντ' ἀποβλέπων* S M ‖ 11 *τῷ ἑαυτῷ* Platonis B quod Platoni dedit Schanz | *βλαβερώτατος* S M, Plat.: *βλαβερώτερος* A Tr. | *ἂν εἴη* recte Platonis apogr. Vindob. 32 ‖ 15 *δεῖ* S, Plat. *δει* M *δ' εἰ* A ‖ 16 *με ταῦτα* M ut Platonis B | *δὴ* Hirschig ‖ 18 *ἀνδρεῖον* A | *ξηρῶν* om. A ‖ 19 cf. Plutarchus de adul. et amici discr. p. 51 D '*ἀλλοτρίοις χρώμασι καὶ σχήμασιν ἥ φησιν ὁ Πλάτων* '*χήτει οἰκείων κοσμούμενον*' ‖ 20 *χάτει* A[1] ‖ 21 *καὶ* om. Plat. ‖ 22 *ἀλλὰ* M | *ἐν κεφαλαίῳ* recte Platoni reddidit Ast

θροὶ θαρροῦσιν, οἱ δὲ φίλοι καὶ αὐτοὶ οἱ ἐρασταὶ φοβοῦνται. Τοῦτο μὲν οὖν, ὡς δῆλον, ἐατέον, τὸ δ' ἐφεξῆς ῥητέον, τίνα ἡμῖν ὠφέλειαν ἢ τίνα βλάβην περὶ τὴν κτῆσιν ἡ τοῦ ἐρῶντος ὁμιλία τε καὶ ἐπιτροπία παρέξεται. σαφὲς δὴ τοῦτό γε παντὶ μέν, μάλιστα δὲ τῷ ἐραστῇ, ὅτι τῶν φιλτάτων καὶ εὐνουστάτων καὶ θειοτάτων κτημάτων ὀρφανὸν πρὸ παντὸς εὔξαιτ' ἂν εἶναι τὸν ἐρώμενον. πατρὸς γὰρ καὶ μητρὸς καὶ ξυγγενῶν καὶ φίλων στέρεσθαι ἂν αὐτὸν δέξαιτο, διακωλυτὰς καὶ ἐπιτιμητὰς ἡγούμενος τῆς ἡδίστης πρὸς αὐτὸν ὁμιλίας. ἀλλὰ μὴν οὐσίαν γ' ἔχοντα χρυσοῦ ἢ τινος ἄλλης κτήσεως οὔτε εὐάλωτον ὁμοίως οὔτε ἁλόντα εὐμεταχείριστον ἡγήσεται. ἐξ ὧν πᾶσα ἀνάγκη ἐραστὴν παιδικοῖς φθονεῖν μὲν οὐσίαν κεκτημένοις, ἀπολλυμένης δὲ χαίρειν. ἔτι τοίνυν ἄγαμον, ἄπαιδα, ἄοικον ὅ τι πλεῖστον χρόνον παιδικὰ ἐραστὴς εὔξαιτ' ἂν γενέσθαι, τὸ αὑτοῦ γλυκὺ ὡς πλεῖστον χρόνον καρποῦσθαι ἐπιθυμῶν. ἔστι μὲν δὴ καὶ ἄλλα κακά, ἀλλά τις δαίμων ἔμιξε τοῖς πλείστοις ἐν τῷ παραυτίκα ἡδονήν, οἷον κόλακι, δεινῷ θηρίῳ καὶ βλάβῃ μεγάλῃ, ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον, καί τις ἑταίραν ὡς βλαβερὸν ψέξειεν ἄν, καὶ ἄλλα πολλὰ τῶν τοιουτοτρόπων θρεμμάτων τε καὶ ἐπιτηδευμάτων, οἷς τό γε καθ'

---

3 *ὠφελίαν* Platonis T Schanz | *ἤ τινα* Platonis codd. ‖ **4** *καὶ ἐπιτροπίᾳ* — 6 *ὅτι τῶν* om. A | *ἐπιτροπεία* (sine acc. Platonis B) libri Platonis ‖ **5** *τοῦτο δὲ* Platonis T ‖ **6** *φιλτάτων τε καὶ* Plat. | *κτημάτων*] *πραγμάτων* Tr. ‖ **7** *παντὸς* Plat.: *πάντων* S M A ‖ **8** *καὶ* ante *ξυγγ.* om. Platonis B | *ξυγγενῶν* M A, Plat.: *συγγενῶν* S ‖ **9** *διὰ κωλυτὰς* A ‖ **14** *ἐκτημένοις* Schanz in Plat. ‖ **15** *ἄπαιδα ἄοικον* S M A, Platonis T *ἄπαιδα οἶκον* Platonis B *ἄπαιδ' ἄοικον* Plat. B m. alt. | *ἐραστὴς εὔξ* in rasura scr. S[1] 'ante rasuram fuit ni fallor *καρποῦσθαι* ex proximis, *κ* et *ρ* dispicere mihi videor' Mekler | *εὔξετ'* M ‖ **16** *αὐτοῦ* ex emend. Platonis T: *αὐτοῦ* libri Stob., Platonis B ‖ **17** *ἔστι* — 18 *ἡδονήν* Theodoret. therapeut. p. 99, 9 Raed. ‖ **18** *ἐν* om. typotheta Lipsiensis Gaisfordi, unde idem error in editione Meinekii ‖ **19** v. *κόλακι* — 20 *οὐκ ἄμουσον* affert Athenaeus VI p. 254 D auctoris et dialogi nomine commemorato | *βλάβῃ μεγάλῃ* ex accus. corr. S[1] ‖ **22** *ἐπιτηδευμάτων* sed *ι* ex *η* corr. S[1]

ἡμέραν ἡδίστοισιν εἶναι ὑπάρχει· παιδικοῖς δὲ ἐραστὴς πρὸς τῷ βλαβερῷ καὶ εἰς τὸ συνημερεύειν πάντων ἀηδέστατον. ἥλικα γὰρ δὴ καὶ ὁ παλαιὸς ⟨λόγος⟩ τέρπειν τὸν ἥλικα· ἡ γὰρ οἶμαι χρόνου ἰσότης ἐπὶ ἴσας ἡδονὰς ἄγουσα δι' ὁμοιότητα φιλίαν παρέχεται· ἀλλ' ὅμως κόρον γε καὶ ἡ τούτων συνουσία ἔχει. καὶ μὴν τό γε ἀναγκαῖον αὖ βαρὺ παντὶ περὶ πᾶν λέγεται.

79 (43 Mein.: Ibid. p. 241 B—C)

Οὐκ ἄρα ἔδει ποτὲ ἐρῶντι καὶ ὑπ' ἀνάγκης ἀνοήτῳ χαρίζεσθαι, ἀλλὰ πολὺ μᾶλλον μὴ ἐρῶντι καὶ νοῦν ἔχοντι· εἰ δὲ μή, ἀναγκαῖον εἴη ἐνδοῦναι αὑτὸν ἀπίστῳ, δυσκόλῳ, φθονερῷ, ἀηδεῖ, βλαβερῷ μὲν πρὸς οὐσίαν, βλαβερῷ δὲ πρὸς τὴν τοῦ σώματος ἕξιν, πολὺ δὲ βλαβερωτάτῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν, ἧς οὔτε ἀνθρώποις οὔτε θεοῖς τῇ ἀληθείᾳ τιμιώτερον οὔτε ἔστιν οὔτε ποτὲ ἔσται. ταῦτά τε οὖν χρή, ὦ παῖ, ξυννοεῖν, καὶ εἰδέναι τὴν ἐραστοῦ φιλίαν ὅτι οὐ μετ' εὐνοίας γίγνεται, ἀλλὰ σιτίου τρόπον, χάριν πλησμονῆς.

---

1 *ἡδίστοισιν εἶναι* S sicut Platonis B *ἡδίστοις συνεῖναι* A *ἡδίστοις εἶναι* M Tr. sicut Platonis T ‖ 2 *τὸ βλαβερὸν* A, corr. A[1] ‖ 3 *ἥλικα γὰρ* — (5) *παρέχεται* Aristaenetus ep. I 18 p. 149 Herch. | *παλαιὸς* sed acc. gravem ex acuto corr. S[1] | *παλαιὸς λόγος* Plat. Arist.: *παλαιὸς* S M A | *τέρπειν* S M A, Platonis B et ex emend. T, Arist. *τέρπει* Platonis T. *ὁ παλαιὸς φησὶ λόγος τέρπειν* Stobaei cod. Paris. 1985 teste Gaisfordo, *ὁ παλαιὸς ⟨λέγει⟩ λόγος τέρπειν* prop. Cobet mnemos.[2] II p. 69 ‖ 6 *αὖ* (*αῦ* sine spir. M) S M, Plat. *εἶναι* A | *πᾶν λέγεται* M A, Plat. *πᾶν ἂν λέγεται* S ‖ 8 ecl. hab. lemmate non iterato S M A. excerptum cum priore cohaeret sine maiore distinctione in M A Tr., fortasse etiam in S, segregavit Gesn.[1] ‖ 11 *εἰν ενδοῦναι* (sic) M | *αὑτὸν* A Tr. *αὐτὸν* S M ut Platonis B *ἑαυτὸν* Platonis T | *δυσκόλῳ, φθονερῷ* in Platone delevit Spengel ‖ 14 *ἧς* S M, Plat. *οἷς* A | *ἧς οὐδὲν οὔτε* ci. Badham ‖ 16 *ξυννοεῖν* (*ξυνοεῖν* S M) ut Platonis T libri Stobaei, *συννοεῖν* Platonis B

CAPVT XXI. PARS PRIOR.

ΥΠΕΡ ΚΑΛΛΟΥΣ.

1 *Εὐριπίδου Αἰόλῳ* (fr. 15 N.²).

Ἴδοιμι δ᾽ αὐτῶν ἔκγον᾽ ἄρσεν᾽ ἀρσένων
πρῶτον μὲν εἶδος ἀξίους τυραννίδος·
πλείστη γὰρ ἀρετὴ τοῦθ᾽ ὑπάρχον ἐν βίῳ,
τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ᾽ ἔχειν.

2 *Μενάνδρου* (fr. 645 K.).

Ὅταν φύσει τὸ κάλλος ἐπικοσμῇ τρόπους
χρηστούς, διπλασίως ὁ προσιὼν ἁλίσκεται.

3 (4 Mein.) *Ἐκ τῶν Βίωνος Βουκολικῶν* (XI p. 143 Wil.).

Μορφὰ θηλυτέρῃσι πέλει καλόν, ἀνέρι δ᾽ ἀλκά.

4 (3 Mein.) *Ὁμήρου* (Il. II 671 ss.).

Νιρεὺς αὖ Σύμηθεν ἄγεν τρεῖς νῆας ἐίσας,

---

1 ss. *ὑπὲρ* (*πε͂ρὶ* ut videtur M in catalogo) *κάλλους* S M A Mac. Tr. *περὶ κάλλους* Photius in summario duas capitis partes una signans inscriptione generaliore. num. *νη´* adscripsit S *ξγ´* Tr. *μϛ´* M A Mac. ‖ **3** ecl. cum lemm. hab. S M A. versum 2 affert s. f. n. Athen. XIII p. 566 B, om. p. et f. n. afferunt alii vel respiciunt, quorum locos congessit Nauckii diligentia ‖ **4** *ἄρρεν᾽* (*ἄρρεν* M) *ἀρρένων* libri ‖ **5** *ἄξιον* Athen. alii ‖ **6** verba non integra: *πλείστης γὰρ ἀρετῆς* ci. Herwerden Exerc. cr. p. 31; *πίστις γὰρ* (vel *πλείστη γὰρ*) *ἀρετῆς* Gomperz *Nachl.* p. 17 ‖ **8** ecl. cum lemm. hab. S M A ‖ **9. 10** *τρόπον χρηστὸν* vel *τρόπους χρηστούς* ci. Meineke: *τροπὸς χρηστὸς* libri. pulcritudo commendatur titulo, non boni mores ‖ **10** *προσιδὼν* prop. Cobet mnemos.² II p. 111 ‖ **11** ecl. cum lemm. hab. S (post ecl. 3 Mein.) M A post ecl. 2 Mein.) ‖ **12** *θηλυτέραισι* Wilamowitz | *πελει* sine acc. S ‖ **13** ecl. cum lemm. hab. S (post ecl. 2 Mein.) M A (post ecl. 4 Mein. ‖ **14** ss. ter *νηρεὺς* S M | *αὖ σύμηθεν* S M ut etiam Hermogenes rhet. v. II p. 433 Speng. Macrob. Sat. V 15, 17, *αἰσύμηθεν* A sicut Greg.

Νιρεύς, Ἀγλαΐης υἱὸς Χαροποῖό τ' ἄνακτος,
Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν.

5 *Φιλήμονος Πυρφόρου* (fr. 72 K.).

Οὐκ ἔστιν οὔτε ζωγράφος, μὰ τοὺς θεούς,
οὔτ' ἀνδριαντοποι⟨ὸς⟩ ὅστις ἂν πλάσαι
κάλλος τοιοῦτον, οἷον ἡ ἀλήθει' ἔχει.
οὔτ' ἀνδριόντος γὰρ καλῶς πεπλασμένου
* * *
ἂν μὴ τὸν αἰσθησόμενον ἡ τέχνη λάβῃ.

6 *Ὁμήρου* (Od. XVII 36 s.).

Ἤϊεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια
Ἀρτέμιδι ἰκέλη ἠδὲ χρυσῇ Ἀφροδίτῃ.

7 *Μηνοφίλου Δαμασκηνοῦ Πλοκαμίδων.*

Εὐρώπην Λιβύην τε καὶ Ἀσίδα πᾶσαν ἀμείψας,
θαύμασα μυρία καλὰ πολυπλανίης ὑπὸ λυγρῆς,
ἀλλ' οὔπω τοιοῦτον ἴδον σέλας, οὐδ' ἐν Ὀλύμπῳ
αὐτοὺς ἀθανάτους ⟨περ⟩ ὀίομαι ἶσον ἰδέσθαι,
οἷον ἄελπτον ἄπιστον ἐμὸν νόον ἥρπασε φάσμα
καρτερόν, οὔ τι φατειόν· ὑπ' ἀμφασίῃ δ' ἀλεγεινῇ

Cor. VII p. 1189, *δ' Αἰσύμηθεν* Homeri cod. Vind., *Αἰσύμνηθεν* Thrypho rhet. vol. III p. 203 Speng.

1 quem prius omiserat versum suppl. A[1] ‖ 3 ecl. cum lemm. hab. S (post ecl. 4 Mein.) M A (post ecl. 3 Mein.) ‖ 4 *μὰ* S M *μετὰ* A ‖ 5 *οὔτε* S | *ἀνδριαντοποιόσ τις* S M A: corr. Grotius Dict. poet. p. 540 ‖ 6 *τοσοῦτον* A | *ἡ ἀλήθεια* S M. *ἀλήθει'* Meineke ‖ 7 s. a prioribus fortasse secernendos esse perspexit Kock. nova enim quaeque cum praegressa male cohaereat adfertur sententia. post *πεπλασμένου* versum intercidisse velut *οὔτ' ὄφελός ἐστ' οὐδ' εὖ γεγραμμένης γραφῆς* vidit Porson. *οὔτ' αὖ γραφῆς ὄνησις εὖ γεγραμμένης* temptabat Kock. possunt alia cogitari, velut *οὔτ' αὖ γραφῆς λόγος τις* (vel *ἔπαινος*) *εὖ γεγραμμένης* ‖ 9 ecl. cum lemm. hab. M A, om. S ‖ 10 *ἢ δ' ἴεν ἐκ* vel *βῆ δ' ἰέναι* libri Homeri *ἤιε δ' ἐν μεγάροισι* Cocondrius rhet. vol. III p. 241 Speng. | *πηνελωπεια* M ‖ 11 *ικέλη* sine spir. M *ἱκέλη* ut videtur A | inter *ἠὲ* et *ἠδὲ* fluctuantur libri Hom. *ἠὲ* Cocondr. ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 14 *πολυπλάνης* S *πολὺ πλάνησ* M A: corr. Gesn.[1] | *ἐπὶ* prop. Meineke dubitans ‖ 16 *περ* addidit Gesn.[1], om. S M A | *οἴωμαι* M ‖ 18 *φατειὸν* A *φάτιον* S M | *ἀφασίῃ* Tr.

θυμὸς ἄδην πεπότητο, λύθεν δέ μοι ἅψεα πάντα
ἐκ κεφαλῆς εἰς ἴχνος, ἀπώλετο δ' Ἑλλὰς ἅπασα
ἐκ στηθέων, καὶ πάντα χαμαὶ πέσεν, ὅσσα περ ἔτλην
ὑγρῇ τε τραφερῇ τε κυλινδόμενος περὶ νόστον.
τόσσον γὰρ περὶ θυμὸν ἀπείριτον ἵκετο θάμβος.

* * *

μέλψαι δὲ μνήσειας ἀειθαλέας πλοκαμῖδας,
οἵαις κυδιόωσαν ἀπ' ὀλβίστων σε λοετρῶν
φαιδρὴν εἶδον ἅπασαν ἐειδομένην Χαρίτεσσιν
ἐρχομέναις πρὸς Ὄλυμπον Ἀκιδαλίης ἀπὸ πηγῆς.

8 *Φαβωρίνου* (fr. 84 p. 137 Marr.).

Ἱκανὸν μὲν οὖν ἴσως καὶ τὸ τῆς ὄψεως· ἂν δὲ ὁ καλὸς καὶ αἱμύλος ᾖ καὶ λεκτικός, . . . λέγε, ὦ νεανίσκε· λέγε Ἀντίλοχε· γλυκερώτερον Νέστορος ἐρεῖς· λέγε Τηλέμαχε· σφοδρότερον Ὀδυσσέως ἐρεῖς· λέγε Ἀλκιβιάδη· κἂν μεθύῃς, ἀκουσόμεθα τοῦ μεθύοντος ἡδέως. τοιοῦτόν ἐστι τὸ καλὸν εἶναι· εὐφραίνει μὲν βλεπόμενος, εὐφραίνει δὲ ἀκουόμενος. εἰ δέ τῳ κατὰ Πλάτωνα τὸ θάρρος ἦν, εἶπον ἂν ὅτι καὶ πάσας τὰς αἰσθήσεις ὁ καλὸς εὐφραίνει, καὶ οὐκ ἂν ἔδεισα τὴν εὐωχίαν τὴν τῶν καλῶν. τί γὰρ ἄλλο ποιοῦσιν οἱ τῷ στόματι ψαύοντες; συνάπτουσι

---

1 *ἄδην* frustra attrectasse Porsonum et Bergkium monuit Meineke anal. Alex. p. 114 coll. Quinto Smyrn. XIII 33 ‖ 2 *ἐς* (*ει* suprascr.) S, corr. S[1] | *ἑλλὰς ἅπασα* A: *ελασαπασα* sic S *ἐλάσσα πᾶσα* M *ἔλασα πᾶσα* Tr. | *ὅσσα* M A Tr. *ὅσα* S ‖ 4 *τραφερῇ κυλινδόμενον* Tr. ‖ 5 *ἀπείριτον* A *ἀπείρητον* S M *-ατον* Tr. | post *θάμβος* lacunam signavit Meineke cui, si verum sit *μνήσειας*, versibus perditis Musa videtur invocata esse ‖ 6 *μνήσειας* (sine acc. S) S Tr. *μνῆσ ἴασ* M *μνησίας* A | *πλοκαμίδας* S M ‖ 7 *οἵαις* prop. Gaisford: *οἵαν* S M A *οἷα* Tr. | *σε*] *τε* dubitans ci. Meineke ‖ 9 *ἀκηδαλίης* S M A: corr. Gesn.[1] ‖ 10 ecl. cum lemm. hab. S M A; *φαβορ-* M *φαβουρ-* A ‖ 11 *οὖν* om. S | *ἄν γε* pro *ἂν δὲ* prop. Halm lect. Stob. p. 28, quod ne non sufficiat veretur Marres, cui post *διαλεκτικός*, ut olim Gesnero, aliquid intercidisse videtur, velut *τότε δὴ μάλιστα εὐφραίνει.* expecto fere *τίς ἐρασμιώτερος;* sim. ‖ 12 *ὁ καλλὸς* M | *λεκτικός* S *διαλεκτικός* MA ‖ 14 *ὀδυσέως* S ‖ 15 *σοῦ μεθύοντος* mavult Marres ‖ 17 *τὸ κάλλος* prop. Marres ‖ 20 *τί γὰρ ἄλλο* [*ποιοῦσιν*] *οἱ τῷ στόματι ψαύοντες* ⟨*ἢ*⟩ *συνάπτουσι τας ψυχάς;* prop. Meineke | *τὸ στόματι* M

τὰς ψυχάς. εἰ γὰρ θέμις ἦν τὸ σῶμα ὑπερβῆναι — νῦν δὲ ἐοίκασιν περὶ τὸ στόμα λιπαρεῖν ὡς περὶ θύρας.

9 *Ἐκ τοῦ Μελαγκόμα* (Dionis or. XXIX vol. II p. 287, 19 Arn.).

Ἐγὼ οὖν πρῶτον αὐτὸν εὐδαιμονίζω τοῦ κάλλους, ὃ δὴ τῶν ἀνθρωπίνων ἐστὶν ἀγαθῶν ἀριδηλότατον μὲν καὶ ἥδιστον θεοῖς, ἥδιστον δὲ ἀνθρώποις, ἀλυπότατον δὲ τῷ ἔχοντι καὶ ἐπιγνωσθῆναι ἄριστον. τὰ μὲν γὰρ ἄλλα ἀγαθὰ κἂν λάθοι προσόντα, καὶ ἀνδρεία καὶ φρόνησις, εἰ μὴ τύχοι ἔργου τινὸς ἀποδεικνύντος· τὸ δὲ κάλλος οὐχ οἷόν τε λαθεῖν, ἅμα γὰρ τῷ ἔχοντι φαίνεται· εἴποι δ' ἄν τις ὅτι καὶ πρότερον· οὕτως ὀξεῖαν αἴσθησιν ἑαυτοῦ παρέχει. ἔτι δὲ τοῖς μὲν ⟨ἄλλοις⟩ ἀγαθοῖς οἱ πλεῖστοι φθονοῦσι καὶ δυσμενεῖς γίγνονται, τὸ δὲ κάλλος τοὺς αἰσθανομένους ἑαυτοῦ φίλους ποιεῖται καὶ οὐδένα ἐχθρὸν ἐᾷ γίγνεσθαι.

10 *Ἀγησιλάου.*

---

1 *ἦν* (quod praebet Stob. ed. Genev. p. 407) supra lin. A²: *ων* SM sed supra *ω* addito signo puncti vel spiritus simili S *ὦν* A *ὤν* Tr. | *σῶμα* (ante *ὑπερβῆναι*) in *στόμα* corr. A² idque comprobarunt Halm et Marres ‖ 2 *τὸ στόμα* Huschke ad Tibull. vol. I p. 129: *τὸ σῶμα* SMA | *θύρας* libri sed ex em. A¹ ut videtur, *θήρας* Tr. ‖ 3 ecl. cum lemm. hab. SMA. *Ἐκ τοῦ μελαγκομίου* Tr. ⟨*Δίωνος*⟩ *ἐκ τοῦ Μελαγκόμα* suppleri vult Vsener in Fleckeiseni annal. a. 1889 p. 390, recte fortasse, quamquam potest Dionis altera ecloga praecessisse, ut cogitandum potius sit auctoris nomen in proxima ‖ 5 *πρῶτον εὐδ. τοῦ κάλλους αὐτόν* Dio ‖ 6 *ἀριδηλότατον, καὶ ἥδιστον μὲν θεοῖς* Dio ‖ 7 *ἀλυπώτατον* S ‖ 8 *ῥᾷστον* Dio: *ἄριστον* SMA ‖ 9 *λάθοι* SM, Dio: *λάθῃ* A | *λάθοι τινὶ προσόντα* Dio | *ἀνδρία* A | *καὶ ἀνδρεία ⟨καὶ σωφροσύνη⟩ καὶ φρόνησις* recte L. Dindorf ‖ 11 *λανθάνειν* Dio ‖ 12 *ὅμως* pro *οὕτως* libri Dionis | *αὐτοῦ* Dio ‖ 13 *ἄλλοις* inserui e Dione ‖ 14 *γίγνονται* Dio: *γίνεσθαι* SMA ‖ 15 *αὐτοῦ* Dio | *γίνεσθαι* S ‖ 16 ecl. sine lemm. hab. S, addito lemmate MA. Charillo datur in Ps.-Plutarchi reg. et imp. apophth. p. 189 F *Πρὸς δὲ τὸν πυθόμενον διὰ τί κομῶσιν εἶπεν ὅτι 'τῶν κόσμων ἀδαπανώτατος οὗτός ἐστι'*, simile apophthegma Nicandro in Ps.-Plut. apophth. Lacon. p. 230 B. denique conferatur quod ex Plutarchi codice quodam Matritensi adfert Wyttenbach animadv. in Plut. apophth. Lac. p. 236 E

Ἀγησίλαος, πυθομένου τινὸς διὰ τί κομῶσιν, εἶπεν, ὅτι τῶν κόσμων ἀδαπανώτατός ἐστι.

11 *Ἀριστοτέλους.*

Ἀριστοτέλης ἔφη τὸ κάλλος πάσης ἐπιστολῆς συστατικώτερον εἶναι.

12 *Πλουτάρχου Ὑπὲρ κάλλους* (v. VII p. 136 Bernard.).

Τί γάρ; οὐ σύνθετος φύσις ἀνθρώπων ἐκ σώματος καὶ ψυχῆς; ἢ θάτερον ἀρκοῦν ἡμῖν; καὶ πῶς οἷόν τε; τὸ μὲν γὰρ οὐκ ἂν εἴη μὴ χρώμενον ψυχῇ, ψυχὴ δ' οὐκ ἂν εἴη μὴ ἔχουσα τὸ συνερεῖδον. τί οὖν; ὥσπερ ἐξ ἴσου κοσμεῖται ἑκάτερα τοῖς συγγενέσιν, ἡ μὲν δικαιοσύνῃ καὶ σωφροσύνῃ καὶ φρονήσει, τὸ δὲ ἰσχύι καὶ κάλλει καὶ ὑγείᾳ· καὶ πῶς οὐ θαυμαστὸν λέγειν τὰ τῆς ψυχῆς καλά, τὰ τοῦ σώματος ὑπερορῶντα;

13 *Ἐν ταὐτῷ* (v. VII p. 136 Bernard.).

Ἡ γοῦν τοῦ σώματος εὐμορφία ψυχῆς ἐστιν ἔργον σώματι χαριζομένης δόξαν εὐμορφίας. πεσέτω γοῦν θανάτῳ τὸ σῶμα, καὶ τῆς ψυχῆς μετῳκισμένης, οὐ στάσις, οὐ χρῶμα, οὐκ ὀφθαλμός, οὐ φωνή, οὐδὲν ἔτι καταλείπεται τῶν ἐρασμίων προδεδομένον ὑπὸ τῶν ἀρχαίων οἰκητόρων· ὥστε καὶ ⟨τὴν⟩ ψυχὴν συνυβρίζεις λανθάνων, ἧς ἐστιν ἀνθρώπου κάλλος.

14 *Ἀριστοτέλους.*

Ἀριστοτέλης ἐρωτηθεὶς διὰ τί τῶν καλῶν ὁ ἔρως, 'τυφλοῦ' εἶπεν 'ἡ ἐρώτησις'.

---

1 *κωμῶσιν* M A[1] | *κομῶσιν οἱ Λάκωνες* cod. Paris. 1985 ex fide Gaisfordi, cf. Ps.-Plut. | *εἶπεν* om. S ‖ 2 *τοῦ κόσμου* Tr. | fort. *ἀδαπανώτατος ⟨οὗτός⟩ ἐστι* ‖ 3 ecl. sine lemm. hab. S, addito lemmate M A. cf. Diog. Laert. V 18 extr. Publilii Syri sent. 169 Woelffl. ‖ 6 ecl. cum lemm. hab. S M A ‖ 7 *σύνθετος* A *σύνθετον* S M ‖ 13 *ὑγιείᾳ. καὶ πῶς ⟨οὖν⟩ οὐ* Bernardakis | *καὶ* secludit Wyttenbach ‖ 14 *τὰ* om. A (aberravit Gaisford) ‖ 15 ecl. cum lemm. hab. S M A ‖ 21 *τὴν* addidit Duebner ‖ 23 ecl. sine lemm. hab. S, addito lemmate M A. cf. Diog. Laert. V 1, 20 gnomol. Vat. 141 Sternb. ‖ 24 *τῶν καλῶν ἐρῶμεν;* prop. Cobet mnemos. IX p. 133 Diogenis ut videtur memor ubi legitur *διὰ τί τοῖς καλοῖς πολὺν χρόνον ὁμιλοῦμεν;* sed nulla opus mutatione

15 *Διογένους.*

Διογένης τὰς εὐμόρφους τῶν ἑταιρῶν βασιλίσσας ἐκάλει, πολλοὺς γὰρ πράττειν ἃ ἂν προστάττωσι.

16 *Δίου Πυθαγορείου ἐκ τοῦ Περὶ καλλονῆς.*

Τίς ἀγωγὰ βιοτᾶς [ὄντως] ναμαρτὲς εὐδαίμων ζωά; καὶ τίνας ποκὰ χρὴ κρίνεν εὐδαίμονας; ἢ νὴ Δία τὼς σκάνεος καλλονὰν ἔχοντας, δώρημα φύσιος; τούτως γὰρ ὡς ἔνι μασσότερον οἱ πλεῦνες ὡς θεὼς ἢ θεῶν ἱδρύματα ὑποτρέχοντι καὶ θεραπεύοντι θρησκεύοντες οὐ καλὰν θρησκείαν. καὶ ὄντως ἔμοιγε κατοπτίλλεται ἔχεν τι σεμνὸν καὶ θαυμασμῶ ἄξιον. τὼς μὲν γὰρ ἀτέρως τῶν ἀνθρώπων χάριν ἀπαιτεῦντι οἱ εὖ ἔρξαντες· τοῖς δ' εὐμόρφοις τοὐναντίον οἱ εὐεργετίξαντες χάριν ἔχοντι, ὅτι καὶ ὑπέμειναν εὖ παθὲν ὑπ' αὐτῶν. τούτως ὦν εὐδαίμονας οἶδα

---

1 ecl. cum lemm. hab. MA, sine lemm. S. argutius et Diogene dignius quod tradidit Laert. VI 63 *τὰς ἑταίρας ἔφη* (sc. *Διογένης*) *βασιλέων βασιλίσσας· αἰτεῖν γὰρ ὅ τι ἂν δόξῃ αὐταῖς* ‖ 2 *Διογένης* om. MA | *ἑταίρων* A[1] | *βασιλίσσας* (*-ίσασ* M) *ἐκάλει* revocavi ex SMA: *ἐκάλει βασιλίσσας* Tr. ‖ 3 *πράττει* Tr. | *ἃ ἂν* Tr.: *ἂν* S *δ' ἂν* M *δἂν* sed *δ* ut videtur deletum A ‖ 4 ecl. cum lemm. hab. SMA, *δίου πῦθ* non plura S *πυθαγορίου* MA ‖ 5 *ἀγωγὰ* Valckenaer: *ἀγὼν ἢ* S *ἀγὼν ἡ* ut videtur MA | *ὄντως* seclusit Valckenaer | *ναμερτὲς* Gaisford: *ναμερτὴσ* M *ναμαρτὴς* SA. scripsi autem *ναμαρτές*, nam *ναμαρτέως* libri etiam ecl. 17 extr. ‖ 6 *τίνα* M | *ποκὰ* cod. Paris. 1985 teste Gaisfordo: *πόκα* MA *πότε* S *ποτὲ* Tr. | *κρίνεν* M *κρίνειν* SA | *ἢ* S *ἧ* MA | *νὴ δία* A Tr. *νη δῖα* (*δία* S) *γε* SM ‖ 7 *σκήνεος* Tr. | *καλλονὰν* Gesn.[2]: *καλονὰν* Tr. *καλὸν ἀν* S *καλὸν ἂν* MA ‖ 8 *ἔνι* (ut prop. Gesn.[1] marg.) SA *ἐνι* M *ἐνὶ* Tr. | *μασσοτερον* sine acc. M; *μασσότατον* prop. Meineke. cf. Hesych. *μασσότερον· πορρώτερον* | *θεὼς* S *θεῶσ* M *θεοὺς* A | *ὑδρύμοστα* Tr. ‖ 9 *ὑποτρέχοντι* (sed *τ* alt. ex *σ* ni fallor corr. M[1]) MA *ἱποτρέχουσι* S *ὑπερέχουσι* Tr.; *περιέποντι* ci. Valckenaer inutiliter | *θεραπεύοντι* MA *θεραπεύουσι* S ‖ 10 *ἔμοιγε*] cf. p. 488, 4 adn. | *κατοπτίλεται* M ‖ 11 *τὰσ* M | *γὰρ* om. A | *ἀτέρως* S *ἀτέρωσ* M *ἀτέρους* A ‖ 12 *ἐπαιτεῦντι* Tr. | *εὐέρξαντεσ* M ‖ 13 *οἱ εὐεργετ. — ὑπ' αὐτῶν* om. Tr. | *εὐεργετίξαντες* SM *εὐεργετήξαντες* A; *εὐεργετήσαντες* Gesn.[2] ‖ 14 *εὖ παθὲν* Meineke: *εὐπαθῆν* M *εὐπαθεῖν* S *εὖ παθεῖν* A | *ὑπ'* dedi ex SM: *παρ'* A | *τούτως ὦν* Koen: *τουτέως οὖν* SA *τοῦτε ὡστοῦν* M | *οἶδα* om. Tr.

† *τὰ ἔμμεν δοκεῦντι τοῖς τὰν ὥραν αὐτῶν βολλομένοις ὀπωρίξασθαι· ποθ' ὡς ὑπὸ νομοθέτα τοιόσδε ἀπαντασεῖται λόγος οὐκ ἀσυφάλως μυθεύμενος τάδε· 'ἐγών, ὦ κράτιστοι ἀνδρῶν, ποτιβλέπων ἅπαντα τὰ νέα φυλακᾶς τε καὶ ταμελείας δεόμενα, καθάπερ τὰ ζωύφια περὶ τὸν πρᾶτον καιρὸν τᾶς αὐξήσιος, τῷ ἀκροσφαλῶς ἔχεν ποτὶ σωτηρίαν, ὑπέλαβον μὴ παρέργως δεῖν αὐτῶν με φυλάσσεν τὰν ἀσθένειαν· ὑμεῖς δέ γ' οἱ ὀριγνῆσθε σωματικᾶς ἁδονᾶς, τέλος ποιεύμενοι καθάπερ κνώδαλα τὸν κόρον τῷ πλατιασμῷ, οὐχ ὅτι χάριτος ἢ τιμᾶς ἀλλὰ καὶ μέμψιος ποτὶ κολάσει δικαίως ἐστὲ ἄξιοι τυγχάνεν, διὰ τὰς αὐταυτῶν ἀκολασίας ἐμβαλλόμενοι ῥύπον ἐν ζωὰν ἐλευθέρων παίδων'.*

---

1 *τὰ ἐμμεν* (etiam sine spir. S) SM *τῇ ἔμμεν* A; *ὡς ἔμμεν* libris invitis Gesn.² *εὐδαίμονες οἶδα ὅτι ἔμμεν κτἑ.* scr. Meineke. ceterum exspectes *εἶμεν* quam formam identidem exhibent libri in ecloga proxima | *δοκοῦντι* Tr. | *τοῖσ στὰν* M | *αὐτῶν* prop. Gesn.² mrg.: *αὐτοῖς* SMA | *βαλλομένοις* libri: corr. Toup ‖ **2** *πόθως* SM: *ποθ' ὡς* A ut voluit Koen | *νομοθέταν* libri: corr. Koen | *τοιόσδε* om. A | *ἀπαντασεῖται* Koen: *ἅπαντας. εἶτε* S *ἅπαντα εἶτε* M *εἶτε* A ‖ **3** *ἀσυφάλωσ* ex *ἀστυφάλωσ* ut videtur corr. M | post *μυθεύμενος* distinguitur in libris: corr. Meineke | *ἐγὼν* S *ἐγὼ* MA *ἀγὼν* Tr. ‖ **4** *τἀπιμελείας* (*ταπιμ-* M) SM *τὰ πιμελείας* A: corr. Meineke bene commonens codicum scripturam ortam esse ex hac *ταμελείας* (supra *ἐπι*) ‖ **5** *ζωύφια* Meineke: *ζώφυτα* libri | *πρῶτον* libri: corr. Meineke ‖ **6** *τᾶς* MA: *τῆς* S | *αὐξήσιος* MA Tr. *αὐξήσεως* S | *ἀκροσφαλέως* Meineke ‖ **7** *ὑπέλαβον* sine varietate A | *με* ex *μεν* vel *μευ* M¹ ‖ **8** *ὑμὲς* Cobet mnemos.² II p. 111 | *δέ γα ὀρίγνεσθαρωματικᾶς* S *δέ γα ὀριγνὲσ θ' ἀρωματικᾶσ* M *δ' ἀρίγνεσθ' ἀρωματικᾶς* A *δέ γ' ἀορίγνεσθ' ἀρωματικᾶς* Tr.: emendavit Gesn.¹ mrg. nisi quod *ὀριγνῆσθε* debuit, non ut ille posuit *ὀρίγνεσθε* aut ut Sopingius *ὀριγνᾶσθε*. praeterea nescio an praestet scribi *δέ γα* ⟨*οἱ*⟩ *ὀριγνῆσθε* coll. initio eclogae insequentis. denique reprobo quod Meinekio in mentem venit *ὑμεῖς* (vel *ὑμὲς*) *δ', ὀρίγνεσθε γὰρ σωματικᾶς* | *ἁδονᾶσ* sed *ον* in ras. M¹ ‖ **10** *χάριτοσ* ex *-τασ* M¹ | *κολάσι* Mullach, vide quae monui Stob. III p. LXIX | fort. *μέμψιος ποτὶ κολάσει δικαίας ἐστὲ ἄξιοι.* audacius *δίκαιοί ἐστε* [*ἄξιοι*] prop. Cobet mnemos. IX p. 134 ‖ **11** *τὰς αυταυτῶν* S *τᾶσ αὐτὰσ τῶν* M *τὰς αὐτῶν* A *τὰς αὐτ' αὐτῶν* Tr. ‖ **12** *ῥύπον* Tr.: *ῥύπαν* S *ῥυπαν* M *ῥυπ* (supra *αν*) A | *ἐν ζωᾶ ἀνελευθέρων* (*ἀνελ.* sine acc. A) SMA: corr. Salmasius

17 *Ἐν ταὐτῷ.*

Ἁ δέ γα εὐμορφία τοῖς ποτοκέλλουσιν ἁδονὰς παρέχει ποθερπύζοισα, καθάπερ ἄγαλμα ἢ γραφὰ ἢ ἅτερον χειρόκματον ἐπίτευγμα. διό κα θέλοιμι ἔγωγ' ἅτερον ἔχεν τὸ κάλλος ἢ αὐτὸς εἶμεν εὔμορφος· ὥσπερ καὶ οἶνον πιὲν ἁδὺν καὶ πολύωρον ἢ αὐτὸς εἶμεν βουνός, καὶ χιλὸν ποτιφέρεσθαι ἁδὶν καὶ ἀμπέχεσθαι ἀμπεχόναν καλὰν ἢ εἶμεν χιλὸς ἢ ἀμπεχόνα. ἀλλ' ὑποδραμών τις σχεδὸν φάσει 'ἀλλ' ἐγὼ χαίρω ἐπὶ τᾷ ἐμαυτῶ εὐμορφίᾳ τῷ καὶ ἀτέρως ἀγάλλεσθαι'. ποθ' ὃν ὑποβλήδαν φατίζω πάλιν· 'ἀγάλλευ, μειράκιον· εὐδαίμονα μὲν γὰρ οὐκ ἔχω ὅπως τυ φατίζω ναμαρτέως μυθαρευόμενος'.

18 *Πλάτωνος Πολιτείας γ'* (p. 402 D—403 A).

Οὐκοῦν, ἦν δ' ἐγώ, ὅτου ἂν ξυμπίπτῃ ἔν τε τῇ ψυχῇ καλὰ ἤθη ἐνόντα καὶ ἐν τῷ εἴδει ὁμολογοῦντα ἐκείνοις καὶ ξυμφωνοῦντα, τοῦ αὐτοῦ μετέχοντα τύπου, τοῦτ' ἂν εἴη

---

1 ecl. cum lemm. hab. M A, om. S ‖ 2 *ἁ δὲ* (*δε* M) *γᾶ* M A *ἁ δὲ γ' ἁ* A | *ποτοπτίλλουσιν* ci. Ruhnkenius idque commendabat Cobet mnemos.[2] II p. 112 ‖ 3 *ποθερπύζοισα* A *ποθεν πυξοισα* M, inde *πόθον πήξασα* Gesn.[2] | *γραφὰν* M A: corr. Koen ‖ 4 *ἐπίτευμα* M, unde recte *ἐπίτευγμα* scr. Gesn.[2], *ἐπιτήδευμα* A *ἐπιτάδ-* Meineke | *κα* ci. Meineke vol. IV p. LXXII: *καν* M *κἂν* A | *ἔγωγε* libri; *ἔγωγα* Meineke. an *ἐγών γα?* ‖ 5 *ἢ* Gesn.[2]: *ηη* (sic) M *κὴ* A | *εἶμεν* M *ἦμεν* A | *καὶ* Gesn.[2]: *εἰ* M A | *οἷον* A[1] ‖ 6 *πιεῖν* libri: corr. Meineke | *ἀδὴν* M | *πολυωρων* M | *βουνός*] *οἶνος* mavult Meineke propter 5, non accedo | *χεῖ λὸν ποτὶ* M ‖ 7 *ἀμπεχούαν* M ‖ 8 *εἶμεν* A *εἰ μὲν* M | *αὐτὸς* inseri voluit post *εἶμεν* Koen, rectius ante *εἶμεν* Meineke | *χειλοσ* M | malim *φασεῖ* ‖ 9 *ἐγὼν* Hemsterhusius | *τᾷ ἐμαυτῶ* vel potius *τἀμαυτῶ* Meineke: *τὰ ἐμαυτοῦ* M *τἀμαυτοῦ* A | *τῷ καὶ*] *λῶμαι* prop. verbo *χαίρω* secluso Hemsterhusius, *χαίρεν — λῶ καὶ* Meineke. neutrum verum videtur | *ἁτέρως* (i. e. *ἑτέρους*) ci. Koen: *ἀτρεκῶς* libri ‖ 10 *ποθ' ὃν* Gesn.[2]: *ποθὸν* M *πόθον* A | *ὑποβληδὰν* M A | *φατίξω* scr. Meineke, praeter necessitatem fortasse ‖ 11 *ἀγάλλευ* Gesn.[2]: *ἀγάλευ* M *ἀγάλλεο* sed ut etiam *ευ* legi possit A ‖ 12 *τυ* M *τὺ* A | *φατίζω ναμαρτέως* (*ναμερτέως* Gaisford) Iacobs: *φατίζων ἁμαρτεωσ* (*ἁμαρτέως* A) M A. *φατίξω* etiam hoc loco praetulit Meineke | *μυθαρευόμενος* A *μυθαρεύμενοσ* M ‖ 13 ecl. cum lemm. hab. S M A ‖ 15 *εἴδι* M ‖ 16 *τοῦτ' ἂν* tacite e Platone Gesn.[1]: *ὅτἀν* S *οὐ τὰν* M *οὔτ' ἂν* A

κάλλιστον θέαμα τῷ δυναμένῳ θεᾶσθαι; Πάνυ γε. Καὶ μὴν τό γε κάλλιστον ἐρασμιώτατον; Πῶς δ' οὔ; Τῶν δὴ ὅ τι μάλιστα τοιούτων ἀνθρώπων ὅ γε μουσικὸς ἐρῴη ἄν· εἰ δὲ ἀξύμφωνος εἴη, οὐκ ἂν ἐρῴη. Οὐκ ἄν, εἴ γέ τι, ἔφη, κατὰ τὴν ψυχὴν ἐλλείποι· εἰ μέντοι τι κατὰ τὸ σῶμα, ὑπομείνειεν ἂν ὥστε θέλειν ἀσπάζεσθαι. Μανθάνω, ἦν δ' ἐγώ· ὅτι ἔστι σοι ἢ γέγονε παιδικὰ τοιαῦτα, καὶ ξυγχωρῶ· ἀλλὰ τόδε μοι εἰπέ· σωφροσύνῃ καὶ ἡδονῇ ὑπερβαλλούσῃ ἔστι τις κοινωνία; Καὶ πῶς; ἔφη, ἥ γε ἔκφρονα ποιεῖ οὐχ ἧττον ἢ λύπη; Ἀλλὰ τῇ ἄλλῃ ἀρετῇ; Οὐδαμῶς. Τί δέ; ὕβρει τε καὶ ἀκολασίᾳ; Πάντων μάλιστα. Μείζω δέ τινα καὶ ὀξυτέραν ἔχεις εἰπεῖν ἡδονὴν τῆς περὶ τὰ ἀφροδίσια; Οὐκ ἔχω, ἦ δ' ὅς, οὐδέ γε μανικωτέραν. Ὁ δὲ ὀρθὸς ἔρως πέφυκε κοσμίου τε καὶ καλοῦ σωφρόνως τε καὶ μουσικῶς ἐρᾶν; Καὶ μάλα, ἦ δ' ὅς. Οὐδὲν ἄρα προσοιστέον μανικὸν οὐδὲ ξυγγενὲς ἀκολασίας τῷ ὀρθῷ ἔρωτι; Οὐ προσοιστέον.

---

1 *Πολύ γε* Plat. ‖ 3 *μάλλιστα* M ‖ 4 *ξύμφωνοσ* M ‖ 5 *εἰ μέντοι τι* Plat.: *εἰ μέν τι τοι* S M A ‖ 7 *γέγονεν παιδὶ καὶ* M | *ξυγχωρῶ* S M A *συγχ-* Plat. ‖ 8 *εἶπε* A ‖ 9 *ἥ γε* Plat.: *εἴ γε* S M A ‖ 10 *ἢ* Plat.: *ἡ* S A *η* M ‖ 11 *δέ* A, Plat.: *δαι* S *δαί* M | *ὕβρει* S, Plat.: *ὕβρι* M *ὕβρις* A ‖ 12 *τινα* M, supra lin. A: om. S | *ἡδονὴν καὶ τῆς* M ‖ 13 *οὐδὲ* pro *ὁ δὲ* S | *ὀρθὸς* A, Plat.: *ὀρθῶς* (*ορθ-* M) S M ‖ 15 *προσοιστέον* ex *προσοιστὸν* corr. S[1] ‖ 16 *ὀρθῷ* Plat.: *ὀρθῶς* S M A

CAPVT XXI. PARS ALTERA.

ΚΑΤΑ ΚΑΛΛΟΥΣ.

19 (66, 1 Mein.) *Εὐριπίδου Οἰδίποδος* (fr. 548 N.²).

Νοῦν χρὴ θεᾶσθαι, νοῦν· τί τῆς εὐμορφίας
ὄφελος, ὅταν τις μὴ [τὰς] φρένας καλὰς ἔχῃ;

20 (2 Mein.) *Εὐριπίδου Χρυσίππῳ* (fr. 842 N.²).

Γνώμης σόφισμα καὶ χέρ' ἀνδρείαν ἔχων
δύσμορφος εἴην μᾶλλον ἢ καλὸς κακός.

21 (3 Mein.) *Φαβωρίνου* (fr. 86 p. 138 Marr.).

Ἔτι καὶ νῦν Σωκράτης καλός· Ἀλκιβιάδην δὲ καὶ ζῶντα ἐπιλελοίπει τὸ κάλλος, καὶ πολλοὶ κατόπιν τῆς ὥρας ἀφιγμένοι, ἔνιοι δὲ καὶ τῶν τεθεαμένων αὐτὸν καὶ †νῦν ὁρώντων ἐζήτουν τὸν Ἀλκιβιάδην.

---

1 ss. *Κατὰ κάλλους* S M A Tr. Mac., ceterum A m. rec., M m. antiqua utrobique, sed in capitum catalogo postquam veteris manus vestigia evanuerunt denuo scripsit m. recens. *Περὶ κάλλους* titulum etiam ad hanc capitis partem pertinere voluit Photius in summario. numerum *νθ'* adscr. S *ξδ'* Tr. *μζ'* M A Mac. ‖ **3** ecl. cum lemm. hab. S M A ‖ **4** *θεάσασθαι οὐδέν τι* S M A: *θεᾶσθαι, νοῦν· τί* Elmsley, et *θεᾶσθαι* iam cod. Paris. 1985 fide Gaisfordi ‖ **5** *τὰς* tacite seclusit Gesn.¹ f. 381ᵛ, potius *τις* tolli voluit Pierson. *ὅταν τις τὰς φρ. κακὰς ἔχῃ* prop. Meineke | *ἔχει* M ‖ **6** ecl. cum lemm. hab. S M A *ἔ αυ χρυσι* S. e versu altero fluxit Men. mon. 117, cf. Meyer *Urbin. samml.* p. 431 ‖ **7** *γνώμης σόφισμα* Nauck: *γνώμη σοφός μοι* libri | *ἔχων* Camper idque ipsum repperi in excerptis Stobaeanis cod. Escur. X.-I. 13 (de quo cf. Miller *Manuscr. Gr. de l' Esc.* p. 296 ss.) f. 246ʳ: *ἔχειν* S M A *ἔχοι* Tr. A² ‖ **8** *εἴην*] *εἴη* ci. Valckenaer Diatr. p. 20, et sic exc. Escor. | *καλὸς*] *κάλλος* A et exc. Escor. ‖ **9** ecl. cum lemm. hab. M A, om. S ‖ **11** s. *κατόπιν τῆς ὥρας ἀφιγμένον* prop. Marres interpretatus *aetate provectiorem* ‖ **12** fortasse *τῶν τεθεαμένων νέον αὐτὸν* | v. *καὶ νῦν ὁρώντων* seclusit Meineke ‖ **13** *ἐζήτουν τὸν* (*τὸν* om. A) *Ἀλκ.*] 'quaerebant Alcibiadem h. e. non agnoscebant eum' Marres

22 (4 Mein.) *Πλουτάρχου* (vol. VII p. 137 Bernard.).

Ἀλλὰ μήν, ὥσπερ ἔφην, οὐδὲν τῶν ἄλλων ⟨καλλῶν⟩ κινδύνων γένεσίς ἐστιν, ἀλλὰ μόνου τοῦ σώματος. τὰ μὲν γὰρ τῆς ψυχῆς κάλλη καὶ σωτηρίας ἐλπίδες εἰσί, φρόνησις, εὐσέβεια, δικαιοπραγία· καὶ τὸ παιδείας εὐπρόσωπον κάλλος οἴκου καὶ πόλεως καὶ ἐθνῶν ἀθόρυβος εἰρήνη διατελεῖ γινομένη· ἡ δὲ γυναικῶν εὐμορφία ἀφορμὴ τοῖς πάθεσι καὶ ταῖς ἐπιθυμίαις.

23 (5 Mein.) *Βίωνος.*

Βίων πρὸς τοὺς λέγοντας ὅτι [τὸ κάλλος] τυραννίδα ἔχει τὸ κάλλος, ʻφεῦʼ ἔλεγε ʻτυραννίδος τριχὶ καταλυομένης.ʼ

24 (6 Mein.) *Φαβωρίνου* (fr. 87 p. 138 Marr.).

Ἡ φύσις ἢ ἑστῶσα σῴζεται ἢ φερομένη· [ἡ] ἑστῶσα μὲν ἐξ ἀθανασίας, φερομένη δὲ ἐξ ἐπιγονῆς. πρὸς ταῦτα γελοῖος ἂν φανείη ὁ Ἀνακρέων καὶ μικρολόγος τῷ παιδὶ μεμφόμενος ὅτι τῆς κόμης ἀπεκείρατο, λέγων ταῦτα·

ἀπέκειρας δʼ ἁπαλῆς κόμης ἄμωμον ἄνθος.

ἀλλʼ, ὦ Ἀνάκρεον, μικρὸν ἐπίμεινον, καὶ ὄψει πάντα ἀποκεκαρμένα· ἀποκεκαρμένην μὲν τὴν τῶν ὀμμάτων αὐγήν,

---

1 ecl. cum lemm. hab. SMA; verba *πλουταρχ ἀλλὰ μὴν* iunguntur in S. Plutarchi librum *Ὑπὲρ κάλλους* excerpere perrexisse videtur gnomologus, vide supra p. 485, 6 et 15, et sic iudicavit iam Wyttenbach ‖ **2** *καλλῶν* inseruit Bernardakis qui in proximis mavult *ἀλλʼ ἢ* ‖ **6** *οἴκου* SM *οὔκουν* A | *ἐθνῶν* MA: *ἐθῶν* S ‖ **7** *γιγνομένη* Bernardakis: *γενομένη* SMA ‖ **9** ecl. sine lemm. hab. S, addito lemmate MA. cf. Plutarchus amator. p. 770 B, quo de loco disserui proleg. in Telet.[2] p. LXXI, et quod Dionysio Siciliae tyranno tribuitur similiter dictum gnomol. Vat. 262 Sternb. ‖ **10** *τὸ κάλλος* seclusit Iacobs lect. Stob. p. 108 ‖ **11** *τριχῇ* SMA: corr. Iacobs aliiq. ‖ **13** ecl. cum lemm. hab. SMA, *φαβορίνου* M ‖ **14** *ἢ* ante prius *ἑστῶσα* S, A m. sec., *ἡ* M | *ἡ* M Tr. *ἢ* SA: seclusit Marres ‖ **15** *δὲ* S om. MA | *ἐπιτομῆς* SMA: corr. Wyttenbach ‖ **17** *φθεγγόμενος* A | *κώμησ* M ‖ **18** fr. 48 B. | *ἁπαλὴν κόμην* M ‖ **19** *ἀνάκρεον* Tr.: *ἀνακρέον* S *ἀνακρέων* MA | *ἀνάμεινον* S sed *ἐπὶ* superscr. S[1]

ἀποκεκαρμένην δὲ τὴν τοῦ μετώπου χάριν ἀτεχνῶς κατὰ τὸν Ὅμηρον·

κάρψε μέν οἱ χρόα καλὸν ἐπὶ γναμπτοῖσι μέλεσσιν,
ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσεν τρίχας· ἀμφὶ δὲ δέρμα
πάντεσσιν μελέεσσι παλαιοῦ θῆκε γέροντος.

ταῦτα δ' Ἀθηνᾶ μὲν διέθηκε τὸν Ὀδυσσέα, ὁ δὲ χρόνος πάντας τοὺς καλούς. εἶτα Ὀδυσσεὺς μὲν ἀναλήψεται καὶ σάρκας καὶ κόμην καὶ χρῶμα· σὺ δέ, ὦ καλὲ παίδων, ἐπειδὰν ἅπαξ ταῦτα ἀποβάλῃς, οὐκ ἔστι σοι πάλιν ἀνηβῆσαι.

25 (7 Mein.) *Πλουτάρχου ἐκ τοῦ Περὶ ἔρωτος* (Plut. v. VII p. 135 Bernard.).

Καὶ τοὺς καλοὺς ὁρᾶν μὲν ἐπιτερπέστατον, ἅψασθαι δὲ καὶ λαβεῖν οὐκ ἀκίνδυνον. μᾶλλον δέ, ὥς φησιν ὁ Ξενοφῶν, τὸ μὲν πῦρ τοὺς ἁψαμένους καίει μόνον, οἱ δὲ καλοὶ καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν· ἡ γὰρ ὄψις λαβὴ τοῦ πάθους ἐστί.

26 (8 Mein.) *Ξενοφῶντος ἐκ τῆς πρὸς Ἀγλαϊτάδαν ἐπιστολῆς* (p. 789 s. Herch.).

Τὸ χαυνοῦσθαι ἐπὶ τῆς ὥρας τῷ κάλλει οὐ μόνον Φυλλίδα τοῦ υἱέος σου φαῖμεν ἂν εἶναι ἁμάρτημα, ἀλλὰ καὶ

---

1 *ἀτεχνῶς* Tr.: *ἀτεχνως* sine acc. S *ἀτέχνως* MA ‖ 3 Od. XIII 430 ss. ad 398 ss. aberravit Meineke | *κάρψε* (*μάρψε* Tr.) *μέν οἱ* S, Homeri libri plerique: *καρψέμενοσ* M *καρψάμενοι* A | *ἐπι* (vel *ἐπὶ*) libri sicut Homeri pauci: *ἐνὶ* Hom. | *γναμπτοῖσι* SM *γναπτοῖσι* (*ἐπιγν-*) A, inter hanc et illam formam fluctuantur etiam libri Hom. | *μέλεσσι* MA Tr. *μέλεσιν* S ‖ 4 *ἐκ*] *ἐν* M | *ὄλεσεν* M, Hom.: *ὄλεσε* Tr. *ὤλεσε* SA ‖ 5 *πάντεσσιν* Hom.: *πάντεσσι* SMA ‖ 6 *δ'* S *δὲ* M *δὴ* A ‖ 9 *ταῦτα ἅπαξ* Tr. | *ἀναβῆναι* SMA: corr. Iacobs lect. Stob. p. 108. *ἀνηβᾶν* Gaisford ‖ 10 ecl. cum lemm. hab. SMA. fragmentum hoc cum ecloga p. 468, 14 coniungi voluit Patzig ‖ 12 *καὶ* del. A[2] | *ὁρᾶν* suprascr. S[1] ‖ 13 *λαβεῖν οὐκ ἀδύνατον οὐδ' ἀκίνδυνον* A sed *οὐκ ἀδύνατον* del., *οὐδ'* in *οὐκ* corr. A[2] | *Ξενοφῶν*] Cyrop. V 1, 16 ‖ 15 *καὶ* om. typotheta Gaisfordi editionis Lipsiensis, inde etiam Meineke | *ἡ γὰρ ὄψις κτέ.*] cf. Plut. Quaest. conviv. p. 681 B *τῶν ἐρωτικῶν . . . ἀρχὴν ἡ ὄψις ἐνδίδωσιν.* sed iam Menander *ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνεται βροτοῖς ἐρᾶν.* cf. Publilius Syr. 40 ‖ 17 ecl. cum lemm. hab. SMA, *ἀγλαίταδαν* M ‖ 19 *φυλλίδα* SMA; *Φιλλίδα* scr. Hercher ‖ 20 *υἱέοσ* (sine spir. M) *σου* MA *υἱέωσου* S, corr. S[1] *υἱέως σου* Tr. | *ἂν* om. A

σόν. δοκεῖς γάρ μοι οὔτε Λακωνικὸν παθεῖν οὐθ', ὅπερ χρὴ ἐννοεῖν τὸν σώφρονα, ἀληθεῖ καὶ δικαίῳ ἐπαίνῳ τὸν νοῦν προσέχειν. τίς γὰρ σαρκὸς οὐ πρὸς ἰσχὺν ἐρρωμένης, ἡδονῆς δὲ ὑπομνήσει ἐπαινουμένης ἐν δικαίῳ γένοιτ' ἂν λόγος; σώματος γὰρ ἄνθρωποι ἠράσθησαν διὰ τὸ ἐπὶ ψυχῇ εἶναι· τῶν δὲ μικρὸν ὕστερον τὸν ἔπαινον ἀποδρασομένων δι' ὥρας ἀπάνθησιν ἥκιστα χρὴ φροντίζειν τὸν τῷ ὄντι Λάκωνα. ποιητῶν τε ὅσοι ἀρετὴν ἐπήνεσαν σώματος ἢ οὐδὲν ἢ ὀλίγιστον ἐπαίνου πέρι ὕμνησαν, ἔργα δὲ ψυχῆς μεγάλα τε καὶ σοφίας ἐγγὺς δι' ᾠδῆς αἰῶνι ἔδοσαν. σκόπει δέ, ὦ Ἀγλαϊτάδα, καὶ ἕπου θείῳ λόγῳ, ὃς πιστοῦται ὅτι ψυχὴν μετὰ θεοὺς χρὴ τιμᾶν, τρίτον δὲ Ὀλυμπίων τὸ σῶμα. ψυχῆς δὲ τιμὴ μάθησις καὶ νοῦς συντεταγμένος ἐπὶ φρόνησιν· ὡς οὐκ ἔστιν ὡς ἐπὶ τὸ πολὺ ἀνθρώποις ἄλλο συγγενὲς πρὸς θεοὺς ⟨ἢ⟩ παίδευμα. καὶ τοίνυν τῶν μὲν ἀφρόνων τὸ σῶμα οὐδ' ἂν εὖ ἡρμοσμένον ἴδῃς φήσεις καλὸν εἶναι. ἀνδρεία γὰρ κάλλους ἔλαχεν ἔπαινον ἐπὶ φρονήσει τέχνης. τῷ γὰρ ὄντι ἂν φαίην τὰ στερόμενα τοῦ ἔμφρονος αἰσχρὰ πάντα καὶ ἄδικα ἐν ἀνθρώποις ἔσεσθαι. γεγενῆσθαι οὖν ἐν Λάκωσι τότε σοι ἔσται, ἐπειδὰν νόμων Λακωνικῶν ὑπηρέτην τὸν παῖδα ἀποδείξῃς. ἀὴρ δὲ οὔτε τις Λάκων οὔτε Ἀττικὸς ἐγένετο, ῥεῦμα δὲ ὑπὸ θεῶν ἐπὶ ζῴων γενέσει τῶν τε ἄλλων ὅσα ἡ γῆ ἀνίησι μετηγμένον.

---

5 *ἠγάσθησαν* libri: corr. Cobet mnemos. IX p. 134 ‖ 7 *ἥρας* A[1] ‖ 10 *ἐγγὺς ⟨ὄντα⟩* scr. Hercher | *διωδῆσ* M ‖ 12 *ψυχὴν μετὰ* sup. lin. S[1] | *τρίτον* Tr.: *τρίτων* SMA ‖ 13 *ψυχῆς δὲ* Tr.: *ψυχῆς* SMA ‖ 14 *ὡς ἐπὶ τὸ πολὺ* (non *ἐπιτοπολὺ* ut adnotavit Gesn.[2] mrg. secundum sui aevi consuetudinem) M: *ὡς ἐπιπολὺ* SA ‖ 15 *ἢ* addidit Meineke flor. IV p. LXXII. *ἄλλο συγγενείας τῆς πρὸς θεοὺς παίδευμα* scr. Hercher ‖ 16 *τῶν κενοφρόνων* vel *τῶν μὴ ἐμφρόνων* ci. Meineke | post *σῶμα* quae per errorem repetierat *ψυχῆς τιμὴ* delevit A ‖ 17 *ἀνδρεία* SM *ἀνδρῖα* A sed *ει* superscr. A[1]. *⟨καὶ⟩ ἀνδριὰς γὰρ* prop. Meineke idque recepit Hercher ‖ 18 *ἐπιφρονήσει* Tr. | *φαίην* SA *φαίης* M Tr. ‖ 20 *ἔσεσθαι* suspectat Hercher ‖ 21 post *ἔσται* addendum videtur *λέγειν* vel simile Meinekio ‖ 22 *ἀὴρ* SMA: *ἀνὴρ* Tr. ‖ 23 *πνεῦμα* prop. Meineke ‖ 24 *μετηγμένον* A *μετιμένον* (sine acc. M) SM. imperfectam putat sententiam Meineke

CAPVT XXII. PARS PRIMA.

ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Ο ΓΑΜΟΣ.

1 *Εὐριπίδου Οἰδίποδι* (fr. 543 N.[2]).

Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή·
ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω
τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων
ἀλόχου τε κεδνῆς, ὡς μόνων τῶν χρημάτων
ἦ κρεῖσσόν ἐστιν ἀνδρί, σώφρον' ἢν λάβῃ.

2 *Εὐριπίδου* (fr. 545 N.[2]).

Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή.

3 *Ἀπολλωνίδου* (fr. 1 p. 825 N.[2]).

Φεῦ φεῦ, γυναῖκες, ὡς ἐν ἀνθρώποις ἄρα
οὐ χρυσός, οὐ τυραννίς, οὐ πλούτου χλιδὴ

---

2 *Ὅτι κάλλιστον ὁ* (*ὁ* om. Gesn.[2], inde Gaisford et Mein.) *γάμος* offerunt S M A Tr. Mac. *Περὶ γάμου καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου* Photius septem nimirum huius capitis partes uno titulo generali comprehendens, cf. Stob. III proleg. p. IX. XIV. numerum *μη'* adpingunt M A Mac. *ξ'* S *ξε'* Tr. ‖ **3** ecl. cum lemm. hab. S M A. vs. 1 recurrit in Men. mon. 363 ‖ **4** *τυραννὶς*] *τύχη τις* ci. Meineke | *τέκνα*] *τελοῦσα* Men. mon. ‖ **5** *ἀνδρὶ*] erat cum *οὐχὶ* conicerem ‖ **7** *κτημάτων* prop. Hermann. complures versus post *χρημάτων* excidisse videntur Meinekio ‖ **8** *ἦ* Tr.: *ἡ* S M lineolam subduxit M[2] *ἢ* vel *ἦ* A. *κράτιστόν ἐστιν* Musgrave, *γυνή ἐστι κρεῖσσον* Dobree, *κρεῖσσον τόδ' ἐστὶν* Fix | *σώφρον' ἂν* (*σωφρονάν* M[1]) libri ‖ **9** ecl. cum lemm. hab. S M A, addere possis *Οἰδίποδι* (cf. ecl. 1). Oedipodi enim Euripideae adscribitur infra p. 529, 9 uno versu aucta, eadem a Clemente Alex. Strom. IV 8 p. 277, 10 Stähl. ‖ **10** *πέφυκεν*] *ἐστὶν* Clem. *πέφυκε τἀνδρὸς* Cobet mnem.[2] II p. 112 ‖ **11** ecl. cum lemm. hab. S M A. Clemens Alex. paed. III 12 p. 282, 23 Stähl. *πάνυ γοῦν θαυμασίως ἡ τραγῳδία 'φεῦ φεῦ, γυναῖκες' φησίν 'ὡς ἐν ἀνθρώποις ἄρα — τἄνδικα'* ‖ **13** *οὐ πλοῦτος, οὐ τυραννίς, οὐ χρυσοῦ χλιδὴ* ci. Nauck

τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμῃ δικαία καὶ φρονοῦσα τἄνδικα.

4 (12 Mein.) *Ἀλεξάνδρου* (Com. IV p. 554 M.).

Ταμιεῖον ἀρετῆς ἐστι γενναία γυνή.

5 (4 Mein.) *Θεόγνιδος* (1225 s.).

Οὐδέν, Κύρν᾽, ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός,
μάρτυς ἐγώ, σὺ δ᾽ ἐμοὶ γίνου ἀληθοσύνης.

6 (5 Mein.) *Σοφοκλέους* (fr. 856 N.²).

Τίς δ᾽ οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτὲ
γυναικὸς ἐσθλῆς χωρὶς ὀγκωθεὶς χλιδῇ;

7 (6 Mein.) *Ἀπολλωνίδου* (fr. 2 p. 825 N.²).

Γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι
σοφοῦ τινος γένοιτ᾽ ἂν ἵστορος λόγων.

8 (7 Mein.) *Εὐριπίδου Ὀρέστῃ* (1204 s.).

Ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
τὸ σῶμα δ᾽ ἐν γυναιξὶ θηλείαις πρέπον.

9 (8 Mein.) *Εὐριπίδου* (fr. 1055 N.²).

Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ
ἐσθλὴ παραζευχθεῖσα καὶ σῴζει δόμους.

---

4 ecl. cum lemm. hab. S (ubi ecl. 6—12 Mein. uno lemm. *Εὐριπίδου* comprenduntur) post ecl. 10 Mein., MA post ecl. 3. *Ἀλεξάνδρου* om. S. *Ἀλέξανδρος* inter poetas etiam pinacogr. Phot. p. 50 Elt. tamen gnomologi error est nomen, nam *ΑΝΑΞΑΝ̣* [*ΔΡΙΔΟΥ*] lemma ante v. *ταμιεῖον ἀρετῆ*[*ς* pap. Berol. 9773 *Berl. klassikert.* V 2 p. 129. poetae nom. om. legitur versus Clem. Al. paed. III 11, 67 p. 273, 23 Stähl., similis tribuitur Menandro Stob. III 5, 5 p. 256, 15 H., denique cf. Men. monost. 505 ‖ 5 *ταμεῖον* SMA | *ἀρετῆς ἐστιν ἀνδρεία γυνή* Clem. cf. quae adnotavi ad Stob. III l. c. ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 3) MA (post ecl. 12 Mein.). deest distichon in codicibus Theognidis ‖ 8 *δ᾽ ἐμοὶ* Brunck: *δέ μου* S *δέ μοι* MA | *γίνου* SMA *γίγνου* Tr. ‖ 9 ecl. cum lemm. hab. MA, om. S ‖ 11 *χλιδῃ* M¹ ‖ 12 ecl. hab. SMA, lemma MA. Euripidi tribuitur in S, ubi ecl. 6—12 Mein. (om. ecl. 9 et 11 Mein.) uno lemmate *Εὐριπίδου* comprenduntur ‖ 15 ecl. cum lemm. hab. SMA, fab. nom. om. S, *ὀρέστῃ* M *ὀρέστου* A ‖ 16 *ἄρσενας* S *ἄρσενος* MA ‖ 18 ecl. cum lemm. hab. SMA, *Εὐρ.* S (de quo vide ad ecl. 7) M *τοῦ αὐτοῦ* A ‖ 19 *οἰκοφθορεῖν* prop. Herwerden ‖ 20 *σῴζει*] *αὔξει* A

10 (9 Mein.) *Μενάνδρου* (fr. 646 K.).

Ἓν ἔστ' ἀληθὲς φίλτρον, εὐγνώμων τρόπος.
τούτῳ κατακρατεῖν ἀνδρὸς εἴωθεν γυνή.

11 (10 Mein.) *Εὐριπίδου Ἀνδρομέδας* (fr. 137 N.[2]).

Τῶν γὰρ πλούτων ὅδ' ἄριστος
γενναῖον λέχος εὑρεῖν.

12 (11 Mein.) *Μενάνδρου* (fr. 647 K.).

Οἰκεῖον οὕτως οὐδέν ἐστιν, ὦ Λάχης,
ἐὰν σκοπῇ τις, ὡς ἀνήρ τε καὶ γυνή.

13 *Εὐριπίδου Ἀντιγόνης* (cf. Trag. gr. fr. p. 828 N.[2]).

Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος·
ἀλλ' ἓν γ' ἔχει τι χρηστόν· ἐν κήδει γὰρ ὢν
ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν.

14 *Ἱπποθόωντος* (cf. Eur. fr. 164 N.[2]).

Ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή.

15 *Εὐριπίδου Φρίξῳ* (fr. 822 N.[2]).

Γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει
ἥδιστόν ἐστι, δώματ' ἢν οἰκῇ καλῶς,
ὀργήν τε πραΰνουσα καὶ δυσθυμίας
ψυχὴν μεθιστᾶσ'· ἡδὺ κἀπάται φίλων.

---

1 ecl. cum lemm. hab. MA, om. S ‖ 2 *ἔνεστ'* libri: corr. Meineke | *εὐγνωμόνων* A ‖ 4 ecl. cum lemm. hab. SMA, *ἀνδρομ.* om. S ‖ 7 ecl. cum lemm. hab. MA, om. S ‖ 9 *ἂν εὖ σκοπῇ τις* prop. Nauck *Mel. Gréco-Rom.* t. VI p. 121 sed cf. Men. fr. 627 K. ‖ 10 ecl. hab. S (post ecl. 12 Mein.) MA (post 11 Mein.). lemma offerunt MA, simpl. *ἀντιγ°* S. sed iteratur primus versus infra p. 519, 5 lemmate *Ἱπποθόου* praefixo. quare eclogae 13 et 14 lemmata sedem mutare iussit Nauck. sed potest intercidisse Antigonae locus una cum proximo lemmate, ut utraque ecloga (13 et 14) Hippothoi fuerit vel Hippothoontis. de nomine vide quae dixi Stob. III p. 589 adn. 13 ‖ 11 recurrit versus etiam inter Men. mon. 197 ‖ 12 *ἐν*] *οὖν* mavult Nauck ‖ 13 cf. Ps.-Dem. LIX 77 *ἵνα φοβῶνται μηδὲν ... ἁμαρτάνειν* ‖ 14 ecl. hab. SMA; lemma MA, om. S. vide quae dixi ad ecl. praegressam ‖ 16 ecl. hab. SMA, lemma MA, om. S. leguntur versus poetae nom. commemorato etiam infra in Antipatri ecl. 25 ‖ 17 *ἐν νόσοισι καὶ κακοῖς* ecl. 25 ‖ 19 v. *καὶ δυσθυμίας — μεθιστᾶσ'* omittunt libri eclogae 25 | 20 *μεθιστᾶσα* SM | *ἡδὺ καὶ ἀπάται* libri ecl. 25: *ἡδύν. καὶ ἀπαντᾶ* SM *ἡδὺν καὶ ἅπαντα* A | *φίλῶν* (sic) S *φιλῶν* MA

16 *Ἐκ τῶν Ἀρίστωνος.*

Σπαρτιατῶν νόμος τάττει ζημίας, τὴν μὲν πρώτην ἀγαμίου, τὴν δευτέραν ὀψιγαμίου, τὴν τρίτην καὶ μεγίστην κακογαμίου.

17 *Πιττακοῦ.*

⟨Πιττακὸς⟩ ἐπύθετό τινος διότι οὐ βούλεται γῆμαι· τοῦ δὲ φήσαντος 'ἐὰν μὲν καλὴν γήμω, ἕξω κοινήν, ἐὰν δὲ αἰσχράν, ἕξω ποινήν', 'οὐμενοῦν' ἔφη 'ἀλλ' ἐὰν μὲν καλὴν γήμῃς, οὐχ ἕξεις ποινήν, ἐὰν δὲ αἰσχράν, οὐχ ἕξεις κοινήν'.

18 *Γαΐου ὑπὲρ Λουκίλλης.*

Πολλάκις γὰρ γυνὴ καὶ παῖδας ὑπερεβάλετο εὐνοίᾳ τῇ πρὸς τὸν ἄνδρα· ἡ γὰρ τοῦ βίου κοινωνία μακροτέραν τὴν φιλίαν ποιεῖ τῶν τεχθέντων ἅπαξ.

19 *Δημοσθένους ἐκ τοῦ κατὰ Νεαίρας* (LIX p. 1386).

Τὰς μὲν γὰρ ἑταίρας ἡδονῆς ἕνεκα ἔχομεν, τὰς ⟨δὲ⟩ παλλακὰς τῆς καθ' ἡμέραν θεραπείας τοῦ σώματος, τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν.

20 *Μουσωνίου ἐκ τοῦ Εἰ ἐμπόδιον τῷ φιλοσοφεῖν γάμος* (Muson. rel. XIV p. 70 H.).

---

1 ecl. cum lemm. hab. SMA. Aristonem Stoicum intellegit P. Wendland quaest. Muson. p. 58. cf. Clemens Alex. strom. II 23 p. 191, 8 Stähl. et quae adnotavi in Muson. p. 77, 4 ‖ **2** *νόμος* SM² *νόμωσ* M¹ *νόμους* A ‖ **3** *ἀγάμου* M | leniter suppleas *τὴν ⟨δὲ⟩ δευτέραν*, itaque erunt fortasse qui etiam *τὴν ⟨δὲ⟩ τρίτην* scribi malint cf. 16 adn. ‖ **5** ecl. cum lemm. hab. SMA. prior pars eclogae etiam aliis adscribitur, velut Antistheni a Laertio VI 3, Bioni ab eodem IV 48, cf. corp. Par. 375 Elt. gnomol. Vat. 2 et quae ibi collegit Sternbach. denique pap. Argentor. gr. 92, Reitzenstein *Hell. wundererz.* p. 147 s. ‖ **6** *Πιττακὸς* om. SMA¹, habet Tr. ubi deest lemma, ex lemmate *πιττακοῦ*: nominativum fecit A² ‖ **10** ecl. cum lemm. hab. SMA; *λουκίλλου* M ‖ **11** *ὑπερεβάλλετο* S ‖ **12** *μακροτέραν* SM *μικροτέραν* A; *ἰσχυροτέραν* scr. Meineke ‖ **14** ecl. cum lemm. hab. SMA; *κατανέερας* M *κατὰ νέερας* A¹ ‖ **15** *τὰς δὲ παλλ-* reposui e Dem.: *τὰς παλλ-* SMA *τὰς παλλ. δὲ* Tr. ‖ **17** *των* ex *την* corr. S¹ | *ἔνδων* M ‖ **19** ecl. hab. SMA. *μουσωνίου εκ^τ εἰ ἐμπόδιον ὅ γά* S *μουσωνίου ἐκ τοῦ ἐμπόδιον* (*εμπ-* M) *τῶ φιλοσοφεῖν* (super *φιλοσ.* scr. *ἡρουμένῳ* A²) *γάμος* MA

Ἄλλου δέ τινος φήσαντος, ὅτι ἐμπόδιον αὐτῷ δοκοίη εἶναι τῷ φιλοσοφεῖν γάμος καὶ ὁ σὺν γυναικὶ βίος, Πυθαγόρᾳ μέν, εἶπεν ὁ Μουσώνιος, οὐκ ἐμπόδιον ἦν, οὐδὲ Σωκράτει, οὐδὲ Κράτητι, ὧν ἕκαστος συνῴκησε γυναικί· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν ἄμεινον ἐκείνων ἑτέρους φιλοσοφήσαντας. καίτοι γε Κράτης ἄοικός τε καὶ ἀσκευὴς καὶ ἀκτήμων τέλεον ἦν, ἀλλ' ὅμως ἔγημεν· εἶτα μηδ' ὑπόδυσιν ἔχων ἰδίαν ἐν ταῖς δημοσίαις Ἀθήνησι στοαῖς διημέρευε καὶ διενυκτέρευε μετὰ τῆς γυναικός· ἡμεῖς δὲ ἀπ' οἰκίας ὁρμώμενοι, καὶ οἰκέτας τοὺς ὑπηρετοῦντας ἔχοντες ἔνιοι, τολμῶμεν ὅμως λέγειν ἐμπόδιον εἶναι φιλοσοφίᾳ γάμον; καὶ μὴν ὅ γε φιλόσοφος διδάσκαλος δήπου καὶ ἡγεμὼν πάντων τοῖς ἀνθρώποις ἐστὶ τῶν κατὰ φύσιν ἀνθρώπῳ προσηκόντων· κατὰ φύσιν δ', εἴ τι ἄλλο, καὶ τὸ γαμεῖν φαίνεται ὄν. ἐπεὶ τοῦ χάριν ὁ τοῦ ἀνθρώπου δημιουργὸς πρῶτον μὲν ἔτεμε δίχα τὸ γένος ἡμῶν, εἶτ' ἐποίησεν αὐτῷ διττὰ αἰδοῖα, τὸ μὲν εἶναι θήλεος τὸ δὲ ἄρρενος, εἶτα δὲ ἐνεποίησεν ἐπιθυμίαν ἰσχυρὰν ἑκατέρῳ θατέρου τῆς θ' ὁμιλίας καὶ τῆς κοινωνίας καὶ πόθον ἰσχυρὸν ἀμφοῖν ἀλλήλων ἐνεκέρασεν, τῷ μὲν ἄρρενι τοῦ θήλεος, τῷ δὲ θήλει τοῦ ἄρρενος; ἆρ' οὖν ⟨οὐ⟩ γνώριμον, ὅτι ἐβούλετο συνεῖναί τε αὐτὼ καὶ συζῆν, καὶ τὰ πρὸς τὸν βίον ἀλλήλοιν συμμηχανᾶσθαι, καὶ γένεσιν παίδων καὶ τροφὴν ἅμα ποιεῖσθαι, ὡς ἂν τὸ γένος ἡμῶν ἀίδιον ᾖ; τί δ'; εἰπέ μοι, πότερα προσήκει ἕκαστον ποιεῖν καὶ τὰ τοῦ πέλας, καὶ ὅπως οἶκοι

2 *ὁ γάμος* A² ‖ 4 *σωκράτει* M sed *ει* in ras. M² *σωκράτη* A¹ | *ὧ* primo M ‖ 5 *ἑτέρους* supra lin. A¹ ‖ 7 *τέλεον* M superscr. *σ* M² ‖ 9 *καὶ* S M *καὶ γὰρ* A¹ *κἀκεῖ* A² | *ἀποικίας* M¹ distinxit M² ‖ 13 *ἀνθρώπῳ* Koen: *ανων* S *ἀνθρώπων* M *ἀνων* A¹, videtur A² *ν* delevisse; *ἀνθρώποις* prop. Gesn.¹ ‖ 15 *ὄν* scripsi: *οὖν* SM *εἶναι* A | *τοῦ* SM *τούτου* A | *χάριν* etiam A | *ὅ του* vel *ὅτου* M ‖ 16 *ἡμῶ* primo M ‖ 17 *δ' ἐποίησεν* A¹, corr. A¹ vel A² *ἐνεποίησεν* sed ut perierit *δὲ* ‖ 19 *ἀλλήλων* ex *-οιν* corr. S¹ ‖ 20 *ἐνεκέρασεν* cod. Par. 1985 teste Gaisfordo: *ἀνεκ-* S M A | *τὸ μὲν* M | *μὲν γὰρ ἄρρ.* Tr. ‖ 21 *ἆρ' οὖν οὐ* Meineke: *ἆρ'* (*ἆρ* M¹) *οὖν* S M A¹ *οὐ* superscr. A² ‖ 22 *ἀλλήλων* libri: corr. Halm ‖ 24 *αἰδοῖον* S ‖ 25 *πότερα πρ. ἕκαστον ⟨τὰ ἑαυτοῦ μόνον⟩ ποιεῖν ⟨ἢ⟩ καὶ τὰ τοῦ πέλας* Cobet mnemos.² II p. 425. malim

ὦσιν ἐν τῇ πόλει αὐτοῦ, καὶ ὅπως ἡ πόλις μὴ ἔρημος ᾖ, καὶ ὅπως τὸ κοινὸν ἕξει καλῶς; εἰ μὲν γὰρ φῄς, ὡς τὸ αὑτοῦ σκεπτέον μόνον, ἀποφαίνεις τὸν ἄνθρωπον λύκου μηδὲν διαφέροντα μηδ' ἄλλου θηρίου τῶν ἀγριωτάτων μηδενός, ἅπερ ἀπὸ βίας καὶ πλεονεξίας πέφυκε ζῆν, μὴ φειδόμενα μηδενὸς ἀφ' ὅτου μέλλει καρποῦσθαί τι ἡδύ, ἄμοιρα μὲν κοινωνίας ὄντα, ἄμοιρα δὲ συνεργείας τῆς ἀπ' ἀλλήλων, ἄμοιρα δὲ δικαίου παντός. εἰ δ' ὁμολογήσεις τὴν ἀνθρωπείαν φύσιν μελίσσῃ μάλιστα προσεοικέναι, ἣ μὴ δύναται μόνη ζῆν, ἀπόλλυται γὰρ μονωθεῖσα, πρὸς ἓν δὲ καὶ κοινὸν ἔργον τῶν ὁμοφύλων συννένευκε καὶ συμπράττει καὶ συνεργάζεται τοῖς πλησίον· εἰ ταῦτα ταύτῃ ἔχει, καὶ ἔτι πρὸς τούτοις κακία μὲν ἀνθρώπου εἶναι ὑπείληπται ἀδικία τε καὶ ἀγριότης καὶ τὸ τοῦ πλησίον πράττοντος κακῶς ἀφροντιστεῖν, ἀρετὴ δὲ φιλανθρωπία καὶ χρηστότης καὶ δικαιοσύνη ἐστὶ καὶ τὸ εὐεργετικὸν εἶναι καὶ τὸ κηδεμονικὸν εἶναι τοῦ πέλας, πῶς οὐ καὶ πόλεως ἑκάστῳ τῆς αὑτοῦ φροντιστέον καὶ τῇ πόλει οἶκον περιβλητέον; ἀρχὴ δὲ οἴκου περιβολῆς γάμος. ὥστε ὁ ἀναιρῶν ἐξ ἀνθρώπων γάμον ἀναιρεῖ μὲν οἶκον, ἀναιρεῖ δὲ πόλιν, ἀναιρεῖ δὲ σύμπαν τὸ ἀνθρώπειον γένος. οὐ γὰρ ἂν διαμένοι μὴ γενέσεως οὔσης, οὐδ' ἂν γένεσις εἴη μὴ γάμου ὄντος, ἥ γε δικαία καὶ νόμιμος. ὅτι μὲν γὰρ οἶκος ἢ πόλις οὔτ' ἐκ γυναικῶν συνίσταται μόνον οὔτ' ἐξ ἀνδρῶν μόνον, ἀλλ' ἐκ τῆς πρὸς ἀλλήλους κοινωνίας, δῆλον· ἀνδρῶν δὲ καὶ γυναικῶν κοι-

---

ἕκαστον ποιεῖν ⟨τὰ αὑτοῦ μόνον ἢ σκοπεῖν⟩ καὶ τὰ τοῦ πέλας. tamen non desunt structurae exempla similiter inmutatae, cf. Xen. apomn. IV 4, 7 Arr. diss. Epict. III 7, 6. *σκοπεῖν* pro *ποιεῖν* scribi mavult Elter

1 *μὴ*] *μὲν* A ‖ 2 *ἕξει* ex *ἕξῃ* corr. S[1] | *αὐτοῦ* primo M ‖ 3 cf. Muson. rel. praef. p. XX s. ‖ 6 *μέλλει* M *μέλει*, *λ* add. pr. manus postquam litteram inter *λ* et *ε* inserere conata est S vocabulum om. A ‖ 7 *συνεργίας* S *-γείας* M A | *παρ' ἀλλ.* coni. Nauck ‖ 9 *μάλιστα μελίσσῃ* A, recepit Meineke ‖ 10 *μὴ* S M: *οὐ* A idque recepit Meineke | *δύνασθαι* M ‖ 12 *τοῦ πλ.* M ‖ 17 *πῶς οὐ — περιβλητέον;* scripsi: *οὕτω — περιβλητέον* libri. cf. Muson. rel. p. 78, 1. 6 H. ‖ 18 *αὑτοῦ* S: *αὐτοῦ* M A; *ἑαυτοῦ* tacite Gesn.[2] ‖ 21 *διαμένῃ* A ‖ 23 *ὅτι*] *οὔτε* A ‖ 24 *οὔτ' ἐξ ἀνδρῶν μόνον* om. A

νωνίας ἄλλην οὐκ ἂν εὕροι τις οὔτ' ἀναγκαιοτέραν οὔτε προσφιλεστέραν. ποῖος γὰρ ἑταῖρος ἑταίρῳ οὕτω προσηνὴς ὡς γυνὴ καταθύμιος τῷ γεγαμηκότι; ποῖος δ' ἀδελφὸς ἀδελφῷ; ποῖος δὲ γονεῦσιν υἱός; τίς δὲ ἀπὼν οὕτω ποθεινὸς ὡς ἀνὴρ γυναικὶ καὶ γυνὴ ἀνδρί; τίνος δὲ παρουσία μᾶλλον ἢ λύπην ἐλαφρύνειεν ἂν ἢ χαρὰν ἐπαυξήσειεν ἢ συμφορὸν ἐπανορθώσειεν; τίσι δὲ νενόμισται κοινὰ εἶναι πάντα, καὶ σώματα καὶ ψυχαὶ καὶ χρήματα, πλὴν ἀνδρὸς καὶ γυναικός; ταῦτά τοι καὶ πάντες ἄνθρωποι πρεσβυτάτην νομίζουσι πασῶν τὴν ἀνδρὸς καὶ γυναικὸς φιλίαν· καὶ οὐδὲ μήτηρ ἢ πατὴρ νοῦν ἔχων οὐδεὶς ἀξιοῖ φίλτερος ⟨εἶναι⟩ τῷ ἑαυτοῦ τέκνῳ τοῦ συνεζευγμένου γάμῳ. καὶ ὁ λόγος δὲ ἐκεῖνος φαίνεται δηλοῦν, ὅσον προτερεῖ τῆς γονέων πρὸς τέκνα φιλίας ἡ γυναικὸς πρὸς ἄνδρα, ὅτι Ἄδμητος δόσιν ταύτην λαβὼν παρὰ θεῶν, εἰ παράσχοι τὸν ἀνθ' ἑαυτοῦ τεθνηξόμενον, ζῆσαι διπλασίω χρόνον τοῦ τεταγμένου αὐτῷ, τῶν μὲν γονέων οὐκ ἔτυχεν ἐθελόντων προαποθανεῖν αὐτοῦ καίτοι γεγηρακότων· ἡ γυνὴ δὲ ἡ γαμετὴ Ἄλκηστις, κομιδῇ νέα οὖσα, ἐδέξατο ἑτοίμως τὸν θάνατον πρὸ τοῦ ἀνδρός.

Ὅτι δὲ μέγα καὶ ἀξιοσπούδαστον ὁ γάμος ἐστί, καὶ ταύτῃ δῆλον. θεοὶ γὰρ ἐπιτροπεύουσιν αὐτόν, καθὸ νομί-

---

1 *οὔτ' ἀναγκ.*: quia modo dixerat matrimonio sublato tolli etiam iustam liberorum procreationem. dubitat tamen num omnia recte hic tradita sint C. Praechter *Hierokles* p. 75 adn. 4 ‖ 2 *ἕτερος ἑτέρω* libri: corr. Gesn.[1] f. 383 mrg. ‖ 3 *δ'* A *δαι* M omisit particulam sed *α* vocis *ἀδελφὸς* ex corr. scr. S ‖ 4 *τίς δὲ* (ut voluit Nauck) A: *τίς δαὶ* S M ‖ 5 *τίνος δὲ* Gaisford: *τίνος δαὶ* SM *τὶς δὲ* A ‖ 7 *δὲ* A: *δαὶ* S M ‖ 9 *σοι* pro *τοι* S ‖ 10 *πασῶν* ex *παντὸς* corr. S[1] ‖ 12 *εἶναι* addidit Nauck | *τῶ ἑαυτοῦ τέκνω* S M A *τῶν ἑαυτοῦ τέκνων* (*νοσ* superscr.) Tr.; *τοῖς ἑαυτοῦ τέκνοις* ci. Geel | *τῶ συνεζευγμένω* (*τῶ συνεζευγμένω* *ησ* superscr. M[2]) S M A: corr. Nauck ‖ 14 *ἢ* M A | *Ἄδμητον* A. cf. Eur. Alc. 1070 ubi Admetum hortatur chorus *χρὴ δ', ὅστις* (malim *εἴ τις*) *εἶ σύ, καρτερεῖν θεοῦ δόσιν* ‖ 16 *διπλάσιον* Gaisford ‖ 19 *ἑτοίμως* SM: *προθύμως* A idque recepit Meineke ‖ 22 *ταύτην* A | *νομίζεται* prop. Zeller *Phil. der Gr.*[3] III 1 p. 732 adn. 5

ζονται παρ' ἀνθρώποις, μεγάλοι· πρώτη μὲν Ἥρα, καὶ διὰ τοῦτο ζυγίαν αὐτὴν προσαγορεύομεν· εἶτα Ἔρως, εἶτα Ἀφροδίτη· πάντας γὰρ τούτους ὑπολαμβάνομεν ἔργον πεποιῆσθαι τοῦτο, συνάγειν ἀλλήλοις πρὸς παιδοποιίαν ἄνδρα καὶ γυναῖκα. ποῦ μὲν γὰρ Ἔρως παραγένοιτ' ἂν δικαιότερον ἢ ἐπὶ νόμιμον ἀνδρὸς καὶ γυναικὸς ὁμιλίαν; ποῦ δὲ Ἥρα; ποῦ δὲ Ἀφροδίτη; πότε δ' ἂν εὐκαιρότερον εὔξαιτό τις τοῖς θεοῖς τούτοις ἢ πρὸς γάμον ἰών; τί δὲ καλοῦντες ἀφροδίσιον ἔργον προσηκόντως ἂν μᾶλλον καλοῖμεν ἢ τὴν γαμετῆς τῷ γεγαμηκότι σύνοδον; διὰ τί τοιγαροῦν φαίη τις ἂν θεοὺς μὲν οὕτω μεγάλους ἐπισκοπεῖν καὶ ἐπιτροπεύειν γάμον καὶ παιδοποιίαν, μὴ προσήκειν δὲ ἀνθρώπῳ ταῦτα; διὰ τί δὲ προσήκειν μὲν τῷ ἀνθρώπῳ ταῦτα, μὴ προσήκειν δὲ τῷ φιλοσόφῳ; πότερον ⟨ὅτι⟩ κακίω εἶναι χρὴ τῶν ἄλλων τὸν φιλόσοφον; ἀλλ' οὐ χρή, κρείττω δὲ καὶ δικαιότερον καὶ καλοκἀγαθικώτερον. ἢ ὅτι κακίων οὐκ ἔστι καὶ ἀδικώτερος ἀνὴρ τοῦ μὲν κηδομένου τῆς ἑαυτοῦ πόλεως ὁ μὴ κηδόμενος, τοῦ δὲ τὸ κοινὸν σκοποῦντος ὁ τὸ αὑτοῦ μόνον ὁρῶν; ἢ ὅτι φιλόπολις καὶ φιλάνθρωπος καὶ κοινωνικὸς μᾶλλόν ἐστιν ὁ μονήρη βίον αἱρούμενος τοῦ νέμοντος οἶκον καὶ ποιουμένου παῖδας καὶ πόλιν αὔξοντος τὴν ἑαυτοῦ, ἅπερ ὑπάρχει τῷ γαμοῦντι; ὅτι μὲν οὖν προσήκει τὸν φιλόσοφον γάμου καὶ παιδοποιίας ἐπιμελεῖσθαι, δῆλον. εἰ δὲ προσήκει τοῦτο, πῶς ἂν ὀρθῶς ἔχοι, ὦ νεανίσκε, ὁ λόγος ἐκεῖνος, ὃν σὺ ἀρτίως ἔλεγες, ὡς ἐμπόδιόν ἐστι τῷ φιλοσοφεῖν γάμος; οὐ γὰρ δὴ φιλοσοφεῖν ἕτερόν τι φαίνεται ὂν ἢ τὸ ἃ πρέπει καὶ ἃ προσήκει λόγῳ μὲν ἀναζητεῖν, ἔργῳ δὲ πράττειν. Τότε μὲν δὴ τοιαῦτά τινα εἶπεν.

---

2 *ζυγίαν* ex *συζυγίαν,* quod scribere instituerat, corr. S *ἀζυγίαν* Tr. ‖ 4 *πεποιῆσθαι*] litt. *ιῆ* in ras. M[2] ‖ 5 v. *Ἔρως* et (7) *Ἥρα* sedem mutare iubet Meineke coll. 1 s. | *παραγένοιτ'* A: *παραγίνοιτ'* S M ‖ 8 *δὲ* A *δαὶ* S M ‖ 11 *οὕτωσ* M ‖ 12 *δαὶ* pro *δὲ* M ‖ 14 *προσήκει δὲ* A | *ὅτι* addidi | *κακίω*] *ω* in ras. M[2] | 16 *δὲ* S M: *γὰρ* A ‖ 17 *κακίων*] *ω* in ras. M[2] | *ἂν ἀνὴρ* A ‖ 18 *φειδόμενος* A ‖ 19 *αὐτοῦ* M ‖ 21 *πόλιν ἄξιον αὔξοντος* A ‖ 26 *τῷ φιλοσοφεῖν* scripsi coll. diatribae initio: *τῶ φιλοσόφω* libri | *γάμος* ex *λόγος* corr. S[1] | *δεῖ* M[1] *δὴ* M[2]

21 *Ἱεροκλέους ἐκ τοῦ Περὶ γάμου* (p. 52 Arnim).

Ἀναγκαιότατός ἐστιν ὁ περὶ τοῦ γάμου λόγος. ἅπαν μὲν γὰρ ἡμῶν τὸ γένος ἔφυ πρὸς κοινωνίαν, πρώτη δὲ καὶ στοιχειωδεστάτη τῶν κοινωνιῶν ἡ κατὰ τὸν γάμον. οὔτε γὰρ πόλεις ἂν ἦσαν μὴ ὄντων οἴκων, οἶκός τε ἡμιτελὴς μὲν τῷ ὄντι ὁ τοῦ ἀγάμου, τέλειος δὲ καὶ πλήρης ὁ τοῦ γεγαμηκότος.

22 *Ἐν ταὐτῷ* (p. 52 Arn.).

Οὐκοῦν ἔχομεν ἐν τοῖς περὶ οἴκων ἀποδεδειγμένον, ὡς τῷ σοφῷ προηγούμενος μέν ἐστιν ὁ μετὰ γάμου βίος, ὁ δ' ἄνευ γυναικὸς κατὰ περίστασιν· ὥστ' ἐπειδὴ χρὴ μὲν ἐν οἷς γε δυνάμεθα μιμεῖσθαι τὸν ἔχοντα νοῦν, τούτῳ δὲ προηγούμενόν ἐστι τὸ γαμεῖν, δῆλον ὅτι καὶ ἡμῖν ἂν εἴη καθῆκον, εἴ γε μή τις εἴη περίστασις ἐμποδών. καὶ δὴ τοῦτο μὲν πρῶτον. ἔοικε δὲ καὶ πρὸ τοῦ σοφοῦ παρακαλεῖν ἡμᾶς ἡ καὶ αὐτὸν τὸν σοφὸν ἐπὶ τὸν γάμον ἐξοτρύνουσα φύσις, ἥ τις οὐ συναγελαστικοὺς ἡμᾶς ἀπειργάσατο μόνον, ἀλλὰ καὶ συνδυαστικούς, μετὰ τοῦ καὶ ἕν τε καὶ κοινὸν ἔργον ὑποθεῖναι τῷ συνδυασμῷ· λέγω δὲ τὴν παίδων γένεσιν καὶ βίου διεξαγωγὴν εὐσταθοῦς. δικαία δὲ διδάσκαλος ἡ φύσις, ὅτι τῇ παρ' αὐτῆς κατασκευῇ σύμφωνον τὴν ἐκλογὴν χρὴ γίγνεσθαι τῶν καθηκόντων. ζῇ γοῦν ἕκαστον τῶν ζῴων ἑπομένως τῇ ἑαυτοῦ φυσικῇ κατασκευῇ, καὶ νὴ Δία τὸ φυτὸν ἅπαν ὡσαύτως κατὰ τὸ ἐπὶ αὐτῶν

---

1 ecl. cum lemm. hab. SMA, *ἐκ τοῦ περὶ γάμου* Tr. *περὶ γάμου* SMA. cf. lemma eclogae 25 ‖ 2 *ἀναγκαιότατος* etiam A ‖ 4 *τῶν* Tr.: om. SMA ‖ 5 *οὐδὲ* prop. de Arnim, idem mox *οἶκος δὲ* ‖ 6 *καὶ* Tr. M²: om. SM¹A. suspectum *πλήρης* Meinekio ‖ 8 ecl. cum lemm. hab. SMA ‖ 9 *οἴκων* A: *οἰκιῶν* SM ‖ 10 *ὡς τῷ* Meineke: *ὥστε* libri ‖ 12 *δυνάμεθα*] *δυ* ex *μι* corr. S¹ ‖ 15 v. *πρὸ τοῦ σοφοῦ* vix integra. an *πρὸ τούτου*? ‖ 16 post *ἡμᾶς* per errorem praecepit *ἀπειργ. μόνον* (17) sed delevit A | *ἐξοτρύνουσα* SA (coaluerunt *ο* et *υ* in S unde error Gaisfordi) *ἐξοτρύνασα* M ‖ 18 *καὶ* (ante *εν*) SM superscr. A¹, seclusit Meineke | *ὑποθῆναι* Tr. ‖ 20 *δικαία δὲ διδ. ἡ φύσις*] cf. Hierocles ed. Arn. col. 2 v. 51 ‖ 21 *ὥστε* pro *ὅτι* ci. Nauck ‖ 22 *γίγνεσθαι* libri ut p. 503, 21, sed vide p. 504, 13. 506, 5. 12. 23, al. *γίνεσθαι* scribi solet in papyro Berol. ‖ 23 *τῶν ζώων* SA *τὸ ζῶον* M ‖ 24 *αὐτῶν* prop. Gesn.¹ marg.: *τῶν* MA *τὸν* ex *τῶν* corr. S¹

λεγόμενον ζῆν, πλὴν οὐκ ἐκλογισμῷ καὶ ἀριθμήσει τινὶ χρώμενα καὶ ταῖς ἀπὸ τῶν βασανιζομένων ἐκλογαῖς, ἀλλὰ τὰ μὲν φυτὰ τῇ φύσει ψιλῇ, ψυχῆς γάρ ἐστιν ἀμέτοχα, τὰ δὲ ζῷα φαντασίαις τε σπώσαις ἐπὶ τὰ οἰκεῖα καὶ ἐξελαυνούσαις προθυμίαις. ἡμῖν δὲ ἡ φύσις ἔδωκε τὸν λόγον τά τε ἄλλα πάντα καὶ σὺν πᾶσι, μᾶλλον δὲ πρὸ πάντων αὐτὴν κατοψόμενον τὴν φύσιν, ὅπως ὡς πρός τινα σκοπὸν εὐφεγγῆ τε καὶ ἀραρότα τεταμένος ταύτην, ἐκλεγόμενός τε τὸ σύμφωνον αὐτῇ πᾶν καθηκόντως βιοῦντας ἡμᾶς ἀπεργάζοιτο.

23 Ἐν ταὐτῷ (p. 53 Arn.).

Ὅθεν καὶ οὐκ ἂν ἁμάρτοι τις ἀτελῆ φήσας οἰκίαν τὴν ἄνευ γάμου, τῷ μήτε τὸ ἄρχον ἄνευ τοῦ ἀρχομένου δύνασθαι νοηθῆναι μήτ᾽ ἄνευ τοῦ ἄρχοντος τὸ ἀρχόμενον· οὗτος γὰρ ὁ λόγος εὖ μάλα μοι δοκεῖ δυσωπεῖν τοὺς ἠλλοτριωμένους πρὸς γάμον.

24 Ἐν ταὐτῷ (p. 53 Arn.).

Φημὶ τοίνυν καὶ σύμφορον εἶναι τὸν γάμον πρῶτον μὲν ὅτι θεῖον ὡς ἀληθῶς φέρει καρπὸν τὴν παίδων γένεσιν, οἳ παραστάται μὲν ἡμῖν οἷον συμφυεῖς ἔτι καὶ αὐτοῖς ἐρρωμένοις ἐν ἁπάσαις γίγνονται πράξεσιν, ἀγαθοὶ δὲ ἐπίκουροι κάμνουσιν ὑφ᾽ ἡλικίας καὶ γήρᾳ πιεζομένοις, οἰκεῖοι μὲν ἐν εὐπραγίαις εὐφροσύνης κοινωνοί, συμπαθεῖς δὲ ἐν τοῖς ἐναντίοις καιροῖς διάδοχοι τῶν ἀνιαρῶν. ἔπειτα

---

1 λεγόμενον SM λεγομένων A | ἀριθμήσει] ἀνακρίσει Bentley | τινι A τινὰ SM ‖ 2 ἀπὸ Needham: ὑπὸ SMA | βασανιζομένων MA -μέναις S ‖ 3 φυτὰ post φύσει libri, traiecit Needham | ψυχῆς A ψυχῇ SM ‖ 4 ἐλαυνούσαις prop. Needham, cf. p. 502, 16 ἐξοτρύνουσα ‖ 5 προθυμίας A ‖ 7 ὅπως SA οὕτωσ M ‖ 8 εὐφεγγῆ τε Gesn.²: εὖ φέγγη τε S εὖ φεύγη τε MA | τεταγμένος libri: corr. Meineke ‖ 11 ecl. cum lemm. hab. SMA ‖ 12 καὶ om. Tr. ‖ 13 τῷ ex τὸ corr. A¹ τὸ Tr. ‖ 17 ecl. cum lemm. hab. MA, sine lemm. S. cum praegressa cohaeret ecloga in S ‖ 18 συμφέρων γάμοσ in marg. dextro adscr. M m. rec. ‖ 19 τὴν παίδων γένεσιν SA: τὴν γένεσιν τῶν παίδων M unde tacite τὴν τῶν παίδων γ. Gesn.² ‖ 21 γίγνονται tacite Gesn.²: γίγνεται SMA γίγνεσθαι Tr. | ἀγαθοὶ prop. Gesn.¹ marg.: ἀγαθοῖς SMA ‖ 22 πιεζομένοις Tr.: πιεζομένους SMA

καὶ πρὸ γενέσεως τέκνων λυσιτελὴς ἡ μετὰ γυναικὸς συμβίωσις. πρῶτον μὲν γὰρ ἀποτετρυμένους τοῖς θυραίοις καμάτοις ὑποδέχεται θεραπευτικῶς ἀναλαμβάνουσα καὶ μετ᾽ ἐπιμελείας ἀνακτωμένη πάσης· ἔπειτα τῶν ὄντων δυσχερῶν ἐν τῇ διανοίᾳ λήθην ἐντίθησι. τὰ γὰρ σκυθρωπὰ τοῦ βίου περὶ μὲν τὴν ἀγορὰν ἢ τὸ γυμνάσιον ἢ τὸ χωρίον ἢ καθόλου πάσας μερίμνας ἀσχολοῦσι καὶ περὶ τοὺς φίλους τε καὶ συνήθεις διατρίβουσιν ἡμῖν οὐκ ἔστι πρόχειρα τοῖς ἀναγκαίοις ἐπιπροσθούμενα περισπασμοῖς· ἀνεθεῖσι δ᾽ ἐκ τούτων εἴς τε τὴν οἰκίαν ἐπανελθοῦσι καὶ οἷον εὐσχόλοις τὴν ψυχὴν γενομένοις ἐμπελάζει καιρῷ χρώμενα τούτῳ τοῦ ἀνιᾶν ἡμᾶς, ὅταν γε ἔρημος εὐνοίας καὶ μονήρης ὁ βίος ᾖ. γυνὴ δὲ παροῦσα μεγάλη γίνεται καὶ πρὸς ταῦτα παρηγορία, πυνθανομένη τι περὶ τῶν ἐκτὸς ἢ περὶ τῶν ἔνδον ἀναφέρουσα καὶ συνδιασκεπτομένη καί τινα διάχυσιν κἀξ ἀπλάστου προθυμίας εὐφροσύνην παρέχουσα. καὶ μὴν οἵα μέν ἐστιν ἐν ἑορταῖς συνεπιμεληθῆναι θυσιῶν καὶ ἱερουργιῶν, οἵα δ᾽ ἐν ἀνδρὸς ἀποδημίαις εὐσταθῆ διατηρῆσαι καὶ μὴ παντάπασιν ἀπροστάτητον τὸν οἶκον, οἵα δὲ κηδεμὼν οἰκετῶν, οἵα δὲ δὴ ἐν νόσοις [οἵα] παραστάτις, μακρὸς ἂν γένοιθ᾽ ὁ λόγος πάντ᾽ ἐπεξιὼν τὰ κατὰ μέρος. ἀρκεῖ γὰρ κεφάλαιον εἰπεῖν, ὡς δεῖ μὲν ἅπασιν ἀνθρώποις

---

1 *πρὸ γενέσεως* Gaisford: *προσγενέσεως* SA *προσ γενέσεωσ* M *πρὸς γένεσιν* Tr. *πρὸς γενέσει* Bentley, *χωρὶς γενέσεως* Halm lect. Stob. p. 19. an *ἐκτὸς γενέσεως?* ‖ 2 *ἀποτετρυμένους* cod. Par. 1985 teste Gaisfordo: *ἀποτετρυμμένους* SMA *-τετριμμένους* Tr. | *θηραίοισ* M ‖ 7 *πάσας μερίμνας ἀσχολοῦσι* Diels: *πάσης μερίμνης* (*-μνησσ* vel *-μνηουσ* M) *ἀσχολίας* libri. *πάσας μερίμνας* praeivit Needham, *ἀσχόλοις* Halm l. c. p. 20 priora non recte interpretatus ‖ 9 *περισπασμοί* SMA: corr. Gesn.[1] f. 385[v] ‖ 10 *συσχ-* vel *συνσχόλοις* S *συσχόλοι* M *ἀσχόλοις* A: corr. Gaisford ‖ 11 *ἐν πελάζει* MA | *χρώμενα* M *κρώμενα* S *κλώμενα* A ‖ 12 *γε* Gesn.[2]: *γὰρ* SMA. *περ* prop. Meineke ‖ 13 *βίος. ἡ γυνὴ* libri: corr. Diels ‖ 14 *ἐντὸσ* M ‖ 15 *ἔνδον* in *ἔνδων* corr. M[1] ‖ 16 *ἀπλάστου*] post *υ* nescio quid in S quod tamen *σ* esse nequit ‖ 19 *ἀπροστάτητον* MA *-τευτον* S | *οἵα δὲ κηδεμὼν* Bentley: *οἷα* (*οἷα* etiam S) *δοκεῖ δαίμων* SMA ‖ 20 *οἵα δὲ ἐν νόσοις οἵα* (sine acc., *ο* ex corr. ut videtur S) *δὴ* libri: *οἵα* seclusit Bentley, *δὴ* traiecit Praechter | *παράστατις* A

πρὸς μετρίαν τοῦ βίου διεξαγωγὴν δυοῖν, συγγενικῆς ἐπικουρίας καὶ συμπαθοῦς εὐνοίας· οὔτε δὲ συμπαθέστερόν τι γυναικὸς εὕροιμεν ἂν οὔτε τέκνων συγγενέστερον. παρέχει δ' ἑκάτερον ὁ γάμος. πῶς οὖν οὐχὶ λυσιτελέστατον ἡμῖν; ἀλλ' ἔγωγε καὶ καλὸν ἡγοῦμαι τὸν μετὰ γάμου βίον. τίς γὰρ ἕτερος τοιοῦτος γένοιτ' ἂν οἰκίας κόσμος οἷός ἐστιν ὁ κατὰ τὴν ἀνδρὸς καὶ γυναικὸς κοινωνίαν; οὐ μὲν δὴ πολυτελεῖς οἶκοι καὶ ὀρθόστρωτοι τοῖχοι καὶ περίστοα τοῖς ὑπὸ τῆς ἀπειραγαθίας θαυμαζομένοις λίθοις διακεκοσμημένα οὐδὲ ζωγραφία καὶ ψαλιστοὶ μυρρινῶνες οὐδ' ἄλλο τι τῶν ἐκπληττόντων τοὺς ἠλιθίους κάλλος ἐστὶν οἰκίας, ἀλλὰ ζεῦγος ἀνδρὸς καὶ γυναικός, συγκαθειμαρμένων ἀλλήλοις καὶ καθιερωμένων θεοῖς γαμηλίοις γενεθλίοις ἐφεστίοις, συμφωνούντων μὲν ἀλλήλοις καὶ πάντα κοινὰ πεποιημένων μέχρι καὶ τῶν σωμάτων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν ψυχῶν, καὶ περὶ προστασίαν μὲν ἐχόντων τὴν ἐπιβάλλουσαν τοῦ οἴκου καὶ τῶν θεραπόντων, ἀνατροφὴν δὲ καὶ κηδεμονίαν τῶν τέκνων, ἐπιμέλειαν δὲ οὔτε σύντονον οὔτε μὴν ῥάθυμον ἀλλ' ἐμμελῆ καὶ καθηρμοσμένην τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. τί γὰρ ἂν γένοιτο 'κρεῖσσον καὶ ἄρειον' κατὰ τὸν θαυμασιώτατον Ὅμηρον, 'ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκι' ἔχητον ἀνὴρ ἠδὲ γυνή;' διὸ καὶ πολλάκις ἐθαύμασα τοὺς ὡς βαρὺν ἡγουμένους τὸν μετὰ γυναικὸς βίον. οὐ γὰρ δὴ γυνὴ μὰ Δία βάρος ἢ φορτίον ἐστί, καθάπερ οὗτοι δοκοῦσιν· ἀλλ' ἥδε μὲν κἀκ τῶν ἐναντίων κοῦφόν τι καὶ ῥᾷστα φέρεσθαι δυνάμενον, μᾶλλον δὲ καὶ τῶν ὄντως ἐπαχθῶν καὶ βαρέων κουφιστικόν.

---

4 *ὅτι καλὸς ὁ γάμοσ* M m. rec. in marg. sinistro | *οὖν* om. A ‖ 5 *μετὰ* S M A *τοῦ* Tr. ‖ 7 *ἀνδρὸς* bis scr. S ‖ 8 *πολυτελεῖς* S *ποτελεῖσ* M *ποτατελεῖς* A | *οἰκοῖ* M | *λιθόστρωτοι* prop. Cobet mnemos. IX p. 135, nuper etiam Diels, dubito tamen quia statim subiciuntur *περίστοα . . . λίθοις διακεκοσμημένα.* defenderat *ὀρθόστρωτοι* Salmasius sic: '*ὀρθόστρ. τοῖχοι* sunt *ὀρθομαρμαρωτοί* h. e. *crustis marmoreis et laminis inducti*' | *περίστοα*] cf. Croenert mem. gr. Herc. p. 122 adn. 3 ‖ 16 *περὶ* seclusit Gesn.³ p. 416; usitatius esse *ἔχειν ἀμφί τι* monet Praechter | an *μὲν ὄντων*? ‖ 19 *μὴν* A *μὴ* SM ‖ 20 *ἀναγκαῖον* A | Od. VI 182 ss. ‖ 22 *οἶκον* Hom. ‖ 24 *γὰρ δὴ* Diels: *γὰρ ἡ* libri ‖ 25 *ἀλλήδε* M ‖ 27 *ἐπαχθέων* A

οὐδὲν γὰρ οὕτω φορτικόν ἐστι τῶν ὄντων, ὥστε μὴ ῥᾷον εἶναι συμφρονοῦσί γε ἀνδρὶ καὶ γυναικὶ καὶ κοινῇ φέρειν αὐτὸ βουλομένοις. βαρὺ δέ ἐστιν ὡς ἀληθῶς ἀφροσύνη καὶ δύσοιστον τοῖς αὐτὴν κεκτημένοις, ὑφ' ἧς δὴ καὶ τὰ φύσει κοῦφα γίνεται βαρέα, τά τε ἄλλα καὶ γυνή. τῷ ὄντι γὰρ δὴ καὶ συχνοῖς [γὰρ] τισιν ἀφόρητος ἐγένετο ὁ γάμος, ἀλλ' οὐχὶ παρ' ἑαυτοῦ οὐδὲ τῷ φύσει τοιάνδε τὴν μετὰ γυναικὸς εἶναι κοινωνίαν· ἀλλ' ὅταν γαμῶμεν ἃς μὴ δεῖ, μετὰ τοῦ καὶ αὐτοὶ παντάπασιν ἀπειροβίως διακεῖσθαι καὶ ἀπαρασκεύως ἔχειν πρὸς τὸ ἀγαγεῖν ὡς χρὴ τὴν ἐλευθέραν ἄγεσθαι, τὸ τηνικαῦτα συμβαίνει χαλεπὴν καὶ ἀφόρητον γίνεσθαι τὴν κοινωνίαν. ἀμέλει καὶ ταύτῃ χωρεῖ τοῖς πολλοῖς ὁ γάμος. οὐ γὰρ ἐπὶ παίδων γενέσει καὶ βίου κοινωνίᾳ ἄγονται γυναῖκας· ἀλλ' οἱ μὲν διὰ προικὸς ὄγκον, οἱ δὲ δι' ἐξοχὴν μορφῆς, οἱ δὲ δι' ἄλλας τινὰς τοιουτοτρόπους αἰτίας, αἷς χρώμενοι κακαῖς συμβούλοις, οὐδὲν περὶ τῆς διαθέσεως καὶ τοῦ ἤθους τῆς νύμφης πολυπραγμονήσαντες, ὄλεθρον αὑτῶν θύουσι τὸν γάμον, καὶ θύραις κατεστεμμέναις τύραννον ἀντὶ γυναικὸς ἐπεισάγουσιν ἑαυτοῖς, καὶ ταῦτα μηδὲ ἐφ' ὁποσονοῦν ἀνταρκέσαι δυνάμενοι καὶ τὴν περὶ τῶν πρωτείων ἅμιλλαν ἀγωνίσασθαι. φανερὸν οὖν, ὡς οὐ δι' αὑτὸν ἀλλὰ διὰ ταῦτα πολλοῖς βαρὺς καὶ ἀφόρητος ὁ γάμος γίνεται. χρὴ δ' οὔτ' ἀναίτια, φησίν, αἰτιᾶσθαι οὔτ' ἔγκλημα πραγμάτων ποιεῖσθαι τὴν αὑτῶν ἀσθένειαν καὶ περὶ τὴν χρῆσιν αὐτῶν ⟨ἄγνοιαν⟩. ἐπεί τοι καὶ ἀλόγιστον ἄλλως πανταχόθεν μὲν ἀφορμὰς ζητεῖν φιλιῶν καί τινας προσποιεῖ-

1 *ῥᾷον* Nauck (per litt.): *ῥᾷστον* (vel *ῥᾳ-*) libri ‖ 4 *δὴ* S A *δὲ* M ‖ 5 *τά τε ἄλλα* supra lin. S[1] ‖ 6 *γὰρ καὶ συχνοῖς γὰρ δὴ* S M A: alterum *γὰρ* secl. Tr., *δὴ* traiecit Praechter ‖ 7 *ἑαυτῷ* (vel *-ῷ*): corr. Halm lect. Stob. p. 20 | *τὰ φύσει τοιάδε* A ‖ 11 *ἄγεσθαι* A *ἀγέσθαι* S M ‖ 12 *χωρεῖ ταύτῃ* Praechter ‖ 13 *γένεσιν καὶ — κοινωνίαν* libri: corr. Meineke ‖ 16 *κακαῖς* M A *κακοῖς* S ‖ 18 *αὑτῶν* tacite Meineke: *αὐτῶν* libri ‖ 20 *αὐταρκέσαι* vel *ἀντ-* (ε ex corr.) S ‖ 22 *αὐτὸν* libri: tacite corr. Meineke ‖ 24 *ἀναντία* A | *φησὶν* A: *φασὶν* S M. Hom. Od. XX 135 | *οὐδ'* M | *πραγμάτων ποιεῖσθαι* S *ποιεῖσθαι πραγμάτων* M A ‖ 25 *αὐτῶν* S *αὑτῶν* M A ‖ 26 *ἄγνοιαν* suppl. Praechter, *ἀπειρίαν* Meineke. potest etiam *κακοβουλίαν* coll. v. 16

σθαι φίλους καὶ ἑταίρους οἷον συμμάχους ἐσομένους πρὸς τὰ τοῦ βίου δυσχερῆ, τὴν δὲ καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τῶν νόμων καὶ παρὰ τῶν θεῶν διδομένην μισεῖν συμμαχίαν τε καὶ βοήθειαν, τουτέστι τὴν ἐκ γυναικὸς καὶ τέκνων.

25 *Ἀντιπάτρου ἐκ τοῦ Περὶ γάμου* (fr. 63 Arn.).

Ὁ εὐγενὴς καὶ εὔψυχος νέος, ἔτι δ' ἥμερος καὶ πολιτικός, θεωρῶν διότι τέλειος οἶκος καὶ βίος οὐκ ἄλλως δύναται γενέσθαι, ἢ μετὰ γυναικὸς καὶ τέκνων· ἀτελὴς γὰρ ⟨οἰκία⟩, ὥσπερ πόλις, οὐχ ἡ ἐκ γυναικῶν μόνον, ἀλλὰ καὶ ἐκ ψιλῶν ἀνδρῶν· ὃν τρόπον τε ποίμνη ἐπιγονὴν μὴ ἔχουσα οὐ καλὴ οὐδὲ βουκόλιον εὐθηνοῦν, πολὺ μᾶλλον οὐδὲ πόλις οὐδ' οἰκία· ταῦτά τε δὴ κατανενοηκὼς ὁ εὐγενὴς καὶ ὡς φύσει πολιτικὸν γενόμενον συναύξειν τὴν πατρίδα δεῖ . . . καὶ γὰρ οὐκ ἂν ἄλλως δύναιντο αἱ πόλεις σῴζεσθαι, εἰ μὴ οἱ βέλτιστοι ταῖς φύσεσι τῶν πολιτῶν [ἢ] τῶν γενναίων παῖδες, τῶν προτέρων καθαπερεὶ φύλλων καλοῦ δένδρου ἀπομαραινομένων καὶ ἀπορρεόντων, οὗτοι καθ' ὥραν γαμοῖεν, καθαπερεί τινας γενναίους βλαστοὺς διαδόχους τῇ πατρίδι καταλείποντες, οἳ θάλλειν αὐτὴν ἀεὶ ποιοῖεν, καὶ τὴν ἀκμὴν ἀΐδιον φυλάττοιεν, καὶ ὅσον ἐφ' ἑαυτοῖς μηδέποτ' εὐεπίθετον τοῖς ἐχθροῖς, στο-

---

1 *ἑταίρους* S *ἑτέρους* M A ‖ 3 *δεδομένην* Nauck (per litt.) | *μισεῖν* scripsi: *ἄνεσιν* S M A; *ἀγνοεῖν* prop. Mekler ‖ 5 *τέκνων* S M A: *τέκνων μὴ ζητεῖν τε καὶ προσποιεῖσθαι* Tr. qua interpolatione decepti sunt editores ‖ 6 ecl. cum lemm. hab. S M A ‖ 7 *ἔμψυχος* A ‖ 10 *οἰκία* suppl. de Arnim ‖ 12 *καλή* M[1] *-λήν* M[2] ‖ 13 *τε* coniecerat Halm lect. Stob. p. 17, recepit de Arnim: *δὲ* libri ‖ 14 post *γενόμενον* lacunam signavit Meineke qui praeterea *ζῷον* expectat ad *πολιτικὸν*, sed vide ne post *δεῖ* potius nonnulla exciderint velut quod coniecit Halm lect. Stob. p. 17 *οὐκ ὀκνήσει καθ' ὥραν γαμεῖν*. nam novam parenthesin admissam esse ab Antipatro eamque durissimam quod putat de Arnim veri vix simile est | *συναύξει* M ‖ 15 *δύνανται* A ‖ 17 *ἢ* seclusit de Arnim | *προτέρων*] *πατέρων* scr. de Arnim ‖ 18 *φύλλον* in *φύλλων* corr. M[1] ‖ 19 *γαμῶιεν* S *-ῶεν* M A: corr. Tr. ‖ 20 *βλαστοὺς*] *μαστους* sine acc. S | *καταλιπόντες* libri: corr. Meineke | *οἳ* libri: *καὶ* de Arnim ‖ 22 post *ἐχθροῖς* plenius distinxit, post *στοχαζόμενοι* addidit *οὖν* Meineke

χαζόμενοι τοῦ καὶ ζῶντες καὶ μεταλλάξαντες ἀμύνειν τῇ πατρίδι καὶ βοηθεῖν. τῶν ⟨οὖν⟩ ἀναγκαιοτάτων καὶ πρώτων καθηκόντων νομίζουσι τὸ συγκραθῆναι εἰς γάμον, πᾶν μὲν τὸ τῇ φύσει ἐπιβάλλον σπεύδοντες ἐπιτελεῖν, πολὺ δὲ μάλιστα τὸ εἰς τὴν τῆς πατρίδος σωτηρίαν καὶ αὔξησιν ἀνῆκον, καὶ ἔτι μᾶλλον εἰς τὴν τῶν θεῶν τιμήν. εἰ γὰρ ἐκλείποι τὸ γένος, τίς τοῖς θεοῖς θύσει; λύκοι τινὲς ἢ ταυροκτόνων γένος λεόντων. συμβέβηκε δὲ καὶ τὸν μὴ πεῖραν ἐσχηκότα γαμετῆς γυναικὸς καὶ τέκνων ἄγευστον εἶναι τῆς ἀληθινωτάτης καὶ γνησίου εὐνοίας. αἱ μὲν γὰρ ἄλλαι φιλίαι ἢ φιλοστοργίαι ἐοίκασι ταῖς τῶν ὀσπρίων ἤ τινων ἄλλων παραπλησίων κατὰ τὰς παραθέσεις μίξεσιν, αἱ δ' ἀνδρὸς καὶ γυναικὸς ταῖς δι' ὅλων κράσεσιν, ὡς οἶνος ὕδατι, καὶ τοῦτο † ἔτι μὲν μίσγεται δι' ὅλων. οὐ γὰρ μόνον τῆς οὐσίας καὶ τῶν φιλτάτων πᾶσιν ἀνθρώποις τέκνων καὶ τῆς ψυχῆς, ἀλλὰ καὶ τῶν σωμάτων οὗτοι μόνοι κοινωνοῦσι. καὶ κατ' ἄλλον δὲ τρόπον εἰκότως μεγίστη ἐστίν. αἱ μὲν γὰρ ἄλλαι κοινωνίαι καὶ ἑτέρας τινὰς ἀποστροφὰς ἔχουσι·

ταύτας δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν

τὴν τοῦ ἀνδρός. προστίθεται γὰρ † σώζουσα πατρὸς καὶ

2 distinxi post *βοηθεῖν*, post *τῶν* addidi *οὖν* ‖ 3 *πρὸ τῶν* libri: corr. Gesn.[1] f. 386ᵛ mrg. | *συγκραθεῖναι* M ‖ 4 *παρὰ μὲν* A ‖ 6 *ἀνῆκον* om. typothetae incuria ed. Lips. Gaisf. et Meineke ‖ 7 *ἐκλείποι* M *ἐκλίποι* S | *τί τοῖς* A ‖ 8 cf. Soph. Phil. 400 ‖ 10 *ἀληθεινωτάτησ* M | *γνησίου* sed *υ* in ras. scr. nescio qua m. S ‖ 12 *παραθέσεις — κράσεσιν*] de hac Stoicorum distinctione vide supra Stob. I p. 154, 8 ss. W. ‖ 14 *ἔτι μὲν* S M A corrupte; *ἐπιμένων* scr. de Arnim. cf. Stob. I p. 154, 23. 155, 6 W. non recte seclusit Meineke v. *ὡς οἶνος — δι' ὅλων*, cf. Stob. I p. 155, 4 W. ‖ 16 *καὶ τῆς ψυχῆς ἀλλὰ καὶ τῶν σωμάτων*] *καὶ τῶν σωμάτων ἀλλὰ καὶ τῆς ψυχῆς* scr. Meineke memor fortasse Hieroclis p. 505, 15, sed cf. Muson. rel. p. 67, 10 s. H. ‖ 20 *ἡμῖν δ' ἀνάγκη — βλέπειν* Eur. Med. 247 ‖ 21 *τὴν τοῦ ἀνδρὸς* (*προστίθεται — μὴ ἀγνώμονος*) *ἕνα* ⟨*τε*⟩ *τοῦτον κτέ.* de Arnim | *προτίθεται* non bene Wyttenbach | *σώζουσα* libri corrupte: *ἥ γε* (vel *ὡς*) *οὖσα* prop. Gaisford, *σώφρονος οὖσα* Meineke, *οὕτω ἡ οὖσα* scr. de Arnim parenthesi includens v. *προστίθεται — μὴ ἀγνώμονος*

μητρὸς μὴ ἀγνώμονος ἕνα τοῦτον σκοπὸν τοῦ βίου ποιεῖσθαι καὶ τέλος, τούτῳ ἀρέσκειν, αὐτῶν τῶν γονέων ἑκατέρων παραχωρούντων ἑκουσίως τὰ πρῶτα τῆς εὐνοίας ἀπονέμειν, τὴν μὲν τῷ ἀνδρί, τὸν δὲ τῇ γυναικί. οὐκ ἀπείρως ⟨δὲ⟩ τῆς πρὸς γυναῖκα συμβιώσεως καὶ ὁ Εὐριπίδης εἰς ταῦτα ἀποβλέψας καὶ ἀποθέμενος τὴν ἐν τῷ γράφειν μισογυνίαν ταῦτ᾽ εἴρηκεν·

γυνὴ γὰρ ἐν νόσοισι καὶ κακοῖς πόσει
ἥδιστόν ἐστι, δώματ᾽ ἢν οἰκῇ καλῶς,
ὀργήν τε πραΰνουσα ⟨καὶ δυσθυμίας
ψυχὴν μεθιστᾶσ᾽·⟩ ἡδὺ καὶ ἀπάται φίλων.

τυγχάνει δὲ καὶ ἡρωϊκὸν τὸ πρᾶγμα. νῦν δὲ ἐν ἐνίαις πόλεσιν ἅμα τῇ ἄλλῃ τῇ καθεστώσῃ ἐκλύσει καὶ ἀναρχίᾳ καὶ τῇ ἐπὶ τὸ καταφερὲς ⟨καὶ⟩ ῥᾴθυμον ἐπικλίσει καὶ τὸ γαμεῖν τῶν χαλεπωτάτων εἶναι δοκεῖ· τὸν δ᾽ ἤθεον ⟨βίον⟩, ἐξουσίαν διδόντα πρὸς ἀκολασίαν καὶ ποικίλων ἡδονῶν ἀπόλαυσιν ἀγεννῶν καὶ μικροχαρῶν, ἰσόθεον νομίζουσι, τὴν δὲ τῆς γυναικὸς εἴσοδον οἱονεί τινος φρουρᾶς εἰς πόλιν εἰσαγωγήν. ἔοικε μέντοι δύσκολος ἐνίοις ὁ μετὰ γυναικὸς φαίνεσθαι βίος διὰ τὸ μὴ δύνασθαι ἄρχειν ἀλλ᾽ ἡδονῆς δούλους εἶναι, καὶ τοὺς μὲν ὑπὸ τοῦ κάλλους

---

1 an *ἀγνώμονος ὡς* (vel *ὥσθ᾽*)? ‖ 2 *ποιεῖσθαι τοῦ βίου* M | *τούτῳ* M: *τοῦ τὸ* S *τούτων* A | *αὐτῶν* Tr.: *αὐτῷ* (vel *-ῷ*) SMA ‖ 4 *τὸν* ex *τὴν* corr. S[1] ex *τῷ* A[1] ‖ 5 *δὲ* inseruit Gesn.[2], sed cf. p. 512, 1 ‖ 7 *μισογονίαν* A ‖ 8 Eur. fr. 822 N.[2] leguntur versus supra ecl. 15 addito lemmate *Εὐρ. Φρίξῳ* | *γυνὴ* M *εὐνὴ* SA | *ἐν κακοῖσι καὶ νόσοις* rectius libri supra | *πόσει* libri supra: *νοσεῖ* SMA ‖ 9 *ἐστι δώματ᾽ ἢν οἰκῇ* libri supra: *ἐπι δῶμα ἂν οἰκῇ* S *ἐπὶ δῶματ᾽ ἀνοικῇ* M *ἐπὶ δώματ᾽ ἢν οἰκῇ* A ‖ 10 v. *καὶ — μεθιστᾶσ᾽* tacite ex ecl. 15 supplevit Gesn.[1] ‖ 11 *ἡδὺν καὶ ἀπαντᾶ* (*ἅπαντα* A) libri ecl. 15 ‖ 12 v. *τυγχάνει* — p. 510, 16 *γυνὴ δόξῃ* om. S, primus ex M dedit Gesn.[2] | *ἐνίαις* ci. Gesn.[2]: *ἰδίαις* MA ‖ 14 *καὶ* inseruit Wyttenbach ‖ 15 *τὸν δ᾽ ἤθεον ⟨βίον⟩* Meineke: *τὸν δὴ θεὸν* libri; *βίον δ᾽ ἤθεον* praeiverat Iacobs observans etiam paronomasian (*ἤθεον — ἰσόθεον*). cf. Quintil. I 6, 36 *ingenioseque visus est Gavius 'caelibes' dicere veluti 'caelites'* ‖ 18 *τὴν δὲ τῆς* M *τὴν δὲ πρὸς τῆς* A; *τὴν δ᾽ ἐραστῆς* inutiliter Meineke, non utilius *τὴν δὲ γαμετῆς* de Arnim. recte iudicaverat Gaisford

τεθηρευμένους, τοὺς ⟨δ'⟩ ὑπὸ τῆς προικός, τὰ μὲν ἀπ' αὐτῆς ἑκουσίως καταχαρίζεσθαι τῇ γυναικὶ καὶ μὴ διδάσκειν περὶ οἰκονομίας μηθὲν μηδὲ περὶ αὐξήσεως οἴκου μηδὲ τίνος ἕνεκα συνεληλύθασι, μηδὲ περὶ θεῶν εὐσεβείας καὶ δόξης καὶ δεισιδαιμονίας ἐμποιεῖν, μηδὲ τὸ τῆς τρυφῆς ὀλέθριον παριστάναι μηδὲ τὸ ἀχάριστον τῶν ἡδονῶν, μηδὲ ἐθίζειν ἀτενίζειν εἰς τὸ ἔμπροσθεν τοῦ βίου καὶ πᾶν τὸ μέλλον ὀρθῇ τῇ γνώμῃ ἐκλογίζεσθαι, μηδὲ αὖ τυφλῶς καὶ ἀσκέπτως εὔελπιν εἶναι, μηδ' ὅτι ἐὰν ὁ ἀνὴρ βουληθῇ, δύναται πάντως γενέσθαι ὧν ἐπιθυμεῖ· καὶ μὴ πρὸς τῷ παρόντι μόνῳ γίγνεσθαι, ἀλλὰ καὶ αὐτὴν συνεπιβλέπειν τὸ πόθεν καὶ πῶς καὶ εἰ σωτηρίως καὶ συμφερόντως εἰς τὰ ὅλα. ἐπεὶ καὶ εἴ τις ταῦτα καὶ τὰ ἄλλα τὰ καλῶς τεθεωρημένα καὶ παραγγελλόμενα παρὰ τοῖς φιλοσόφοις δύναιτο πράττειν, † ὃ ἂν τῶν πλείστων καὶ κουφότατον εἶναι βάρος γαμετὴ γυνὴ δόξῃ. ὁμοιότατον γάρ ἐστιν ὡς εἴ τις μίαν ἔχων χεῖρα ἑτέραν ποθὲν προσλάβοι ἢ ἕνα πόδα ἔχων ἕτερον ἀλλαχόθεν ἐπικτήσαιτο. ὡς γὰρ οὗτος πολὺ ἂν ῥᾷον καὶ βαδίσαι οὗ θέλοι κἀπελάσαι καὶ προσαγάγοιτο, οὕτως ὁ γυναῖκα εἰσαγαγόμενος ῥᾷον ἀπολήψεται τὰς κατὰ τὸν βίον σω-

---

1 *δ'* tacite inseruit Gesn.[2] | *ὑπ' αὐτῆς* M A *ἀπ' αὐτῆς* Meineke *ἐπ' αὐτῇ* de Arnim ‖ 2 post *τῇ γυναικὶ* addidit *τὰ δὲ* indicata lacuna Meineke ‖ 3 *μηδὲ περὶ θεῶν εὐσέβειαν δίχα δόξης ⟨κενῆς⟩ καὶ δεισιδαιμονίας ἐμποιεῖν* vel *κενῆς* detracto prop. Iacobs lect. Stob. p. 110 *μηδὲ περὶ θεῶν ⟨καὶ⟩ εὐσεβείας καὶ δεισιδαιμονίας καλὰς δόξας ἐμποιεῖν* scr. de Arnim ‖ 5 *δυσειδαιμονίας* A | *ἐμποιεῖν ⟨μηδέν⟩, μηδὲ* ci. Meineke ‖ 6 *τροφῆς* M A: corr. Wyttenbach ‖ 9 *αὖ* Meineke: *ἂν* M A | *μηδ'* seclusit de Arnim, sed vide ne post *μηδ'* novum interciderit verbum ‖ 11 *γίνεσθαι* M ‖ 13 *συμφερόντως* M *εἰ συμφερόντως* A idque immerito praeferunt Meineke et de Arnim, cf. 21 s. ‖ 15 *ὃ ἂν τῶν πλείστων* M A: *ἓν ἂν τῶν ἡδίστων* scr. de Arnim. *τὸ πάντων ἥδιστον* ci. Wakefield ‖ 16 *κουφοτάτων* A | *δόξῃ* libri: *δόξειε* de Arnim ‖ 17 ab *ὁμοιότατον* rursus incipit S ‖ 19 *ἐπικτήσαιτο* scripsi: *ἐκτήσατο* S M A; *κτήσαιτο* Wakefield ‖ 20 *θέλοι* ex *θέλει* S[1] | *κἀπελάσαι* de Arnim: *καὶ γελάσαι* M A *καὶ βαδίσαι* ex prioribus iterans S. *καὶ πελάσαι* Iacobs ‖ 21 *εἰσαγόμενος* S M A: corr. Meineke

τηρίους καὶ συμφερούσας χρείας. ἀντὶ γοῦν δύο ὀφθαλμῶν χρῶνται τέτταρσιν καὶ ἀντὶ δύο χειρῶν ἑτέραις τοσαύταις, αἷς καὶ ἀθρόοις πράττοι ἂν ῥᾷον τὸ τῶν χειρῶν ἔργον. διὸ κἂν εἰ αἱ ἕτεραι κάμνοιεν, ταῖς ἑτέραις αὖ θεραπεύοιτο καὶ τὸ σύνολον δύο γεγονὼς ἀνθ' ἑνὸς μᾶλλον ἂν ἐν τῷ βίῳ κατορθοίη. διόπερ τὸν νομίζοντα τὴν εἴσοδον τῆς γυναικὸς καταβαρύνειν τὸν βίον καὶ δυσκίνητον ποιεῖν ὅμοιον ⟨ἂν οἶμαι⟩ πάσχειν, ὡς εἴ τις πλείονας πόδας κωλύοι προσλαβεῖν, ἵν' ἐὰν πολὺ δέῃ βαδίζειν μὴ ἐφελκώμεθα πολλούς, ἢ τῷ πλείονας χεῖρας κτωμένῳ μέμφοιτο· ὅταν γάρ τι δέῃ πράττειν ἐμποδίσεσθαι ὑπὸ τοῦ πλήθους αὐτῶν. κατὰ ταὐτὰ γὰρ καὶ εἴ τις προσλάβοι οἷον ἑαυτὸν ἕτερον (οὐθὲν γὰρ διοίσει εἴτε θῆλυ τοῦτό ἐστιν εἴτε ἄρρεν), πολὺ ἐλαφρότερον καὶ εὐκοπώτερον πάντ' ἂν πράξειεν τὰ ἔργα. φιλαγάθῳ ⟨δ'⟩ ἀνδρὶ καὶ θέλοντι σχολὴν ἄγειν ἢ περὶ τοὺς λόγους ἢ τὰ πολιτικὰ ἔργα ἢ ἄμφω ταῦτα, καὶ τελείως τοῦτο ἀμετάθετόν ἐστιν. ὅσῳ γὰρ μᾶλλον αὐτὸς ἀπὸ τῆς οἰκονομίας ἀπέστραπται, τοσούτῳ μᾶλλον τὴν διαδεξομένην τὴν διοίκησιν παραληπτέον καὶ περὶ τὰ ἀναγκαῖα ἑαυτὸν ἀπερί-

---

2 *τέτταρσιν* SM *τέσσαρσι* A ‖ 3 *ἀθρόαις* (*-οις* Elter) Meineke: *ἀθρόως* libri ‖ 4 *κἂν εἰ* Meineke: *καὶ ἐὰν* SMA | *κάμνοιεν* sed *κα* ex *πρα* corr. S[1] | *ἑταίραις* M ‖ 5 *αὖ* Tr.: *ἂν* SMA | *σύνολον* cod. Paris. 1985 teste Gaisfordo ut emendaverat Tyrwhitt: *συνόδων* S *σύνοδον* MA | *γεγονὼς* A: *γεγονὸς* SM ‖ 6 *κατορθώῃ* SMA: corr. Meineke ‖ 8 *οἶμαι* addidit Meineke, *ἂν οἶμαι* ego, nam *τὸν νομίζοντα* idem valere atque *εἴ τις νομίζοι* perspicies collatis v. *ὡς εἴ τις κωλύοι κτἑ.* ‖ 9 *κωλύει* A ‖ 10 fort. *ἢ* ⟨*εἰ*⟩ *τῷ* | *χεῖρας* om. A ‖ 11 v. *ὅταν γὰρ* usque ad finem om. S: primus ex M edidit Gesn.[2] p. 418 s. | *τι* (*τοι* A) *δέοι* MA: tacite corr. Gesn.[2] | *ἐὰν ποδίσεσθαι* A ‖ 12 *ταὐτὰ* prop. Meineke: *ταῦτα* MA ‖ 15 *πάντα* (*πάντ'* Meineke) *ἂν* tacite Gesn.[2]: *πάντα ἡ* (vel *ἢ*) M ubi *ἡ* et *πρά* syllabas lineola notavit m. rec., *πάντα ἢ* A | post *ἔργα* distinxit de Arnim | *δ'* addidit de Arnim ‖ 16 *σχολεῖν* A ‖ 17 *μὴ ἄμφω* MA: tacite corr. Gesn.[2] | *ταῦτα, καὶ* de Arnim: *ταῦτ' εἰ καὶ* MA | *εὐμετάθετον* MA: corr. de Arnim ‖ 19 *διαδεξαμένην* A | *διοίκησιν* ci. Gesn.[2]: *οἴκησιν* libri ‖ 20 *ἑαυτῶν* MA: tacite corr. Gesn.[2]; non recte *ἑαυτῷ* cum Gaisfordo Kock

σπαστον . . . οὐ κακῶς καὶ ὁ κωμικὸς ἐπιτέμνει ⟨τὸ⟩

σχολαστής ἐστι· δεῖ δ' οἶμαι γαμεῖν
τὸν ἐπιμελῆ καὶ δυνατὸν οἰκονομεῖν ὄχλον
πλείω,

ἐπιφωνήσας·

τὸν ἀμελῆ μᾶλλον, ἐπιθυμοῦντα δὲ
σχολῆς, ἵν' ἔχων οἰκονόμον ἀδεῶς περιπατῇ.

26 *Πλάτωνος Νόμων ς'* (p. 773 E).

Περὶ γάμων δὴ ταῦτ' ἔσται παραμύθια λεγόμενα, ὡς χρὴ τῆς ἀειγενοῦς φύσεως ἀντέχεσθαι τῷ παῖδας παίδων καταλείποντι ἀεὶ τῷ θεῷ ὑπηρέτας ἀνθ' αὑτοῦ παραδιδόναι.

27 *Ἐν ταὐτῷ* (p. 776 B).

Γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας, καθάπερ λαμπάδα τὸν βίον παραδιδόντας ἄλλοις ἐξ ἄλλων.

---

1 lacunam agnovit Gesn.[2] proponens *τηρητέον* (poterat *διατηρητέον*), scripsit *ποιητέον* de Arnim, sed possunt alia cogitari, velut *παρασκευαστέον* vel *καταστατέον* vel *διαφυλακτέον*. contra *ἀπερίσπαστον ⟨ὄντα θεραπεύσουσαν· ὥστ'⟩ οὐ κακῶς* ci. Elter | fort. *οὐ κακῶς ⟨δὲ⟩ καί*, sed vide p. 509, 5 | *ὁ* A: *οὐ* M | *τὸ* addidit de Arnim; *τὸν εἰπόντα* supplerat Meineke ‖ 2 *κωμικὸς ἀριστοφ* *οἶμαι* in marg. A m. rec. Com. fr. adesp. 119 vol. III p. 430 K. | *ἐστιν* M A: corr. Meineke comico recte tribuens v. *σχολαστής ἐστι* | *δεῖ* Tyrwhitt et Valckenaer: *ἀεὶ* M A ‖ 3 *ἐπιμελῆ καὶ* Meineke: *ἐπιμελῆσαι* M A | *ὄχλον πλείω* 'maiorem molestiam' vel 'turbam (rerum domesticarum)' interpretatur Herwerden Collect. cr. (L. B. a. 1893) p. 203 ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 9 *ἔστω* Plat. | *λεγόμενα, καὶ δὴ καὶ τὰ ἔμπροσθε τούτων ῥηθέντα, ὡς χρὴ* Plat. ‖ 10 *τῷ* ex *ῷ* ni fallor corr. A, post h. v. unius fere litterae lacuna | 11 *καταλείποντα* Stephanus ‖ 13 ecl. cum lemm. hab. S M A

CAPVT XXII. PARS SECVNDA.

ΟΤΙ ΟΥΚ ΑΓΑΘΟΝ ΤΟ ΓΑΜΕΙΝ.

28 (68, 1 Mein.) *Ἀναξανδρίδου* (fr. 52 K.).

Ὅστις γαμεῖν βουλεύετ᾽, οὐ βουλεύεται
ὀρθῶς, διότι βουλεύεται, χοὔτω γαμεῖ.
πολλῶν κακῶν γάρ ἐστιν ἀρχὴ τῷ βίῳ.
ἢ γὰρ πένης ὢν τὴν γυναῖκα χρήματα
λαβὼν ἔχει δέσποιναν, οὐ γυναῖκ᾽ ἔτι,
ἧς ἐστι δοῦλος καὶ πελάτης. ἢν δ᾽ αὖ λάβῃ
μηδὲν φερομένην, δοῦλος ἄλλως γίνεται·
δεῖ γὰρ τὸ λοιπὸν ἀνθ᾽ ἑνὸς τρέφειν δύο.
ἀλλ᾽ ἔλαβεν αἰσχράν· οὐ βιωτόν ἐστ᾽ ἔτι,
οὐδ᾽ εἴσοδος τὸ παράπαν εἰς τὴν οἰκίαν.
ἀλλ᾽ ἔλαβεν ὡραίαν τις· οὐδὲν γίνεται
μᾶλλόν τι τοῦ γήμαντος ἢ τῶν γειτόνων·
ὥστ᾽ οὐδαμῶς κακοῦ γ᾽ ἁμαρτεῖν γίνεται.

29 (68, 2 Mein.) *Ἀλέξιδος* (fr. 262 K.).

Τίς δῆθ᾽ ὑγιαίνων νοῦν τ᾽ ἔχων τολμᾷ ποτε
γαμεῖν διαπραξάμενος ἥδιον βίον;

---

1 titulum habent S M A Tr. Mac. de Photio vide supra p. 494, 2. numerum *ξβ′* adpingit S *ξϛ′* Tr. *μθ′* M A Mac. ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 4 *βουλεται* acc. supra *ου* erasit, corr. pr. m. S *βουλεύετ᾽* (*εύ* superscr.) in ras. corr. M² A sed ante rasuram *βούλεται* fuisse in A prodit accentus primae syll. non rasus, *βουλεύεται* Tr. ‖ 5 *βουλεύευται* A ‖ 6 *κακῶν ἀρχηγὸν οὖσαν τῷ βίῳ* Nauck *Mél. Gr.-R.* V p. 234 ‖ 7 *ἢ* S M A: *ἦν* Tr. ‖ 8 *οὐ γυναῖκ᾽ ἔτι*] cf. Meineke in Theocr. XXIII 2 p. 354 ‖ 9 *πελάτης* scripsi: *πένης* libri ‖ 10 *ἄλλως* scripsi: *αὑτὸς* S *αὐτὸς* M A *al.* *αὖθις* Gesn.¹ f. 387ᵛ mrg. *αὖθις* probat Meineke, *αὑτῷ* Herwerden | *γιν-* S M A ut infra 14 et 16 ‖ 15 *γήματοσ* M¹ corr. M² ‖ 16 *κακοῦ γ᾽ ἁμαρτεῖν* frustra attrectavit Kock ‖ 17 ecl. cum lemm. hab. S M A; *ἀλεξίδος* A ‖ 18 *δ᾽ ἠθυγιαίνων* M ‖ 19 verba *διαπρ. ἥδιον*

εἶτ᾽ οὐχὶ κρεῖττόν ἐστι τῷ γ᾽ ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον ἢ γυναῖκ᾽ ἔχειν;
πολλῷ γε· τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας·
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι· τὰς γὰρ εὐθύνας μόνοι
ἐφημερινὰς τὰς τοῦ βίου κεκτήμεθα.

30 (68, 3 Mein.) *Φιλήμονος* (fr. 196 K.).

Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.

31 (68, 4 Mein.) *Μενάνδρου* (fr. 404 K.).

Ὦ τρὶς κακοδαίμων, ὅστις ὢν πένης γαμεῖ
καὶ παιδοποιεῖθ᾽. ὡς ἀλόγιστός ἐστ᾽ ἀνήρ,
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,
μήτ᾽ ἂν ἀτυχήσας εἰς τὰ λοιπὰ τοῦ βίου
ἐπαμφιέσαι δύναιτο τοῦτο χρήμασιν,
ἀλλ᾽ ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενος ζῇ, τῶν ἀνιαρῶν ἔχων
τὸ μέρος ἁπάντων, τῶν δ᾽ ἀγαθῶν οὐ δυνάμενος.

32 (68, 5 Mein.) *Ναυμαχίου.*

Καλὸν μὲν δέμας ἁγνὸν ἔχειν ἀδμῆτά τε μίμνειν

βίον nondum expedita. *διαλλαξάμενος ἤθεον βίον* (*permutando dimittens*) Madvig Adv. cr. I p. 719. *διαπραξάμενός* ⟨*τιν᾽*⟩ *ἡδίω β.* olim Hermann ap. Mein. com. III p. 519 *διαγραψάμενος* ⟨*τὸν*⟩ *ἡδίω β.* Herwerden Collect. cr. p. 131

3 *πολλῷ* Meineke: *πτωχῷ* libri | *ἐὰν* A ‖ **6** *μόνοι* Dobree Adv. II p. 359: *μόνον* libri ‖ **7** *τὰς* (ut e coni. dederat Gaisford) M: om. SA ‖ **8** ecl. cum lemm. hab. SMA. ad *Thesaurum* rettulit G. Hermann incerta coniectura ‖ **10** ecl. cum lemm. hab. SMA. uno versu ditiorem exhibet locum Gellius II 23, 20 Hos. ‖ **11** *τρὶς κακοδαίμων* Gell., Men. monost. 757: *τρισκακόδαιμον* SM *τρὶς κακόδαιμον* A ubi *-ων* ex *-ον* fecit m.[1] vel m.[2] ‖ **12** *παιδοποιεῖ* Gell. | *ὡς*] *ὃς* A ‖ **13** *ὃς*] *ὡς* A ‖ **14** *μήτ᾽ ἂν ἀτυχήσῃ* Gell. | *λοιπὰ*] *κοινὰ* recte Gell. ‖ **15** *ἐπαμφιάσαι* SMA *ΕΠΑΜΦΙΕΣΤΑΙ* Gellii cod. Vat.: corr. Meineke | *δύναιτο τοῦτο* Gell.: *τοῦτο δύναιτο* SMA ‖ **16** cf. Dio Prus. XXXII 16 p. 271, 19 Arn. ‖ **17** *τῶν μὲν ἀνιαρῶν* Gell. | *ἔχον* M ‖ **18** *τῶν δ᾽* om. Gell. | *οὐ δυνάμενος* SMA *ΟΥΔΙΝΑΜΕΝΟΣ* Gellii cod. Vat.: *οὐδὲν μέρος* Zedelius, *οὐδ᾽ ὀνάμενος* Madvig ‖ **19** ecl. cum lemm. hab. SMA. de Naumachio disseruit E. Rohde mus. Rhen. XXXII p. 336 ss. (*Kl. schr.* II p. 182 s.)

παρθενικήν, καθαροῖσί τ' ἀεὶ μελεδήμασι χαίρειν,
μήτε † βαρυτληθῶν λαγόνων περὶ φόρτον ἄγουσαν,
μήτε πόνον τρομέουσαν ἀγάστονον Εἰλειθυίης,
ἀλλ' ἧσθαι βασίλειαν ἀφαυρῶν θηλυτεράων,
ψυχῆς ὄμμα φαεινὸν ὑπὲρ βιότοιο χέουσαν,
ἔνθα γάμοι κεδνοὶ καὶ ἀληθέες, ἔνθα μιγεῖσα
θεσπεσίοις ἐπέεσσι νοήματα φάεα τίκτει.
εἰ δέ σε καὶ ξυνοῖο πόθος βιότοιο κιχάνοι,
καὶ τοῦτο προδαεὶς ἐρέω, πῶς χρή σε περῆσαι
τὸν πλοῦν, ὥς φασίν, τὸν δεύτερον ἔμφρονι θυμῷ.

33 (68, 6 Mein.) *Φιλιππίδου Ἀνανεούσης* (fr. 6 III p. 303 K.).

Ἔλεγον ἐγώ σοι μὴ γαμεῖν, ζῆν δ' ἡδέως.
τὸ Πλάτωνος ἀγαθὸν δ' ἐστὶ τοῦτο, Φειδύλε,
μὴ λαμβάνειν γυναῖκα μηδὲ τῇ τύχῃ
διὰ πλειόνων αὑτὸν παραβάλλειν πραγμάτων.

34 (68, 7 Mein.) *Ἀναξανδρίδου* (fr. 78 II 1 p. 163 K.).

Κόρης ἀπαλλαττόμεθα ταμιείου πικροῦ.

35 (68, 8 Mein.) *Ἱππώνακτος* (fr. 29 B.[4]).

Δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται·
ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν.

---

2 *βαρυτληθῶν* SMA: *βαρυτλητῶν* (debuit *-τλήτων*) scr. Gesn.[1] *βαρὺν πληρῶν* sim. prop. Meineke, *βαρύτλητον* Rohde ‖ 3 *εἰλη-θυίης* MA ‖ 5 *χέουσαν* A Frob. p. 114, inde Gesn.[1]: *χέασαν* S· *χείασαν* M ‖ 7 *φάεα*] *πραέα* ci. Meineke ‖ 8 *ξυνοῖο* MA *ξείνοιο* S | *κιχάνοι* SM *τυγχάνει* sed superscr. *κιχάνει* ut tamen utrobique esse possit *-οι* terminatio A ‖ 9 *τούτου* prop. Hilberg *Das gesetz der troch. wortf.* p. 20 ‖ 10 *φασὶν* M *φασὶ* (sine acc. A) SA | *ἔμφρονι* SA, dubito de M: *εὔφρονι* Tr. ‖ 11 ecl. cum lemm. hab. SMA; *ἀνανεούσ"* S *ἀνανεούσης* MA. cf. quae adnotavi in Stob. III 1, 9 p. 5, 14 ‖ 14 *δ'* om. Tr. | *φίδυλε* SMA *φείδυλε* cod. Paris. 1985 ut in ed. Oxon. testatur Gaisford ‖ 16 *αὑτὸν* M | *παραβάλλειν* etiam A, non *προβ-* ut opinatur Gaisford ‖ 17 ecl. cum lemm. hab. MA, om. S. *Διφίλου* Stob. flor. 77, 8 Mein. ubi iteratur ecloga ‖ 18 *ἀπαλλαττόμεθα* sed aliquid rasum supra *θ* M *-όμεσθα* A. sententia non integra videtur Kockio ‖ 19 ecl. cum lemm. hab. SMA. non Hipponactis est: cf. floril· papyr. Berol. 9772 *Berl. klassikert.* V 2 p. 130 ubi lemmatis vestigia haec [...]λυ[..]ς ‖ 21 *γαμέῃ* Schneidewin | *κἀκφέρει* in *-ρη* corr. M[1]

36 (68, 12 Mein.) *Εὐριπίδου ἐξ Ἰνοῦς* (fr. 402 N.²).

Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι·
χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅπως πλείστας ἔχειν
γυναῖκας, εἴπερ † τροφὴ δόμοις παρῆν,
ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων,
τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσῴζετο.
νῦν δ' εἰς μίαν βλέπουσι, κίνδυνον μέγαν
ῥίπτοντες· οὐ γὰρ τῶν τρόπων πειρώμενοι
νύμφας ἐς οἴκους ἑρματίζονται βροτοί.

37 (68, 9 Mein.) *Ἐπιχάρμου* (fr. * 34 p. 265 Lorenz).

Οὐδὲν †γαίαι κλίναι γυναικὸς βαρύτερον,
οἶδ' ὁ συντυχὼν . . ., μακάριος δ' ὃς ἀγνοεῖ.

38 (68, 10 Mein.) *Μενάνδρου* (fr. 799 K.).

Μηδέποτε γήμῃ μηδὲ εἷς εὔνους ἐμοί.

39 (68, 13 Mein.) *Εὐριπίδου Ἄλκηστις* (895—897).

Ζηλῶ δ' ἀγάμους ἀτέκνους τε βροτῶν.
μία γὰρ ψυχή, τῆς ὑπεραλγεῖν
μέτριον ἄχθος.

---

1 ecl. cum lemm. hab. S (post ecl. 11 Mein.) M A (post ecl. 8 Mein.) ‖ **3** *χρὴ* S M A: corr. Scaliger | *ὅπως* Erfurdt: *ὅτι* libri ‖ **4** *εἴπερ* ⟨*ἡ*⟩ *τρ.* Gesn.¹ *εἴπερ* ⟨*καὶ*⟩ *τρ.* Munro, *εἴπερ* ⟨*ἐν*⟩ *δόμοις τρ.* Pflugk, sed totum versum recte interpolatori tribuit Mekler ‖ **5** *ἐξέβα* (λ supra) A | *δωμάτων* sed *ω* in ras. M. hunc et qui antecedit versum in contextu omissos in marg. suppl. A m. pr. vel huius similis ‖ **9** *ἐς οἴκους* Gesn.¹: *εἰς οἴκους* S M *ἴσοίκους* sed ante *ι* littera rasa A¹ ‖ **10** ecl. cum lemm. hab. S (post ecl. 8 Mein.) M A (post ecl. 12 Mein.). fragm. inter Epicharmea vel Ps.-Epicharmea nescio quo pacto omisit Kaibel Com. I 1 p. 133 ‖ **11** *Οὐθὲν* M A | *γαίαι κλίναι* S *γαία κλίναι* M *γαῖα κλῖναι* A. *Cliniae* nomen agnovit Scaliger, *οὐδὲν* ⟨*ἐν*⟩ *γᾷ, Κλεινία, γυναικὸς* ⟨*ἄχθος*⟩ *βαρύτερον* prop. Meineke ‖ **12** *εἶδ'* A | post *ὁ συντυχὼν* addi voluit *τοιαύτα* Ahrens, *ἄριστα* Meineke, malim *οἶδ' ὁ συντυχών, σάφ' οἶδε.* displicet *τοιαύτα.* cf. Eur. Hec. 1182 *ὁ δ' αἰεὶ ξυντυχὼν ἐπίσταται* ‖ **13** ecl. cum lemm. hab. S M (post ecl. 9 Mein.) A (post ecl. 13 Mein.). recurrit versus inter Men. monost. 684 ‖ **15** ecl. cum lemm. hab. S (post ecl. 12 Mein.) M (post ecl. 10 Mein.) A (post ecl. 11 Mein.) ‖ **16** *δ'* supra lin. A² | *ἀγάμους* S, Eur.: *ἀγάμους τε* (*τ'* A) M A ‖ **17** *τῆς* S M A¹ *δ'* superscr. A²: *τῆσδ'* libri Eur.

40 (68, 11 Mein.) *Μενάνδρου* (fr. 648 K.).

Γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν, ὅτι
ἀγαθὸν μέγ' ἕξεις, ἂν λάβῃς μικρὸν κακόν.

41 (68, 14 Mein.) *Εὐριπίδου Ἄλκηστις* (246—247).

Οὔ ποτε φήσω γάμον εὐφραίνειν
πλέον ἢ λυπεῖν.

42 (68, 16 Mein.) *Φιλήμονος* (fr. 197 K.).

Τὸν ἄγαμον ὄντα καὶ κακὴ τύχη τρέφει.

43 (68, 17 Mein.) *Ἀριστοφάνης ἐν Πολυίδῳ* (fr. 453 K.).

Ἰδοὺ δίδωμι τήνδ' ἐγὼ γυναῖκά σοι
Φαίδραν· ἐπὶ πῦρ δὲ πῦρ ἔοικα ἥκειν ἄγων.

44 (68, 18 Mein.) *Μενάνδρου* (fr. 649 K.).

Τὸ γυναῖκ' ἔχειν εἶναί τε παίδων, Παρμένων,
πατέρα μερίμνας τῷ βίῳ πολλὰς φέρει.

45 (68, 19 Mein.) *Σοφοκλέους Τηρεῖ* (fr. 521 N.).

Νῦν δ' οὐδέν εἰμι χωρίς. ἀλλὰ πολλάκις
ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν,
ὡς οὐδέν ἐσμεν. αἳ νέαι μὲν ⟨ἐν⟩ [γὰρ] πατρὸς
ἥδιστον οἶμαι ζῶμεν ἀνθρώπων βίον·
τερπνῶς γὰρ ἀεὶ πάντας ἁνοία τρέφει·
ὅταν ⟨δ'⟩ ἐς ἥβην ἐξικώμεθ' ἔμφρονες,
ὠθούμεθ' ἔξω καὶ διεμπολώμεθα

---

1 ecl. sine lemm. hab. S (post ecl. 10 Mein.) addito lemmate M (post ecl. 13 Mein.) A (post ecl. 9 Mein.) ‖ 3 *ἀγαθὸν* S *ἀγαθῶν* MA | *μεθέξεις* SMA: corr. Bentley ‖ 4 ecl. sine lemm. hab. S (post ecl. 13 Mein.) addito lemmate M (post ecl. 11 Mein.) A (post ecl. 10 Mein.) ‖ 7 ecl. cum lemm. hab. S (post ecl. 15 Mein.) MA (post ecl. 14 Mein.). legitur versus etiam Boiss. Anecd. I p. 115 ‖ 8 *τὸν ἄγαμον* scripsi: *τὸν μόνον* SMA *κἂν μόνον* Boiss. an.; *τὸν ⟨δὲ⟩ μόνον* prop. Gesn.[1] aberrarunt Meineke et Kock ‖ 9 ecl. cum lemm. hab. SMA ‖ 11 *ἔοικ'* (*ἔοιχ'* Tr.) *ἥξειν* SMA: *ἔοιχ' ἥκειν* Herwerden mnemos.[2] VI p. 61 et Meineke in Stob. conicio *ἔοικ' ἐλθεῖν* ‖ 12 ecl. cum lemm. hab. SMA ‖ 17 *ταύτην* A ‖ 18 *αἱ νέαι* libri | *μὲν ἐν* Valckenaer: *μὲν γὰρ* SMA *μὲν γὰρ ἐν* cod. Paris. 1985 teste Gaisfordo ‖ 20 *παῖδας* F. G. Schmidt | *ἡ ἄνοια* libri ‖ 21 *δ'* inseruit A nunc paene evanidum: om. SMA | *εὔφρονες* SMA: corr. Dobree [2] 22 *διεμπολούμεθα* SMA: corr. Valckenaer

θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο·
αἱ μὲν ξένους πρὸς ἄνδρας, αἱ δὲ βαρβάρους,
αἱ δ' εἰς † ἀληθῆ δώμαθ', αἱ δ' ἐπίρροθα.
καὶ ταῦτ', ἐπειδὰν εὐφρόνῃ ζεύξῃ μία,
χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν.

46 (68, 15 Mein.) *Εὐριπίδου Σθενεβοίας* (fr. 662 N.[2]).

Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατήσχυν' ἐν δόμοισι νηπία.

47 (68, 20 Mein.) *Φιλήτα.*

* * *

48 (68, 20 Mein.: incerti poetae comici)

Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ † ἔχῃς.

49 (68, 21 Mein.) *Διφίλου* (fr. 115 K.).

Γυναικὸς ἀγαθῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.

---

3 *ἀληθῆ* (sic S M A) corruptum: exspectes quod voci *ἐπίρροθα* oppositum sit velut *ἀμεμφῆ* (cf. Soph. fr. 261 N.[2]). sed multa etiam alia coniecere docti, cf. *Wien. stud.* XVI p. 326 ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 14 Mein.) M A (post ecl. 19 Mein.); *σθενεβοίας* libri, non *σθενοβ.* ut edidit Gaisford. recurrunt versus Bellerophonti adscripti IV 22, 125 et Bellerophontem haec dixisse in 'Stheneboea' nuper confirmatum est Ioannis logothetae in Hermogenis *Περὶ μεθόδου δεινότητος* librum commentario, ex quo hos ipsos versus inter multos alios edidit H. Rabe mus. Rhen. LXIII (1908) p. 147 s. ‖ 7 *γαυρουμένους* hic et ecl. 125 Stob. (*γαυρουμένοσ* hic M *γαβρουμένους* hic A): *τιμωμένους* Ioannes logoth. cf. Stob. III 22, 5 H. ‖ 8 *κατήσχυν' ἐν* Stob. flor. 72, 6 Mein., Ioann. logoth.: *κατήσχυνεν ἐν* S M A ‖ 9 ecl. hab. S (post ecl. 19 Mein.) M A (post ecl. 15 Mein.); *φιλῆ*[τ] S *φιλίτα* M A *Φιλήτου* Tr. Philemoni dedit versum Meineke com. IV p. 62, dubitans etiam Kock fr. 239 com. II p. 538. sed nihil mutandum. immo intercidit Philetae dictum una cum nomine *Φιλήμονος* aliusve poetae comici. signavi igitur lacunam. Menandro versus tribuitur Boiss. Anecd. gr. I p. 159, recurrit inter monost. 78. hanc sententiam septemque insequentes gnomologii reliquias esse litterarum ordine ita dispositi, ut singulis sententiis auctorum nomina adscripta fuerint animadvertit Elter De gnomol. gr. hist. atque orig. commentationis ramenta (Bonnae ed. a. 1897) p. 36 s. ‖ 11 *λάβῃς* prop. Wakefield, hoc vel *τρέφῃς* Meineke ‖ 12 ecl. cum lemm. hab. S M A. recurrit versus inter monost. 94 ‖ 13 *ἐσθλῆς* monost.

50 (68, 22 Mein.) *Χαιρήμονος* (fr. 32 N.²).
Γυναῖκα θάπτειν κρεῖττόν ἐστιν ἢ γαμεῖν.
51 (68, 23 Mein.) *Φιλήμονος* (fr. 198 K.).
Γαμεῖν ὃς ἐθέλει εἰς μετάνοιαν ἔρχεται.
52 (68, 24 Mein.) *Ἱπποθόου.*
Ζευχθεὶς γάμοισιν οὐκ ἔτ' ἔστ' ἐλεύθερος.
53 (68, 25 Mein.) *Μενάνδρου* (fr. 650 K.).
Ὅστις πενόμενος βούλεται ζῆν ἡδέως,
ἑτέρων γαμούντων αὐτὸς ἀπεχέσθω γάμου.
54 (68, 26 Mein.) *Θεοδέκτου.*

* * *

55 (68, 26 Mein.: incerti comici fr. 132 vol. III p. 434 K.)
Παραπλήσιον πρᾶγμ' ἐστὶ γῆρας καὶ γάμος.
τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν·
ὅταν δὲ τύχωμεν, ὕστερον λυπούμεθα.
56 (68, 27 Mein.) *Ἀντιφάνους* (fr. 292 K.).
Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.
57 (68, 28 Mein.) *Μενάνδρου* (fr. 582 K.).
Πατρῷ' ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα,

---

1 ecl. cum lemm. hab. S M A. *Φιλήμονος* ci. Meineke qui versus inter com. anonym. fragm. recepit com. IV p. 690. idem v. legitur Orion. flor. ed. Ritsch. p. V et inter monost. 95. cf. Mel. Aug. c. 56, 11. exc. Vind. 40 gnom. Barocc. 251 a ‖ 2 *κρεῖσσον* (sic monost.) scribendum, Chaeremonis si est versus: *κρεῖττον* libri Stob. ‖ 3 ecl. cum lemm. hab. M A, om. S. recurrit versus inter monost. 91 ‖ 4 *γαμεῖν*] *ν* fort. ex *σ* corr. A | *ὃς ἐθέλει* (*θέλει* A) M A *ὁ μέλλων* monost. cf. Meyer *Vrbin. samml.* p. 405 ‖ 5 ecl. hab. S M A; *ἱπποθώου* S M *-θόου* A. legitur versus cum duobus aliis supra p. 496, 10 praem. lemm. *Εὐρ. Ἀντιγόνης* ubi vide quae adnotavimus, idem inter Men. monost. relatus 197 ‖ 7 ecl. cum lemm. hab. M A, om. S ‖ 8 *γενόμενος* M A: corr. Bentley ‖ 9 *γάμου* M A, *-ων* tacite Gesn.² ‖ 10 post lemma *Θεοδέκτου* quod ante comici incerti versus offerunt S M A signavi lacunam: intercidit locus Theodectae et lemma eclogae insequentis. non recte *Θεογνήτου* prop. Meineke com. IV p. 690, nam Theognetum ignorat Photi pinacographus p. 53 Elt. ‖ 14 *λυπούμεθα*] *ου* ex *ω* corr. S¹ ‖ 15 ecl. cum lemm. hab. S M A ‖ 16 *τὸ γαμεῖν* S *τοῦ γαμεῖν* M A | *τὸ δυστυχεῖν* A ‖ 17 ecl. cum lemm. hab. S M A. excepto versu primo iteratur ecloga nec non lemma infra 22, 126. primus recurrit schol. (Ven. et Townl.) Il. IX 400

*τὰ μετὰ γυναικὸς δ' εἰσιόντ' εἰς οἰκίαν
οὔτ' ἀσφαλῆ τὴν κτῆσιν οὔθ' ἱλαρὰν ἔχει.*

58 (68, 29 Mein.) *Θάλητος.*

Θαλῆς τῇ μητρὶ γυναῖκα λαβεῖν δεομένῃ ‘οὔπω καιρός’ ἔλεγεν· εἶτα προβάς ‘οὐκέτι καιρός’.

59 (68, 30 Mein.) *Σωκράτους.*

Σωκράτης ἐρωτηθεὶς τίνες μεταμέλονται τῶν ἀνθρώπων, εἶπεν ‘οἱ γήμαντες’.

60 (68, 31 Mein.) *Πλάτωνος.*

Πλάτων ἐρωτηθεὶς εἰ γήμας φιλοσοφήσω; ‘οὐκ εἰδώς’ ἔφη ‘οὐδὲ μόνον σαυτὸν σῴζειν καὶ γυναῖκα ἐπὶ τῶν ὤμων συνδιασώσεις;’

61 (68, 32 Mein.) *Λυσίου* (fr. 90 Thalheim).

Ἧι γὰρ ἂν ἡμέρᾳ γυνὴ προδῷ τὸ σῶμα καὶ τὴν τάξιν λίπῃ τῆς αἰδοῦς, εὐθέως παραλλάττει τῶν φρενῶν, ὥστε νομίζειν τοὺς μὲν οἰκείους ἐχθρούς, τοὺς δ' ἀλλοτρίους πιστούς, περὶ δὲ τῶν καλῶν καὶ αἰσχρῶν ἐναντίαν ἔχειν τὴν γνώμην.

62 (68, 36 Mein.) *Ἐπαμινώνδου.*

Ἐπαμινώνδας ἐρωτηθεὶς τί ὀνεῖται ὁ μὴ γήμας μηδὲ παιδοποιησάμενος ‘τὸ μὴ ὀκνεῖν’ εἶπεν ‘ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν’.

---

1 *τὰ δὲ* (*δὲ* om. ecl. 22, 126) *μετὰ γυναικὸς* S M A: corr. Porson Adv. p. 256 ‖ 3 ecl. sine lemm. hab. S, addito lemmate M A. recurrit gnomol. Paris. 62 Sternb. eadem aliis verbis tradunt Plut. quaest. conv. p. 654 B Diog. Laert. I 26 gnomol. Vat. 318 ubi vide quae adnotavit Sternbach ‖ 6 ecl. cum lemm. hab. M A, om. S ‖ 9 ecl. sine lemm. hab. S, addito lemmate M A ‖ 14 *ἡ* rubr. M ‖ 16 *δὲ* M A ‖ 19 ecl. sine lemm. hab. S (post ecl. 35 Mein.) addito lemmate M A (post ecl. 32 Mein.); *ἐπαμινώνδου* libri. recurrit ecloga gnomol. Par. 64 Sternb. *Ἐπαμινώνδας ἐρωτηθείς, τίς ὄνησις τῷ μὴ γήμαντι μηδὲ παιδοποιήσαντι, ‘τὸ μὴ ὀκνεῖν’ κτἑ.* ‖ 20 *ἐπαμειν-* M *ἐπαμιν-* S A, gnomol. Par. | *ἐρωτηθεὶς* S, gnomol. Par. *ἐρωτώμενος* M A | *ὀνεῖται* Tr. *ὀνεῖτ'* S M A | verba *μηδὲ παιδοποιησάμενος* (sic M A) fortasse suspecta: om. S *μηδὲ παιδοποιήσας* invenisse videtur auctor gnomologii Par. ‖ 22 *ἀποθανεῖν* A ubi *αν* sane in ras. man. 2, sed idem antea adfuisse prodit *εῖν* ubi accentum scr. man. pr.

63 (68, 35 Mein.) *Λυκούργου.*

Ὅταν γυνὴ ὁμονοίας τῆς πρὸς ἄνδρα στερηθῇ, ἀβίωτος ὁ καταλειπόμενος γίνεται βίος.

64 (68, 33 Mein.) *Σόλωνος.*

⟨Σόλων⟩ συμβουλεύοντος τινὸς αὐτῷ κατὰ τῶν μὴ γαμούντων ἐπιτίμιον τάξαι 'χαλεπόν' εἶπεν 'ὦ ἄνθρωπε, φορτίον ἡ γυνή'.

65 (68, 34 Mein.) *Θάλητος.*

Θαλῆς ἐρωτηθεὶς διὰ τί ἀκμάζων οὐκ ἐπαιδοποίησεν, ἀπεκρίνατο διότι τὸ ζῆν οὐκ ἐβουλόμην λύπαις αὐθαιρέτοις κατεγγυῆσαι.

66 (68, 37 Mein.) *Ἀντιφῶντος* (fr. 49 Diels [2]).

Φέρε δὴ προελθέτω ὁ βίος εἰς τὸ πρόσθεν καὶ γάμων καὶ γυναικὸς ἐπιθυμησάτω. αὕτη ἡ ἡμέρα, αὕτη ἡ νὺξ καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου. μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ. εἰ γὰρ τύχοι μὴ ἐπιτηδεία γενο-

---

1 ecl. cum lemm. hab. S (post ecl. 32) A (post ecl. 36 Mein.) lemmate detracto M (post ecl. 36 Mein.) ‖ 2 Ὅταν] Ὅ om. rubro addendum M | ἀβίοτος A ‖ 4 ecl. cum lemm. λυκούργου hab. M, cum lemm. σόλωνος A, uterque post ecl. 35 Mein.: om. S. recurrit gnomol. Par. 65 Sternb.: *Συμβουλεύοντός τινος Λυκούργῳ κατὰ τῶν κτἑ.* gnomol. Barocc. 259: *Ὁ αὐτὸς* (sc. *Σόλων*) *ὀχλούμενος ὑπό τινος ἐπὶ τῶν γεγαμηκότων ἐπιτίμιον γράψαι κτἑ.* cf. floril. ab H. Schenkl ed. (*Wien. stud.* XI p. 37) n. 140 *Φιλοσόφῳ συμβ.*, idque ipsum indicat Wachsmuth *Stud. zu den gr. flor.* p. 215 adn. 14 ‖ 5 *Σόλων* Gaisford: om. MA ‖ 6 *χαλεπὸν εἶπεν* M, gnomol. Par.: *ἔφη χαλεπὸν* A, *χαλεπὸν ἔφη* gnomol. Bar. ‖ 8 ecl. cum lemm. hab. MA (post ecl. 33 Mein.), om. S. recurrit gnomol. Par. 63 Sternb. *Ὁ αὐτὸς* (sc. *Θαλῆς*) *ἐρωτηθεὶς κτἑ.* ‖ 10 *λύπαις* om. A ubi *αὐθαιρέτοις* in *-τως* corr. A[2] ‖ 12 ecl. cum lemm. hab. S (post ecl. 36 Mein.) MA (post ecl. 34 Mein.); *ἀντιφω^τ* S. ad librum *Περὶ ὁμονοίας* rettulit Blass ‖ 13 *προελ-* (sicut voluerat Sauppe) SMA: *προσελ-* Tr. | *πρόσθε* S ‖ 14 *καὶ γυναικὸς* suspectum Herwerdeno Exerc. cr. p. 91 | *καινοῦ δαίμονος — πότμου* (trag. adesp. fr. 542 N.[2], sed vide Wilamowitz de trag. gr. fr. p. 19) poetae alicuius esse putat Gaisford, eiusdem fuisse etiam *δεινὸς γὰρ ἀγὼν γάμος ἀνθρώπου* coni. Herwerden. sed in his potius ab Euripide (Med. 235 ubi *ἀγὼν μέγιστος*) pendere Antiphontem monuit Diels ‖ 16 *τύχη* A | *ἐπιτήδεια γενόμενα* (coll. p. 522, 6) scr. Blass, *ἐπιτηδεία ἡ γαμουμένη* Sauppe

μένη, τί χρὴ τῇ συμφορᾷ χρῆσθαι; χαλεπαὶ μὲν ἐκπομπαί, τοὺς φίλους ἐχθροὺς ποιῆσαι, ἴσα φρονοῦντας ἴσα πνέοντας, ἀξιώσαντα καὶ ἀξιωθέντα· χαλεπὸν δὲ καὶ ἐκτῆσθαι κτῆμα τοιοῦτον, δοκοῦντα ἡδονὰς κτᾶσθαι λύπας ἄγεσθαι. φέρε δή, μὴ τὰ παλίγκοτα λέγωμεν, λεγέσθω τὰ πάντων ἐπιτηδειότατα. τί γὰρ ἥδιον ἀνθρώπῳ γυναικὸς καταθυμίας; τί δὲ γλυκύτερον ἄλλως τε καὶ νέῳ; ἐν τῷ αὐτῷ δέ γε τούτῳ, ἔνθα τὸ ἡδύ, ἔνεστι πλησίον που καὶ τὸ λυπηρόν· αἱ γὰρ ἡδοναὶ οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ' ἀκολουθοῦσιν αὐταῖς λῦπαι καὶ πόνοι. ἐπεὶ καὶ ὀλυμπιονῖκαι καὶ πυθιονῖκαι καὶ οἱ τοιοῦτοι ἀγῶνες καὶ σοφίαι καὶ πᾶσαι ἡδοναὶ ἐκ μεγάλων λυπημάτων ἐθέλουσι παραγίγνεσθαι· τιμαὶ γάρ, ἆθλα . . ., δελέατα ἃ ὁ θεὸς ἔδωκεν ἀνθρώποις, μεγάλων πόνων καὶ ἱδρώτων εἰς ἀνάγκας καθιστᾶσιν. ἐγὼ γάρ, εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον οἷον ἐγὼ ἐμαυτῷ, οὐκ ἂν δυναίμην ζῆν, οὕτως ἐμαυτῷ πολλὰ πράγματα παρέχων ὑπέρ τε τῆς ὑγιείας τοῦ σώματος ὑπέρ τε τοῦ καθ' ἡμέραν βίου ἐς τὴν ξυλλογὴν ὑπέρ τε δόξης καὶ σωφροσύνης καὶ εὐκλείας καὶ τοῦ εὖ ἀκούειν. τί οὖν, εἴ μοι γένοιτο σῶμα

1 *ἐκπομπαὶ ⟨καὶ⟩ τοὺς φίλους* Iacobs et in proecdosi Diels, qui nunc proxima *ἀσυνδέτως* adiungi putat ‖ 2 *τοὺς φίλους* interpretatur *coniuges* Diels coll. Aesch. Ag. 1236 *ἄσπονδόν τ' Ἄρη φίλοις πνέουσαν* ‖ 3 *ἐξώσαντα καὶ ἐξωσθέντα* Iacobs | *ἐξιώσαντα* Tr. | *καὶ ἐκτῆσθαι* Diels: *κεκτῆσθαι* libri ‖ 5 *ἄδεσθαι* A² | *γενέσθω* ci. Blass, sed consulto vicina posuit *λέγωμεν, λεγέσθω* Antiphon ‖ 7 *δὲ* A: *δαὶ* SM | *ἄλλως*] litt. extremam addidit A² | *νέα* A, inde *νεάζοντι* immerito Meineke ‖ 8 v. *ἔνθα τὸ ἡδὺ* — 15 *λῦπαι καὶ πόνοι* leguntur etiam Stob. III 6, 45 p. 296, 4 H. | *ἡδύ ἐστι* Stob. III ‖ 9 *ἐκ σφῶν αὐτῶν ἐκπορεύοντας* libri Stob. III ‖ **13** *παραγίν-* SMA | *γὰρ* SMA *γὰρ καὶ* A² ubi *καὶ* quod supra lin. add. A² nullius est auctoritatis. post *ἆθλα* lacunam signavi. *τιμαὶ γὰρ ἃς ἄθλων δελέατα ὁ θεὸς* Valckenaer ‖ **15** *καθιστῶσιν* SMA: corr. Sauppe | *εἴ μοι — ἐμαυτῷ* secl. Meineke, *ἐμαυτῷ* Wilamowitz. *σῶμα ἕτερον τοιοῦτον ⟨ἐπιμελὲς ὂν⟩ οἷον ἐγὼ ἐμαυτῷ* scr. Diels. potest etiam *σῶμα ἕτερον τοιοῦτον ⟨μέλημα ὂν⟩ οἷον ἐγὼ ἐμαυτῷ* ‖ **18** *ὑγείας* hic et infra SMA ‖ **19** *ἐς τὴν ξυλλογὴν* secl. Sauppe ‖ **20** *καὶ τοῦ εὖ ἀκούειν* deleri voluit Meineke, *ἐς τὸ εὖ ἀκούειν* ci. Diels | *τί οὖν*] *τί αν* (sic) A

ἕτερον τοιοῦτον, ὅ γέ μοι οὕτως ἐπιμελὲς εἴη; οὐκ οὖν δῆλον, ὅτι γυνὴ ἀνδρί, ἐὰν ᾖ καταθυμία, οὐδὲν ἐλάττους τὰς φιλότητας παρέχεται καὶ τὰς ὀδύνας ἢ αὐτὸς αὑτῷ ὑπέρ τε τῆς ὑγιείας δισσῶν σωμάτων ὑπέρ τε τοῦ βίου τῆς συλλογῆς [καὶ] ὑπέρ τε τῆς σωφροσύνης καὶ τῆς εὐκλείας; φέρε δὴ καὶ παῖδες γενέσθωσαν· φροντίδων ἤδη πάντα πλέα καὶ ἐξοίχεται τὸ νεοτήσιον σκίρτημα ἐκ τῆς γνώμης καὶ ⟨τὸ⟩ πρόσωπον οὐκέτι τὸ αὐτό.

---

1 *μοι* tacite scr. Gesn.[1] f. 389[v]: *μ* (λι superscr.) sic fere S[1] *μ'* M Tr. *μὴ* A ‖ 3 *ὀδύνας* Tr.: *ὠδῖνας* S M A | *αὐτῶ* M ‖ 5 *καὶ* secl. Sauppe ‖ 7 *τὸν* M ‖ 8 *τὸ* addidit Sauppe

CAPVT XXII. PARS TERTIA.

ΟΤΙ ΤΟΙΣ ΜΕΝ ΕΠΩΦΕΛΗ ΤΟΝ ΓΑΜΟΝ, ΤΟΙΣ ΔΕ ΑΣΥΜΦΟΡΟΝ Ο ΤΩΝ ΣΥΝΑΠΤΟΜΕΝΩΝ ΑΠΕΤΕΛΕΣΕ ΤΡΟΠΟΣ.

67 (69, 1 Mein.) *Θεοδέκτου* (fr. 13 p. 805 N.[2]).

Ὅταν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις,
οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον,
ὁμοῦ δὲ τῇδ' ἔτ' εἰσκομίζεται λαβὼν
καὶ δαίμον' ἤτοι χρηστὸν ἢ τοὐναντίον.

68 (69, 2 Mein.) *Σουσαρίωνος* (com. I p. 3 K.).

Ἀκούετε λεῴ, Σουσαρίων λέγει τάδε·
κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

69 (69, 2 Mein.: incerti poetae scaenici)

Καὶ γὰρ τὸ γῆμαι καὶ τὸ μὴ γῆμαι κακόν.

---

3 Inscriptionem quam supra dedi offerunt S M A Tr. Mac. sed *ποιεῖ* pro *ἀπετέλεσε* Mac. numerum *ξγ'* addit S *ν'* M A Mac. *ξζ'* Tr. de Photio vide ad p. 494, 2 || 4 ecl. cum lemm. hab. S M A. male se olim poetae nomen suspectasse intellexit Meineke flor. vol. III p. VII, vide quae congessit Iacobi Com. V p. CCCLV || 7 *τῇδ' ἔτ'* Iacobs in ora exemplaris quod possedit Gesneriani, Nauck: *τῆδέ* (vel *τῆι-*) *τ'* S M *τῇδ'* A || 9 ecl. cum lemm. hab. S M A. testimonia collegit Nauck *Mél. Gr.-R.* VI p. 61. non affero omnia. post *λέγει τάδε* addunt versum *υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος* Tzetzes prol. in Arist. (Com. fr. I 1) p. 27 Kaib., idem in Crameri anecd. Ox. III p. 336, schol. in Dion. Thr. p. 14 Kaib., Cram. anecd. Ox. IV p. 315 s., eidem servarunt v. 11 et 12. v. 10—12 (*Σουσ.—ἄνευ κακοῦ*) habet Diomedes III p. 488 K., 11 et 12 poetae nom. omisso schol. Aristoph. Lys. 1038 Stein Suid. v. *οὔτε σὺν πανωλ.* et *τοὔπος* || 10 *λεῴ* Tzetzes: *λεὼς* Stob. libri et reliqui testes praeter Diom. ubi *λέξιν* || 12 *οἰκεῖν οἰκίαν*] *εὑρεῖν οἰκίαν* Diom., Tzetz. p. 27 Kaib., anecd. Ox., Suid. loco priore || 13 separavi versum quem perperam

70 (69, 3 Mein.) *Εὐριπίδου* (fr. 1056 N.[2]).

Οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις
οὔτ' εὐτυχοῦσι· συμφορὰ δ' ὃς ἂν τύχῃ
κακῆς γυναικός, εὐτυχεῖ δ' ἐσθλῆς τυχών.

71 (69, 4 Mein.) *Μενάνδρου* (fr. 325 K.).

Γυνὴ πολυτελής ἐστ' ὀχληρόν, οὐδ' ἐᾷ
ζῆν τὸν λαβόνθ' ὡς βούλετ'· ἀλλ' ἔν ἐστί τοι
ἀγαθὸν ἀπ' αὐτῆς † παῖδες· ἦλθέν τις νόσος,
τὸν ἔχοντα ταύτην ἐθεράπευσεν ἐπιμελῶς,
ἀτυχοῦντι συμπαρέμεινεν, ἀποθανόντα τε
ἔθαψε, περιέστειλεν οἰκείως· ὅρα
εἰς ταῦθ', ὅταν λυπῇ τι τῶν καθ' ἡμέραν.
οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ'· ἂν δ' ἐκλέγῃς
ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς
τῶν προσδοκωμένων, ὀδυνήσῃ διὰ τέλους.

72 (69, 5 Mein.) *Εὐριπίδου* (inc. fab. fr. 1057 N.[2]).

Μακάριος, ὅστις εὐτυχεῖ γάμον λαβὼν

---

prioribus subiungunt SMA. non eiusdem esse qui priores fecit sensit Meineke. interciderit nomen poetae, fortasse etiam alter senarius huius fere sententiae *utrum uxorem ducas necne, nihil refert, καὶ γὰρ κτἑ.*

1 ecl. cum lemm. hab. SMA ‖ 2 *ἐς γάμους* Nauck ‖ 5 ecl. cum lemm. hab. SMA. post *Μενάνδρου* addi poterit *Μισογύνου*, nam versus (*ἂν ἐκλέγῃ — διὰ τέλους*) fab. nom. addito leguntur infra flor. 108, 41 Mein. ‖ 6 post *πολυτελής ἐστ'* leniter distingui vult Meineke ‖ 7 *λαβόντ'* MA | *βούλεται* SM et primo A | *ἕν εστί* (sic) S *ἕν ἐστι* A *ἔνεστι* M | *τι* Voss. ‖ 8 *παῖδες* interpolatum puto, cf. Heimsoeth comm. de interpol. alt. p. XIII. exspectes *δῆλον* vel *φανερόν* vel *πιστόν*, tale. cf. p. 496, 12 | *ἦλθέν τις νόσος* scripsi: *ἐλθόντ' εἰς νόσον* SMA sed cum prioribus cohaerens sic *παῖδ' ἐσελθόντ' εἰσ* (ex *ἐσ* corr. M[1]) M. non probabile puto quod certatim coniecerunt *ἐλθόντ' εἰς νόσον τὸν ἔχονθ' ἑαυτὴν* Cobet *Λόγ. Ἑρμ.* I 3 p. 443 Herwerden Nov. add. cr. p. 39 Madvig Adv. cr. I p. 719 ‖ 11 *ὁρᾷ* SMA: corr. Gesn.[1] ‖ 13 *ἂν δὲ λέγῃς* fere libri: corr. Grotius coll. flor. 108, 41 Mein. ubi libri *ἂν ἐκλέγῃ* particula *δὲ* omissa ‖ 15 *προσδοκωμένων* MA infra 108, 41 Mein.: *προσλεγομένων* hic SMA | *ὀδυνήσῃ* MA flor. 108, 41: *οὐ δυνήσῃ* SMA hic ‖ 16 ecl. cum lemm. hab. MA, om. S ‖ 17 cf. Men. mon. 614 sive Anecd. Boiss. I p. 157 *μακάριος ὅστις εὐτυχεῖ γενναῖος ὤν* | *ὅστις ἂν τύχῃ* prop. Lobeck in Phryn. p. 277

ἐσθλῆς γυναικός· εὐτυχεῖ δ' ὁ μὴ λαβών.

73 (69, 6 Mein.) *Ἡσιόδου* (op. 702 ss.).

Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληίζετ' ἄμεινον
τῆς ἀγαθῆς· τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
δειπνολόχου· ἥτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
αὔει ἄτερ δαλαῖο† καὶ ἐν ὠμῷ γήραϊ θῆκε.

74 (69, 7 Mein.) *Εὐριπίδου Ἀλκμέωνος* (fr. 78 N.²).

Γυναῖκα καὶ ὠφελίαν
καὶ νόσον ἀνδρὶ φέρειν μεγίσταν
ἐδιδάξατ' ἐμῷ λόγῳ.

75 (69, 8 Mein.) *Φιλιππίδου* (fr. 28 K.).

Αἰσχρὰν γυναῖκ' ἔγημας, ἀλλὰ πλουσίαν·
κάθευδ' ἀηδῶς, ἡδέως μασώμενος.

76 (69, 9 Mein.) *Εὐριπίδου Πρωτεσιλάου* (fr. 657 N.²).

---

1 *δυστυχεῖ* Lobeck: *εὐτυχεῖ* libri. sed vide ne *εὐτυχεῖ* oscitanter ex eadem prioris versus sede iteratum sit. concinnius *δύσμορος* vel *δυστυχής*, respondet *μακάριος* ‖ 2 ecl. cum lemm. hab. SMA. recurrunt versus Et. gen. v. *δειπνολόχης* '*οὐ μὲν — δῶκεν*', Et. Tittm. v. *δειπνολόχου* '*οὐ μὲν — δειπνολόχου*', duo priores Clem. Al. strom. VI p. 432 Stähl. Porphyr. ap. Euseb. praep. ev. X 3 p. 466 c ‖ 3 *λῄζεται* MA ‖ 5 *δειπνολόχης* Hes. ‖ 6 *αὔει* (sine prosod. M) SMA *εὕει* vel *εὔει* libri Hes. *εὔει* etiam Plut. mor. p. 100 E et p. 527 A | *δαλοῖο* S (?) MA *δαλοῦ* Tr., libri Hes., Plut. | *καὶ ἐν ωμῶ* libri Stob., nisi quod *ὁμῶ* M *ὀμῶ* A¹. fluctuatur Hesiodi librorum memoria inter *δαλοῦ καὶ ἐν ὠμῷ γήραϊ θῆκεν* et *δαλοῦ καὶ ὠμῷ γήραϊ δῶκεν*, item Plutarchi ut videtur. *δαλοῦ καὶ ὠμῶ γήραϊ θῆκεν* Et. gen. *δαλαῖο καὶ ὠμῷ γ. θῆκε* Gaisford et Meineke in Stob. sed male coniunxerit gnomologus scripturam *δαλοῖο καὶ ὠμῷ γήραϊ δῶκεν* cum altera quam aliquando adscriptam fuisse putes *δαλοῦ καὶ ἐν ὠμῷ γήραϊ θῆκεν*, iam ut metrum turbatum sit. nihil ausim mutare ‖ 7 ecl. cum lemm. hab. MA, om. S, etiam Tr. idque moneo propter Dindorfium P. sc.⁵ III p. 296. *ἀλκμέωνος* M *-μαίωνος* A ‖ 8 *ὠφέλειαν* MA: corr. Dindorf coll. Zon. lex. p. 1897 ‖ 9 *καὶ ὄνασιν* prop. Wecklein invito etiam gnomologo: conferantur titulus huius tmematis et sententiae vicinae | *φέρει* libri: corr. Valckenaer | *μεγίσταν* sic MA *μεγίστων* non recte Grotius aliquando (teste Valckenaerio Diatr. p. 149) ‖ 10 *ἐδιδάξα τ' ἐμῶ* M *ἐδίδαξα τῶ ἐμω* sine acc. A: *ἐδιδάξατ', ὦ μέλεοι* Wilamowitz De trag. gr. fr. p. 14 *ἐδίδαξα τὠμῷ λόγῳ* Grotius ‖ 11 ecl. cum lemm. hab. SMA ‖ 13 *μασσώμενος* S ‖ 14 ecl. cum lemm. hab. SMA; *πρωτεσιλάω* M Mac. leguntur versus sine lemm. etiam in flori-

Ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ
γυναῖκας ἑξῆς, σκαιός ἐστι κοὐ σοφός.
πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακήν,
τὴν δ', ὥσπερ αὕτη, λῆμ' ἔχουσαν εὐγενές.

77 (69, 10 Mein.) *Μενάνδρου* (fr. 651 K.).

Τὸ γαμεῖν, ἐάν τις τὴν ἀλήθειαν σκοπῇ,
κακὸν μέν ἐστιν, ἀλλ' ἀναγκαῖον κακόν.

78 (69, 11 Mein.) *Εὐριπίδου Μελανίππης* (fr. 494 N.²).

Τῆς μὲν κακῆς κάκιον οὐδὲν γίνεται
γυναικός· ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
πέφυκ' ἄμεινον· διαφέρουσι δ' αἱ φύσεις.

79 (69, 12 Mein.) *Τοῦ αὐτοῦ* (Alc. 879).

Τί γὰρ ἀνδρὶ κακὸν μεῖζον, ἁμαρτεῖν
πιστῆς ἀλόχου;

80 (69, 14 Mein.) *Σοφοκλῆς Φαίδρᾳ* (fr. 621 N.²).

Οὕτω γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν
κακῆς ἀνὴρ κτήσαιτ' ἂν οὐδὲ σώφρονος
κρεῖσσον· παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει.

---

legio papyri Berol. 9772 alterius a. Chr. saec. *Berl. klassikert.* V 2 p. 126 post Stob. ecl. 11 Mein., initia iamborum *ΓΥΝΑΙ̂ΚΑΣ ἙΞ[ῊΣ* et *Π[Ο]ΛΛΩ͂Γ ΓᾺΡ ΟΥ̓Σ[ΩΝ* et *ΤῊΝ Δ' ὭΣΠΕΡ Ἥ[ΔΕ* etiam in pap. Berol. 9773 alt. ut videtur a. Chr. saec. l. c. p. 129. apparet antiquitus eclogas 9 et 11 Mein. traditas esse in florilegiis vicinas

1 *δὲ* om. A | *ψέγει* ex *ψόγω* corr. S¹ ‖ **4** *αὕτη* Tr. *αυτη* (vel *αὐ-*) S *αὐτῆ* M *αὐτὴ* (vel *-ῇ*) A. *ΗΔΗ* pap. 9772, unde *ἧδ' ἦν* prop. Wilamowitz. *αὕτη* sc. Laodamia, ut vidit Welcker *Gr. trag.* p. 499. nuntii *ῥῆσιν* mortem Laodamiae narrantis his versibus clausam fuisse conicit Wilamowitz | *λῆμμ'* ex corr. A¹ ‖ **5** ecl. cum lemm. S M A ‖ **8** ecl. cum lemm. hab. S M A; *μελανίππης* compend. S *-ίππη* M A. *Εὐριπίδης δὲ ἐν Μελανίππῃ τῇ δεσμώτιδι* Porphyr. in Eusebi praep. ev. X 3 p. 466 d. sine lemmate offeruntur versus in papyro Berol. 9772 *Berl. klassikert.* V 2 p. 126 ‖ **9** *ΟΥ̓ΔῈΝ* pap. | *ΓΊΝΕΤΑΙ* pap. *γίγν-* Eur. ‖ **10** *οὐδὲν* supra lin. S¹ *ΟΥ̓ΘῈΝ* pap. ‖ **11** *Π[Έ]ΦΥΚΕ* pap. | *ΔῈ ΑἹ* pap. *δ' αὖ* M ‖ **12** ecl. cum lemm. hab. S M A ‖ **15** ecl. cum lemm. hab. S (post ecl. 13 Mein.) M A (post ecl. 12 Mein.); *φαίδρα* S M A ‖ **16** *οὕτω* recte interpretatur Wilamowitz *Eur. Hipp.* (Berol. a. 1891) p. 57 adn. 1 ‖ **18** *μεῖζον κρεῖσσον* S sed expunxit *μεῖζον* S¹ | *ὧν — λέγει* non integra putat Herwerden mus. Rh. LVIII p. 141 s.

81 (69, 13 Mein.) *Εὐριπίδου* (Or. 602 ss.).

Γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν,
μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,
τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς.

82 (69, 15 Mein.) *Ἡσιόδου Θεογονίας.* (600—609).

Ὡς δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκεν, ξυνήονας ἔργων
λευγαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο.
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' εἰς γῆρας ἵκοιτο
χήτει γηροκόμοιο· ὅ γ' οὐ βιότου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ ζωὴν δατέονται
χηρωσταί· ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ' ἔσχετ' ἄκοιτιν ἀρηρυῖαν πραπίδεσσι,
τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει.

83 (69, 16 Mein.) *Εὐριπίδου Ἑκάβης* (1183 ss.).

Μηδὲν θρασύνου μηδὲ τοῖς σαυτοῦ κακοῖς
τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος.
πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν εἴσ' ἐπίφθονοι,
αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.

---

1 ecl. cum lemm. hab. S (post ecl. 12 Mein.) M A (post ecl. 14 Mein.); ἲ αυ^τ S ‖ 2 *γάμοι* Mac., Eur.: *γάμοις* S M A | *δὲ* S M | *ὅσοι* S | *εὖ* Mac., Eur.: om. S M A | *καθεσταισι* (sine acc.) S *καθεστᾶσι* M Mac. *καθιστάσι* Tr. ‖ 3 *οἷς* Mac., Eur.: *τοῖς* S M A | *πίπτουσιν* M Mac., Eur.: *πίτνουσιν* S A ‖ 5 ecl. cum lemm. hab. S (post ecl. 14 Mein.) M A (post ecl. 13 Mein.) ‖ 6 *αὐτὸς* M A ‖ 7 *ξυνήωνας* (sine acc. M) M A ‖ 8 *ἀργαλέων* Hes. | *ἀγαθοῖς* S M A: ex Hes. tacite corr. Gesn.[1] ‖ 9 *κε* Tr., Hes.: *καὶ* S M A ‖ 10 *θέλει* A | *δ' ἐπὶ γῆρας* Hes. | *ἵκηται* Hesiodi codd. *ἱκάνει* prop. Peppmüller ‖ 11 *χήτεϊ* G. Hermann | *ὅ γε* S M *ὅ γ'* A, Hes. *ὅ δ'* cod. Paris. 1985 teste Gaisfordo. *ὃ δ'* Hermann | *βιότοι' ἐπιδευὴς* Peppmüller ‖ 12 *ζώει* tacite ex Hes. Gesn.[1]: *ζώη* S M A | *ἀποφθιμενου* sine acc. M et sic in proximis non nulla quae adnotare inutile duxi | *ζωὴν*] *κτῆσιν* Hes. ‖ 13 *ὡς δ'* A ‖ 14 *δ'* om. S (non A, ut dixit Rzach) | *ἔσχεν* recte libri Hes. | *ἄκητιν* A | *ἀρηρυῖαν* M A *ἀραρυίαν* S, inter *ἀρηρυῖαν* et *ἀραρυῖαν* fluctuantur etiam Hesiodi codd. ‖ 16 ecl. cum lemm. hab. S M A; *εκ^α* poetae nom. omisso S ‖ 17 *αὐτοῦ* M ‖ 18 *μέμψῃ* Tr. *μέμψαι* S M A ‖ 19 *μέν εἰσιν* M *μὲν εἰσὶν* A ‖ 20 *ἐπιφθονοι* s. acc. S

84 (69, 17 Mein.) *Ἐπιχάρμου* (fr. 35* p. 265 Lorenz).

Τὸ δὲ γαμεῖν ὅμοιόν ἐστι τῷ τρὶς ἓξ ἢ τρεῖς [κύβους] μόνους
ἀπὸ τύχης βαλεῖν; ἐὰν μὲν γὰρ λάβῃς τεταγμένην
τοῖς τρόποις καὶ τἆλλ' ἄλυπον, εὐτυχήσεις τῷ γάμῳ·
εἰ δὲ καὶ φιλέξοδόν τε καὶ λάλον καὶ δαψιλῆ,
οὐ γυναῖχ' ἕξεις, διὰ βίου δ' ἀτυχίαν κοσμουμέναν.

85 (69, 18 Mein.) *Εὐριπίδου Οἰδίποδι* (fr. 545 N.²).

Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή,
ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.

86 (69, 19 Mein.) *Εὐριπίδου ἐν Μελανίππῃ* (fr. 493 N.²).

Ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος.
αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις
αἶσχος γυναιξὶ καὶ κεκοίνωνται ψόγον
ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ' εἰς γάμους
οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν.

87 (69, 20 Mein.) *Εὐριπίδου Ἀλεξάνδρου* (fr. 59 N.²).

Ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεί.

88 (69, 21 Mein.) *Γαΐου ὑπὲρ Λουκίλλης.*

Φυλάττομαι δέ τι πικρότερον εἰπεῖν διὰ τὸ τῆς μητρυιᾶς ὄνομα. πολλὰ γὰρ προείληπται τῶν ὀνομάτων

---

1 ecl. cum lemm. hab. SMA. indicassem editionem Kaibelii, sed ille locum omisit, cf. Com. I 1 p. 133 Kaib. recte intellegunt Epicharmum personatum. serissimae aetatis videntur versus Wilamowitzio *Berl. klassikert.* V 2 p. 124 adn. ‖ 2 *τῶ* (*τὸ* S) *τρεῖς* SM *τῶ τρεῖς* (ι supra scr.) A¹. *τῷ τρὶς* tacite Gesn.² | *ἢ τρισ* M | *κύβους* S *κύβους μόνους* MA. *μόνους* recepit Meineke, *κύβους* Ahrens ‖ 5 *τἆλλα* M ‖ 6 *αἰ δέ κα* prop. Meineke ‖ 7 *κοσμουμέναν* (*-ην* Mac.) unicum quod libri conservarunt idque leve dorismi vestigium. ubique doricas formas restituere licere putat Meineke ‖ 8 ecl. cum lemm. hab. SMA. fabulae nom. detracto legitur prior versus supra IV 22, 1, 2 p. 495, 9, uterque ap. Clem. Alex. strom. IV 8 p. 277, 10 Stähl. ‖ 9 *πέφυκεν*] *ἐστιν* Clem. | *πέφυκε τἀνδρὸς* Cobet mnemos.² II p. 112 ‖ 10 *ἡ δὲ* S, Clem., *εἰ δὲ* MA | *τὸν ξυνόντα ὑπερφέρει* Clem. ‖ 11 ecl. cum lemm. hab. SMA; *εν μελανι^π ευρι^{πδ}* S *ἐν* om. A ‖ 12 *ἄλγιστον* ex *ἄριστον* corr. S¹ ‖ 13 *σφαλεῖσι* S ‖ 14 *ψόγον* ex *γάμον* corr. S¹ ‖ 17 ecl. cum lemm. hab. MA, om. S ‖ 19 ecl. cum lemm. hab. SMA ‖ 20 *μητρυᾶς* (ut p. 530, 1 *μητρυὰ*) S

εἰς πίστιν ἀπεχθείας, καὶ μητρυιὰ δυσκόλως ἀληθεύειν πιστεύεται· δεῖ δὲ οὐ ταῖς φήμαις τῶν ὀνομάτων ἐξελέγχεσθαι τοὺς τρόπους· πολλοὶ γὰρ ἤδη διαβεβλημένας προσηγορίας ἔχοντες ἔσχον οὐ πονηρὰν διάνοιαν· πάλιν ἕτεροι καὶ καλοῖς ὀνόμασιν ἐκ τῆς φύσεως κεκοσμημένοι ψυχαῖς ἀνομοίοις προσέρχονται πρὸς τὰ ἔργα.

89 (69, 22 Mein.) *Θεμιστίου ἐκ τοῦ Περὶ ψυχῆς.*

Ἀλλ' οὖν μάλιστα διψῶν ἀπέθανεν τῆς γυναικός, ἐρῶν ἐρώσης ἀπολειπόμενος . . . οὐθὲν εἰπεῖν οὔτε ποιῆσαι πρὸς αὐτὴν ἰταμὸν ἐτόλμησαν· ἀλλ' οὕτως ἐνεκαρτέρησαν ἀμφότεροι τῷ πρέποντι, ὥσπερ ἀποδείξασθαι θέλοντες ὅτι πλεῖστον αἰδοῦς ἔρωτι δικαίῳ μέτεστιν· ὅθεν ἔμοιγε πλεῖστον αὐτῇ φαίνεται χρόνον ἀνὴρ συμβεβιωκέναι πάντα γὰρ διόλου τὸν δεκαετῆ χρόνον ὁμαλῶς συνεβίωσεν. αἱ δὲ ἄλλαι συνοικοῦσιν οὐ συμβιοῦσιν, ὅταν λυπῶσι τοὺς μὲν ἄνδρας ἢ ζηλοτυπῶσιν ἢ διαφέρωνται περὶ χρημάτων ἢ κακῶς λέγωσιν ἢ φεύγωσι θρυπτόμεναι τὰς φιλοφροσύνας καὶ συνδιαιτήσεις· ὥστε ἂν τοῦτον ἐξαίρῃς τὸν χρόνον ἐν ᾧ ταῦτα πράττουσιν, ἀπολείπεται βραχὺς ἐκεῖνος ὁ τῆς συμβιώσεως.

90 (69, 23 Mein.) *Μουσωνίου ἐκ τοῦ Τί κεφάλαιον γάμου* (Mus. rel. XIII A p. 67 H.).

Βίου καὶ γενέσεως παίδων κοινωνίαν κεφάλαιον εἶναι

---

1 *εἰς*] *εἰ* M | *ἀπεχθίασ* M ‖ 5 *ἐκ τῆς φ.*] cf. Xen. inst. Cyri VI 4, 4 ‖ 6 *ἀνομοίοις* MA *ἀνομοίαις* (o alterum e corr.) S ‖ 7 ecl. cum lemm. hab. MA, om. S; *θεμΐστέως* (*ως* compend.) M. vide quae adnotavi Stob. III 13, 68 p. 468, 5 ‖ 8 *ἀλλ' οὖν* prop. Meineke: *ἄλλου* M *ἀλλ' οὐ* A. *ἀλλὰ* scr. Gesn.[2] ‖ 9 *ἀπολιπόμενος* MA: corr. Meineke | post *ἀπολειπ.* lacunam indicavi. *ἀπολειπόμενος, ⟨ὃς⟩ οὐδὲν ⟨οὔτ'⟩ εἰπεῖν — ἐτόλμησεν* temptavit Meineke ‖ 13 *αὔτη* A ‖ 14 *συνεβίωσαν* ci. Elter ‖ 15 *ἄλλαις* MA: corr. Meineke. *ἄλλοις* Gesn.[2] ‖ 11 '*μὲν* abundat' Gesn.[2] mrg. | *ζηλοτυποῦσιν* A | *διαφέρωνται* sed *ω* ex *ο* ut videtur corr. M[1] ‖ 17 *φεύγων* A ‖ 18 *καὶ*] *ἢ* temere Gesn.[2] | *ἂν τοῦτον* M *αὐτοῦ τοι* A ‖ 20 *ἐκείνοις* Meineke ‖ 21 ecl. hab. SMA; *Μουσωνίου ἐκ τοῦ τι κεφάλαιον γά^{μ}* M *μουσωνίου* nihil amplius S *Μουσωνίου ἐκ τοῦ τίτλου κεφάλαιον γάμου* A ‖ 23 excerptoris festinantia proditur primi enuntiati oratione obliqua | *κεφάλαιον* — (24) *γαμουμένην* om. A

γάμου. Τὸν γὰρ γαμοῦντα, ἔφη, καὶ τὴν γαμουμένην ἐπὶ τούτῳ συνιέναι χρὴ ἑκάτερον θατέρῳ, ὥσθ' ἅμα μὲν ἀλλήλοις βιοῦν, ἅμα δὲ ⟨παιδο⟩ποιεῖσθαι, καὶ κοινὰ δὲ ἡγεῖσθαι πάντα καὶ μηδὲν ἴδιον, μηδ' αὐτὸ τὸ σῶμα. μεγάλη μὲν γὰρ γένεσις ἀνθρώπου, ἣν ἀποτελεῖ τοῦτο τὸ ζεῦγος. ἀλλ' οὔπω τοῦτο ἱκανὸν τῷ γαμοῦντι, ὃ δὴ καὶ δίχα γάμου γένοιτ' ἂν συμπλεκομένων ἄλλως, ὥσπερ καὶ τὰ ζῷα συμπλέκεται αὑτοῖς. δεῖ δὲ ἐν γάμῳ πάντως συμβίωσίν τε εἶναι καὶ κηδεμονίαν ἀνδρὸς καὶ γυναικὸς περὶ ἀλλήλους, καὶ ἐρρωμένους καὶ νοσοῦντας καὶ ἐν παντὶ καιρῷ, ἧς ἐφιέμενος ἑκάτερος ὥσπερ καὶ παιδοποιίας εἶσιν ἐπὶ γάμον. ὅπου μὲν οὖν ἡ κηδεμονία αὕτη τέλειός ἐστι καὶ τελέως αὐτὴν οἱ συνόντες ἀλλήλοις παρέχονται, ἁμιλλώμενοι νικᾶν ὁ ἕτερος τὸν ἕτερον, οὗτος μὲν οὖν ὁ γάμος ᾗ προσήκει ἔχει καὶ ἀξιοζήλωτός ἐστι· καλὴ γὰρ ἡ τοιαύτη κοινωνία· ὅπου δ' ἑκάτερος σκοπεῖ τὸ ἑαυτοῦ μόνον ἀμελῶν θατέρου, ἢ καὶ νὴ Δί' ὁ ἕτερος οὕτως ἔχει, καὶ οἰκίαν μὲν οἰκεῖ τὴν αὐτήν, τῇ δὲ γνώμῃ βλέπει ἔξω, μὴ βουλόμενος τῷ ὁμόζυγι συντείνειν τε καὶ συμπνεῖν, ἐνταῦθ' ἀνάγκη φθείρεσθαι μὲν τὴν κοινωνίαν, φαύλως δὲ ἔχειν τὰ πράγματα τοῖς συνοικοῦσιν, καὶ ἢ διαλύονται τέλεον ἀπ' ἀλλήλων ἢ τὴν συμμονὴν χείρω ἐρημίας ἔχουσιν.

---

2 *συνεῖναι* SMA: corr. Meineke ‖ **3** *παιδοποιεῖσθαι* Peerlkamp: *ποιεῖσθαι* libri; *τεκνοποιεῖσθαι* ci. Gesn.[1] ‖ **5** *γένεσις* libri: *καίνισις* (vel *καίνωνις*) ci. Th. Gomperz *Wien. sitz. ber.* 1906 p. 6 ‖ **8** *αὐτοῖσ* M | *πάντοσ* M ‖ **9** *τε θεῖναι* A ‖ **11** *ἕκαστος* libri: corr. Peerlkamp ‖ **12** *εἰσὶν* libri: corr. Gesn.[1] mrg. ‖ **15** *οὖν* om. S ‖ **17** *ἢ* om. A | *δῖα ὁ* M ‖ **18** *αὐτὴν* SM *ἑαυτὴν* A ‖ **19** *ὁμοζύγω* A ‖ **20** *ἐνταῦθα* S ‖ **22** *χείρονα* A

CAPVT XXII. PARS QVARTA.

ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ.

91 (70, 1 Mein.) *Εὐριπίδου Μελανίππης* (fr. 501 N.²).

Γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους,
μάτην πονοῦσιν· ἡ δὲ τῷ χρεὼν πόσει
μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους.

92 (70, 2 Mein.) *Τοῦ αὐτοῦ* (Phoen. 18).

Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.

93 (70, 3 Mein.) *Εὐριπίδου Ἀντιόπῃ* (fr. 214 N.²).

Κῆδος καθ' αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών.

94 (70, 4 Mein.) *Τοῦ αὐτοῦ Μελανίππῃ* (fr. 502 N.²).

Ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν.
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν [τοῖς] δώμασι
δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος.
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων
ἀνόνητος· αἱ γὰρ διαλύσεις ⟨οὐ⟩ ῥᾳδιαι.

---

2 *Περὶ μνηστείας* S M A Mac. *Περὶ μνηστείας ἔτι καὶ περὶ γάμου* Tr. *ξδ'* S *να'* M A Mac. *ξη'* Tr. de Photio vide quae dixi p. 494, 2 ‖ **3** ecl. cum lemm. hab. S M A ‖ **4** *ὅσαι* prop. Bergk | *παιδεύουσι* A ‖ **5** *τῶ* S *τῶ* in *τὼ* corr. M¹ *τὼ* A *τὸ* Tr. | post *χρεὼν* praecepit e proxima ecloga v. *τέκνων ἄλοκα δ. β.* dein delevit A ‖ **6** *ἢ ἀσπούδαστοσ* M | *εἰς γάμους* ci. Nauck Trag. dict. ind. praef. p. XXIII. cf. infra p. 533, 6 ‖ **7** ecl. sine lemm. hab. S, addito lemm. M A. versus citatus a multis, testimonia collegerunt Kirchhoff Eur. ed. mai. et Nauck *Eur. st.* I p. 104 ‖ **8** *σπείρε* (*σπεῖρε* Eur.) Tr. *σπείρειν* S M *σπεῖρον* A | *τέκνων*] *παίδων* Origines c. Celsum II 20 p. 150, 1 Koetsch. schol. Pind. Ol. II 65 | *δαιμόνων ἄτερ* Maximus Tyr. XIX 5 Dübn. ‖ **9** ecl. cum lemm. hab. M A, om. S; *Ἀντιγόνῃ* ci. Nauck ‖ **10** *ἑαυτὸν* in *αὑτὸν* corr. M¹ ‖ **11** ecl. cum lemm. hab. S M A; *εὐριπτ* (Δ) M ‖ **12** *δὴ* S A *δη* sed *η* in ras. M *δὲ* Tr.: tacite corr. Gesn.¹ f. 391ᵛ ‖ **14** *τοῖς* tacite secl. Gesn.¹, *ἐν τοῖς δόμοις* ci. Nauck minus bene ‖ **17** *ἀνόνητος* sed prius *ο* ex *ω* corr. S¹ *ἀνώνητοσ* M | *γὰρ*] *δὲ*

95 (70, 5 Mein.) *Μενάνδρου* (fr. 583 K.).

Ὅταν πένης ὢν καὶ γαμεῖν τις ἑλόμενος
τὰ μετὰ γυναικὸς ἐπιδέχηται χρήματα,
αὑτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει.

96 (70, 6 Mein.) *Εὐριπίδου Μελεάγρῳ* (fr. 525 N.[2]).

Εἰ δ' εἰς γάμους ἔλθοιμ', ὃ μὴ τύχοι ποτέ,
τῶν ἐν δόμοισιν ἡμερευουσῶν ἀεὶ
βελτίον' ἂν τέκοιμι † δώματι τέκνα·
ἐκ γὰρ πατρὸς καὶ μητρὸς ὅστις ἐκπονεῖ
σκληρὰς διαίτας, οἱ γόνοι βελτίονες.

97 (70, 7 Mein.) *Μενάνδρου* (fr. 584 K.).

Δύ' ἔσθ' ἃ κρῖναι τὸν γαμεῖν μέλλοντα δεῖ,
ἤτοι προσηνῆ γ' ὄψιν ἢ χρηστὸν τρόπον·
τὴν γὰρ ὁμόνοιαν τὴν πρὸς ἀλλήλους ποιεῖ.

98 (70, 8 Mein.) *Ἡσιόδου Ἔργων* (699 s.).

Παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς,
πάντα μάλ' ἀμφὶς ἰδών, μὴ γείτοσι χάρματα γήμῃς.

Gesn.[1] mrg. ex Frob. p. 171 | *οὐ* inseruit Scaliger ap. Grotium Dict. poet. p. 542

1 ecl. cum lemm. hab. S M A ‖ **3** *μετὰ τῆς γυναικὸς* (om. *τὰ*) *ἐπιδ. χρ.* ci. Cobet N. l. p. 87 ‖ **4** *αὑτὸν* S *αὐτὸν* M A ‖ **5** ecl. cum lemm. hab. M A, om. S ‖ **6** *ἔλθοιμι* M ‖ **7** *δόμοισιν* Musgrave: *πόνοισιν* M A ‖ **8** *βέλτιον* M A: corr. Valckenaer | *δώματι* M A: *δώμασιν* Valckenaer, *σώμασιν* Musgrave, *λήμασιν* ego idque recepit Nauck ‖ **9** et **10** cum lemmate *Εὐριπίδου Μελεάγρῳ* leguntur supra Stob. II 31, 21 p. 205, 11 W. et omisso fabulae nom. Clemens Al. strom. VI 2 p. 428, 13 Stähl. | *ἐκ* M A, Clem. (*ε*)*ἰς* L in Stob. II | *ὅστις ἐκπονεῖ*] *ἐκπονουμένων* Clem. ‖ **10** *οἱ πόνοι* Stob. II et Clem. ‖ **11** ecl. cum lemm. hab. S M A ‖ **12** *ἔσθ' ἃ* Bentley: *ἔστι* libri ‖ **13** *προσηνῆ γ'* Elmsley: *προσηνὴν* libri. *ἤτοι προσηνὴς ὄψις ἢ χρηστὸς τρόπος* Bentley quod probari vix poterit nisi sedem inter se mutabunt v. 13 et 14. monui lect. Stob. p. 36 ‖ **15** ecl. cum lemm. hab. S M A; *ἔργων* om. S. priorem versum addito poetae nom. adfert Aristot. Oecon. I 4, v. *ἵνα ἤθεα κεδνὰ διδάξῃ* Aristid. II p. 41 Dind. ‖ **16** *ὥς κ' ἤθεα* Hes.: *ὡς κήθεα* fere libri Stob., certe *κή-* M, *ἵνα ἤθεα* Aristot. Aristid. | *διδάξῃ* Aristid. | post *διδάξῃς* quem addunt libri Hesiodi *τὴν δὲ μάλιστα γαμεῖν, ἥ τις σέθεν ἐγγύθι ναίει* om. S M A ut Hesiodi papyrus Raineri saec. IV ‖ **17** *ἀμφιιδὼν* Heyne | *χάρματα* (*χάρμα* Tr.) *γήμῃς* S, Hes.: *χαρματαμμησ* M *χάρματα νείμῃς* A

99 (70, 9 Mein.) *Θεόγνιδος* (183 ss.).

† *Κύνας μὲν δὴ νῶϊ διζήμεθα, Κύρνε, καὶ ἵππους*
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνήρ, ἤν οἱ χρήματα πολλὰ φέρῃ.

100 (70, 10 Mein.) *Εὐριπίδου ἐν Ἀντιόπῃ* (fr. 215 N.[2]).

Πᾶσι δ' ἀγγέλλω βροτοῖς
ἐσθλῶν ἀπ' † *ἀνδρῶν εὐγενῆ σπείρειν τέκνα.*
οὐ γάρ ποτ' ἂν πράξειαν ἐς τέλος κακῶς.

101 (70, 11 Mein.) *Καλλικρατίδα ἐκ τοῦ Περὶ οἴκου εὐδαιμονίας.*

Ἔχει δὲ τὸ ἴχνος τοῦτο τᾶς διακοσμάσιος πρᾶτον καὶ αὐτὸς ὁ ἄνθρωπος ἐν τᾷ διαιρέσει τᾶς ψυχᾶς· ταύτας ⟨γὰρ⟩ ὃ μέν τί ἐντι λογισμός, ὃ δὲ θυμός, ὃ δὲ ἐπιθυμία. ὁ μὲν ὦν λογισμὸς οἰκοδεσπότᾳ καὶ ἄρχοντι ποτεμφερής ἐντι, πρεσβύτερός τε γάρ ἐντι τᾷ φύσει καὶ τᾷ γενέσει, διανοητικώτατος καὶ κριτικώτατος· ἃ δ' ἐπι-

---

1 ecl. cum lemm. hab. S M A. iidem versus sed duobus distichis aucti leguntur infra flor. 88, 14 Mein. (*Ξενοφῶντος ἐκ τοῦ Περὶ Θεόγνιδος*) ‖ 2 gnomologi interpolatio notabilis. *κριοὺς μὲν καὶ ὄνους διζήμεθα* Theogn., Stob. flor. 88, 14 ‖ 3 *βούλετ'* S ‖ 4 *βήσεσθαι* A. *κτήσασθαι* Stob. flor. 88, 14 ‖ 5 *ἥν τις χρ.* Stob. flor. 88, 14 | *φέρῃ*] *διδῷ* Theogn., Stob. flor. 88, 14 ‖ 6 ecl. cum lemm. hab. SMA, *ἐν αντιο*$^{\pi}$ *ευρι*$^{\pi\delta}$ S ‖ 7 *ἀγγέλω* M ‖ 8 *ἀλόχων* pro *ἀνδρῶν* recte Wecklein ‖ 9 ante v. *οὐ γάρ ποτ' ἂν* erunt fortasse qui lacunam signare malint sive quod Antiopae aliquot versus intercidisse opinantur sive Andromachae velut 1279—82 (cf. Stob. IV 22 p. 546, 11). his enim adhaeret versus *οὐ γάρ — κακῶς* in codd. Eur. sed in gnomologo tolerabilis fortasse quae nunc est sententia | num *πράξειεν* (sc. *τὰ εὐγενῆ τέκνα*) ? | *ἐς τέλος* S M A: *ἐκ θεῶν* Eur. Andr. 1283 ‖ 10 ecl. cum lemm. hab. S M A; *καλλικρατίδα* S A *-ίδου* M *οἴκου καὶ εὐδαιμονίας* A. plenius infra libri *Καλλικρατίδα Πυθαγορείου Λάκωνος ἐκ τοῦ Περὶ οἴκων* (lege *οἴκω*) *εὐδαιμονίας* flor. 85, 16 Mein. ‖ 12 *πρῶτον* M ‖ 13 *τῶ διαιρέσει* M | post *ψυχᾶς* distinxit, *γὰρ* addidit Halm lect. Stob. p. 40 ‖ 14 *ἐντὶ* Tr.: *ἐστὶ* (*ἐστι* M) S M A ‖ 15 *ὦν* M ‖ 16 *ποτεμφ-* A *ποτ' ἐμφ-* S M | *ἐντι* Tr.: *ἐστὶ* (sine acc. M) S M A | *ἐντὶ* (post *γὰρ*) Gesn.[2]: *ἐστὶ* S A *ἐστι* M *ἐν* Tr. | *τᾶ* S *τὰ* M *τῇ* A ‖ 17 *κριτικώτατος* S M A *διακριτικώτατος* Tr.

θυμία, θῆλυ καὶ νεαρὸν καὶ ὑγρὸν πάθος ὑπάρχοισα τᾷ ψυχᾷ, γυναικὶ ποτιφερής ἐντι· ὁ δὲ θυμός, ὁρμᾶς καὶ ζέσιος μεστὸς ἐὼν καὶ συνακούων καὶ ἐπακολουθῶν πολλάκις τῷ λογισμῷ ἢ τῷ νῷ, [καὶ] νεανίᾳ ποθωμοίωται. . . . ἁ μὲν γὰρ μονάς ἐντι τὸ γεννῶν καὶ ὁρίζον, ἁ δὲ δυὰς τὸ ὁριστὸν καὶ ὁριζόμενον. καὶ τὸ μὲν περισσὸν ἐκ τᾶς καθ᾽ αὑτὸ φύσιος, τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι· διότι τὸ μὲν καθ᾽ αὑτὸ φύσιος περαίνει, τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι. καὶ τὸ μὲν κατὰ περισσὰς χώρας συντάσσον ἐξομοιάζει αὑτῷ, τὸ δὲ μόνον ὥσπερ ὕλα ὑποκείμενον. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ γραμμᾶν καὶ χωρίων. τὸ μὲν γὰρ τετράγωνον ὁρίζει καὶ συντάσσει, τὸ δ᾽ ἁτερόμακες ὥσπερ ὕλα ὑποκειμένα ὁρίζεται καὶ συντάσσεται, τετραγωνιζόμενον καὶ ἐξισούμενον. δεῖ δὲ τὸν μωσικὸν μιμέεσθαι τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμαθόντα οὕτω πειρᾶσθαι τὰν μέσαν καθιστάμεν, ὅκως καὶ ἐπὶ τὰ βαρέα καὶ ἐπὶ τὰ ὀξέα διαρκέσαι δύναται καὶ μήτε ῥήξῃ μήτε ἀπολίπῃ τὰν τάσιν· οὕτως ὦν δεῖ καὶ γάμον συναρμό-

1 *θῆλυ* S *θᾶλυ* MA ‖ 2 *ψυχᾶ* (-*ῇ* S) *τῶ* (*τὰ* M) libri: traiecit Elter ‖ 3 *ἐπακολουθῶν* SMA *συνεπ*- Tr. ‖ 4 *καὶ* secl. Halm lect. Stob. p. 48 | *ποθωμοίωται* Tr. *ποθ᾽* (*θ* ex *τ* S[1]) *ὡμοίωται* S *ποθ᾽ ὁμοίωται* MA sed *ω* supra *ὁ* A[1] ‖ 5 ante v. *ἁ μὲν γὰρ μονάς* signavi lacunam monente Meinekio | *ἐντι* Tr.: *ἐστι* SM *ἐστὶ* A ‖ 6 *τὸ ὁρ.*] *τὸ γεννατὸν* expectat Meineke | *περισσὸν* scripsi (cf. 9): *περιττὸν* libri ‖ 7 *τᾶς* (ante *καθ᾽ αὑτὸ*) M Tr. *τῆς* SA ‖ 8 *καθ᾽ αὑτὸ περαίνει* (*περαίνει* in ras. M[2]) SMA *καθ᾽ αὑτὸ φύσιος περαίνει* Tr. ⟨*ἐκ τᾶς*⟩ *καθ᾽ αὑτὸ φύσιος π.* prop. Gesn.[1] mrg. | *τὸ δὲ* Tr.: *καὶ τὸ* SMA ‖ 9 *συντάσσον* S (sic) M *συντάττον* A ‖ 10 *αὐτῶ* M | *ὑποκείμενον* MA *καὶ ὑποκείμενον* S | *ἐπὶ* (*ἐπι* M) *γραμμᾶν* SM: *ἐπὶ τῶν γρ.* A, inde non recte *ἐπὶ τᾶν γρ.* Meineke ‖ 12 *ἁτερόμακες* scripsi: *ἑτερόμακες* libri ‖ 13 *ὕλα* ex *ὕλη* S[1] ‖ 14 post *ἐξισούμενον* (ut modo post *ὑποκείμενον*) quasi desinente articulo distinguit S, post *ἐξισ.* spatii aliquid habet M | v. *δεῖ δὲ τὸν μωσικὸν* — p. 536, 2 *δυνατοὶ ὦντι* leguntur infra flor. 85, 18 Mein. ex eodem Callicratidae libro petita ‖ 15 *μιμεῖσθαι* flor. 85 | *τὸν ἴδιον κτἑ.*] melius infra flor. 85 *ὅς τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμαθὼν οὕτως πειρᾶται τὰν μέσαν κτἑ.* ‖ 16 *καθιστάμεν* libri flor. 85: *καθιστάνειν* SMA | *ὅπως καὶ ἐπὶ τὰ ὀξέα καὶ ἐπὶ τὰ βαρέα* flor. 85 ‖ 17 *δύναται* (sic libri hic et infra) est coniunctivus, cf. Kühner-Blass I 2 p. 201 ‖ 18 *τὰν* A in flor. 85: *τὴν* in flor. 85 reliqui

ζεσθαι ποτὶ τὸν ἴδιον τόνον τᾶς ψυχᾶς, ὅκως μὴ μόνον ἐν εὐτυχίαις συνεκτρέχεν ἀλλάλοις δυνατοὶ ὦντι. καὶ γὰρ αὐλὼς ὁ αὐλατὰς ποτὶ τὸν ἴδιον τόνον διαρκέσαι δυναμένως λαμβάνει, καὶ πηδάλια ὁ κυβερνάτας ποτὶ τὸ μέγεθος τᾶς ναός.

102 (70, 12 Mein.) *Νικοστράτου ⟨ἐκ τοῦ⟩ Περὶ γάμου.*

Ταυτὶ μὲν οὖν τὰ τεθρυλημένα σὺ οἶσθα, μήτε εὐγενείᾳ προσέχειν μήτε δόξῃ τῶν πατέρων οὕτως γε ὡς αὐτῇ τῇ γυναικί. πολλαὶ γὰρ δὴ πάνυ καλῶν καὶ ἀγαθῶν πατέρων φαῦλαι ἐφωράθησαν καὶ οὐκ ἐσωφρόνησαν. χρήματα δὲ οἱ μὲν οὐδὲ πάμπαν φιλοπραγμονεῖν εἰώθασιν· ἔνιοι δὲ οὐδ' ἂν γῆμαι ἔφασαν ἄλλως γε εἰ μὴ πλουτοίη καὶ προῖκα ἐπάγοιτο πολλήν. ἀλλ' ἐνταῦθά που καὶ τὸ λαμπρὸν τοῦ δουλεύειν ἐστὶν ἰδίᾳ μὲν τῇ γυναικὶ ὑπὸ τοῦ πλούτου διατεθρυμμένῃ, ἰδίᾳ δὲ τοῖς χρήμασιν ὑποθωπεύοντα αὐτόν τινα, καὶ ἣν συμβαίνῃ μάλιστα λαμβάνοντα ἐκεῖθεν ἀναλίσκειν. εἰ δὲ κατ' ἐμέ τις εἴῃς, καὶ σμικρὰν ἥδιστ' ἂν πύθοιο. κρεῖττον ἄρα ἦν ἀνδρικόν τι γύναιον καὶ κατ' ἀγροὺς τεθραμμένον ἀναζητεῖν τε καὶ πολυπραγμονεῖν· ἱκανὸν μὲν πονεῖν, ὁπότε ὕδωρ ἀνιμᾶν δέοι καὶ πῦρ ἐναῦσαι, ἣν τούτου καιρός, οὐκ ἀνελεύθερον

---

et hic omnes | τάσιν libri flor. 85: στάσιν hic SMA; post στ. fortius distinguit S | ὧν MA in flor. 85: οὖν SMA hic, etiam flor. 85 S | ἐλλίπῃ Hischig | ξυναρμ- hic M

1 τάνον hic M | ὅκως Tr.: ὅπως SMA utrobique ‖ 2 εὐτυχίᾳ flor. 85 | συνεκτρέχειν libri utrobique: correxit Mullach | ἀλάλοισ hic M ‖ 3 αὐλὼς Tr.: αὐλοὺς SMA | δυναμένως M: δυνάμενος S δυναμένοις (sed οι dubium) A ‖ 4 λαμβάνει M: λαμβάνεν SA | πηδάλια libri ‖ 5 νηός S ‖ 6 ecl. cum lemm. hab. SMA; ἐκ τοῦ addidi, cf. p. 593, 12 ‖ 7 ταυτὶ Gaisford: ταῦτ' εἰ SMA | θρυλημένα (θρυλη- A) SMA: corr. Mekler. fort. οὖν τεθρυλημένα | εὐγενείᾳ Gesn.[1] confirmat ut videtur M: εὖ γένει S εὐγενεῖ A. aut illud verum aut γένει ‖ 8 γε tacite scr. Gesn.[2]: τε libri ‖ 9 πολλὰ M ‖ 10 πατέρων ⟨οὖσαι⟩ Elter | φαῦλα M ‖ 11 φιλοπραγμονεῖν SM φιλοφρονεῖν A; πολυπραγμονεῖν Valckenaer ‖ 12 γε Meineke: τε libri ‖ 14 ἴδια hic et 15 A ‖ 15 διατεθρυμμένη S διατεθραμμ- MA ‖ 16 αὐτῶν A | συμβαίνει A ‖ 20 ἀνιμᾶν S ἀνειμᾶν (-μὰν M) MA ‖ 21 ἂν ἐλεύθερον A

δὲ οὔτε ἀρρητοποιόν, χρηστόν γε μὴν καὶ ἀράξαι ποτὲ μύλην, καὶ ἐπαφήσας αὐτῆς διδοῦσαν ὥσπερ ἐπὶ λύρας. ταῦτα μὲν δὴ ῥώμη τῇ γυναικί, ταῦτα δὲ τῷ οἴκῳ ὄφελος. ἐπειδὴ δὲ οὐκ εὔδηλόν ἐστιν ἄρτι γαμοῦντι, ὁποῖαι δή τινες τοῖς τρόποις αἱ γυναῖκες ἀναφανήσονται, Ἰνδοὶ οὕτω γαμοῦσι καὶ οἱ σοφοὶ αὐτῶν, καὶ οὐδεπώποτε ψευσθῆναι λέγονται. ἐκεῖνοι τοίνυν οἱ Ἰνδοὶ οὐχ ὅπως πλούτῳ καὶ δόξῃ ἔγημαν ἐνδ⟨όξ⟩ου ἀνδρὸς καὶ πλουσίου θυγατέρα, ἀλλὰ αὐτὴν τὴν κόρην τήν τε ὄψιν αὐτῆς καὶ τὸ κάλλος ἐπολυπραγμόνησαν, σοφίᾳ δή τινι τοῦτό γε, οὐκ ἀκολασίᾳ οὐδεμιᾷ, οὐδὲ κατὰ τὰ αὐτὰ ἡμῖν. αἱ γὰρ δὴ ὄψεις αἱ χρησταὶ ἔχοιεν ἄν τί που πιστὸν τοῦ κάλλους τῆς ψυχῆς, καὶ ἔνι οὔτε θυμούμενον οὔτε ὀργιζόμενον οὔτε χολῶντα τὸ πρόσωπον φαιδρὸν ἔχειν τε καὶ καθαρόν. εἰ δέ τις πανοῦργος καὶ κρυψίνους, εὐθὺς μὲν καὶ τῷ ὀφθαλμῷ παραβλέπει καὶ δεινὸν δέδορκεν· ὅστις δὲ μωρίᾳ εὐήθης, τοῖς ὀφθαλμοῖς καὶ ταῖς κόραις ἀναπέπταται· ὄνων ὀφθαλμοὶ καὶ προβάτων τοιοῦτοι. ὁ δέ γε συνάγων τὰς ὀφρῦς σκαιός ἐστι· καὶ ὅτῳ ἐπανθεῖ οὐκ

---

1 *ἀρτοποιὸν* (sine acc. S) libri: corr. Nauck ‖ 2 *ἐπαφήσεις* Wyttenbach. 'quae si vera est emendatio, praeterea *αὐτῆς* et *ὡσπερεὶ λύρας* pro *ὥσπερ ἐπὶ λύρας* scribendum' Meineke. *ἐπαφῆσαι* prop. Nauck *Zeitschr. f. d. alt.* 1855 p. 271 | *διδοῦσαν*] *ᾄδουσαν* prop. Gesn.[2] marg. Cobet mnemos. IX p. 136 ‖ 3 *τῇ* Meineke: *τε*(*τὲ* M) libri | *ὄγκῳ* M ‖ 5 *ἅμα φαν-* Tr. ‖ 6 *καὶ* (ante *οὐδεπ.*) om. A ‖ 7 post *ἰνδοὶ* quod addunt M A *καὶ γυμνοὶ καὶ οἱ* (*οἱ* om. A si recte intellego Meklerum) *σοφοὶ* om. S ‖ 8 post *δόξῃ* addendum videtur *προσέχοντες* Meinekio coll. eclogae initio | *ἐνδ⟨όξ⟩ου* scripsi: *ἰνδοῦ* S A *ἰνδοῖ* M ‖ 12 *που πιστὸν* scripsi: *πλεῖστον* S *τοῦ πλεῖστον* M A: *πιστὸν* scr. Meineke, *σημεῖον* Cobet mnemos.[2] II p. 427 ‖ 13 *θυμούμενον* vel *τεθυμωμένον* prop. Meineke: *θυμωμένον* S M A *θυμώμενον* Tr. concinnius *θυμούμενον*. error natus est ex syllaba praecedenti (*-τε*) ‖ 14 *τε ἔχειν* ci. Meineke ‖ 17 *μωρία* libri: *μωρὸς καὶ* ci. R. Foerster script. physiogn. v. II p. 275 | *τοῖς ὀφθαλμοῖς καὶ ταῖς κόραις* M A *ταῖς κόραις καὶ τοῖς* (*τοῖς* ex *ταῖς* corr. S[1]) *ὀφθαλμοῖς* S *τοῖς ὀφθαλμοῖς καὶ* secludi vult Cobet mnemos. IX p. 136, qui etiam *μωρίᾳ* in prioribus tolli iubet et *ταῖς κόραις* mutari in *τὰς κόρας* mnemos.[2] II p. 427 ‖ 19 *σκαιός*] *στυγνὸς* ci. Meineke, poterat *σκληρός*, sed nihil mutandum

ἐρύθημα ἀλλὰ σκότος τε καὶ νέφος, τούτου γε ἡ ψυχὴ οὐδαμῇ οὐδαμῶς εὐφραίνεται. ταυτὶ μὲν τὰ γνωρίσματα καὶ σημεῖα οὐ παρθένοις ἄρα καὶ γυναιξὶν ἀλλὰ καὶ αὐτοῖς πρόσεστι τοῖς ἀνδράσι. περὶ μὲν οὖν τῶν Ἰνδῶν οὗτος ὁ λόγος κρατεῖ, ὡς καταμαντεύονται περὶ τῶν γυναικῶν πόρρωθεν, ὁποῖαί τινες ἔσονται. μὴ δή μου δὲ καταγνώτω μηδὲ εἷς, ἐπεὶ καινότερον τῷ κάλλει καταχρήσομαι συμβουλεύων αὐτὸ μεταθεῖν. οὐ γὰρ τοὺς καλοὺς καὶ τὰς καλὰς ἐγὼ προξενῶ, ἀλλ' ἑτέρως οὐκ ἔνι εἰπεῖν, ἑπόμενον τῷ Ἰνδῶν λόγῳ. εἶδος μὲν δὴ τῆς γυναικὸς ἡμῖν ἐξεταστέον εἰ χαρίεν τι καὶ ἀστεῖον καὶ ἐλευθέριον, εἴ γε μέλλει τις ἡδέως μὲν ἀναπαύσεσθαι, ἡδέως δὲ καὶ εἰς τὴν οἰκίαν τὴν αὐτὸς αὑτοῦ εἰσελεύσεσθαι. τὸ γὰρ δὴ αἰσχρὰν γήμαντα εἶτα ἐξίστασθαι τῆς οἰκίας τῇ γυναικί, οὐκ ἐξίστασθαι μὰ Δί' ἐστι τῆς οἰκίας, ἀλλὰ φεύγειν τὴν γυναῖκα. ὥσπερ δὲ τὸ εἶδος πρότερον ἀξιοῦμεν δοκιμάζειν τῆς γυναικός, οὕτω καὶ αὐτοῦ ἑκάστου τοῦ νυμφίου πρότερόν γε τὸ εἶδος ἐξεταστέον, ὡς μὴ ἄν τι λυποίη αἰσχρὸς ὤν, ἢν τύχῃ ὡραίαν γήμας· τοῦτο γέ ἐστιν, ὡς μὴ ἄν τι λυποίη φαῦλος ὤν, ἢν τύχῃ ἀγαθήν τε καὶ χρηστὴν γήμας. ἔνι δὲ καὶ ἀπὸ τῆς φωνῆς τὰ [ἀπὸ] τῆς ψυχῆς ἑκάστου εἰδέναι. καὶ τοίνυν φωνὴν μετὰ ταῦτα τῆς γυναικὸς ἐξεταστέον· τάχα μὲν γὰρ ἡδίων ἡ ᾠδικὴ ἕωθέν τε καὶ μετ' ἄριστον· μᾶλλον δὲ συνεστάλθω αὐτῇ ἡ φωνὴ εἰς τὸ πρᾶον, καὶ τραχὺ πώποτε μήτε βοήσαι μήτε φθέγξαιτο· τὰ γὰρ τοιαῦτα ἀνδρωδεστέρας τὰς

1 γε Meineke: τε (τὲ M) libri ‖ 3 ἄρα] μόνον optat Meineke, ἄρα μόνον ego ‖ 5 οὗτος S A: οὕτως M Tr. ‖ 7 μὴ δὲ εἷς M A μηδεὶς S | κοινότερον libri: corr. Meineke. cf. p. 537, 11 ‖ 8 μεταθεῖναι libri: corr. Wyttenbach ‖ 9 ἀλλὰ M ‖ 10 ⟨ἢ⟩ ἑπόμενον ci. Meineke | ἰνδῶ A | v. εἶδος μὲν — (21) χρηστὴν γήμας om. S ‖ 11 χάριεν τι M χαριέν τι A; χαριέν τε (voluit χαρίεν τε) ci. Meineke, fort. recte ‖ 14 εἶ τὰ M ‖ 19. 20 ὡραίαν — ἢν τύχῃ om. A, primus ex M edidit Gesn.[2]; frustra seclusit Meineke ‖ 20 ἄν τι λυποίη Gesn.[2]: ἀντιλυποίη M ‖ 22 ἀπὸ seclusit Meineke | ψυχῆς coni. Gesn.[1] marg.: τύχης libri ‖ 24 ἕωθέν τε καὶ Gaisford: ἕωθεν δὲ καὶ M A Tr. ex ἕ. καὶ μ. corr. S[1] ‖ 25 αὐτῇ (ut voluerat Mein.) S αὐτῇ M αὐτὴ A Tr. | βοῆσαι S M ‖ 26 φθέγξετο Tr.

γυναῖκας ἀποφαίνει. οἷον δὲ οἰκία ὡς ἄτοπον ἀνὴρ μὲν ἐκ . . . τύρβαι δὲ καὶ ναὶ μὰ Δία φωναὶ ἀνδρῶν πολλαί. καὶ ἄλλα πολλά ἐστιν, ἃ χρῆν ἕκαστον ἡμῶν πολυπραγμονεῖν· ὡς δ' οὖν ὑπομνῆσαι ἱκανὰ οἶμαι καὶ ταῦτα.

103 (70, 13 Mein.) *Ἀντιπάτρου ἐκ τοῦ Περὶ γυναικὸς συμβιώσεως* (fr. 62 Arn.).

Πρῶτον μὲν χρὴ τὴν μνηστείαν μὴ εἰκῆ ποιήσασθαι ἀλλὰ πάνυ πεφροντισμένως, μηδ' εἰς πλοῦτον μηδ' εἰς ὀγκοῦσαν εὐγένειαν μηδ' εἰς ἄλλην χάσμην μηδεμίαν ἀποβλέπειν, μηδὲ μὰ Δία εἰς κάλλος· καὶ γὰρ τοῦτο ὡς ἐπὶ πᾶν ὄγκον καὶ δεσποτικὸν ἦθος περιποιεῖ· ἀλλὰ πρῶτα μὲν τὸ τῶν γονέων ἐξετάζειν ἦθος καὶ τρόπον, εἰ πολιτικὸς καὶ ἄφορτος ⟨καὶ⟩ εὐγνώμων, ἔτι δὲ σώφρων καὶ δίκαιος, ἐπὶ δὲ τούτοις ἀκενόσπουδος καὶ † ἴχνος καὶ τὰ ἄλλα ⟨ἃ⟩ περὶ τοῦ ποίους τινὰς φίλους κτᾶσθαι δεῖ παραγγέλλεται· ἔπειτα καὶ τὴν μητέρα, ἧ ⟨ἡ⟩ γαμεῖσθαι μέλλουσα συντρέφεται, καὶ ⟨γὰρ⟩ τὸν ταύτης τρόπον κατὰ τὸ πλεῖστον ἀποπλάττεται· μετὰ ταῦτα εἰ ἀκολούθως τῷ ἑαυτῶν τρόπῳ ἦχασι τὴν θυγατέρα καὶ μὴ ἡττημένοι εἰσὶν καὶ ἀποβεβλεφότες ἀπὸ τοῦ συμφέροντος διὰ τὴν ἄγαν φιλοστοργίαν· καὶ τοῦτο ποικίλως ἐξητακέναι, καὶ διὰ δούλων καὶ ⟨δι'⟩ ἐλευθέρων τῶν τε ἔνδοθεν καὶ τῶν

---

1 *οἷον δὲ οἰκία* c. q. s. om. S | *δὲ* M om. A ‖ 2 post *ἐκ* non nihil intercidisse manifestum: *ἐκ τυρβαιδὲ* M *ἐκτυρβαὶ δὲ* A ‖ 3 malim *καὶ ἄλλα ⟨δὲ⟩ πολλά* | *χρῆν* A *χρὴ* M ‖ 5 ecl. cum lemm. hab. MA, om. S; *περὶ ⟨ἀνδρὸς καὶ⟩ γυναικὸς συμβ.* proponit Bock Aristotelis libri *περὶ συμβιώσεως ἀνδρὸς καὶ γυναικός* titulum imitatus *Leipz. stud.* XIX p. 25, *περὶ ⟨τῆς μετὰ⟩ γυναικὸς συμβ.* Praechter *Hierokl.* p. 124 ‖ 12 *τῶν γονέων* MA; *τοῦ γονέως* de Arnim | *καὶ τρόπον* temere om. Gesn.[2] | *εἰ* Gesn.[2]: *ἐπεὶ* MA; an *ὁ πατὴρ εἰ*? ‖ 13 *καὶ* addidit Halm lect. Stob. 18, *πατὴρ* (malim *ὁ π.*) *καὶ* suppleri vult Elter | *καὶ* ante *σώφρων* editores libris MA invitis ‖ 14 *ἐπὶ* tacite Gesn.[2]: *ἔτι* MA | *καὶ ἄλιχνος* ci. Halm, *καὶ ⟨κατ'⟩ ἴχνος* Arnim, *καὶ ἄτεχνος non dolosus* ego ‖ 15 *ἃ* addidit Halm l. c. | *παραγγέλλεται* Halm: *παραγγέλλεσθαι* MA ‖ 16 *ἡ* suppl. Iacobs lect. Stob. p. 115 ‖ 17 *γὰρ* addidit Hirschig ‖ 18 *εἰ ἐπακολούθως* (*ἀκολούθως* Meineke) *τῷ* Iacobs: *ἐπακολούθως πῶς* libri ‖ 19 *ἦχασι* Iacobs: *ἤγασι* MA ‖ 20 *ἀποβεβλεφότες* M *ἀποβεθλεφότες* A; *ἀποκεκλικότες* Arnim ‖ 22 *δι'* addidit Arnim

ἔξωθεν καὶ διὰ γειτόνων καὶ δι᾽ ἄλλων εἰσιόντων εἴσω διὰ φίλων ἐπιπλοκὰς ἑστιατικὰς ἢ ἄλλως, μαγείρων ἢ δημιουργῶν ἢ ἀκεστριῶν ἢ τῶν ἄλλων τεχνιτῶν καὶ τεχνιτίδων. καὶ λίαν γὰρ προχειρότερον τοὺς τοιούτους εἰσάγουσιν καὶ ὑπὲρ τὴν ἀξίαν μεγάλα πράγματα καὶ πίστιν ἐγχειρίζουσιν.

104 (70, 14 Mein.) *Μουσωνίου ἐκ τοῦ Τί κεφάλαιον γάμου* (Mus. rel. p. 69 H.).

Διὸ χρὴ τοὺς γαμοῦντας οὐκ εἰς γένος ἀφορᾶν εἰ ἐξ εὐπατριδῶν, οὐδ᾽ εἰς χρήματα εἰ πολλὰ κέκτηνταί τινες, οὐδ᾽ εἰς σώματα εἰ καλὰ ἔχουσιν. οὔτε γὰρ πλοῦτος οὔτε κάλλος οὔτ᾽ εὐγένεια κοινωνίαν μᾶλλον αὔξειν πέφυκεν, ὥσπερ οὐδ᾽ ὁμόνοιαν, οὐδ᾽ αὖ τὴν παιδοποιίαν ταῦτα κρείττω ἀπεργάζεται· ἀλλὰ σώματα μὲν πρὸς γάμον ἀποχρῶντα τὰ ὑγιῆ καὶ τὴν ἰδέαν μέσα καὶ αὐτουργεῖν ἱκανά, ἃ δὴ καὶ ἐπιβουλεύοιτ᾽ ἂν ὑπὸ τῶν ἀκολάστων ἧττον, καὶ ἐργάζοιτο μᾶλλον ὅσα σώματος ἔργα, καὶ παιδοποιοῖτο μὴ ἐνδεῶς. ψυχὰς δὲ ἐπιτηδειοτάτας εἶναι νομιστέον τὰς πρὸς σωφροσύνην καὶ δικαιοσύνην καὶ ὅλως πρὸς ἀρετὴν εὐφυεστάτας. ποῖος μὲν γὰρ γάμος χωρὶς ὁμονοίας καλός; ποία δὲ κοινωνία χρηστή; πῶς δ᾽ ἂν ὁμονοήσειαν ἄνθρωποι πονηροὶ ὄντες ἀλλήλοις; ἢ πῶς ⟨ἂν⟩ ἀγαθὸς πονηρῷ ὁμονοήσειεν; οὐδέν γε μᾶλλον ἢ ὀρθῷ ξύλῳ στρεβλὸν συναρμόσειεν ἄν, ἢ στρεβλὰ ἄμφω ὄντα ἀλλήλοιν. τὸ γὰρ δὴ στρεβλὸν τῷ τε ὁμοίῳ τῷ στρεβλῷ ἀνάρμοστον, καὶ τῷ ἐναντίῳ τῷ εὐθεῖ ἔτι μᾶλλον. ἔστι

---

1 *δι᾽ ἄλλων* M *τῶν ἄλλων* A | *εἰσιόντων* Arnim: *εἰσοδίων* MA ‖ 2 *ἰστιατικὰς* A ‖ 3 *δημιουργιῶν* A ‖ 7 ecl. cum lemm. hab. SMA; *Μουσωνίου ἐκ τοῦ τι* (*τίτλου* pro *τι* A) *κ. γ.* MA *μουσωνίου* nil amplius S. cf. Muson. rel. p. 67, 3 adn. ‖ 13 *ταῦτα κρείττω* MA *κρείττω ταῦτα* S ‖ 14 *ἰδέαν* Tr. p. 399: *εἰδέαν* SM *ἰδίαν* A[1] ‖ 17 *ὅσα σώματος* prop. Gesn.[2] p. 428 mrg.: *ὡς ἀσώματος* SMA sed prius *ω* ni fallor S[1] ex *ο* corr., *ὅσα* superscr. litteris *ὡσα* deletis A[2] ‖ 20 *ὁμονοίας* ex *ὁμαινοίας* ni fallor radendo corr. M ‖ 22 *ἂν* addidi coll. 21 ‖ 23 *ὁμονοήσειεν ⟨ἂν⟩* prop. P. Wendland *Berl. phil. woch.* a. 1906 p. 201 ‖ 24 *ἀλλήλοισ* M ‖ 25 *τῷ* (*τῷ τε* A) *στρεβλῷ* et (25) *τῷ εὐθεῖ* secludi voluit Meineke ‖ 26 *ἔστι* S: *ἔτι* MA *οὕτω* Mac. Chrys. f. 130[v] fortasse recte

δὴ καὶ ὁ πονηρὸς τῷ τε πονηρῷ οὐ φίλος οὐδ' ὁμονοεῖ καὶ πολὺ ἧττον τῷ χρηστῷ.

105 (70, 15 Mein.) *Χείλωνος.*

Γάμους εὐτελεῖς καὶ ἰσοτίμους ποιοῦ.

106 (70, 16 Mein.) *Κλεοβούλου.*

Κλεόβουλος ἔφη δεῖν συνοικίζειν ἀνδράσι τὰς ἑαυτῶν θυγατέρας τὴν μὲν ἡλικίαν παρθένους, τὸ δὲ φρονεῖν γυναῖκας.

107 (70, 17 Mein.) *Περικλέους.*

Περικλῆς ὁ τῶν Ἀθηναίων στρατηγός, δυεῖν αὐτοῦ τὴν θυγατέρα μνηστευομένων, τοῦ μὲν πλουσίου καὶ ἀπαιδεύτου, τοῦ δὲ πένητος καὶ φιλολόγου, τούτῳ αὐτὴν ἐξέδωκεν. ἐρωτηθεὶς δὲ ὑπό τινος διὰ τί τοῦτο ἐποίησεν, 'ὅτι' ἔφη 'ἀμείνων ἐστὶ τοῦ ὄντος ὁ δυνάμενος γενέσθαι πλούσιος'.

108 (70, 18 Mein.) *Δημοκρίτου* (fr. 272 Diels [2]).

Δημόκριτος ἔφη, ὡς γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν υἱόν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

---

3 ecl. sine lemm. hab. S, addito lemmate MA. cf. quae collegi ad Stob. III 1, 172 p. 116, 6 ‖ **4** *ποιοῦ* (voluit scriba *ποιει*) S *ποιοῦ* ex *ποιεῖ* vel ex *ποιεῖν* radendo corr. M *ποιοῦ* A ‖ **5** ecl. sine lemm. hab. S, addito lemmate MA. similiter concepta legitur sententia Diog. Laert. I 91 ‖ **6** *Κλεόβουλος* om. MA ‖ **7** *τὸ* SA *τῷ* M *τῷ* etiam Diog. L. ut videtur ‖ **9** ecl. sine lemm. hab. S, addito lemmate MA. recurrit sine lemm. gnomol. Paris. 66 Sternb. ‖ **10** *δυεῖν* S *δυῒν* M *δυοῖν* A, gnomol. Par., Mac. f. 130ᵛ ‖ **12** *τούτῳ αὐτὴν*] *τῷ πένητι ταύτην* gnomol. Paris. ‖ **13** *ἐρωτηθεὶς δὲ ὑπό τινος, διὰ τί τοῦτο ἐποίησεν, ὅτι ἔφη ἀμείνων* MA, gnomol. Paris.: *εἰπὼν ὅτι ἀμείνων* S ‖ **14** *ἄμεινόν ἐστι* S ‖ **16** ecl. sine lemm. hab. S, addito lemm. MA. recurrit corp. Par. 183 Elt. (*Δημοκρίτου γνῶμαι*), sine lemm. gnomol. Paris. 169 Sternb., in florilegio Schenkelii (*Wien. stud.* XI p. 14) 25 ubi videsis. sententia Democrito non indigna, cf. fr. 275 D.[2] apophthegmaticam formam facile exuit ‖ **17** *Δημόκριτος ἔφη ὡς* om. cod. Escor. X—I—13 f. 246ʳ mrg. (cf. Stob. III prol. p. XXXIX s.), corp. Par., flor. Schenk. | *γαμβροῦ ὁ μὲν* (quod coniecerat Nauck) corp. Par., flor. Schenk.: *ὁ γαμβροῦ μὲν* SMA Mac. *ὁ μὲν γαμβροῦ* gnomol. Par. | *εὗρ'* M ‖ **18** *καὶ* omitti in nonnullis florilegii a se reconcinnati apographis adnotavit Schenkl

CAPVT XXII. PARS QVINTA.

ΟΤΙ ΕΝ ΤΟΙΣ ΓΑΜΟΙΣ ΤΑΣ ΤΩΝ ΣΥΝΑΠΤΟΜΕΝΩΝ ΗΛΙΚΙΑΣ ΧΡΗ ΣΚΟΠΕΙΝ.

109 (71, 1 Mein.) *Εὐριπίδου Φοίνικος* (804 N.[2]).

Μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ † τέκνα
δίδωσιν ὅστις οὐκέθ' ὡραῖος γαμεῖ·
δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.

110 (71, 2 Mein.) *Θεόγνιδος* (457 ss.).

Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι.
οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος,
οὐδ' ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

111 (71, 3 Mein.) *Εὐριπίδου Αἰόλου* (fr. 24 N.[2]).

Κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον·

---

2. 3 inscriptionem (*ἁπτομένων* A[1]) offerunt SMA Mac., numerum *ξε'* S *νβ'* MA Mac. de Photio vide ad p. 494, 2 ‖ **4** ecl. cum lemm. hab. MA, om. S. v. 7 ex Euripide adfertur Ar. Thesm. 413; inter Men. monosticha relatus 129, ubi *γέροντι* depravatum in *γαμοῦντι* ‖ **5** s. in refingendis versibus desperatis desudarunt multi. *πρεσβύτῃ νέα* prop. Valckenaer Diatr. p. 273 post *νέα* intercidisse *γυνή* existimans. versum excidisse post *πρεσβύτῃ νέα* suspicatur etiam Meineke qui conjecit ⟨*τιμωρίαν*⟩ *δίδωσιν, ὅστις — γαμεῖ.* contra *πρεσβύτη. δίκην δίδωσιν* Elter. aliorum conatus vide ap. Nauckium. nuper hanc sibi imaginem conformabat S. Mekler Lect. gr. spec. (Vindob. a. 1882) p. 8 ⟨*ὡς αὐτὸ τοὖθ' ὃ τῷ νεανίᾳ καλόν,*⟩ *μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ, τέκμαρ* | *δίδωσιν ὅστις κτέ.* | *γαμεῖ* M *γαμεῖν* A ‖ **8** ecl. cum lemm. hab. SMA. offerunt versus etiam Athen. XIII p. 560 A Eust. Il. 1345, 56, prius distichon Clem. Al. strom. VI 2 p. 434, 5 Stähl. ‖ **9** *τοι* om. Eust. | *σύμφορος* Eust. *χρήσιμον* Clem. | *ἐστι* om. Eust. qui mox *γεραιῷ* ‖ **11** *ἀπορρήξασαι* S ‖ **13** ecl. cum lemm. hab. SMA. versum *κακὸν γυναῖκα πρὸς νέον ζεῖξαι νέαν* cum duobus aliis coniunctum offert Clemens Al. strom. VI 2 p. 427, 16 Stähl., vide Eur. fr. 914 N.[2] ‖ **14** *πρὸς* supra lin. S[1]

μακρὰ γὰρ ἰσχὺς μᾶλλον ἀρσένων μένει,
θήλεια δ' ἥβη θᾶσσον ἐκλείπει δέμας.

112 (71, 4 Mein.) *Σαπφοῦς* (fr. 47 Hiller-Crusius).

Ἀλλ' ἐὼν φίλος ἀμῖν, λέχος ἄρνυσο νεώτερον.
οὐ γὰρ τλάσομ' ἐγὼ ξυνοικεῖν ἔσσα γεραιτέρα.

113 (71, 5 Mein.) *Εὐριπίδου* (fr. 1058 N.²).

Ἐγὼ γὰρ ἕξω λέκτρα αὐτοῖς καλῶς ἔχειν,
δίκαιόν ἐστιν, οἷσι συγγηράσομαι.

114 (71, 6 Mein.) *Ἡσιόδου Ἔργων* (695 ss.).

Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων,
μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος·
ἡ δὲ γυνὴ τέτορ' ἡβῴοι, πέμπτῳ δὲ γαμοῖτο.

115 (71, 7 Mein.) *Εὐριπίδου Δανάης* (fr. 317 N.²).

Καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις
μὴ πρὸς τὸ γῆρας ἀναβολὰς ποιουμένους
σχολῇ τεκνοῦσθαι παῖδας· οὐ γὰρ ἡδονή,

---

1 *ἀρρένων* S *ἀρσένων* MA ‖ 2 *θηλείας δ'* (*θ'* A) SMA: corr. H. Stephanus | *ἐκλίπει* M ‖ 3 ecl. cum lemm. hab. SMA ‖ 4 *ἐὼν* (*-ὼν* syll. in ras. M¹) SMA *ἔων* Sapphus edd. | *ἄμμιν* recte Neue | *ἄρνυσο* SM *ἄρνησον* A | *νεώτερος* Vrsinus 'e ms. quodam' ‖ 5 *τλάσομαι* A | *ξυνοκεῖν* S *ξυνοικεῖν* MA *ξυνοίκην* Sapphus edd. | *ἔσσα* S, etiam A (falluntur Gaisford et Bergk) *ἐσσα* M *νε' οὖσα* Vrsinus 'e ms.' *ἔοισα* (*ἐοῖσα* Crusius) Hiller cum Wilamowitzio *Isyllos* p. 129 adn. 7 | *γεραιτέρα* S *γερατέρα* MA *γεραιτέρῳ* Vrsinus ‖ 6 ecl. cum lemm. hab. SMA. fallitur Gaisford ‖ 7 versus nondum expeditus. *ἐγὼ παρέξω λέκτρα σοι καλῶς ἔχειν* proximum versum alteri personae tribuens Valckenaer Diatr. p. 227 *ἐγὼ γὰρ ἕξω λέκτρ', ἃ τοῖς καλοῖς ἔχειν δίκαιον κτὲ.* Headlam, sed sic pro *καλοῖς* potius *ἐσθλοῖς* sive *κεδνοῖς* expectari monet Herwerden mus. Rhen. LVIII p. 149 ‖ 9 ecl. cum lemm. hab. SMA, *ἔργων* om. S. poetae nom. commemorato adfert primum versum schol. Theocr. I 109, verba *ὡραῖος δὲ γυναῖκα* vel *ὡραῖος — τεόν* etiam alii, cf. ed. Rzachii. v. *μήτε τριηκόντων — γαμοῖτο* citat Plutarchus amat. p. 753 A, *μήτε τριηκ. — ἀπολείπων* Eust. Hom. Il. 97, 11, minores particulas testes multi ‖ 10 *ἀγέσθαι* A ‖ 11 *μάλ⟨α πόλλ'⟩ ἀπολ.* scribendum etiam in Eust. ‖ 12 *μᾶλα* (post *λ* una litt. rasa) M. ‖ 13 *ἡβώοι* SA *ἡβώον* ex corr. M¹ ‖ 14 ecl. cum lemm. hab. SMA ‖ 16 *ἀναβολὰς* Nauck: *τοὺς γάμους* SMA | *ποιουμένοις* Bothe

γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ·
ἀλλ' ὡς τάχιστα· καὶ γὰρ ἐκτροφαὶ καλαί,
καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί.

116 (71, 8 Mein.) *Εὐριπίδου Φοίνικι* (fr. 807 N.[2]).

Πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.

117 (71, 9 Mein.) *Θεοδώρου ὑπὲρ Ἐλπιδηφοριανῆς.*

Ἴσμεν δὲ ἅπαντας ἀνθρώπους, ἐπειδὰν ἐξ ἡλικίας ἄνισαι πρὸς γάμους ὑπενεχθῶσι, πέρα τοῦ μετρίου νεότητος εἰωθότας ἡττᾶσθαι.

---

1 *γυναικὶ δ'* Elmsley idque confirmare videtur Mac. f. 130 v sed videtur tantum. nam hunc versum cum excerperet solum, *τε* particulam mutari necesse erat in *δέ* | *πρεσβύτης νέᾳ* Herwerden. totum versum suspectabat Nauck || 2 et 3 om. S || 4 ecl. cum lemm. hab. MA, om. S. eundem fere versum Aristophani tribuit Clemens Alex. strom. VI 2 p. 434, 8 Stähl. || 5 *πικρὸν*] *αἰσχρὸν* Aristoph. ap. Clem. vide Sternbach *Wien. stud.* VIII (1886) p. 249 adn. 26 || 6 ecl. cum lemm. hab. MA, om. S. *Ἐλπιδηφοριανῆς* scripsi: *ἐλπιδι φοριανῆς* M *ἐλπίδα φοριανῆς* A. cf. quae dixi ad Stob. III 14, 13 p. 473, 5 || 7 *ἐπεὶ δ' ἅς* sed *σ* non satis certum A | *ανισαι* sine acc. M *ἂν ἴσαι* A corrupte; *ἀνίσου* prop. Meineke

CAPVT XXII. PARS SEXTA.

ΟΤΙ ΕΝ ΤΟΙΣ ΓΑΜΟΙΣ ΟΥ ΤΗΝ ΕΥΓΕΝΕΙΑΝ ΟΥΔΕ ΤΟΝ ΠΛΟΥΤΟΝ ΧΡΗ ΣΚΟΠΕΙΝ ΑΛΛΑ ΤΟΝ ΤΡΟΠΟΝ.

118 (72, 1 Mein.) *Διοδώρου* (fr. 3 Com. II p. 422 K.).

Ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ τουτονὶ
τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται ποεῖν.
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον ἢ κακῶς μετὰ χρημάτων,
τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου.

119 (72, 2 Mein.) *Μενάνδρου* (fr. 532 K.).

Καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει
ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνήμεθα·
οὐκ ἐξετάζειν μὲν τὰ μηθὲν χρήσιμα,
τίς ἦν ὁ πάππος ἧς γαμεῖ, τηθὴ δὲ τίς,
τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ' ἧς
βιώσεται, μήτ' † ἐξετάσαι μήτ' ἰδεῖν·
ἀλλ' ἐπὶ τράπεζαν μὲν φέρειν τὴν προῖχ', ἵνα
εἰ τἀργύριον καλόν ἐστι δοκιμαστὴς ἴδῃ,

---

1 inscriptio legitur in S M A. *εὐτεκνείαν* M sed idem in capitulorum indice recte *εὐγένειαν.* nil nisi *ὅτι ἐν τοῖς γάμοις τὸν τρόπον δεῖ σκοπεῖν* Mac. numerum *ξϛ'* praefigit S *νγ'* M A Mac. de Photio vide ad p. 494, 2 ‖ **4** ecl. cum lemm. hab. S M A ‖ **5** *τοῦτον* S M A: corr. Gesn.[1] f. 394ᵛ mrg. ‖ **6** *ποεῖν* S *ποιεῖν* M A ‖ **8** *κακῶς* S M A ‖ **9** *τὴν ἐσομένην μετὰ ταῦτα* scr. Meineke ‖ **10** ecl. cum lemm. hab. S M A ‖ **12** *ὠνούμεθα* cum Hirschigio Kock ‖ **14** *τηθή* Meineke: *τιθὴ* S M A ‖ **15** ante *μεθ' ἧς* praecipit *ἀεὶ μὴ δοκ. μηδὲν* (p. 546, 2) sed del. A ‖ **16** *ἐξετάζειν* Bentley. an *ἐξιχνεῦσαι*? | *μήτ' ⟨εἰσ⟩ιδεῖν* Meineke, *μήτ' ⟨οὖν⟩ ἰδεῖν* Ellis ‖ **17** *ἀλλ'*] *οὐδ'* recte Hirschig | *προῖκι χ' ἵνα* sed *κι* leviter inductum ut videtur M *προικιχίνα* A ‖ **18** *εἴτ'* (*εἶτ'* A) *ἀργύριον* S A, dubito de M: corr. Bentley | *ἴδη* (*ἴδῃ* M²) S M *ἤδη* A

ὃ πέντε μῆνας ἔνδον οὐ γενήσεται,
τῆς διὰ βίου δ' ἔνδον καθεδουμένης ἀεὶ
μὴ δοκιμάσαντα μηδέν, ἀλλ' εἰκῇ λαβεῖν
ἀγνώμον', ὀργίλην, χαλεπήν, ἐὰν τύχῃ,
λάλον. περιάξω τὴν ἐμαυτοῦ θυγατέρα
τὴν πόλιν ὅλην· οἱ βουλόμενοι ταύτην λαβεῖν
λαλεῖτε, προσκοπεῖσθε πηλίκον κακὸν
λήψεσθ'· ἀνάγκη γὰρ γυναῖκ' εἶναι κακόν,
ἀλλ' εὐτυχὴς ἔσθ' ὁ μετριώτατον λαβών.

120 (72, 3 Mein.) *Εὐριπίδου* (Andr. 1279 ss.).

Εἰ χρὴ γαμεῖν, χρὴ τὰ ἔκ τε γενναίων γαμεῖν
δοῦναί τ' ἐς ἐσθλούς, ὅστις εὖ βουλεύεται,
κακῶν δὲ λέκτρων μὴ 'πιθυμίαν ἔχειν,
μηδ' εἰ ζαχρύσους οἴσεται φερνὰς δόμοις.

121 (72, 4 Mein.) *Εὐριπίδου Κρήσσαις* (fr. 464 N.[2]).

Γαμεῖτε νῦν, γαμεῖτε, κᾆτα θνῄσκετε
ἢ φαρμάκοισιν ἐκ γυναικὸς ἢ δόλοις.

122 (72, 4[a] Mein.: Eur. El. 1097—99)

Ὅστις δὲ πλοῦτον ἢ εὐγένειαν εἰσιδὼν
γαμεῖ πονηράν, μῶρός ἐστι· μικρὰ γὰρ
μεγάλων ἀμείνω, σώφρον' εἰ δόμοις ἔχει.

123 (72, 5 Mein.) *Ἱππώνακτος.*

* * *

Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι,

---

1 *ὃ* SM *ὃς* A | post *γενήσεται* praecepit *λαβεῖν ἀγνώμον'* A sed delevit ‖ **3** *δοκιμάσαντα* Cobet N. l. p. 90: *δοκιμάσασθαι* SMA ‖ 4 *ἀγνώμονα* SM | *τύχη* M[1] *-ῃ* M[2] ‖ **6** *λαβεῖν* ex *λαλεῖν* S[1] ‖ **7** *ἀθρεῖτε* Herwerden Obs. cr. p. 92 | *δ' ἡλίκον* scr. Meineke ‖ **8** *λήψεσθε* SM ‖ **10** ecl. cum lemm. hab. SMA ‖ **11** *εἰ χρὴ* SMA *κᾆτ' οὐ* Eur. *οὕτω* Wilamowitz | *χρὴ τὰ* A *δῆτα* S *δὴ τὰ* M[1] *δῆτ'* Eur.; videtur *δεῖ τὰ* voluisse gnomologus sic ut corr. M[2] ‖ **12** *ἐς* om. S ‖ **14** *ζαπλούτους* Eur. | *φερνὰς* Eur.: *φρένας* SMA ‖ **15** ecl. cum lemm. hab. SMA ‖ **16** *καταθνήσκετε* SM *κᾆτα θνήσκεται* A: tacite corr. Grotius D. poet. p. 295 ‖ 18 Cressarum fragmento adhaerent in libris (poetae nomine non iterato) versus Electrae sed in ipsa Electra damnati ab Hartungo ‖ **19** *ἐσιδὼν* SA ‖ **20** *πονηρά* Euripidis LP ‖ **21** *σώφρον' ἐν δόμοις λέχη* Euripidis libri ‖ **22** lemma cum versibus *Γάμος κράτιστος κτἑ.* habent

τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν.
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σῴζει μόνη.

124 (72, 5 contin. Mein.)

Ὅστις δὲ † τρυφερῶς τὴν γυναῖκ' ἄγει λαβών,
συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει,
εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον.

125 (72, 6 Mein.) *Εὐριπίδου Βελλεροφόντης* (fr. 662 N.²).

Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατήσχυν' ἐν δόμοισι νηπία.

126 (72, 7 Mein.) *Μενάνδρου* (fr. 582 K.).

Τὰ μετὰ γυναικὸς εἰσιόντ' εἰς οἰκίαν
οὐκ ἀσφαλῆ τὴν κτῆσιν οὐδ' ἱλαρὰν ἔχει.

127 (72, 8 Mein.) *Εὐριπίδου Ἀντιόπη* (fr. 212 N.²).

Εἰ νοῦς ἔνεστιν· εἰ δὲ μή, τί δεῖ καλῆς
γυναικός, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι;

S M A. signavi lacunam intercidisse ratus Hipponactis locum nec non lemma quod pertinebat ad versus superstites. non debuit inter tragicorum frustula versus recipere Nauck, certe *προίξ* vocabulum a tragico sermone alienum est. Hippothoonti vel potius Hippothoo (cf. quae monui ad Stob. III 22, 25) cur adscribendi sint versus (Meineke Com. IV p. 714) causam non video

1 *ἕδνον λαμβάνειν* Haupt Opusc. III p. 637 *ἕδνα λαμβάνειν* Bergk p. l.⁴ II p. 486 *ἐνδίκον λαβεῖν* Tucker *Class. rev.* XVIII (1904) p. 384 ‖ 3 seiunxi versus a prioribus Valckenaerii iudicio obtemperans. aut intercidit lemma aut si idem erat quod priorum versuum, non erat iteratum ‖ 4 *δὲ τρυφερῶς* (*-ρῶσ* ex *-ρὸσ*? corr. M¹ *-ρὸς* Tr.) S M A *μὴ* supra lin. add. M². *δ' ἀτρύφερον* Grotius. malim *δ' ἀτρυφέρως*, licet alibi adverbium hodie non legi videatur. *ἀτρύφερος* habent Eupolis, Teles, Cebes ‖ 6 versum quem suspectat Nauck nescio an aliunde gnomologus adsumpserit ‖ 7 ecl. cum lemm. hab. S M A; *βελλεροφῶν* (τ supra) sed *φ* et *ω* in corr. M. Stheneboeae adscripti leguntur versus supra p. 518, 6 ubi vide ‖ 9 *κατήσχυν' ἐν* S, Ioannes Logotheta (Rabe mus. Rhen. LXIII p. 147) *κατῄσχυνεν* (iota subscr. fort. M²) M *κατῄσχυνε* A *κατήσχυνεν ἐν* libri supra ‖ 10 ecl. cum lemm. hab. M A, om. S. uno versu aucta legitur ecl. supra p. 519, 18 ‖ 11 *τὰ δὲ μετὰ γ.* libri supra ‖ 13 ecl. cum lemm. hab. S M A; *ἀντιώπη* M ‖ 14 *τί δεῖ* S *τί δ' εἰ* M A ‖ 15 *ἢ μὴ* ci. Boissonade

128 (72, 9 Mein.) *Ἀντιφάνους* (fr. 329 K.).

Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης.

129 (72, 10 Mein.) *Εὐριπίδου Ἀνδρομάχης* (207—208).

Φίλτρον δὲ καὶ τόδ᾽· οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ᾽ αἱ ἀρεταὶ τέρπουσι τοὺς συνευνέτας.

130 (72, 11 Mein.) *Μενάνδρου* (fr. 585 K.).

Ὅστις γυναῖκ᾽ ἐπίκληρον ἐπιθυμεῖ λαβεῖν
πλουτοῦσαν, ἤτοι μῆνιν ἐκτίνει θεῶν
ἢ βούλετ᾽ ἀτυχεῖν μακάριος καλούμενος.

131 (72, 12 Mein.) *Εὐριπίδου Μελεάγρῳ* (fr. 520 N.²).

Ἡγησάμην οὖν εἰ παραζεύξειέ τις
χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν,
ἐσθλοῖν δ᾽ ἀπ᾽ ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον.

132 (72, 13 Mein.) *Εὐριπίδου Μελανίππης* (fr. 503 N.²).

Μετρίων λέκτρων, μετρίων δὲ γάμων
μετὰ σωφροσύνης
κῦρσαι θνητοῖσιν ἄριστον.

133 (72, 14 Mein.) *Εὐριπίδου Ἀνδρομάχης* (639—641).

Κύδιον βροτοῖς
πένητα χρηστὸν ἢ κακὸν καὶ πλούσιον
γαμβρὸν πεπᾶσθαι καὶ φίλον· σὺ δ᾽ οὐδὲν εἶ.

134 (72, 15 Mein.) *Ἐκ τῶν Σερήνου.*

---

1 ecl. cum lemm. hab. S M A. Arsenii in lemmate error non imponere debebat Kockio ‖ 3 *φερούσης* Tr. ‖ 4 ecl. cum lemm. hab. S M A, sed supplevit rubricator lemma in marg. sinistro M ‖ 5 *τόδε* SM ‖ 6 *τέρπωσι* A | *ξυν-* tacite ex Eur. Gesn.¹ ‖ 7 ecl. cum lemm. hab. SMA ‖ 10 *ἡγούμενος* in *καλούμενος* corr. S¹ ‖ 11 ecl. cum lemm. hab. MA, om. S ‖ 14 *ἅτ᾽ ἀμφοῖν* M *ἅτ᾽ ἀμφοῖν* A: corr. Dobree et Gaisford | *ἂν φῦναι γόνον* Valckenaer: *ἀμφοῖν ἐκγόνονον* M *ἀμφοῖν ἔκγονοι ὂν* A ‖ 15 ecl. cum lemm. hab. MA, om. S; *τοῦ αὐτοῦ* pro *Εὐρ.* A ‖ 16 *μέτριον λέκτρων* A | *δὲ* A *γε* M teste Duebnero, ego discrepantiam cum A non enotavi. et *δὲ* legisse videtur qui primus eclogam ex M edidit Gesn.² p. 431 ‖ 19 ecl. cum lemm. hab. S M A ‖ 20 *κέρδιον* Wecklein ‖ 22 *καὶ φίλον* om. S | *σὺ δ᾽* M A *σοὶ δ᾽* S Tr. sed *σοὶ* ex *σὺ* corr. S¹ | *οὐδὲν εἶ* Eur., *οὐδέν* Tr.: *οὐδενί* S M A ‖ 23 ecl. cum lemm. hab. MA, om. S; *στρίνου* MA. simile apophthegma supra Pericli datur p. 541, 9

Λάκων τῶν πλουτούντων ἐπιεικεῖ νεανίσκῳ καὶ πένητι τὴν αὑτοῦ θυγατέρα ἐξέδωκεν. αἰτιωμένων δ' αὐτὸν τῶν συγγενῶν 'ἐγὼ' ἔφη 'ἐποιησάμην γαμβρὸν πλούσιον ἐσόμενον, ἀλλ' οὐ πένητα'.

135 (72, 16 Mein.) *Πλουτάρχου ἐκ τῶν Γαμικῶν παραγγελμάτων* (p. 139 F).

Ὥσπερ ἐσόπτρου κατεσκευασμένου χρυσῷ καὶ λίθοις ὄφελος οὐδέν ἐστιν, εἰ μὴ δείκνυσι τὴν μορφὴν ὁμοίαν, οὕτως οὐδὲ πλουσίας γαμετῆς ὄνησις, εἰ μὴ παρέχει τὸν βίον ὅμοιον τῷ ἀνδρὶ καὶ σύμφωνον τὸ ἦθος.

---

1 fort. *τῶν πλουτούντων* ⟨*ὤν*⟩ ‖ 2 *αὑτοῦ* M *ἑαυτοῦ* A | *δὲ* M | *αὐτὸν* M *αὐτων* (sine acc.) A ‖ 5 ecl. cum lemm. hab. SMA, *ἐκ τῶν γαμ. παρ.* om. S ‖ 9 *παρέχει* Plut.: *παρέχοι* S M A

CAPVT XXII. PARS SEPTIMA.

ΨΟΓΟΣ ΓΥΝΑΙΚΩΝ.

136 (73, 1 Mein.) *Εὐριπίδου* (fr. 1059 N.[2]).

Δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων,
δειναὶ δὲ ποταμοῦ καὶ πυρὸς θερμοῦ πνοαί,
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία,
ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν·
οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτον γραφῇ,
οὐδ' ἂν λόγος δείξειεν· εἰ δέ του θεῶν
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
μέγιστος ἴστω καὶ βροτοῖσι δυσμενής.

137 (73, 2 Mein.) *Μενάνδρου* (fr. 745 K.).

Ἔστι δὲ
γυνὴ λέγουσα χρῆσθ' ὑπερβάλλων φόβος.

---

2 *Ψόγος γυναικῶν* SMA. eadem inscriptio legitur in florilegio papyri Berol. 9773 *Berl. klassikert.* V 2 p. 129. *ἔτι καὶ περὶ γάμου* add. Tr. p. 403. numerus ξζ' adscr. S νδ' MA. de Photio vide ad p. 494, 2. genuinam huius capitis dispositionem illustravi Stob. III proleg. p. LVI ss. ‖ **3** ecl. cum lemm. hab. SMA. ecl. 73, 1—36 Mein. (exceptis 2. 4. 7 Mein., quas collocavit post ecl. 36 Mein.) uno lemm. *Εὐριπίδου* comprendit S. versus quattuor priores adfert vita Aesopi ed. Westerm. p. 21, 5, eosdem Maximus Planudes de Aesopo p. 247, 12 Eberh. respiciuntur versus priores *The Oxyrh. pap.* IV 684. de Euripidea origine eclogae subdubitat Wilamowitz *Herm.* XL p. 134 ‖ **5** *δειναὶ δὲ ποταμῶν* vit. Aes. *πολλαὶ δὲ ποταμῶν* Plan.; *δειναὶ δὲ φλογμῶν* ci. H. Stadtmueller | *θερμαὶ* S ‖ **7** *ἀλλ'*] *πλὴν* vit. Aes. | *κακόν*] *κακή* Plan. ‖ **8** *τοιοῦτ' ἐν* SMA, *τοιοῦτον* Nauck qui praeterea *γραφεῖ* mavult. alii *γράμμα* potius suspectant conicientes *πρᾶγμα* (Naber) *πῆμα* (Prinz) *θρέμμα* (Mekler) ‖ **9** *λέξειεν* Gesn.[1] mrg. ex Frob. p. 118 ‖ **12** ecl. cum lemm. hab. S (post ecl. 36 Mein.) MA (post ecl. 1 Mein.) ‖ **14** *χρηστὰ* SM Tr., etiam A opinor. *χρῆστ'* operarius Gesneri, inde etiam Gaisf. et Mein. | *φόβος*] bene comparat Men. fr. 652 et Sosicr. fr. 4 K. Headlam apud Blaydesium Advers. in com. gr. fr. part. II (Halis Sax. a. 1896) p. 232

138 (73, 3 Mein.) *Εὐριπίδου Ἱππολύτῳ* (664 ss.).

Ὄλοισθε. μισῶν δ᾽ οὔποτ᾽ ἐμπλησθήσομαι
γυναῖκας, οὐδ᾽ εἴ φησί τίς μ᾽ ἀεὶ λέγειν·
ἀεὶ γὰρ οὕτως εἰσὶ κἀκεῖναι κακαί.
ἢ νύν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
ἢ κἄμ᾽ ἐάτω ταῖσδ᾽ ἐπεμβαίνειν ἀεί.

139 (73, 4 Mein.) *Μενάνδρου* (fr. 800 K.).

Ἔργον γυναικὸς ἐκ λόγου πίστιν λαβεῖν.

140 (73, 5 Mein.) *Εὐριπίδου Οἰδίποδος* (fr. 544 N.²).

Ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή.

141 (73, 6 Mein.: Eur. fr. 1060 N.²)

Ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ᾽ ἔχειν.

142 (73, 7 Mein.) *Μενάνδρου* (fr. 801 K.).

Ὡς ἔστ᾽ ἄπιστον ἡ γυναικεία φύσις.

143 (73, 8 Mein.) *Εὐριπίδου Μηδείας* (263 ss.).

Γυνὴ γάρ ἐστι τἄλλα μὲν φόβου πλέα,
κακὴ δ᾽ ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·

---

1 ecl. cum lemm. hab. S (post ecl. 1 Mein.) MA (post ecl. 2 Mein.). recurrunt versus sine lemmate in floril. pap. Berol. 9773 *Berl. klassikertexte* V 2 p. 129. cf. etiam Dist. Argentin. 44. 45 ed. Plasberg *Archiv für papyr.* II p. 192 *κακῶς λέγων γυναῖκας οὐκ ἐμπίμπλαμαι* 45 . . . . *ἀποθανὼν καίω γ᾽ ἐρῶ* ubi *κάτω γ᾽ ἐρῶ* Reitzenstein, *κακῶς ἐρῶ* Plasberg ‖ 2 *ὄλλυσθε* S | *μοισῶν* A ‖ 3 *φησί* sed *ι* ex *ει* corr. S¹ | *μ᾽* om. Tr. ‖ 4 *οὖν πως* Eur. ‖ 7 ecl. cum lemm. hab. S (post ecl. 2 Mein.) MA (post ecl. 3 Mein.) ‖ 8 *ἀργὸν* (*inutilest*) prop. Kock ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 3 Mein.) MA (post ecl. 4 Mein.) ‖ 10 *ἄλλως* SA *ἄλλων* M ‖ 11 ecl. cum priore versu iunctam offerunt SMA. fallitur de A Gaisford. Euripidis esse versum testatur S, vide quae dixi ad p. 550, 3. poetae nomen in archetypo iteratum non erat ‖ 12 *πολεμίαν* erant qui sanum esse negarent ‖ 13 ecl. cum lemm. hab. S (post ecl. 4 Mein.) MA (post ecl. 6 Mein.). Men. monost. 560. cf. Eur. Iph. T. 1298 ‖ 14 *ἄπιστος* monost. | *ἡ* supra lin. add. M¹ | *γυναικεία* sed *αι* ex *η* (accentu super *η* eraso) corr. M¹ ‖ 15 ecl. cum lemm. hab. S (post ecl. 6 Mein.) MA (post ecl. 7 Mein.); *μηδεί* (α supra) M v. *γυνὴ γὰρ τἄλλα ⟨μὲν⟩ φόβου πλέα — εἰσορᾶν* schol. Soph. Ant. 61 addito Eur. nomine ‖ 16 . . . *σιγᾶν. γυνὴ γὰρ τἄλλα μὲν κτέ.* Eur. manifesta igitur interpolatio gnomologi ‖ 17 *κακή τ᾽* recte in Eur. Tyrwhitt | *ἐσορᾶν* S

ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

144 (73, 9 Mein.) *Εὐριπίδου Ἑκάβης* (1178 ss.).

Ὅστις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς
ἢ νῦν λέγει τις ἢ πάλιν μέλλει λέγειν,
ἅπαντα ταῦτα συντιθεὶς ἐγὼ φράσω·
γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει
τοιόνδ'· ὁ δ' ἀεὶ συντυχὼν ἐπίσταται.

145 (73, 37 Mein.) *Ὁμήρου* (Od. XV 20).

Οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
κείνου βούλεται οἶκον ὀφέλλειν ὅς κεν ὀπύοι.
παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνειότος οὐδὲ μεταλλᾷ.

146 (73, 10 Mein.) *Εὐριπίδου Μελανίππης* (fr. 498 N.[2]).

Πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος.

147 (73, 38 Mein.) *Ἡσιόδου* (op. 375).

Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅ γε φηλήτῃσιν.

148 (73, 11 Mein.) *Εὐριπίδου Δανάης* (fr. 318 N.[2]).

Γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων
οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους.

---

1. 2 Eumathius IX 22 p. 583 Didot. | *ἐς* AS[2]Tr. *εἰς* S[1]M ‖ 3 ecl. cum lemm. hab. SMA. *ἑκάβη* M ‖ 4 *εἴ τις* Eur. | *κακῶν* A ‖ 5 *ἢ νῦν λέγων ἔστιν τις ἢ μέλλει λέγειν* Eur. ‖ 6 *συντεμὼν* Eur. ‖ 8 *δ'* om. A | *αἰεὶ* Eur. ubi varia lectio memoratur *αὐταῖς* ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 36 Mein.) MA (post ecl. 9 Mein.) ‖ 10 *στήθεσι* S ‖ 11 *ὀπυίοι* A, Homeri plerique *ὀπύοι* SM *ὀπυίῃ* Homeri nonnulli ‖ 12 *κουριδίοιο φίλοιο* Hom.: *κουριδίοις φίλοις* SM *κουριδίης φίλης* A[1] corr. A[2] ‖ 13 *τεθνειοτος* sine acc. S *τεθνηότος* A ‖ 14 ecl. cum lemm. hab. S (post ecl. 9 Mein.) MA (post ecl. 37 Mein.); *μελανίππη* M, possis *Μελανίππῃ*, sicut dativus poni poterit etiam in ecl. 143. 144. 148 al. duce M codice. cf. Guil. Meyer *Die Vrbinat. samml.* p. 444 *πλὴν τῆς τεκούσης μὴ λαλεῖν* (*φιλεῖν* Nauck) *ἄλλην θέλε* ‖ 16 ecl. cum lemm. hab. SMA. cf. schol. Eur. Med. 426 aliaque testimonia quae collegit Rzach ‖ 17 *φηλήτῃσιν* Hes.: *φιλήτησι* S *φιλήτισι* M *φηλήτισιν* (sic) A. possis igitur dubitare *φι-* dederit Stob. an *φη-* coll. Eust. Hom. 781, 13 al. ‖ 18 ecl. cum lemm. hab. S (post ecl. 10 Mein.) MA (post ecl. 38 Mein.) *δαναη* sine acc. M. recurrit ecloga duobus versibus aucta infra p. 613, 4 (*Εὐριπίδου*) ‖ 19 *γὰρ*] *μὲν* Stob. infra ‖ 20 *τῶν* om. A

149 (73, 39 Mein.) *Ἀλέξιδος* (fr. 302 K.).
Οὐκ ἔστ' ἀναισχυντότερον οὐθὲν θηρίον
γυναικός· ἀπ' ἐμαυτῆς ἐγὼ τεκμαίρομαι.
150 (73, 12 Mein.) *Εὐριπίδου Ἀλόπης* (fr. 108 N.[2]).
Γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως·
151 (73, 40 Mein.) *Μενάνδρου* (Epitr. 347—49 Lef.).
Καὶ διαλογίζομ' ὁ κακοδαίμων, προσδοκῶν
χάριν κομιεῖσθαι παρὰ γυναικός· μὴ μόνον
κακόν τι προσλάβοιμι, καὶ κάλλιστ' ἔχει.
152 (73, 40ᵃ Mein.: Trag. adesp. fr. 543 N.[2])
Οὐκ ἐν γυναικὶ φύεται πιστὴ χάρις.
153 (73, 41 Mein.) *Εὐριπίδου Αὔγης* (fr. 276 N.[2]).
Γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα,
τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλοιτό τις.
154 (73, 42 Mein.) *Ἀλέξιδος* (fr. 339 K.).

---

1 ecl. cum lemm. hab. S (post ecl. 38 Mein.) M A (post ecl. 11 *εἰσορᾶν* Mein. ‖ 2 *ἔστιν* A | *οὐδὲν* M A | *θηρίον γυναικός* S[1] *θηρίον εἰσορᾶν* (*εἰσ ὁρᾶν* M) *γυναικὸς* M A. posse igitur dubitari utrum *οὐδὲν θηρίον* praeferendum sit an *οὐδὲν εἰσορᾶν* monet Nauck *Mél. Gr.-Rom.* VI p. 99. non dubitabit qui mecum meminerit Ar. Lys. 1014 *οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον Οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πόρδαλις.* illatum est *εἰσορᾶν* ex p. 551, 17 ‖ 4 ecl. cum lemm. hab. S (post ecl. 11 Mein.) M A (post ecl. 39 Mein.); *ἀλόπης* S *ἀλλόπης* M A ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 39 Mein.) M A (post ecl. 12 Mein.). sunt Onesimi verba in Disceptantibus ‖ 7 *καὶ διαλογίζομ'* pap. Cair. ubi *ὡς κενὰ* praecedit: *καί γε λογίζομαι* S M A. *καί τοι λογίζομαι* Gesn.[1] ‖ 8 *χάριν κομιεῖσθαι παρὰ γυναικός* pap. Cair. sic ut optaverat Cobet mnemos.[2] II p. 428 a. 1874: *χάριν παρὰ γ. κ.* S M A ‖ 9 *καὶ κάλλιστ' ἔχει* interpolationis gnomologae exemplum luculentum. pergit Menander *νῦν ἐπισφαλῆ Τὰ πράγματ' ἐστὶ κτέ.* ‖ 10 versum sine lemmate cum Menandreis in S M A coniunctum, quem Euripidi dedit Dobree Adv. II p. 282, separavit a prioribus Meineke. deest in pap. Cair. cf. Men. mon. 161 ‖ 11 *πιστὴ* Bentley: *πλείστη* libri ‖ 12 ecl. cum lemm. hab. M A, om. S; *αὐγῆς* M A ‖ 14 *ὑπερβάλλοιτο* M ‖ 15 ecl. cum lemm. hab. S (post ecl. 40 Mein.) M A (post ecl. 41 Mein.). iteratur ecloga infra IV 23, 13 lemmate *Εὐριπίδου Δανάης* addito, ut alterutrius lemmatis fides fiat suspecta. cave conicias hic intercidisse Alexidis eclogam una cum

Οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα
οὐδ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.

155 (73, 13 Mein.) *Εὐριπίδου Αἰόλου* (fr. 36 N.[2]).

Γυναῖκα δ' ὅστις παύσεται λέγων κακῶς,
δύστηνος ἆρα κοὐ σοφὸς κεκλήσεται.

156 (73, 43 Mein.) *Μενάνδρου* (fr. 652 K.).

Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ,
ὅταν ⟨τι⟩ περιπλάττωσι τοῖς χρηστοῖς λόγοις.

157 (73, 14 Mein.) *Εὐριπίδου Αἰγέως* (fr. 4 N.[2]).

Πέφυκε γάρ πως παισὶ πολέμιον γυνὴ
τοῖς πρόσθεν ἡ ζυγεῖσα δευτέρῳ πατρί.

158 (73, 44 Mein.) *Μενάνδρου* (fr. 802 K.).

Πολὺ χεῖρόν ἐστιν ἐρεθίσαι γραῦν ἢ κύνα.

159 (73, 15 Mein.) *Εὐριπίδου Ἀνδρομάχης* (85).

Πολλὰς ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ.

160 (73, 45 Mein.) *Μενάνδρου* (fr. 653 K.).

Οὐδέποθ' ἑταίρα τοῦ καλῶς πεφρόντικεν,

---

lemmate *Εὐριπίδου Δανάης*, disturbaretur enim Euripidis fabularum ordo alphabeticus, cf. Stob. III proleg. p. LVI. Alexidem his versibus in parodia usum esse quod suspicatur Kock, veri simile non est

1 *χρήματα* S et Stob. infra: *χρῆμα* (vel *χρᾶμα* M) M A ‖ **2** *οὔτ'* Stob. infr. | *δυσφύλλακτον* M | *οὐθὲν* M A ‖ **3** ecl. cum lemm. hab. S (post ecl. 12 Mein.) M A (post ecl. 42 Mein.) ‖ **4** *γυναῖκας ὅστις* ci. F. G. Schmidt, sed demere particulas, non addere solent gnomologi in sententiarum initiis ‖ **5** *δύστηνος ἄρα* S M A. *ἀσύνετος οὗτος* iusto audacius Herwerden ‖ **6** ecl. cum lemm. hab. S (post ecl. 42 Mein.) M A (post ecl. 13 Mein.) ‖ **8** *τι* addidit Salmasius | *περιπέττωσι* prop. Salmasius ‖ **9** ecl. cum lemm. hab. S (post ecl. 13 Mein.) M A (post ecl. 43 Mein.); *λιγέωσ* M ‖ **10** *παισὶ* Musgrave: *πᾶσι* S M A | *πολέμιον* S M *-ιος* A ‖ **11** *δευτέρῳ* S M *δευτε . .* (*ε* ex parte exstat, cetera chartae labe deleta sunt) A | *πατρί* M *π̄ρ̄ῖ* A *πόσει* S[2] in rasura, olim *π̄ρ̄ι* fuisse videtur etiam in S. *δευτέρα πόσει* Elmsley ad Eur. Med. 66, *δευτέρῳ γάμῳ* ci. Nauck ‖ **12** ecl. cum lemm. hab. S (post ecl. 43 Mein.) M A (post ecl. 14 Mein.) ‖ **13** *χειρότερόν ἐστιν* Tr. ‖ **14** ecl. cum lemm. hab. S (post ecl. 14 Mein.) M A (post ecl. 44 Mein.); fab. nom. in M sicut ad ecl. 162 ‖ **15** *ἂν* M A, Eur.: *γὰρ* S | *εὕρῃς* A ‖ **16** ecl. cum lemm. hab. S (post ecl. 44 Mein.) M A (post ecl. 15 Mein.) ‖ **17** *τοῦ καλοῦ* Herwerden Collect. cr. (L. B. a. 1903) p. 173

ἦ τὸ κακόηθες πρόσοδον εἴωθεν ποιεῖν.

161 (73, 16 Mein.) Εὐριπίδου Αἰγέως (fr. 3 N.²).

Δειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι.

162 (73, 17 Mein.) Εὐριπίδου Ἀνδρομάχης (94 s.).

Γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.

163 (73, 46 Mein.) Μενάνδρου (fr. 803 K.).

Φύσει γυνὴ δυσάνιόν ἐστι καὶ πικρόν.

164 (73, 18 Mein.) Εὐριπίδου Ἀνδρομάχης (181 s.).

Ἐπίφθονόν τι χρῆμα θηλείας φρενὸς
καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.

165 (73, 47 Mein.) Ἡσιόδου Θεογονίας (591 ss.).

Τῆς γὰρ ὀλώιόν ἐστι γένος καὶ φῦλα γυναικῶν,
πῆμα μέγα θνητοῖσι σὺν ἀνδράσι ναιετάουσιν
οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο.

166 (73, 19 Mein.) Εὐριπίδου Ἀνδρομάχης (269 ss.).

Πέποιθα. δεινὸν δ' ἑρπετῶν μὲν ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα·
ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
κακῆς· τοσοῦτον ἐσμὲν ἀνθρώποις κακόν.

---

1 ἦ Meineke: ἢ vel ἤ (sic M) libri ‖ 2 ecl. cum lemm. hab. S (post ecl. 15 Mein.) M A (post ecl. 45 Mein.) ‖ 4 ecl. cum lemm. hab. S M A; $\overset{\chi}{\text{ἀνδρομά}}$ M et sic etiam in proximis eclogis ‖ 5 ἐμπέφυκε γὰρ Γυναιξὶ κτέ. Eur. | γυναικὶ Tr. | τέρψις] μέμψεις Herwerden in Eur. ‖ 7 ecl. cum lemm. hab. S (post ecl. 45 Mein.) M A (post ecl. 17 Mein.) ‖ 8 δυσάνιον S M A δυσήνιον Tr. ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 17 Mein.) M A (post ecl. 46 Mein.) ‖ 10 τοι pro τι in Eur. recte Dobree | θηλείας φρενὸς S M A, schol. Eur.: θηλειῶν ἔφυ codd. Eur. et fortasse alter schol. ‖ 12 ecl. cum lemm. hab. S (post ecl. 46 Mein.) M A (post ecl. 18 Mein.) ‖ 14 πῆμα μέγ' αἳ θνητοῖσι Hermann Opusc. VI 1 p. 178 | μετ' ἀνδρ. Hes. ‖ 15 κοροισ M ‖ 16 ecl. cum lemm. hab. S (post ecl. 18 Mein.) M A (post ecl. 47 Mein.) ‖ 17 μὲν Eur.: καὶ S M A. gnomologus fortasse μὲν κἀγρίων ‖ 18 καταστῆσαι S M A, Eur. codicis Pal. 287 corrector, schol. Eur.: ἐγκαταστῆσαι codd. Eur. ‖ 19 ὃ (pro ἃ) in Eur. recte Dobree | περαιτέρωι S ‖ 20 ἐξηύρ- Eur. ‖ 21 κακῆς] κακοῖς A | τοιοῦτον Eur. cod. Pal. 287. non novisse videtur versum schol. Eur., delevit Cobet

167 (73, 48 Mein.) *Ἀντιφάνους* (fr. 251 K.).

Ἐγὼ γυναικὶ δ᾽ ἕν τι πιστεύω μόνον,
ἐπὰν ἀποθάνῃ μὴ βιώσεσθαι πάλιν,
τὰ δ᾽ ἄλλ᾽ ἀπιστῶ πάνθ᾽ ἕως ἂν ἀποθάνῃ.

168 (73, 20 Mein.) *Εὐριπίδου Βελλεροφόντῃς* (Stheneb. fr. 666 N.²).

Ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων
μεῖζόν σε τοῦδ᾽ ὄνειδος ἐξείποι τις ἄν;

169 (73, 49 Mein.) *Ἡσιόδου Ἔργων* (57 s.).

Τοῖς δ᾽ ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.

170 (73, 50 Mein.) *Ἐν ταὐτῷ* (67 s.).

Ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
⟨Ἑρμείην ἤνωγε, διάκτορον Ἀργεϊφόντην⟩.

171 (73, 50 contin. Mein.: Hes. op. 77 s.)

Ἐν δ᾽ ἄρα οἱ στήθεσσι διάκτορος Ἀργεϊφόντης

---

1 ecl. cum lemm. hab. S (post ecl. 47 Mein.) M A (post ecl. 19 Mein.) ‖ 4 *ἀλλὰ πιστῶ* M. versus 'sive spurius est sive genuinus, misere languet' Herwerden Collect. cr. (L. B. a. 1903) p. 94 ‖ 5 ecl. cum lemm. hab. S (post ecl. 19 Mein.) M A (post ecl. 48 Mein.). sunt Bellerophontis verba increpantis Stheneboeam vel ut Weckleinio videtur Stheneboeae nutricem. primus rem perspexit Meineke 8 *ἐξείπῃ* A | *τίσ* M ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 48 Mein.) M A (post ecl. 20 Mein.); *ἔργων* om. S. citat locum intra maiorem versuum numerum Origenes c. Cels. IV 38 p. 309, 14 Koetsch. *τοῖς δ᾽ ἐγὼ — ἀμφαγαπῶντες* Achill. Tat. I 8, 2, *σοὶ δ᾽ ἐγὼ — τέρπωνται* Clemens Al. strom. VI 2 p. 431, 5 Stähl. omitto frustula minora ab aliis oblata ‖ 11 *τέρπωνται* M A, Hesiodi plerique: *τέρπονται* S, Hesiodi aliquot ‖ 12 ecl. hab. lemmate non iterato S, addito lemmate M A. offert priorem versum Origenes c. Cels. l. c. ‖ 13 *δὲ θέμεν* S, libri Hes. Orig.: *δ᾽ ἔθέμεν* M *δ᾽ ἐθέμην* A | *ἐπίπλοκον* A ‖ 14 addidi versum ex Hes.; librarius homoeoteleuto deceptus aberravit ad priorem versum proximae eclogae ‖ 15 ss. versus habent cum v. 12 coniunctos S M A: separavi. lemma si fuerat omisit librarius qui transiluit versum priorem. sed fortasse non iteratum erat lemma. duos hos versus inter alios adfert Origines c. Cels. l. c., versum *ψεύδεα — ἦθος* Plut. De comm. notit. p. 1065 D ‖ 16 *στήθεσσι* A, Hes., Orig.: *στήθεσι* S M

ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος.

172 (73, 21 Mein.) *Εὐριπίδου Δανάης* (fr. 321 N.[2]).

Ἦν γάρ τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι
μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι.
εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον,
ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα.

173 (73, 51 Mein.) *Σοφοκλέους Ἐπίγονοι* (187 N.[2]).

Ὦ πᾶν σὺ τολμήσασα καὶ πέρα, γύναι,
κάκιον ἄλλ' οὐκ ἔστιν οὐδ' ἔσται ποτὲ
γυναικός, [ἢ] εἴ τι πῆμα γίγνεται βροτοῖς.

174 (73, 22 Mein.) *Εὐριπίδου Δανάης* (fr. 319 N.[2]).

Συμμαρτυρῶ σοι· πανταχοῦ λελείμμεθα
πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα.

175 (73, 52 Mein.) *Ἀντιφάνους* (fr. 252 K.).

Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ
πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον,
ὅτι οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον.

176 (73, 23 Mein.) *Εὐριπίδου Ἱππολύτῳ* (fr. 429 N.[2]).

---

1 *ψεύδαια* A | *ἦθος*] nisi quid interciderit, ex *θέμεν* subaudiri voluit *θῆκε* gnomologus ‖ **2** ecl. cum lemm. hab. S (post ecl. 20 Mein.) M A (post ecl. 50 Mein.) ‖ **3** *τὴν* (T rubr. M) S M A *ἦν* Voss. m. sec. Tr.; *ἦ μάρτυς αἶνος* Munro *Journal of philol.* XI p. 267, ⟨*ἔτυμος ἄρ'*⟩ *ἦν Γέρων τις αἶνος* Herwerden Adn. cr. et exeg. ad Eur. 1 p. 28, et approbat *γέρων τις αἶνος* Nauck ‖ **4** *μέλουσι* cod. Par. 1985 teste Gaisfordo: *μέλλουσι* S M A | *λόγχῃ* (*η* ex *αι* corr. pr. m.) S ‖ **7** ecl. cum lemm. hab. S (post ecl. 50 Mein.) M A (post ecl. 21 Mein.); *ἐπίγονοι* om. S ‖ **8** *γύναι* S *γυνὴ* M A; *πέρα γυνῆς* prop. Meineke qui sequentia ab hoc versu fortasse separanda esse opinatur ‖ **10** *εἴ τι* tacite Gesn.[1] f. 398v: *ἢ εἴ* (*ἢ ει* M) *τι* S M A. *ἢ 'πὶ πῆμα* Tucker *Class. rev.* XVII (1903) p. 190 ‖ **11** ecl. cum lemm. hab. S (post ecl. 21 Mein.) M A (post ecl. 51 Mein.); *Εὐρ.* om. M ‖ **12** *σοι* in ras. M[1] ut videtur ‖ **13** *δίκῃ* Madvig Adv. cr. I p. 719 ‖ **14** ecl. cum lemm. hab. S (post ecl. 51 Mein.) M A (post ecl 22 Mein.) ‖ **17** *ὅτι* S M *ὅτ'* Tr. dubito de A ‖ **18** ecl. cum lemm. hab. S (post ecl. 22 Mein.) M A (post ecl. 52 Mein.); *ἱππολύ* (τ supra) M. chori notam dedi ex S. Clemens Alex. strom. VI 2 p. 431, 7 Stähl. *Εὐριπίδης ποιεῖ 'ἀντὶ πυρὸς [δὲ] γὰρ ἄλλο πῦρ μεῖζον καὶ δυσμαχώτερον βλάστον γυναῖκες'*. alia testimonia collegit Rzach ad Hes. op. 57

*ΧΟΡ. Ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ
μεῖζον ἐβλάστομεν γυναῖ-
κες πολὺ δυσμαχώτερον.*

177 (73, 53 Mein.) *Φιλίσκου Φιλαργύρων* (fr. 1 Com. II p. 443 K.).

*Εἰς τὸ μεταπεῖσαι ῥᾳδίως ἃ βούλεται
πιθανοὺς ἔχειν εἴωθεν ἡ κλίνη λόγους.*

178 (73, 54 Mein.) *Σοφοκλέους* (fr. 857 N.[2]).

Κατ᾽ ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή.

179 (73, 58 Mein.) *Μενάνδρου* (fr. 804 K.).

Ὅπου γυναῖκές εἰσι, πάντ᾽ ἐκεῖ κακά.

180 (73, 55 Mein.) *Εὐριπίδου Ἱππολύτῳ* (fr. 440 N.[2]).

*Θησεῦ, παραινῶ σοὶ τὸ λῷστον, ⟨εἰ⟩ φρονεῖς,
γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων.*

181 (73, 56 Mein.) *Ὑποβολιμαίου* (Men. fr. 488 K.).

*Πολλῶν κατὰ γῆν καὶ κατὰ θάλατταν θηρίων
ὄντων κάκιστόν ἐστι θηρίον γυνή.*

182 (73, 24 Mein.) *Εὐριπίδου Ἰνοῦς* (fr. 401 N.[2]).

*Φεῦ,
ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος
πέφυκεν ἀνδρῶν· ἔν τε τοῖσι γὰρ καλοῖς
πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον.*

---

2 *ἐκβλαστῶμεν* S M A: corr. Dobree Adv. II p. 125; *ἔβλαστον αἱ* Grotius ‖ 4 ecl. cum lemm. hab. S (post ecl. 52 Mein.) M A (post ecl. 23 Mein.); *φιλαργύρων* om. S ‖ 8 ecl. cum lemm. hab. M A, om. S ‖ 10 ecl. cum lemm. hab. S (post ecl. 53 Mein.) M A (post ecl. 54 Mein.). recurrit versus inter Men. mon. 623 (= 694) ‖ 11 *πάντ᾽ ἐκεῖ* Stob.: *πάντ᾽ εἰσὶ* aliquot codd. monost. *πάντ᾽ εἰσὶν* cod. Paris. 1630 p. 212, 'fortasse recte' ut iudicat Guil. Meyer *Die Vrbinat. samml.* p. 443 ‖ 12 ecl. cum lemm. hab. M A (post ecl. 58 Mein.), om. S ‖ 13 *σοι τὸ λῷστον, εἰ* Gaisford: *καὶ τὸ λώιστον* M A | *φρονεῖς* A *φρονεῖν* M ‖ 15 ecl. cum lemm. hab. M A, om. S. Menandri nomen iam derat in cod. Photiano, nam *Ὑποβολιμαῖος* inter poetas refertur a pinacographo p. 58 Elt., rem perspexit Gaisford ‖ 17 *κάκιστον* Nauck *Mél. Gr.-R.* IV p. 722: *μέγιστον* M A ‖ 18 ecl. cum lemm. hab. S (post ecl. 23 Mein.) M A (post ecl. 56 Mein.); *ἰνοῦ* S *ἴνουσ* M

183 (73, 25 Mein.) *Εὐριπίδου Ἰνοῖς* (fr. 400 N.^{2}).

Ὦ θνητὰ πράγματ᾽, ὦ γυναικεῖαι φρένες·
ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.

184 (73, 59 Mein.) *Μενάνδρου* (fr. 746 K.).

Οὐ πάνυ
εἴωθ᾽ ἀληθὲς οὐδὲ ἓν λέγειν γυνή.

185 (73, 26 Mein.) *Εὐριπίδου Ἰφιγενείας* (T. 1032).

Δειναὶ μὲν αἱ γυναῖκες εὑρίσκειν τέχνας.

186 (73, 27 Mein.) *Εὐριπίδου Μηδείας* (230 ss.).

Πάντων δ᾽ ὅσ᾽ ἔστ᾽ ἔμψυχα καὶ γνώμην ἔχει,
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν·
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι δεσπότην τε σώματος
λαβεῖν· κακοῦ γὰρ τοῦτό γ᾽ ἄλγιον κακόν.

187 (73, 28 Mein.) *Εὐριπίδου Οἰδίπους* (fr. 546 N.^{2}).

Κακίων ἄλοχος,
κἂν ὁ κάκιστος
γήμῃ τὴν εὐδοκιμοῦσαν.

188 (73, 29 Mein.) *Εὐριπίδου Μελέαγρος* (fr. 522 N.^{2}).

---

1 ecl. hab. S M A; lemma omisit i. e. non iteravit S, *εὐριπ*$\overset{\Delta}{\pi}$*ί. ἰνοῦσ* M nil nisi *τοῦ αὐτοῦ* A ‖ 2 *γυναικεῖας* A ‖ 4 ecl. lemmate non iterato S (post ecl. 58 Mein.) addito lemm. M A (post ecl. 25 Mein.). ‖ 6 *εἴωθ᾽* SA *εἴσθ᾽* M ‖ 7 ecl. cum lemm. hab. MA (post ecl. 59 Mein.), om. S. recurrit versus flor. Mon. 119 ‖ 8 *δεινὰ* M | *μὲν* suo Marte gnomologus, *γὰρ* Eur., flor. Mon. ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 25 Mein.) MA (post ecl. 26 Mein.) ‖ 10 *ὅσ᾽ ἔστ᾽* S, Eur.: *ὡσ ἔστ᾽* M *ὥστ᾽* A | *ἔχει* Tr., Eur.: *ἔχειν* SMA ‖ 11 adfertur a Porphyrio ap. Euseb. praep. ev. X p. 466 d tom. II p. 10 Giff. ‖ 13 *τε*] *δὲ* S ‖ 14 *τοῦτο γ᾽* SM, Eur. cod. Paris. 2713, *τοῦ γ᾽* A *τοῦτ᾽* aut *τοῦ δ᾽ ἔτ᾽* Euripidis alii. *τοῦτ᾽ ἔτ᾽* in Eur. Brunck. | post *ἄλγιον* interponit *ἴ* A.^{2} totum versum Euripidi abiudicat Prinz ‖ 15 ecl. cum lemm. hab. MA, om. S. *Μελέαγρος*, quod praebet Gaisfordi ed. Ox., typothetae error est, in Lipsiensi correctus. omisso fab. nom. affert locum Clemens Alex. strom. IV 8 p. 277, 6 Stähl. qui ante *κακίων* offert *πᾶσα γὰρ ἀνδρὸς* quo vitium metricum non tollitur ‖ 16 *ἄλλοχοσ* M | *χείρων* Cobet mnemos.^{2} II p. 427, *μείων* Nauck; alii traiciendo versiculum sanabant, velut ⟨*πᾶσα*⟩ *κακίων ἄλοχος* ⟨*γαμέτου* vel *γὰρ ἔφυ*⟩ prop. Meineke ‖ 19 ecl. cum lemm. hab. S M A; *εὐρ. μελεάγ*$\overset{\omega}{\rho}$ M

Εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος,
γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί·
ἐκ τῆς ἐπιστήμης γὰρ ἐκπεπτωκότες
κεῖνοί τ' ἂν οὐδὲν εἶεν οὔθ' ἡμεῖς ἔτι.

189 (73, 30 Mein.) *Εὐριπίδου Ἱππολύτου* (616 ss.).

Ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν
γυναῖκας εἰς φῶς ἡλίου κατῴκισας;
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,
ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
ἢ χαλκὸν ἢ σίδηρον ἢ χρυσοῦ βάρος
παίδων πρίασθαι σπέρμα τοῦ τιμήματος.

190 (73, 31 Mein.) *Εὐριπίδου Μελέαγρος* (fr. 528 N.^{2}).

Μισῶ γυναῖκα . . . , ἐκ πασῶν δὲ σέ,

---

1 ante h. v. versum Ar. av. 829 *πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν εὔτακτος πόλις* collocandum censebat Welcker; alium potius locum ab Aristophane expressum esse iudicat Nauck, sed eius similem sententiam hic praecessisse | *κερκί. δων* una nescio qua litt. erasa S | *μέλλοι* S || 3 'ἐκπίπτειν ἐκ τῆς ἐπιστήμης significat *ἐξ ὧν ἐπίστανται*, ut *ἐκπίπτειν ἐκ τῆς ἐλπίδος* denotat *ἐξ ὧν τις ἐλπίζει*, nec quicquam est sanius' Herwerden mus. Rhen. LVIII p. 145 | *γὰρ ἐκπεπτ.* libri: *παρεκπεπτ.* Valckenaer Diatr. p. 143, *ἂν* (*ἄρ'* Io. Kvíčala) *ἐκπεπτ.* Dobree, et tale quid voluerit Stobaeus, nisi in initio ecl. versum intercidisse veri sit similius. *δ' ἂν ἐκπεπτ.* Herwerden || 4 *εἶσιν* Tr. | *οὔθ'* SMA *οὐδ'* Tr. | *ὑμεῖς* SMA *ἡμεῖς* Voss. f. 18^{r} || 5 ecl. cum lemm. hab. S, A (?), om. M. in S scripsit hanc eclogam, cum a verbis *ἐκ τῆς ἐπιστήμης* (ecl. 29 Mein.) incipiat fol. 126^{r}, in praecedentis paginae calce m. rec., fortasse ea quae supplevit folia chartacea. post ecl. 29 Mein. offert Tr. in A codice legi eclogam adfirmat Mekler cum Gaisfordo consentiens, sed ubi legatur non indicat. duos priores versus citat Dio Prus. LXXIV p. 199, 10 Arn. cf. Lucianus Am. 38 || 6 *κακὸν*] *γάνος* Weil || 9 *τόδε*] *τέκνα* testa Berolinensis (*Arch. anz.* 1889 p. 148) || 10 *ἀντιθέντας* S, Eur.: *ἐντιθέντας* A Tr. || 11 *ἢ χρυσὸν ἢ σίδηρον ἢ χαλκοῦ βάρος* Euripidis meliores || 12 *παίδων* Eur.: *πόσιν* S A, fluxit ex p. 559, 13 | *τοῦ τιμήματος Τῆς ἀξίας ἕκαστον κτέ.* Eur. || 13 ecl. cum lemm. hab. S (post ecl. 30 Mein.) MA (post ecl. 29 Mein.); *μελ*$^{\varepsilon}$ (non *τοῦ αὐτοῦ μελ*$^{\varepsilon}$ quod propter Gaisfordi collationem moneo) S cf. p. 550, 3 adn. *εὐρ. μελέαγρος* M *τοῦ αὐτοῦ* A || 14 *γυναῖκα* SM *γυναῖκας* A *γυναῖκα* ⟨*πᾶσαν*⟩ bene Nauck

ἥτις πονηρὰ τἄργ' ἔχουσ' ⟨εἶτ'⟩ εὖ λέγεις.

191 (73, 57 Mein.) *Εὐριπίδου Φοίνικι* (fr. 808 N.²).

Γυνή τε πάντων ἀγριώτατον κακόν.

192 (73, 60 Mein.) *Φωκυλίδου* (fr. 3 Bergk).

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο
φῦλα γυναικείων· ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης.
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς οὔτ' ἂν κακὴ οὐδὲ μὲν ἐσθλή·
ἡ δὲ κυνὸς χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης
οἰκονόμος τ' ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

193 (73, 61 Mein.) *Σιμωνίδου* (Semon. fr. 7 Bergk).

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
τὰ πρῶτα· τὴν μὲν ἐξ ὑὸς τανύτριχος,
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται καὶ κυλίνδεται χαμαί·
αὐτὴ δ' ἄλουτος ἀπλύτοισ' ἐν εἵμασιν
ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.
Τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
γυναῖκα, πάντων ἴδριν· οὐδέ μιν κακῶν
λέληθεν οὐδὲν οὐδὲ τῶν ἀμεινόνων.

---

1 *τὰ ἔργ'* S M A | *ἔχουσ'* S *ἔχουσα* M A | *εἶτ'* addidit Dobree ad Ar. Plut. 278 ‖ 2 ecl. cum lemm. hab. M A (post ecl. 31 Mein.), om. S. cf. Men. mon. 248 *θηρῶν ἁπάντων ἀγριωτέρα γυνή* ‖ 3 *πάντως* oscitanter Gesn.² ‖ 4 ecl. cum lemm. hab. S (post ecl. 59 Mein.) M A (post ecl. 57 Mein.); *φωκυλλ-* M A ‖ 5 *ἀπο* vel *ἀσπο* M | *τῶνδε* Tr.: *τῶν* (ex *τὸν* corr. M¹) S M A | *γένοντο* sed *ντ* ex corr. S ‖ 6 *γυναικείων* libri, forma suspecta | *κεινὸς* A¹ | *ἡ δὲ* S *ἢ δὲ* M *ἠδὲ* A ‖ 7 *βλοσσυρῆς* A hic et 9 | *ἠδ' ἵππου* M ‖ 8 *ἥδε* cod. Paris. 1985 teste Gaisfordo: *ἡδε* M *ἡ δὲ* Tr. *ἠδὲ* ut videtur S A ‖ 9 *ἂν* nescio quis: *ἄρ* S M A | *κακᾶ* an *κακῆ* voluerit M non dispicio ‖ 13 ecl. cum lemm. hab. S M A ‖ 14 *ἐποίησε νόον* (ν superscr.) S¹ ‖ 17 *κυλίνδεται* cod. Paris. 1985 teste Gaisfordo: *κυλινδεῖται* S M A ‖ 18 *αὐτὴ* M A *αὕτη* S | *ἄπλυτος* S M et ut videtur A *ἄπλουτος* Tr.: corr. Valckenaer et Gaisford qui praeterea *ἀπλύτοις ⟨τ'⟩*. scribo *ἀπλύτοισ'* cum Semonidis editoribus et sic infra similia | *ἵμάσιν* sed *ϊ* ex *ει* S *ἱμάσιν* M Tr. *ἱμάσιν* A ‖ 19 *ἡμένη* Tr.: *εἱμένη* S *εἱ μένη* M *εἱμένει* A ‖ 20 *τῆσ* M ‖ 21 *κακον* M

τὸ μὲν γὰρ αὐτῶν εἶπε πολλάκις κακόν,
τὸ δ᾽ ἐσθλόν· ὀργὴν δ᾽ ἄλλοτ᾽ ἀλλοίην ἔχει.
Τὴν δ᾽ ἐκ κυνὸς λιτοργόν, αὐτομήτορα,
ἣ πάντ᾽ ἀκοῦσαι, πάντα δ᾽ εἰδέναι θέλει,
πάντῃ δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἢν καὶ μηδέν᾽ ἀνθρώπων ὁρᾷ.
παύσειε δ᾽ ἄν μιν οὔτ᾽ ἀπειλήσας ἀνήρ,
οὐδ᾽ εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ᾽ ἂν μειλίχως μυθεύμενος,
οὐδ᾽ εἰ παρὰ ξείνοισιν ἡμένη τύχοι·
ἀλλ᾽ ἐμπέδως ἄπρηκτον αὐονὴν ἔχει.
Τὴν δὲ πλάσαντες γηίνην Ὀλύμπιοι
ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακὸν
οὔτ᾽ ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
ἔργων δὲ μοῦνον ἐσθίειν ἐπίσταται·
κοὐδ᾽ ἢν κακὸν χειμῶνα ποιήσῃ θεός,
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
Τὴν δ᾽ ἐκ θαλάσσης, ἣ δύ᾽ ἐν φρεσὶν νοεῖ·
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην·
ἐπαινέσει μιν ξεῖνος ἐν δόμοισ᾽ ἰδών·
'οὐκ ἔστιν ἄλλη τῆσδε λωίων γυνὴ
ἐν πᾶσιν ἀνθρώποισιν οὐδὲ καλλίων.'
τὴν δ᾽ οὐκ ἀνεκτὸς οὐδ᾽ ἐν ὀφθαλμοῖσ᾽ ἰδεῖν

---

1 *εἶπε* M A *εἶ* S *εἶναι* Tr. | *κακόν* Tr. ex *κακῶν* corr. ni fallor A[1] *κακῶν* S M ‖ 3 *λιτοργὸν* S M A *λιτουργὸν* Gesn.[1] f. 398ᵛ cf. Hesych. *λιτουργόν· κακοῦργον.* cum Wakefieldo vel Bergkio scribi solet *λίταργον* ‖ 5 *πάντη* libri | *παπαίνουσα* M ‖ 6 *μηδὲν* A ‖ 7 *δ᾽ ἄν μιν* M *δ᾽ άμμιν* (sic) S *δ᾽ ἄμμιν* A *δέ μιν* Tr. ‖ 9 *οὔτ᾽ ἂν* Bergk ‖ 10 *ἡμένη* Tr.: *εἱμένη* S A *εἰμένη* M | *τύχῃ* S A: *τύχοι* M; coniunctivum tuetur Crusius ‖ 11 *ἐμπέδως* Bergk: *εμπεδωσ* M *ἔμπεδος* A *ἐμπεδῶς* S | *ἄπρικτον* M | *αὐονὴν* S *αὖον ἠν* M *αὖον ἢν* A | *ἔχει* S A *ἑ.χει* (ante *χ* una litt. rasa) M *ἔχῃ* Tr. ‖ 13 *πηρόν* S M A sed *η* in corr. M[1] *πονηρόν* Tr. | 15 *ἔργων* S M *ἔργον* A Tr. ‖ 16 *κοὐδ᾽ ἢν* Schneidewin: *χ᾽ οταν* S *κ᾽ οὐτ ἂν* M *κοὔτ᾽ ἂν* A *χ ὧταν* Tr. ‖ 18 *ἣ δύ᾽ ἐν* Bergk: *ἡ δυ ἐν* M *ἡδὺ ἐν* S A | *νοεῖ* A (sic) *νόει* S M ‖ 20 *κἀπαινέσει* ci. Hiller | *μιν* Valckenaer et Brunck: *μὲν* S M A | *δόμοις* libri, vide p. 561, 18 adn. ‖ 21 *λωίων* tacite Gesn.[1]: *λώϊον* S M A ‖ 22 *καλλίον* M ‖ 23 *οὔτ᾽ ἐν* Schneidewin

οὔτ' ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον ὥσπερ ἀμφὶ τέκνοισιν κύων.
ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη
ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίγνεται·
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἕστηκ' ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορευμένη.
ταύτῃ μάλιστ' ἔοικε τοιαύτη γυνὴ
ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
Τὴν δ' ἐκ † τε σποδιῆς καὶ παλιντριβέος ὄνου,
ἣ σύν τ' ἀνάγκῃ σύν τ' ἐνιπῇσιν μόγις
ἔστερξεν ὦν ἅπαντα καὶ πονήσατο
ἀρεστά· τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ
προνύξ, προῆμαρ, ἐσθίει δ' ἐπ' ἐσχάρῃ.
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόντ' ἑταῖρον ὁντινῶν ἐδέξατο.
Τὴν δ' ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος.
κείνῃ γὰρ οὔ τι καλὸν οὐδ' ἐπίμερον
πρόσεστιν οὐδὲ τερπνὸν οὐδ' ἐράσμιον·
εὐνῆς δ' ἀληνής ἐστιν ἀφροδισίης,

---

4 *ἐχθροῖς* Tr. | *ἶσα* Tr.: *ἴσα* S A *ἴσα* M | *γίνεται* S M A, cf. p. 564, 15 adn. ‖ 5 *ἀτρεμῆσ* M ‖ 6 *ναύτῃισι μεγα* (sine acc.) S ‖ 7 *ὥρῃ* M ‖ 8 *κύμασι* M ‖ 9 *γυνη* hic ut saepius sine acc. S ‖ 10 *φυὴν* S A *φυηὰ* vel *φυκὰ* M *φυγὴν* typothetae error Gesn.[2] *φύσιν* ci. Nauck | *πόντοσ* sed *τ* e corr. M[1]. damnat versum Schneidewin, defendit Immisch Philol. XLIX p. 205, 17 ‖ 11 *ἔκ τε σποδιῆς* libri corrupte. *ἐκ σποδείης* Meineke Com. IV p. 715 Bergk in Lyr. ed. alt. ‖ 12 *ἐνιπῇσιν* M *ἐνίπῃισιν* S *ἐνίπῃσι* A | *μόγης* M ‖ 13 *ἔστερξεν* A *ἔρερξεν* M *ἔερξεν* S | *ὦν* ci. Gesn.[1] f. 399[v] mrg.: *ὧν* S M A. *οὖν* Gesn.[2] p. 435 mrg. *ἔστερξε λῷ' ἅπαντα* ci. Sitzler | *καὶ πονήσατο* S M A; *κἀπονήσατο* Ahrens, *κἀποιήσατο ἀρεστά* Peppmueller Philol. LI p. 174. post *κἀπονήσατο* lacunam signavit Hiller ‖ 14 *ἀρετά* sed *ε* in corr. M[1] ‖ 16 *ἀφροδείσιον* M ‖ 17 *ἐλθόνθ'* S *ἐλθόν δ'* (acc. gravem in acutum corr.) M *ἐλθόνδ'* A | *ἕτερον* M | *ὁντινοῦν* S A *ὄντιν' οὖν* M: corr. Bergk ‖ 19 *οὔτι* sed *ι* in ras. (litt. *ε* agnoscitur) S ‖ 21 *ἀληνής* Bergk: *ἀληνῆς* S *ἀληνῆσ* M, (-*ης* vel -*ῆς* per compend.) A

τὸν δ' ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ·
κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά,
ἄθυστα δ' ἱρὰ πολλάκις κατεσθίει.
Τὴν δ' ἵππος ἁβρὴ χαιτέεσσ' ἐγείνατο,
ἣ δούλι' ἔργα καὶ δύην περιτρέπει,
κοὔτ' ἂν μύλης ψαύσειεν οὔτε κόσκινον
ἄρειεν οὔτε κόπρον ἐξ οἴκου βάλοι,
οὔτε πρὸς ἰπνὸν ἀσβόλην ἀλευμένη
ἵζοιτ'· ἀνάγκῃ δ' ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρης ἄπο ῥύπον
δίς, ἄλλοτε τρίς, καὶ μύροισ' ἀλείφεται·
αἰεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν ὦν θέημα τοιαύτη γυνὴ
ἄλλοισι· τῷ δ' ἔχοντι γίγνεται κακόν,
ἢν μή τις ἢ τύραννος ἢ σκηπτοῦχος ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.
Τὴν δ' ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόσωπα· τοιαύτη γυνὴ

---

1 *διδοῖ* Tr.: *διδεῖ* S *δίδει* MA ‖ 3 *ἄθυστα δ' ἱρὰ* (*ἱερὰ* A) SMA. *ἱρὰ* scribunt in Semonide. affert versum Athen. V p. 179 D *Σιμωνίδης ἔφη περὶ τῆς ἀκόσμου γυναικός* '*ἄθυστα* (*ἄθυτα* cod. Marc.) *δ' ἱρὰ π. κ.*' ‖ 4 *ἁβρὴ χαιτέεσσ'* Meineke: *ἁβρηχαιτείησ* S *ἁβρη χαιτήεισ* M *ἁβρὴ χαιτήεις* A *ἀκρηχαιτείης* Tr. *ἁβρὰ χαιτάεσσ'* vel *ἁβρη χαιτήεσσ'* codd. Aeliani qui citat versus *τὴν δ' ἵππος* — (17) *θυμὸν ἀγλαΐζεται* hist. an. XVI 24 (cf. ibid. XI 36) | *ἐγείρατο* M ‖ 5 *δούλι'* SA *δούλη* M | *δύην* Stob. *ἄτην* Ael. | *περιτρέπει* SM, etiam A (certe silet Mekler); *παρατρέχει* Bothe, alii alia ‖ 6 *ψαύσειειν* sed *ψ* ex *π* S[1] ‖ 8 *ἰπνὸν* cod. Paris. 1985 teste Gaisfordo, Ael.: *ἴπνον* MA *ἵππον* S | *ἀσβόλην ἀλευμένη*] *ἄσβολον ἀδευμένη* Aeliani plerique ‖ 9 *ἴζουτ* M ‖ 10 *δ' ἑκάστης* dubitans prop. Meineke | *ῥύπον* SM *ῥύπων* A, Ael. ‖ 11 *μύροις* libri ‖ 12 *αἰεὶ* Bergk *ἀεὶ* SMA | *χαὶ τὴν* M ‖ 14 *ὦν* Meineke: *οὖν* libri | *θέημα* Ael. *θέαμα* SMA, Aeliani Vat. ‖ 15 *γίγνεται* SM *γίνεται* A Tr. ‖ 16 *ἦν* M ‖ 17 *ὅς τοῖς τοιούτοις* Hercher | *τοιοῦτον* ap. Ael., inde *τοιοῦτον θεσμὸν* vel *ῥυθμὸν* ci. Iacobs | *ἀ*γ*λαίζεται* S, corr. S[1] ‖ 20 *αἴσχετα* M

εἶσιν δι᾽ ἄστεος πᾶσιν ἀνθρώποις γέλως·
ἐπ᾽ αὐχένα βραχεῖα, κινεῖται μόγις,
ἄπυγος, αὐόκωλος· ἆ τάλας ἀνήρ,
ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει·
οὐδ᾽ ἄν τιν᾽ εὖ ἔρξειεν, ἀλλὰ τοῦτ᾽ ὁρᾷ
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τιν᾽ ὡς μέγιστον ἔρξειεν κακόν.
Τὴν δ᾽ ἐκ μελίσσης· τήν τις εὐτυχεῖ λαβών·
κείνη γὰρ οἴη μῶμος οὐ προσιζάνει.
θάλλει δ᾽ ὑπ᾽ αὐτῆς κἀπαέξεται βίος·
φίλη δὲ σὺμ φιλεῦντι γηράσκει πόσει,
τεκοῦσα καλὸν κὠνομάκλυτον γένος·
χἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι, θείη δ᾽ ἀμφιδέδρομεν χάρις·
οὐδ᾽ ἐν γυναιξὶν ἥδεται καθημένη,
ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
Τὰ δ᾽ ἄλλα φῦλα ταῦτα μηχανῇ Διὸς
ἔστιν τε πάντα καὶ παρ᾽ ἀνδράσιν μένει.
Ζεὺς γὰρ μέγιστον τοῦτ᾽ ἐποίησεν κακόν,
γυναῖκας· ἤν τι καὶ δοκῶσιν ὠφελεῖν,

---

1 εἶσιν A, Tr. εἰσιν S εἰσὶν M ‖ 2 τὸν αὐχένα ci. Hiller, ἀπ αὐχένος Diels ‖ 3 ἄσπυγος M | αὐόκωλος Bergk et Haupt: αὐτόκωλος libri | ἆ τάλας Grotius Dict. poet. p. 543: ἁτάλας S ἀτάλησ M ἀτάλας A αὐτάλας Tr. ‖ 7 εὐέρξειε M | τοῦτ᾽ SM τοῦθ᾽ A Tr. ‖ 9 ὅκως S ὅπωσ M ὅππως (-ως compend.) A | τιν᾽ ὡς Meineke: τί χ᾽ ὥς S τι χ᾽ ὥσ M στίχ᾽ ὥς A ‖ 12 κἀπαύξεται Tr. ‖ 13 φίλη ex φῖλο corr. M¹ | σὺμ φ. scripsi: συμφιλεῦντι S συμφολ- M σὺν φιλεῦντι A Tr. | γηρασκει ut modo ευτυχει sine acc. S. talia non ubique enoto | πόσι Semonidi dant merito ‖ 14 κὠνομάκλυτον Smith: κοὐνομάκλυτον libri, male transcriptum fort. ex *KON*- ‖ 15 γίγνεται S γίνεται MA ‖ 16 δ᾽ om. S ‖ 18 ὅκου SM οἴκου A | λέγουσ᾽ Tr. ‖ 21 hunc et proximum versum a Semonide alienos esse perspexit Iordan. φῦλα MA Tr. sed ῦ in ύ corr. M¹ φύλλα S | μηχανεῖ A ‖ 22 τε] δὲ A | ἀνδράσι M ‖ 24 δοκέωσιν Ahrens

ἔχοντί τοι μάλιστα γίγνεται κακόν.
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅστις σὺν γυναικὶ † πέλεται,
οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται,
ἐχθρὸν συνοικητῆρα, δυσμενέα θεῶν.
ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ' οἶκον ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίην
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη·
κεχηνότος γὰρ ἀνδρός — οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται·
ἴσην δ' ἔχοντες μοῖραν οὐ γιγνώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν,
καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδῃ,
ἐξ οὗτε τοὺς μὲν Ἀΐδης ἐδέξατο
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους,

* * *

---

1 *τοι* Winterton et Brunck: *τῷ* vel *τῷ* libri | *γίγνεται* ni fallor S *γίνεται* MATr. ‖ 2 *κοτεύφρων* M ‖ 3 *πέλεται*] temptavere multa, *γυναικί* ⟨*κῃ*⟩ *πέλει* apte nuper Sitzler ‖ 9 *ὅκου* S *ὄκου* M *οἴκου* A | *οἰκίαν* (sine sp. M) SMA: tacite corr. Gaisford ‖ 10 *μολόντα* Tr.: *μολῶντα* SMA ‖ 12 *μέγιστα* etiam A ‖ 13 *κεχηνότος γὰρ ἀνδρός*] 'poeta rem turpem ut significaret magis quam explanaret, reticentia usus est' Bergk | *οἶδε* A ‖ 15 *τὴν ἣν* S *τήν ην* M *τήνην* A ‖ 16 *γυναῖκα* supra lin. S[1] | *τήνδε* M | *τοὐτέρου* SM ε ex αι corr. S[1] *τοῦ ἑτέρου* ex *τοῦ ἑταίρου* corr. A[1] *τουτέου* Tr. ‖ 17 *γινώσκομεν* SMA ‖ 18 ss. tamquam spurios secludi vult Hiller *Iahresber. über die fortschr. der kl. altertumsw.* a. 1888 p. 164. v. 18 *Ζεὺς — κακόν* fortasse delendum, v. 19 autem post p. 565, 23 collocandum esse censuerat Meineke ‖ 19 *ἄρρητον* Tr. | *πέδη* vel *πέδῃ* SMA; *πέδης* Koeler, *ἀρρήκτον πέδης* prop. Meineke coll. Aesch. Prom. 6 ‖ 20 *ἐξ οὗ γε* ci. Gaisford ‖ 21 *ἀμφὶ δηριωμένους* M idque suaserat Bergk in quarta P. L. editione. non accedo, cf. Lycophr. Al. 1437. post

194 (73, 32 Mein.) *Εὐριπίδου Μηδείας* (408 s.).

Γυναῖκες ἐς μὲν ἔσθλ᾽ ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

195 (73, 33 Mein.) *Ἐν ταὐτῷ* (568 ss.).

Οὐδ᾽ ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
ἀλλ᾽ εἰς τοσοῦτον ἥκεθ᾽ ὥστ᾽ ὀρθουμένης
εὐνῆς γυναῖκες πάντ᾽ ἔχειν νομίζετε.

196 (73, 34 Mein.) *Εὐριπίδου Ὀρέστης* (605 s.).

Ἀεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστατον.

197 (73, 35 Mein.) *Εὐριπίδου Φρίξῳ* (fr. 824 N.²).

Ὡς οὐδὲν ὑγιές φασι μητρυιὰς φρονεῖν
νόθοισι παισίν, ὧν φυλάξομαι ψόγον.

198 (73, 36 Mein.) *Εὐριπίδου Φοινίσσαις* (198 ss.).

Φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ.
σμικρὰς δ᾽ ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,

ἀμφιδηριωμένους alterum membrum excidisse vidit Schneidewin Del. p. 204 sic recte interpretatus *ex quo alios Orcus recepit propter mulierculam (Helenam) rixatos, alios autem* . . . hoc altero membro (*τοὺς δὲ*) ea poetam significasse putat Crusius 'quae a mulieribus Agamemnon aliique passi sunt ad larem suum reversi'

1 ecl. cum lemm. hab. S (post ecl. 31 Mein.) M A (post ecl. 61 Mein.); *μηδείας* om. S. verba *ἔσθλ᾽* — *σοφώταται* habet Eumathius III 9 p. 538 Didot., *κακῶν* — *σοφώταται* schol. Arist. Lys. 368 ‖ 2 *ἐσμὲν* S A *ἐς μὲν* M *ἔσμὲν* libri Eur. quod etiam *ἐς μὲν* esse potest. vix voluit *ἐσμὲν* gnomologus (ut putat G. Murray) immo *γυναῖκες* (sc. *εἰσὶν*) *ἐς μὲν ἔσθλ᾽ ἀ.*, recidit ille quod apud Euripidem legitur 407 *πρὸς δὲ καὶ πεφύκαμεν* | *ἐσθλα* S M ‖ 4 ecl. cum lemm. hab. M A, om. S ‖ 6 *ἥκετε* M ‖ 8 ecl. cum lemm. hab. S (post ecl. 32 Mein.) M A (post ecl. 33 Mein.); *εὐριπ$\overset{\Delta}{ι}$* suo more M *τοῦ αὐτοῦ* A, de S vide ad ecl. 1 Mein. *ὀρ*^{ε} etiam S, errat Gaisford ‖ 9 *αἰεὶ* Eur. codices plerique ‖ 10 *δυστυχέστερον* Eur. idque dederim etiam Stobaeo. frequens harum terminationum confusio ‖ 11 ecl. cum lemm. hab. S M A, *φρίξω* om. S. *τοῦ αὐτοῦ* A ‖ 12 *οὐδὲν ὑγιὲς* S *ὑγιὲς οὐδὲν* M A | *μητρυὰς* S ‖ 13 *ὃν* mavult Nauck ‖ 14 ecl. cum lemm. hab. S M A. cf. Nicetas Eug. 5, 50. viginti in hoc capite eclogas Euripideas secundum litterarum ordinem procedere monui Stob. III prol. p. LVI s. ‖ 15 *δὲ*] *γὰρ* Euripidis nonnulli ‖ 16 *σμικράς τ᾽* Eur. nonnulli | *λάθωσι* A | *λόγων* S M, Eur.: *ψόγων* A

πλείους ἐπεισφέρουσιν· ἡδονὴ δέ τις
γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.

199 (73, 62 Mein.) *Δημοκρίτου* (fr. 273 Diels [2]).

Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.

200 (73, 63 Mein.) *Γαΐου ὑπὲρ Λουκίλλης.*

Εὐάγωγον γὰρ ἐστιν εἰς πίστιν γυνὴ καὶ μάλιστα ὅταν τὸ ἀτυχεῖν προσῇ.

201 (73, 64 Mein.) *Γαΐου κατὰ Μενάνδρας.*

Εὐάγωγον δὲ εἰς τὸ ῥαδίως τι τολμῆσαι θυμὸς γυναικός.

---

1 *ἐπεισφέρουσιν* Eur.: *ἐπιφέρουσιν* SMA, fuerat igitur *ἐπισφέρουσιν* ut est in Eur. cod. Marciano | *ἡδονὴν* M ‖ 2 *ἀλλήλαις* Eur. cod. Marc., Etym. M. p. 420, ubi citantur v. *ἡδονὴ δέ τις γυναιξὶν ἀλλ. μηδὲν ὑγιὲς λέγειν* ‖ 3 ecl. cum lemm. hab. S (post ecl. 61 Mein.) MA (post ecl.3 6 Mein.) ‖ 4 *κακοφραγμοσύνην* M. vix voluit *κακοπραγμ.*, dedisset enim *κακοπρηγμοσύνην* ‖ 5 ecl. cum lemm. hab. SMA ‖ 6 *εὐάγωγων* S | *γυνη* sine acc. S ‖ 8 ecl. cum lemm. hab. MA, om. S ‖ 9 *τί τολμῆσαι* M *ἐτιτολμῆσαι* A

CAPVT XXIII.

ΓΑΜΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ.

1 *Ἀναξανδρίδου* (fr. 56 K.).

Χαλεπή, λέγω σοι, καὶ προσάντης, ὦ τέκνον,
ὁδός ἐστιν, ὡς τὸν πατέρ' ἀπελθεῖν οἴκαδε
παρὰ τἀνδρός, ἥ τις ἐστὶ κοσμία γυνή.
ὁ γὰρ δίαυλός ἐστιν αἰσχύνην ἔχων.

2 *Εὐριπίδου Κρήσσαις* (fr. 463 N.[2]).

Οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ
δοῦναι χαλινοὺς οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν·
πιστὸν γὰρ οὐδέν ἐστιν· εἰ δέ τις κυρεῖ
γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.

3 *Ἀντιφάνους* (fr. 264 K.).

Μὴ χρώμασιν τὸ σῶμα λαμπρύνειν θέλε,
ἔργοις δὲ καθαροῖς καὶ τρόποις τὴν καρδίαν.

4 *Εὐριπίδου Ἀνδρομάχης* (943 ss.).

Ἀλλ' οὔποτ', οὔποτ', οὐ γὰρ εἰσάπαξ ἐρῶ,
χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἔστιν γυνή,
πρὸς τὴν ἐν οἴκοις ἄλοχον εἰσφοιτᾶν ἐᾶν
γυναῖκας· αὗται γὰρ διδάσκαλοι κακῶν·
ἡ μέν τι κερδαίνουσα συμφθείρει λέχος,

---

1 inscriptio huius capitis legitur in S M A Mac. sic ut apud Photium. numerum ξη' (η ex ς corr.) praefixit S νε' M A Mac. non solum gnomologis titulum hunc in usu fuisse docet Plutarchus || **3** ecl. cum lemm. hab. S M A; ἀναξανδρί (Δ supra) M || **6** παρανδρος S παρ' ἀνδρὸς M A: corr. Pflugk et Cobet, cf. N. l. p. 614 | ἥ (ή S) τις S M A; εἴ τις tacite scr. Gesn.[1] || 8 ecl. cum lemm. hab. S M A || **10** ἀφεντεαν A[1] || **13** ecl. cum lemm. hab. S M A || **14** μὴ χρώμασιν ci. Gesn.[1] f. 401r mrg.: μὴ ὄμμασιν S M A; μὴ βάμμασιν Kock || **16** ecl. cum lemm. hab. S M A || **17** οὐ (ante γὰρ) om. A || **18** ἔστιν A, Eur.: ἔστι (ἐστι M) S M

ἡ δ᾽ ἀμπλακοῦσα συννοσεῖν αὑτῇ θέλει,
πολλαὶ δὲ μαργότητι — κἀντεῦθεν δόμοι
νοσοῦσιν ἀνδρῶν. πρὸς τάδ᾽ εὖ φυλάσσετε
κλείθροισι καὶ μοχλοῖσι δωμάτων πύλας·
ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

5 *Μενάνδρου Ὑποβολιμαίου* (fr. 484 K.).

Τὰ δεύτερ᾽ ἀεὶ τὴν γυναῖκα δεῖ λέγειν,
τὴν δ᾽ ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρ᾽ ἔχειν.
† οἰκία δ᾽ ἐν ᾗ ⟨τὰ⟩ πάντα πρωτεύει γυνή,
οὐκ ἔστιν ἥτις πώποτ᾽ οὐκ ἀπώλετο.

6 *Εὐριπίδου Μελανίππῃ* (fr. 497 N.²).

Τίσασθε τήνδε· καὶ γὰρ ἐντεῦθεν νοσεῖ
τὰ τῶν γυναικῶν· οἱ μὲν ἢ παίδων πέρι
ἢ συγγενείας εἵνεκ᾽ οὐκ ἀπώλεσαν
κακὴν λαβόντες· εἶτα τοῦτο τἄδικον
πολλαῖς ὑπερρύηκε καὶ χωρεῖ πρόσω,
ὥστ᾽ ἐξίτηλος ἡ ἀρετὴ καθίσταται.

7 *Ναυμαχίου.*

Ἔστω σοι πόσις οὗτος, ὃν ἂν κρίνωσι τοκῆες.

---

1 *αὑτῇ* Eur. schol. (et Haun.): *αὐτῇ* (vel -*ῇ*) S M A ut fere codd. Eur. ‖ 2 rem turpem commemorans reticentia utitur poeta. hanc signavi obsecutus Gilberto Murray ‖ 4 *κλῄθροισιν* Eur. | *μοχλοῖσιν* M ‖ 6 *δρῶσιν* S¹ | *πόλλ᾽ ἄγαν κακά* gnomol. Venetum, de quo dixi in actis soc. philol. Lips. VI ‖ 7 ecl. cum lemm. hab. M A, om. S ‖ 8 *ἀεὶ* M A; *αἰεὶ* oscitanter Gesn.² ‖ 10 *οἰκία δ᾽ ἐν ᾗ* (*ῇ* ut videtur M) M A: *οἶκος δ᾽ ἐν ᾧ* (et in proximo versu *ὅστις*) prop. Bentley, *στέγη δ᾽ ἐν ᾗ* Nauck *Mél. Gr.-R.* VI p. 115, cui adsentitur Herwerden Collect. cr. (L. B. a. 1903) p. 167 | *τὰ* addidit Bentley | *πάντα πρωτεύει* M *πρωτεύει πάντα* A ‖ 11 *οὐπώποτ᾽ ἐστὶν ἥτις οὐκ ἀπ.* prop. Herwerden ‖ 12 ecl. cum lemm. hab. S M A. in Melanippae captivae fragmentis collocavit Nauck, ad philosopham refert Wünsch mus. Rh. XLIX p. 96 ‖ 13 *τείσασθε* scr. Nauck | *ἐντεῦθεν* Elmsley: *ἐνταυθοῖ* libri ‖ 14 *παίδων ὕπερ* Herwerden ‖ 15 *εἵνεκ᾽* A: *οὕνεκ᾽* S *οὕνεκ᾽* M ‖ 16 *τοῦτο τἄδικον* Porson Adv. p. 304: *δ᾽ οὐ τότ᾽* (*τοτ* M) *ἄδικον* S M A ‖ 18 *ὥστ᾽* Elmsley: *ὡς* libri | *ἡ ἀρ.*] *ἀρετὴ* etiam scribi voluit Elmsley ‖ 19 ecl. cum lemm. hab. S M A ‖ 20 inter hunc versum et superioris fragmenti

κἂν μὲν ἔῃ πινυτός, σὺ μακαρτάτη· εἰ δέ κεν ἄλλως
ἀνέρα μοιρήσαιο, φέρειν καὶ τοῦτον ἀνάγκη.
ἀλλ' ἢν μέν τίς σοι πεπνυμένος, ὅττι κεν εἴπῃ
πείθεο, μηδ' ἔστω βίος ἄνδιχα· γίνεο δ' αὐτῷ
μειλιχίη, καὶ μᾶλλον ὅταν τί ἑ κῆδος ἱκάνῃ.
ἀνδρὶ γὰρ ἀσχαλόωντι παραίφασίς ἐστιν ἄκοιτις.
λεῖπε δέ οἱ τὰ θύρηφι, τὰ καὶ δύναται πονέεσθαι,
σοὶ δ' οἰκωφελίη μελέτω μέγαρόν τε φυλάσσειν.
μηδέ μιν ἐξερέεινε, τὰ μὴ θέμις ἐστὶ γυναῖκας
ἴδμεναι· εἰ δ' αὐτός ⟨σ'⟩ ἐθέλει συμφράδμονα θέσθαι,
σύνθεο μὲν τάχα θυμῷ, ἀμείβεο δ' ὀψὲ σὺν αὐτῷ
φραζομένη, καὶ μηδὲν ὑπίσχεο μηδὲ κέλευε
σῇ ῥέζειν ἰότητι· τὸ γὰρ τέλος ἐστὶν ἀφαυρόν.
κουρίδιος πινυτῇ πόσις ἄρκιος, οὐδέ τ' ἐκείνην
δεύτερος ἀθρήσει λεχέων ἀπογυμνωθεῖσαν.
πρῶτα μὲν ἀφραίνοντος ἀνάσχεο, καὶ γὰρ ἀνάγκη.
πολλάκι που καὶ νοῦσον ἀνάσχεο κηδομένη περ.
ἴσχεο δ' ἐν στέρνοις τὰ σὰ κήδεα, μηδ' ἀγόρευε
πᾶσιν ὅσα πρήσσει, μηδ' ἔννεπε πάντα τοκεῦσι.
μούνη δ' ἀφραδέοντα πινυσσέμεν, ἀλλὰ κατ' αἶσαν·
καὶ πινυτὸν δεδάηκ' ἐρεθιζέμεν ἀνέρα λώβη.

---

versum extremum (Stob. IV p. 515, 10) nihil deesse arbitratur Rohde mus. Rhen. XXXII p. 337 adn. (*Kl. schr.* II p. 183 adn. 1) | *πόσις* S A *ποτ̊* M

1 *μενέη* M | *ἄλλωσ* ex *ἄλλοσ* ut videtur corr. M[1] | 2 *ἀνέρα*] *ἄφρονα* scr. Meineke | *μοι ῥήσαιο* M | *φέρης* Tr. ‖ 3 *πεπνυμένος* om. A | *ὅττι* (ex *ὅτι* corr. S[1]) *κεν* S A *ὅσγικεν* M ‖ 4 *μὴ δ'* (*μηδ* M) libri | *γίνεο* M *γείνεο* S A ‖ 5 *καὶ* M, om. S A | *τὶ ἐκῆδοσ ἱκάνη* M ‖ 8 *οὐκ ὠφελίῃ* A ‖ 10 *εἰ δ'* S *ἠδ'* M *ἢ δ'* A | *σ'* addidit Gaisford ‖ 11 *θυμῷ* Brunck: *μύθῳ* libri ‖ 12 *κέλευε* Turnebus: *κελεύειν* libri ‖ 13 *ῥέζειν* S *ῥέξειν* M A | *ἰότητι* M A: *ἰσότητα* S *ἰσότητι* Tr. ‖ 14 *πινυτή* S ‖ 15 *ἀθρήσει* ε superscr. A[1] | *λεχέων ἔπι γυμνωθεῖσαν* Brunck ‖ 16 *πολλὰ μὲν* prop. Rohde mus. Rhen. XXXII p. 337 adn. qui adverbialiter intellegit *πολλά*, ut *πολλὰ μὲν — ανασχεο* et *πολλάκι — ἀνάσχεο* inter se respondeant. non suum locum hic habere v. 17 visus erat Meinekio qui etiam *ἀνάσχεο* verbo offendebatur iterato ‖ 17 *ἀνέσχεο* (α superscr.) S *ἀνέσχεο* M A ‖ 21 *λώβῃ* Tr.

πολλάκι δ' ἤπιος ἄνδρα καὶ ἄφρονα μῦθος ἔθελξεν.
εἰ δ' ὀλοοῖς ἑτάροισιν ἐφεσπόμενος κακὸς εἴη,
μὴ σὺ μὲν ἀντιβίην κείνου, τέκος, εἰς ἔριν ἔλθῃς,
ἀλλ' ἑτέρους ὄτρυνε μετὰ σφίσι νείκεα βάλλειν.
ῥηιδίη δ' ὁδὸς ἥδε διακρῖναι φιλότητα
λευγαλέην, ἑτάροις δὲ φίλον ἀγαθοῖσι γενέσθαι,
σῇ πινυτῇ· τίς γάρ κεν ἑκὼν φίλον ἄφρονα θεῖτο;
καὶ σὺ μὲν ὥς φίλον ἄνδρα καὶ ἀτρεκέως ἀγάπαζε.
γνώτω δ' ἀμφαδίην καὶ σὸς πόσις, ὅττι γε τέκνα
ἐκ θυμοῦ φιλέεις· ἐπεὶ οὔτι γε τοῖος ἐτύχθη
οἷος ἔχειν φιλότητα καὶ ἤθεα πιστὰ δαῆναι.
παρθενική, σὺ δ' ἄκουε τά σε χρὴ πάντα φυλάσσειν.
μήτε φιλομμειδὴς μάλα γίνεο μήτε κατηφής.
μήτ' ἔσο πάμπαν ἀεργός, ἄλις δ' ἔχε καὶ πόνου ἔργον.
μήτε κακὴ δμώεσσι τεοῖς ἔσο μήτε μάλ' ἐσθλὴ
φαίνεο· ῥηίτεροι γὰρ ἀεί που πῆμα φέρονται·
θάρσεϊ δειδιότων μάλ' ἐπικρατέουσιν ἄνακτες.
ὀθνείων φιλότητας ἀναίνεο, πρίν κεν ἀπ' ἄλλων
εἰδείης ἐτύμως μελεδήματα καὶ νόον αὐτῶν.
μήτε γραῦν ποτε σοῖσι κακὴν δέξαιο μελάθροις·
πολλῶν γρῆες ἔπερσαν ἐύκτιτα δώματα φώτων·
μηδὲ μὲν ἀκριτόμυθον ἑταιρίσσαιο γυναῖκα·
κεδνὰ κακοὶ φθείρουσι γυναικῶν ἤθεα μῦθοι.

---

4 *ἑτέρους* prop. Meineke: *ἑτάρους* libri. post hunc versum lacunam signari iussit Rohde. quae intercepta sint respici putat verbis *ὅδος ἥδε* (v. 5) ‖ 5 *ῥιδίη* M | *διακρῖναι* (*-κρίναι* S) S M A: *διακλῖναι* (*ablehnen*) dubitans ci. Rohde ‖ 6 *ἑταίροισ* M | *ἀγαθοῖσιν* M ‖ 7 *σῆ πινυτή* S ‖ 8 *ὧς* Rohde: *ὡς* libri ‖ 9 *γνώτω* S A *γνώσω* M | *ὅττι γε* Brunck: *ὅττι κε* Tr. *ὅττι καὶ* S A *ὅσ γε καὶ* M ‖ 11 post *δαῆναι* fortius distinguitur in M ‖ 13 *φιλομειδὴς* S | *γίνεο* S M A ‖ 14 *ἅλις* A Tr. *αλις* S *ἄλισ* M | *πόνον ἔργον* ci. Meineke ‖ 15 *δμώεσι* S ‖ 16 *φαίνετο* Tr. ‖ 18 *πρίν* sed *πρ* ex corr. S ‖ 19 *μελεδήματα* sed prius *α* ex *ω* corr. M[1] ‖ 20 *μήτε — δέξαιο*] cf. *μηδὲ — ἑταιρίσσαιο* (22) et *ἔχοις* (p. 573, 2). optativi hunc usum illustrat similibusque Ps.-Phocylidis exemplis confirmat Bergk P. lyr. II[4] p. 85 ‖ 22 *μὲν* A *μιν* S M | *ἑταιρίσσαιο* S sed ex corr., Tr.: *ἑταιρίσσεο* M A ‖ 23 *φθείρουσι* S M *φέρουσι* A

μή σύ ποτε χρυσῷ πέρι μαίνεο, μήτ' ἐπὶ δειρῆς
πορφυρέην ὑάκινθον ἔχοις ἢ χλωρὸν ἴασπιν,
τοῖς ἔπι φυσιόωσιν ἀλίφρονες· ἀλλὰ σὺ κόσμον,
παρθένε, τηΰσίου μὴ δεύεο μηδὲ κατόπτρου,
χειρὶ διακρίνουσα τεὴν αὐγάζεο μορφήν,
μηδὲ κόμης περίαλλα πολυσχιδέας πλέκε σειράς,
μηδὲ μέλαινε τεοῖσιν ὑπὸ βλεφάροισιν ὀπωπάς.
οὐ γὰρ θηλυτέραις δέμας ὤπασεν ἡμιτέλεστον
μορφήν, ὄφρα καὶ ἄλλα περὶ χροῒ τεχνήσαιντο.
πῶς δ' ἄν, κοῦρα, δύναιο δαήμων φωτὶ φανῆναι,
θνητὸν ἐφημερίῃ κομιδῇ χρόα ποικίλλουσα;
ἐξ ἑτέρης ἑτέρην σε καὶ ἄλλην ἄλλοτε λεύσσων
φαινομένην πολλῇσι μίαν μορφῇσι γυναῖκα

* * *

8 *Εὐριπίδου Πενθέως* (Bacch. 314 ss.).

Οὐχ ὁ Διόνυσος † *μὴ σωφρονεῖν ἀναγκάσει*
γυναῖκας εἰς τὴν Κύπριν· ἀλλ' εἰς τὴν φύσιν

---

1 *περιμαίνεο* SA *πέρι μαίνεο* M idque verum videtur, nam *περί τινι* etiam cum aliis affectuum verbis iungitur. *ἐπιμαίνεο* cum Schaefero Meineke ‖ 2 *ἔχοις* SM sed *οισ* in ras. corr. M² *ἔχῃς* A. vide quae monui p. 572, 20 adn. huic versui subiecerat Naumachius quattuor illos quos gnomologus dedit flor. 93, 23 Mein. rem perspexit Rohde l. c. ‖ 3 *ἐπιφυσιόωσι δ'* libri hic et flor. 93, 23: corr. Meineke ‖ 4 *παρθέν ἔτ' ἢ ὑσίου* sic fere A | *κατόπτρῳ* Turnebus virgula deleta ‖ 6 *κό. μης* una litt. rasa S | *περίαλλα* Salmasius ap. Grotium Dict. poet. p. 544: *πέρι. ἀλλὰ* (*περι* in litura, sub *ρ* agnoscitur *λ*, scriba *πολυ* praeceperit) S *πέριαλλα* M *πέρι ἀλλὰ* A ‖ 7 *τεοῖσιν* A Tr. *τεῇσιν* S *τεῇσιν* M | *ὑπὲρ* A ‖ 8 *ἡμιτέλευτον* A ‖ 10 *δαήμονι* libri: corr. Rohde ‖ 11 *ἐφημερίῃ* Grotius Dict. poet. p. 319: *ἐφημέρῃ* SA *ἐφ' ἡμέρῃ* M; *ἐφημερίῃ* Gesn.¹ ‖ 12 *λεύσων* MA *λεύσω* S: *λεύσσω* Gesn.¹, rectius *λεύσσων* Meineke qui post *γυναῖκα* signavit lacunam ‖ 14 ecl. cum lemm. hab. MA, om. S. leguntur duo versus priores etiam Stob. III 5, 1 addito lemmate *Εὐρ. Βακχῶν*, verba extrema *καὶ γὰρ — διαφθ.* in Sereni ecloga III 5, 38 p. 267, 14. cf. etiam Athen. XII p. 544 E ‖ 15 *μὴ σωφρονεῖν* metro invito libri hic et supra: *σωφρονεῖν* (om. *μὴ*) libri Eur. sed *μὴ* supra lin. cod. Pal. ‖ 16 *ἀλλ' ἐν τῇ φύσει* Stob. supra sicut libri Eur. qui autem Stob. III et in Eur. libris additur versus *τὸ σωφρονεῖν ἔνεστιν εἰς τὰ πάντ' ἀεί*, interpolatus est eadem de causa qua hic *ἐν τῇ φύσει*

τοῦτο σκοπεῖν χρή· καὶ γὰρ ἐν βακχεύμασιν
οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

9 *Ἀντιφάνους* (fr. 253 K.).

Τί φής; λαθεῖν ζητῶν τι πρὸς γυναῖκ' ⟨ἄρα⟩
ἐρεῖς τὸ πρᾶγμα; καὶ τί τοῦτο διαφέρει
ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι;

10 *Εὐριπίδου* (fr. 1061 N.[2]).

Μοχθοῦμεν ἄλλως θῆλυ φρουροῦντες γένος·
ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν † εν δος,
τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον;

11 *Μενάνδρου* (fr. 546 K.).

Τοὺς τῆς γαμετῆς ὅρους ὑπερβαίνεις, γύναι,
διὰ τὴν † αὐλὰν λίαν· ὅρος γὰρ αὔλειος θύρα
ἐλευθέρᾳ γυναικὶ νενόμιστ' οἰκίας.
τὸ δ' ἐπιδιώκειν εἴς τε τὴν ὁδὸν τρέχειν,

---

mutatum est in *εἰς τὴν φύσιν*: prave coniungebant *τοῦτο σκοπεῖν χρή*, cum Euripides intellegi voluerit *ἐν τῇ φύσει τοῦτο. σκοπεῖν χρή*, cf. E. Bruhn ad Eur. Bacch. 316

2 *οὖσα* M ‖ 3 ecl. cum lemm. hab. SMA. cf. Disticha Argentin. 30, 31 (ed. O. Plasberg *Arch. für pap.* II p. 190) *Μηδὲν ἀνακοινοῦ πρὸς γυναῖκα χρήσιμον· [Ἅπα]ν γὰρ εὐθὺς τοῦτ' ἀκούσεθ' ἡ πόλις*, ubi *ἅπαν* Br. Keil. Men. monost. 361 Mein. ‖ 4 *γυναῖκ' ἄρα* vel *γυναῖκα σὺ* scripsi: *γυναῖκα* libri | *ἐρεῖς* Tr.: *ἔρις* SMA ‖ 6 *πᾶσιν* M | *διαφέρει* SMA: *διαφέρειν οἴει* (vel *δοκεῖς*) Porson Adv. p. 304 distribuens in prioribus *πρὸς γυναῖκ' ἐρεῖς Τὸ πρᾶγμα κτέ.* sed fortius est *καὶ τί τοῦτο διαφέρει κτέ.* ‖ 7 ecl. cum lemm. hab. SMA ‖ 8 *φρουροῦντες* SM *φρονοῦντες* A ‖ 9 *εν δοσ* S *ἐνδοσ* M *ἔνδον* A: *ἔνδικος* ci. Gesn.[1] f. 402ʳ idque recepit Nauck. *πέφυκε σωφρονεῖν* Cobet, *πέφυκ' ἔνδον μένειν* Mekler probante Ioanne Kvičala *České mus. filol.* VII p. 437, *πέφυκ' αἰνεῖν δόμον* Sitzler ‖ 10 *τί δὴ* A | *φυλάσσειν* S *φυλάσσει* MA | *μὴ ἐξαμαρτάνῃ* Mekler. versus nondum expeditus. ecloga fortasse ex Alope petita. certe Cercyo sic loqui poterat qui frustra custodiverat filiam ‖ 11 ecl. cum lemm. hab. SMA. v. 13 respicit Harpocratio p. 40, 7 Bekk. *αὔλειος ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας, ὡς δηλοῖ Μένανδρος* ‖ 13 *διὰ τὴν αὐλὰν λίαν* SMA: *διὰ τὴν λαλιάν* prop. Nauck *Mél. Gr.-Rom.* II p. 335 | *ὅρος* Nauck: *πέρας* libri | *αὔλειος* A[2]: *αὔλιος* SM ‖ 14 *νενόμιστ' οἰκίας* SMA. *νενόμισται βίου* Nauck

ἔτι λοιδορουμένην, κυνὸς ἔστ' ἔργον, 'Ρόδη.

12 *Εὐριπίδου Μελεάγρῳ* (fr. 521 N.[2]).

Ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν
ἐσθλήν, θύρασι δ' ἀξίαν τοῦ μηδενός.

13 *Εὐριπίδου Δανάης* (fr. 320 N.[2]).

Οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα
οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.

14 *'Ηρώδα μιμιάμβων* (VI 37 ss.).

Μὴ δή, κόρη, τὺ τὴν χολὴν ἐπὶ ῥῖνας
ἔχ' εὐθύς, ἤν τι ῥῆμα μὴ σοφὸν πεύθῃ.
γυναικός ἐστι κρηγύης φέρειν πάντα.

15 *Εὐριπίδου* (fr. 1062 N.[2]).

Γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ.

16 *Σοφοκλῆς ἐν Φαίδρᾳ* (fr. 618 N.[2]).

Σύγγνωτε κἀνάσχεσθε σιγῶσαι· τὸ γὰρ
γυναιξὶν αἰσχρὸν δεῖ γυναῖκ' ἀεὶ στέγειν.

17 *Εὐριπίδου 'Αλόπῃ* (fr. 111 N.[2]).

Τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γένος

---

1 *ἔστ' ἔργον* Gesn.[1] mrg. ex Frob. p. 132, non discrepare videtur A: *ἔστεργον* S, (sine acc. et sp.) M. de M vide etiam p. 445, 4 adn. | *ῥόδη* tacite Gesn.[2]: *ρωδη* (*ρω-* M) S M *ῥώδη* A Tr. ‖ 2 ecl. cum lemm. hab. S M A, poetae nom. om. S ubi *με* superaddita compendii lineola ‖ 3 *γυναῖκα* S M | *αἰνεῖν χρεὼν* Ribbeck *Röm. trag.* p. 507 ‖ 4 *ἄξιαι* maluit Gesn.[2] p. 439 *ἀξία* Dobree Adv. II p. 127 ‖ 5 ecl. cum lemm. hab. S M A, poetae nom. om. S. *δανάης* compend. S *δανάῃ* M A. idem locus cum lemm. *'Αλέξιδος* supra legitur IV 22, 154 ubi vide quae adnotavi ‖ 6 *χρῆμα* M A supra ‖ 7 *οὐδ' ἄλλο* S M A supra ‖ 8 ecl. cum lemm. hab. M A, om. S; *ηρωδά μι μϊάμβων* M *'Ρώδα μιμιάμβων* A ‖ 9 *Κοριττοῖ* Her. *κόρη τὺ* corruptelae similius sit an interpolationi gnomologae dubites | *ἐπὶ ῥινὸς* Her. idque dederim etiam Stobaeo ‖ 10 *σοφὸν* primo, sed corr. *καλὸν* Her. ‖ 12 ecl. sine lemm. hab. S, addito lemm. M A. versum cum Eur. fr. 164 N.[2] coniungit Br. Keil, sed vide quae dixi supra p. 496, 10 ‖ 13 *ἂν* S M A ‖ 14 ecl. cum lemm. hab. S M A; *ἐν φαίδρα* om. Tr. ‖ 16 *ἐν γυναικὶ δεῖ* S *ἐν γυναικὶ χρῆ* M *σὺν γυναικὶ δεῖ* A: *χρη* (*δεῖ* F. G. Schmidt *Krit. stud.* I p. 269 s.) *γυναῖκ' ἀεὶ* Vitelli *Mél. Graux* p. 99 ‖ 17 ecl. cum lemm. hab. S M A; *ἀλΰπῃ* A ‖ 18 *γένος* Hartung Eur. rest. II p. 179: *γάμον* S M A

φρουροῦντας; αἱ γὰρ εὖ τεθραμμέναι πλέον
σφάλλουσιν οἴκους τῶν παρημελημένων.

18 *Εὐριπίδου Ἀντιόπη* (fr. 209 N.[2]).

Οὐ σωφρονίζειν ἔμαθον, αἰδεῖσθαι δὲ χρή,
γύναι, τὸ λίαν καὶ φυλάσσεσθαι φθόνον.

19 *Εὐριπίδου Ἀνδρομάχης* (177 ss.).

Οὐδὲν γὰρ καλὸν
δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν,
ἀλλ' εἰς μίαν βλέποντες εὐναίαν Κύπριν
στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει.

20 *Φιλήμονος* (fr. 132 K.).

Ἀγαθῆς γυναικός ἐστιν, ὦ Νικοστράτη,
μὴ κρείττον' εἶναι τἀνδρός, ἀλλ' ὑπήκοον.
γυνὴ δὲ νικῶσ' ἄνδρα κακόν ἐστιν μέγα.

21 *Εὐριπίδου Ἀνδρομάχης* (229 ss.).

Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι,
ζήτει παρελθεῖν· τῶν κακῶν γὰρ μητέρων
φεύγειν τρόπους χρὴ τέκνα, † αἷς ἔνεστι νοῦς.

22 *Εὐριπίδου Ἀνδρομάχης* (352 ss.).

Οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορσύνειν κακά.
οὐδ', εἰ γυναῖκές ἐσμεν ἀτηρὸν κακόν,
ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.

---

1 *πεφραγμένοι* (*πεφαργμ-*) quod mihi in mentem venit dudum occuparat M. Seyffert ‖ 3 ecl. cum lemm. hab. MA, om. S ‖ 6 ecl. cum lemm. hab. SMA; *Εὐριπίδου* non iteravit S ‖ 7 *οὐδὲ γὰρ* Eur. ‖ 8 *ἄνδρ' ἕν'* tacite ex Eur. Gesn.[1]: *ἄνδρα γ'* (*γε* A) *ἕνα* SA *ἄνδρά γ'* M *ἄνδρα ἕνα* Tr. ‖ 10 *θέλει* MA, Eur. cod. Haunienfsis 417: *θέλῃ* S *θέλοι* codd. Eur. ‖ 11 ecl. cum lemm. hab. SMA ‖ 13 *κρεῖττον* M ‖ 14 *νεικῶσ'* (*-ῶσ* M) SMA: tacite corr. Gesn.[1] . 403[v] | *ἐστι* M ‖ 15 ecl. cum lemm. hab. SMA; eclogas 21—25 lemmate *εὐρ. ἀνδρ.* comprendit S. *ἀνδρομαχίᾳ* primo A. *μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι, ὑπερβάλῃς* citat Hermogenes (rh. gr. II) p. 366, 17 Sp. cf. Schol. Hermog. VII p. 889 W. Ioannes Sicel. VI p. 125 ‖ 18 *τέκνα χρὴ τρόπους αἷς* A | *τέκνα αἷς* SM *τέκν'* (alii *τέκνα*) *οἷς* Eur. codd.: *τέκν' ὅσοις* corr. cod. Laur. XXXII 2. *παῖδας, οἷς* ego olim ‖ 19 ecl. cum lemm. hab. SM, om. A; lemma dedi ex M, non iteravit S, cf. ad ecl. 21 ‖ 21 *ἀτηρὸν κακὸν* Phryn. Bekk. p. 19, 17

23 *Εὐριπίδου Ἀνδρομάχης* (373 s.).

Τὰ μὲν ἄλλα δεύτερ᾽ ἂν πάσχοι γυνή,
ἀνδρὸς δ᾽ ἁμαρτάνουσ᾽ ἁμαρτάνει βίου.

24 *Εὐριπίδου Ἀνδρομάχης* (672 ss.).

Καὶ μὴν ἴσον γ᾽ ἀνήρ τε καὶ γυνὴ σθένει
ἀδικουμένη πρὸς ἀνδρός· ὡς δ᾽ αὔτως ἀνὴρ
γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
καὶ τῷ μέν ἐστιν ἐν χεροῖν μέγα σθένος,
τῇ δ᾽ ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα.
οὔκουν δίκαιον τοῖς ἐμοῖς ἔμ᾽ ὠφελεῖν;

25 (26 Mein.) *Εὐριπίδου ἐν Πελιάσιν* (fr. 603 N.²).

Αἰνῶ· διδάξαι δ᾽, ὦ τέκνον, σε βούλομαι.
ὅταν μὲν ᾖς παῖς, μὴ πλέω παιδὸς φρονεῖν,
ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν,
ὅταν δ᾽ ὑπ᾽ ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς,

* * *

τὰ δ᾽ ἄλλ᾽ ἀφεῖναι μηχανήματ᾽ ἀνδράσιν.

26 (27 Mein.) *Μενάνδρου* (fr. 654 K.).

Ἢ μὴ γαμεῖν γάρ, ἂν δ᾽ ἅπαξ λάβῃς, φέρειν

1 ecl. hab. S M, om. A; lemma adscriptum in M, non iteratum in S, cf. ad ecl. 21. Georgius Cedrenus vol. I p. 529 ed. Bonn. ‖ 2 *τὰ μὲν γὰρ ἄλλα* tacite ex Eur. Gesn.¹ fortasse recte. sed potest removisse particulam gnomologus ut saepe de metro securus | *δεύτερ᾽ ἂν* Eur., tacite ex Eur. Gesn.¹: *δεύτερα* S M | *πάσχοι* S M, Eur. cod. Haun. 417 et v. l. in cod. Pal. *πάσχει* Tr. *πάσχῃ* Euripidis reliqui. *ἂν πάσχῃ* Musgrave ‖ 3 *ἁμαρτάνουσα* S M ‖ 4 ecl. cum lemm. hab. S M A, de S vide ad ecl. 21 ‖ 5 *ἶσον* A | *σθένει* S M A, Eur. codd. et schol.: *στένει* Dobree *σ.ένει* primitus Eur. cod. Marc. 471 ‖ 6 *δ᾽* om. S | *αὔτως* S *αὕτως* M A sed spir. et acc. non satis clarus in M *αὔτως* primitus Eur. cod. Laur. XXXII 2, *αὕτως* rell. ‖ 10 *οὔκουν* Eur. *οὐκοῦν* (*ουκοῦν* M) vel *οὐκ οὖν* libri Stob. | *ἐπωφελεῖν* Eur. ‖ 11 ecl. cum lemm. hab. S (post ecl. 25 Mein.) M A (post ecl. 24); *ἐν* om. S ‖ 13 *πλέω* S M A *πλέον* Tr. illud in Stobaeo retinui, cf. Croenert Philol. LXI p. 185. *πέρα* ci. Nauck ‖ 14 *παρθένοισι* Tr. ‖ 15 *ὅταν*] *ἔστ᾽ ἂν* *quamdiu* Herwerden mus. Rhen. LVIII p. 146 | post hunc v. aliquid intercidisse vidit Gesn.² mrg. *τἄνδον φυλάσσειν ἐν δόμοις καθημένην* suppl. Headlam ‖ 17 ecl. cum lemm. hab. S M A ‖ 18 *ἢ* om. Tr. *χρὴ μὴ*

μύσαντα πολλὴν προῖκα καὶ γυναῖκα δεῖ.

26ᵃ (27ᵃ Mein.: Eur. fr. 1063 N.[2])

Ἐκπυνθάνεσθαι γάρ σε νῷν χἠμᾶς σέθεν.
τὸ μὲν μέγιστον, οὔποτ' ἄνδρα χρὴ σοφὸν
λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων·
ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς,
ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρωφωμένη
βλέπουσά τ' εἰς πᾶν καὶ παροῦσα πανταχοῦ
τὴν ὄψιν ἐμπλήσασ' ἀπήλλακται κακῶν·
τό τ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον.
ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων

γαμεῖν γάρ, ἂν δ' ἅπαξ γαμῇς prop. Nauck Tr. gr. fr.[2] p. 697, neutrum probo

1 *πολλὴν* (-ῆσ M) *προῖκα* non integra. emicabit comica virtus sic: *φέρειν Μύσαντα πρὸς τῇ προικὶ τὴν γυναῖκα δεῖ.* superscripserit quispiam *καί*, sic elapsus articulus est ‖ 2 qui sequuntur versus sine lemmate vel maiore distinctione cum priore disticho cohaerent in S M A: separavit Meineke praeeunte Piersono ad Moer. p. 275. cf. Meineke Com. IV p. 226. 'nunc constat inter omnes Euripidea haec esse' Cobet N. l. p. 46, cf. Methner de trag. gr. fragm. obs. cr. I p. 7 s. confirmat Choricius pro mimis 7, 4 (*Revue de philol.* I p. 223) *τραγικὴν ἄκουε ῥῆσιν ἐναντία σοι λέγουσαν* '*τὸ μὲν μέγιστον* — (9) *ἀπήλλακται κακῶν*'. *ἀκούεις ἀνδρὸς μισογύνου καὶ σώφρονος οἷα τοὺς γήμαντας νουθετεῖ* ‖ 3 *ἐκπυθανεσθαι* (sine acc.) A *δεῖ πυνθάνεσθαι* scr. Nauck | *γάρ σε νῷν* (vel *σ' ἐμοῦ*) Nauck: *τ' ἀρσένων* S M A | *χἠμᾶς* Iacobs: *δ' ἡμᾶς* libri ‖ 4 *ἄνδρα χρὴ* quod offert Choricius coniecerat Gesn.[2] mrg.: *ἀνδρ' ἢ* S *ἀνδρῆ* M *ἀνδρὶ* A *ἄνδρα ἢ* Tr. ‖ 6 pro *ὄψις* scribi vult *ἥτις* Cobet, *οὖν τις* Nauck. audacius Herwerden *ἐρᾷ γὰρ ὄψεως τῶν θύραθεν ἡδέων* mus. Rhen. LVIII p. 149. post hunc versum Choricius addit *ἐρᾷ δ' ἀκούειν ὧν φυλάττεται κλύων* ‖ 7 *ἐν ἀφθόνοισι* Cobet | *ταῖσδ'* F. G. Schmidt *Krit. st.* III p. 35 | *ἀναστρωφωμένη* Gesn.[1]: *ἀναστροφωμένη* S M sed *οφω* in ras. M[1] *ἀναστρεφομένη* A, Choricius ubi *ἀναστροφ-* e corr. cod. Matrit. ‖ 8 *εἰς ἅπαν καὶ παθοῦσα* Choricii cod. Matr. ‖ 9 *ἐμπλήσασ'* (ut coniecerat Bentley) Choricius: *ἐμπλήσασά τ'* (*η* sine acc. S) fere libri Stob. | post *κακῶν* intercidisse ⟨*τὸ θῆλυ γὰρ πέφυκεν ἐξ ἴσου γένος*⟩ *τό τ' ἄρσεν κτἑ.* putat Headlam *Class. rev.* XV (1901) p. 108 ‖ 10 versum aliunde huc illatum esse iudicat Wecklein *Stud. zu Eur.* p. 356 adn. 1 ‖ 11 *διὰ σφραγισμάτων* M Tr. *διασφραγισμάτων* S *διασφραγίσμασι* A. aberrat Methner l. c. quamquam

σῴζει δάμαρτα, δρᾶν τι δὴ δοκῶν σοφὸν
μάταιός ἐστι καὶ φρονῶν οὐδὲν φρονεῖ·
ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ' ἔχει,
θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χωρίζεται,
λάθοι δ' ἂν Ἄργον τὰς πυκνοφθάλμους κόρας·
καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως,
ἀνήρ τ' ἀχρεῖος καὶ ἡ γυνὴ διοίχεται.

27 (25 Mein.) *Εὐριπίδου Ἀνδρομάχης* (930).

Κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν.

28 *Σοφοκλῆς Ἀκρισίῳ* (fr. 61 N.[2]).

Ἄλλως τε καὶ κόρῃ τε κἀργείᾳ γένος,
αἷς κόσμος ἡ σιγή τε καὶ τὰ παῦρ' ἔπη.

29 *Εὐριπίδου Ἰφιγενείας.*

* * *

---

apte comparat Ar. Thesm. 415 *γυναικωνίτισιν σφραγῖδας ἐπιβάλλουσιν ἤδη καὶ μοχλούς*

1 *σώζειν* (videtur *σώζων* fuisse, corr. A¹) A | *δρᾶν τι* Tyrwhitt: *δ' ἀνδρὶ* SMA | *σοφῶν* A | *δὴ* om. A ‖ **2** Eur. Bacch. 332 *καὶ φρονῶν οὐδὲν φρονεῖς* ‖ **4** *μὲν* del. et *γ'* add. A² ‖ **5** *λάθῃ* A | *ἀργοῦ* SM *ἄργον* A e corr. ‖ **7** *ἀνὴρ* libri: corr. Bentley | *κἡ* S *καὶ ἡ* (articulus transfixus in A) MA ‖ **8** ecl. cum lemm. hab. S (post ecl. 24) MA (post ecl. 27ᵃ Mein.). recurrit versus in ecl. 52 (= Plut. coniug. praec. p. 143 F) et in ecl. 64 quae est Nicostrati. verba *κακῶν γ. εἰσόδους* Plutarchus citat etiam consol. ad ux. p. 610 B. cf. Men. mon. 699. Plinius n. h. XXIX 5 ‖ **10** ecl. cum lemm. hab. MA (post ecl. 25 Mein.), om. S. praecessisse olim versus qui leguntur Stob. IV 25, 24 H. (*Σοφοκλέους Ἀκρισίῳ.*) *ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει* intellexit Meineke, qui dativum *κόρῃ τε κἀργείᾳ* restituit: discidit duo disticha gnomologus, ne praeceptis coniugalibus inmiscerentur quae ad venerationem parentum pertinent ‖ **11** *κόρη τε κἀργεία* (*ει* ex *εῖ* M¹) MA. gnomologus dativum an nominativum voluerit pro re nata dubium ‖ **12** *σεσίγηται* M *σεσίγηται* sed *σε* delevit et *ἡ* corr. A¹ *αι* in *ε* corr. fort. A² *ἡ σιγή τε* tacite de suo Gesn.² ‖ **13** lemma legitur (post ecl. 27ᵃ Mein.) in S (post ecl. 28) in MA, sed versus qui sequuntur sunt Ionis Euripideae. *Ἰφιγενείας* in *Ἴωνος* mutavit Meineke. immo intercidit locus ex Iphigenia nescio utra petitus et lemma *Ἴωνος*. indicavi igitur lacunam et addidi *Εὐριπίδου Ἴωνος*. procedunt lemmata ex litterarum ordine disposita: potest etiam *Εὐρ. Κρεούσης*

29ᵃ ⟨*Εὐριπίδου Ἴωνος* (395—400).⟩

Σίγα πρὸς ἄνδρα, μή τιν' αἰσχύνην λάβω
διακονοῦσα κρυπτά, καὶ προβῇ λόγος
οὐχ ᾗπερ ἡμεῖς αὐτὸν ἐξελίσσομεν.
τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας,
κἂν ταῖς κακαῖσιν ἀγαθαὶ μεμιγμέναι
μισούμεθ'· οὕτω δυστυχεῖς πεφύκαμεν.

30 *Εὐριπίδου Μηδείᾳ* (13 ss.).

Αὐτὴ δὲ πάντα συμφέρουσ' Ἰάσονι·
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.

31 *Εὐριπίδου Φρίξῳ* (fr. 823 N.²).

Δίκαι' ἔλεξε· χρὴ γὰρ εὐναίῳ πόσει
γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί.

32 *Θεανοῦς.*

Θεανὼ ἡ Πυθαγόρειος ἐρωτηθεῖσα πῶς ἔνδοξος ἔσται, ἔφη·

ἱστὸν ἐποιχομένη καὶ ἐμὸν λέχος ἀντιόωσα.

33 *Ὑπερίδου* (fr. 205 Blass³).

Δεῖ τὴν ἐκ τῆς οἰκίας ἐκπορευομένην ἐν τοιαύτῃ καταστάσει εἶναι τῆς ἡλικίας, ὥστε τοὺς ἀποβλέποντας πυνθάνεσθαι μὴ τίνος ἐστὶ γυνή, ἀλλὰ τίνος μήτηρ.

---

3 *καὶ προβῇ* Eur.: *καβολῇ* SM *κἀμ' ὀλῇ* A¹ ‖ 4 *ἡμεῖς αὐτὸν* A, Eur.: *αὐτὸν ἡμεῖς* SM | *ἐξειλίσσομεν* Eur. libri ‖ 6 *ἀγαθαὶ* Eur.: *ἀγαθαὶ* SMA ‖ 8 ecl. cum lemm. hab. SMA ‖ 9 cf. Apollon. lex. Homer. p. 146, 21 Bekk. Eustath. in Il. p. 734, 15 | *αὐτή τε* Eur. | *ξυμφ.* Eur. ‖ 12 ecl. cum lemm. hab. MA, om. S ‖ 14 *κυνῇ* A ‖ 15 ecl. sine lemm. hab. S, addito lemm. MA. ecloga nescio an ex Hermippi libro deprompta sit supra citato Stob. III 5, 43 p. 269, 5 ‖ 16 *θεανὼ ἡ πυθαγόρϊος* (*-ϊος* A¹) *ἐρωτηθεῖσα* MA *θεανὼ ἐρωτηθεῖσα* (*ἐρωτ.* compendiose) *ἡ πυθαγόρειος* S | *ἐρωτηθεῖσα* ⟨*ὑπό τινος*⟩ aut *ἐρ. πῶς* ⟨*τις*⟩ prop. Meineke flor. IV p. LXXIV, et hoc quidem male propter *ἐμὸν λ.*, illud non necessario coll. ecl. 55 | 18 Hom. Il. I 31 | *ἐποιχομένην — ἀντιόωσαν* Hom. ‖ 19 ecl. cum lemm. hab. SMA; ad orationem contra Aristagoram rettulit Westermann. Soloni adscribitur persimile praeceptum gnomol. Vat. 504, ubi alias eiusdem generis collectiones indicavit Sternbach ‖ 20 *τῇ αὐτῇ* A¹, *τοιαύτῃ* corr. A² ‖ 21 *τοὺς* MA Tr., *τὰς* S | *ἀποβλέποντας* scripsi:

34 *Τοῦ αὐτοῦ* (fr. 206 Blass[3]).

Τοὺς μὲν πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς γυναικὶ καλλωπισμοὺς ὅπως βούλοιτο χρὴ γίγνεσθαι· τοὺς μέντοι περὶ τὰς ἐξόδους, οὐκέτι πρὸς τὸν ἄνδρα, ἀλλὰ πρὸς τοὺς ἑτέρους ⟨γιγνομένους⟩ φοβητέον.

35 *Τοῦ αὐτοῦ* (p. 87, 25 Blass[3]).

Οὐκ ἀνδρὸς ἀπειλήν, ἀλλὰ νόμου φωνὴν κυριεύειν δεῖ τῶν ἐλευθέρων.

36 *Ἡροδότου* (I 8).

Ἅμα δὲ χιτῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή.

37 *Ἐπιχάρμου* (fr. 286 Kaibel).

Σώφρονος γυναικὸς ἀρετὰ τὸν συνόντα μὴ ἀδικεῖν [ἄνδρα].

38 *Δημοκρίτου* (fr. 274 Diels[2]).

ἀπολιπόντας libri, nisi quod superscr. *ἀπαντῶντας* A eadem manu quae modo corr. *τοιαύτῃ*

1 ecl. cum lemm. hab. S M A ‖ 4 *οὐκέτι, ⟨τοὺς οὐ⟩* vel *οὐκέτι, ⟨οὐκ ὄντας⟩* ci. Sauppe. neutrum sufficere perspexerunt Nauck *Mél. Gr.-Rom.* III p. 70 et Blass, qui recte retraxerunt huc vocem *φοβητέον*, a qua exordium sumit in codicibus ecloga proxima. atque *τοὺς μέντοι π. τ. ἐξ. οὐκέτι πρὸς τ. ἄ., ἀλλὰ πρὸς ἑτέρους ⟨γιγνομένους⟩ φοβητέον* proposuit Nauck, idque recepit Blass sed servato articulo ante *ἑτέρους* ‖ **5** *ἑταίρους* S, corr. S[1] | *φοβητέον οὐκ κτἑ.* libri: vide quae dixi ad ecl. priorem ‖ **6** ecl. cum lemm. hab. SMA. libidinis eclogariae exemplum insigne, cf. epitaph. p. 87, 25 *ο(ὐ) γὰρ ἀνδρὸς ἀπειλήν, ἀλλὰ νόμου φωνὴν κυριεύειν δεῖ τῶν εὐδαιμόνων, οὐδ' αἰτίαν φοβερὰν εἶναι τοῖς ἐλευθέροις κτἑ.* vide Cobet mnemos. IX p. 96 ‖ **7** *οὐ γὰρ ἀνδρὸς* Hyp., cf. supra p. 577, 2 adn. vel p. 584, 2 adn. | *ἀνδρὸς ἀπειλὴν* temere gnomologus interpretatur maritum uxori minitantem | v. *κυριεύειν δεῖ τῶν ἐλευθέρων* cum prioribus iungenda esse monuerunt Nauck et Blass: quasi novam eclogam constituunt M A[1], om. S. lemma *τοῦ αὐτοῦ* praemisit A, pro lemmate spatii aliquid rubricatori reliquit M ‖ **9** ecl. cum lemm. hab. S M A; legitur ecloga etiam III 32, 15 (*Ἡροδότου ἱστορίας α′*), ubi vide quae collegimus ‖ **10** *κιθῶνι* Her., Stob. III | *ἐκδύεται* Stob. III ‖ **12** ecl. cum lemm. hab. S M A ‖ **13** *μὴ ἀδικεῖν* S M A ‖ **14** *ἄνδρα* ut glossam secl. Valckenaer ‖ **15** ecl. cum lemm. hab. S M A

Κόσμος ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κόσμου λιτότης.

39 *Δημοκρίτου* (fr. 111 Diels²).

Ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἀνδρὶ ἐσχάτη.

40 *Ἱπποκράτους* (epist. ad Dionys. p. 295 H.).

Ἀλλ' ὅμως χρηίζει γυνὴ σωφρονίζοντος· ἔχει γὰρ φύσει καὶ τὸ ἀκόλαστον ἐν ἑαυτῇ, ὅπερ εἰ μὴ καθ' ἡμέρην ἐκκόπτοιτο, ὡς τὰ δένδρεα καθυλομανεῖ.

41 *Εὐσεβίου* (fr. 57 Müll.).

Γάμου ἀρίστη ξυμφωνίη ἀμφοτέρους σωφροσύνην ἀσκέειν.

42 *Θεοφράστου* (fr. CLVII Wimm.).

Οὔτε ὁρᾶν οὔτε ὁρᾶσθαι γυναῖκα καὶ ταῦτα ἐξησκημένην πρὸς κάλλος· ἐπισπᾶται γὰρ ἀμφότερα πρὸς ἃ μὴ δεῖ.

43 *Πλουτάρχου ἐκ τῶν Γαμικῶν παραγγελμάτων* (p. 140 D—E).

Ὁ Πλάτων φησὶν εὐδαίμονα καὶ μακαρίαν εἶναι πόλιν, ἐν ᾗ τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμὸν ἥκιστα φθεγγο-

---

1 *καὶ* om. A ‖ 2 *λιτότητοσ* M ‖ 3 ecl. cum. lemm. hab. S M A; *τ̆ αυ*ᵗ S. recurrit corp. Par. 204 Elt. (*Δημοκρίτου γνῶμαι*). cf. Democrat. 78, de quo vide Diels *Vorsokr.*² II 1 p. 722, et append. Vat. 45 Sternb.; gnomol. Byz. 268 W. (= Bar. 252) ubi vide quae adnotavit Wachsmuth; flor. Schenk. (*Wien. stud.* XI p. 36) 131 ‖ 4 *ἀνδρὶ* S M A *ἂν εἴη* (om. *ἀνδρὶ*) corp. Par. *καὶ ἀνανδρίη* (-*δρία* nonnulli ut etiam Bar.), omitto interpolationes maiores. fuerit igitur in archetypo *ἀνδρὶ* (superscr. *ἂν εἴη*). hoc si sumas, discrepantiae quo modo ortae sint apparet. complura igitur, genuinum si sit *ἂν εἴη*, possunt cogitari: *ἂν ἀνδρὶ εἴη* quod scr. Diels, sed etiam *ἂν εἴη ἀνδρὶ* vel *ἀνδρὶ ἂν εἴη* ‖ 5 ecl. cum lemm. hab. S M A ‖ 6 *ὅμως αἰεὶ χρηίζει* Hipp. | *χρήζει* libri | *γυνὴ σωφρονίζοντα* A¹ *γυνὴ τοῦ σωφρονίζοντος* Hipp. an gnomologus *γυνὴ ⟨τοῦ αἰεὶ⟩ σωφρονίζοντος*? ‖ 7 *ἑωυτῇ* Hercher et Meineke | *καθημένην* M ‖ 8 *ἐκκόπτοιτο* Hipp.: *ἐπικόπτοιτο* S M A | *ὥσπερ* Hipp. | *δένδρα* Tr. | *καθυλομανέει* Hercher ‖ 9 ecl. cum lemm. hab. S M A ‖ 12 ecl. cum lemm. hab. S M A. cf. Plut. mor. p. 484 B p. 767 D ‖ 13 *ἐξησκημμένην* S ‖ 14 *ἐπισπᾶται* Valckenaer: *ἐπίσταται* S M A | *ἃ μὴ* S A *τὰ μη* M ‖ 15 ecl. cum lemm. hab. S M A ‖ 17 *ὁ Πλ.*] Reip. p. 462 C ‖ 18 *καὶ τὸ* S A *καὶ σὸν* M *καὶ* (om. *τὸ*) libri Plut.

μένων ἀκούουσι διὰ τὸ κοινοῖς ὡς ἔνι μάλιστα χρῆσθαι τοῖς ἀξίοις σπουδῆς τοὺς πολίτας. πολὺ δὲ μᾶλλον ἐν γάμῳ δεῖ τὴν τοιαύτην φωνὴν ἀνῃρῆσθαι.

44 *Ἐν ταὐτῷ* (p. 140 F).

Αὕτη τοίνυν καὶ χρημάτων κοινωνία προσήκει μάλιστα τοῖς γαμοῦσιν εἰς μίαν οὐσίαν ⟨πάντα⟩ καταχεαμένους καὶ ἀναμίξαντας μὴ τὸ μέρος ἴδιον καὶ τὸ μέρος ἀλλότριον, ἀλλὰ πᾶν ἴδιον ἡγεῖσθαι καὶ μηδὲν ἀλλότριον. ὥσπερ τὸ κρᾶμα καίτοι ὕδατος μετέχον πλείονος οἶνον καλοῦμεν, οὕτω τὴν οὐσίαν δεῖ ⟨καὶ⟩ τὸν οἶκον τοῦ ἀνδρὸς λέγεσθαι, κἂν ἡ γυνὴ πλείονα συμβάλληται.

45 *Ἐν ταὐτῷ* (p. 141 A).

Ὁ Ῥωμαῖος ὑπὸ τῶν φίλων νουθετούμενος, ὅτι σώφρονα ⟨γυναῖκα⟩ καὶ πλουσίαν καὶ ὡραίαν ἀπεπέμψατο, τὸ καλίγιον αὐτοῖς προτείνας ʽκαὶ γὰρ τοῦτοʼ ἔφη ʽκαλὸν ἰδεῖν καὶ καινόν, ἀλλʼ οὐδεὶς οἶδεν ὅπου με θλίβειʼ. δεῖ τοίνυν μὴ προικὶ μηδὲν μηδὲ κάλλει τὴν γυναῖκα πιστεύειν, ἀλλʼ ἐν οἷς ἅπτεται μάλιστα τοῦ ἀνδρός, ὁμιλίᾳ καὶ ἤθει καὶ συμπεριφορᾷ, ταῦτα μὴ σκληρὰ μηδὲ ἀνιῶντα καθʼ ἡμέραν ἀλλʼ εὐάρμοστα καὶ ἄλυπα καὶ προσφιλῆ παρέχειν.

---

1 *κοινῆς* compend. A ‖ **2** *ἐν γάμω* (vel *-ῳ*) SMA: *ἐκ γάμου* recte Plut. ‖ **3** *ἀνειρῆσθαι* A ‖ **4** ecl. cum lemm. hab. SMA | *τοιαύτη* Stegmann ‖ **6** *πάντα* addidi ex Plut. | *καταχεαμένους* (*καταχεομ-* A) SMA: *καχεαμένοις* Plut. ‖ **7** *ἀναμίξασι* Plut. ‖ **8** *καὶ μηδὲν ἀλλ.* om. S ‖ **9** *ὥσπερ ⟨γὰρ⟩ τὸ* in Plut. Hercher | *καίτοι* Plut.: *καὶ τοῦ* SM $\text{καί}^{\text{τοι}}$ *τοῦ* A *οι* m. sec. ‖ **10** *οὕτως* MA | *καὶ* tacite e Plut. addidit Gesn.[1] | *τῶν οἴκων* A[1] ‖ **11** *πλείονα* Plut.: *πλεῖον ὂν* SM $\text{πλεῖ}^{\text{ω}}\text{ον}$ *ὂν* (*ω* superscr. A[2] ut videtur) A *πλέον ὂν* Tr. ‖ **12** ecl. cum lemm. hab. SMA. cf. Plut. Aemilius Paulus c. 5 Hieronymus Adv. Iovin. I p. 38 A ‖ **13** *νομοθετούμενοσ* M | *ὅτι*] *οὔτι* M ‖ **14** *γυναῖκα* e Plut. add. Gesn.[1] ‖ **15** *τὸ καλλίγιον* SM *τὸ καλλήγιον* A[1]: *τὸν κάλτιον* (*κάλπιον* vel *κάλκιον* libri) Plut. cf. *caliga* et neogr. *καλίγι*. dedi igitur *καλ-*, etiam propter *καλόν* (17). vid. B. A. Sophokles *Greek lex.* p. 621 | *αὐτοῖς*] *αὐτοῦ* M | *καὶ γὰρ οὗτος ἔφη καλὸς ἰδεῖν καὶ καινός* Plut. | *ἔφη* om. A ‖ **16** *κοινὸν* SMA: corr. Gesn.[1], inde opinor A[2] ‖ **17** *μηδὲν* SMA[1] *μηδένα* A[2] *μηδὲ γένει* tacite e Plut. Gesn.[1] ‖ **19** *ὁμιλίᾳ τε καὶ* Plut. ‖ **20** *ἀνιόντα* Tr.

46 *Ἐν ταὐτῷ* (p. 141 B).

Ὥσπερ οἱ ἰατροὶ τοὺς ἐξ αἰτιῶν ἀδήλων καὶ κατὰ μικρὸν συλλεγομένων γεννωμένους πυρετοὺς μᾶλλον δεδοίκασιν ἢ τοὺς ἐμφανεῖς καὶ μεγάλας προφάσεις ἔχοντας, οὕτω τὰ λανθάνοντα τοὺς πολλοὺς μικρὰ καὶ συνεχῆ καὶ καθημερινὰ προσκρούσματα γυναικὸς καὶ ἀνδρὸς μᾶλλον διίστησι καὶ λυμαίνεται τὴν συμβίωσιν.

47 *Ἐν ταὐτῷ* (p. 141 C).

Ἀμήχανον οὖν τι πρᾶγμα γίνεται γαμετὴ γυνὴ καὶ νόμιμος, ἂν ἐν ἑαυτῇ πάντα θεμένη, καὶ προῖκα καὶ γένος καὶ φάρμακον καὶ τὸν κεστὸν αὐτόν, ἤθει καὶ ἀρετῇ κατεργάσηται τὴν εὔνοιαν.

48 *Ἐν ταὐτῷ* (p. 141 E).

Κόσμος ἐστίν, ὡς ἔλεγε Κράτης, τὸ κοσμοῦν· κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν. ποιεῖ δὲ τοιαύτην οὔτε χρυσὸς οὔτε σμάραγδος οὔτε κόκκος, ἀλλ' ὅσα σεμνότητος εὐταξίας αἰδοῦς ἔμφασιν περιτίθησι.

49 *Ἐν ταὐτῷ* (p. 142 B).

Καθάπερ ὁ Φωκίων, τοῦ Ἀντιπάτρου πρᾶξιν αὐτῷ προστάττοντος οὐκ οὖσαν δὲ πρέπουσαν, εἶπεν 'οὐ δύνασαί μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι', οὕτω λογίζεσθαι περὶ τῆς σώφρονος καὶ αὐστηρᾶς γυναικός 'οὐ δύναμαι καὶ ὡς γαμετῇ καὶ ὡς ἑταίρᾳ συνεῖναι'.

---

1 ecl. cum lemm. hab. S M A ‖ 2 *ὥσπερ γὰρ ἰατροὶ* Plut. ‖ 3 *γεννωμένους* Plut.: *γενομένους* S M *γεγενημένους* A sed *ο* supra *μ* A[1] ‖ 6 *προσκρούσματα* S M *νοσήματα* A *προσκρούματα* Plut. ‖ 7 *ἐμβίωσιν* A[1] ‖ 8 ecl. cum lemm. hab. S M A | 9 *ἄμαχον* Plut. | *τι γίγνεται πρᾶγμα* Plut. ‖ 10 *αὐτῇ* Plut. | *θεμένους* A ‖ 11 *φάρμακα* Plut. | *ἤθει καὶ* M A, Plut.: *ἤθει καὶ* sed *καὶ* ex *τε* corr. S[1] ut cum Meklero fort. dubites an *ἤθει τε καὶ* scribendum sit ‖ 13 ecl. cum lemm. hab. S M A. cf. Poet. philos. p. 214, 14 Diels ‖ 14 *κόσμος γάρ ἐστιν* Plut. vide quae adnotavi ad 2 ‖ 15 *ποιεῖσ δὲ* M ‖ 16 *σεμνότητα* compend. A ‖ 18 ecl. cum lemm. hab. S M A. cf. Plut. mor. p. 64 C p. 188 F Phoc. c. 30 Agis c. 2 ‖ 20 *προστάττοντος οὐ καλὴν οὐδὲ πρέπουσαν* Plut.; num Stob. *οὐκ οὖσαν ⟨καλὴν οὐ⟩δὲ πρέπουσαν*? ‖ 21 *καὶ φίλῳ χρῆσθαι καὶ κόλακι* Plut. | *οὕτωσ* M ‖ 22 *περὶ*] *παρὰ* Tr. | *οὐ δύναμαι τῇ αὐτῇ καὶ ὡς* Plut. ‖ 23 *ὡς* (ante *ἑταίρα*) om. S

49ᵃ *Ἐν ταὐτῷ* (p. 142 C).

Ἡ Θεανὼ παρέφηνε τὴν χεῖρα περιβαλλομένη τὸ ἱμάτιον· εἰπόντος δέ τινος ʿκαλὸς ὁ πῆχυς,ʾ ʿἀλλʾ οὐ δημόσιοςʾ ἔφη. δεῖ δὲ μὴ μόνον ⟨τὸν⟩ πῆχυν ἀλλὰ μηδὲ τὸν λόγον δημόσιον εἶναι τῆς σώφρονος, καὶ τὴν φωνὴν ὡς ἀπογύμνωσιν αἰδεῖσθαι καὶ φυλάττεσθαι πρὸς τοὺς ἐκτός. ὁρᾶται γὰρ ἐν αὐτῇ καὶ πάθος καὶ ἦθος καὶ διάθεσις τῆς λαλούσης.

49ᵇ *Ἐν ταὐτῷ* (p. 142 D).

Τὴν δὲ Ἠλείων ὁ Φειδίας Ἀφροδίτην ἐποίησε χελώνην πατοῦσαν, οἰκουρίας σύμβολον ταῖς γυναιξὶ καὶ σιωπῆς. δεῖ γὰρ ἢ πρὸς τὸν ἄνδρα λαλεῖν ἢ διὰ τοῦ ἀνδρός, μὴ δυσχεραίνουσαν εἰ δι' ἀλλοτρίας γλώττης ὥσπερ αὐλητὴς φθέγγεται.

50 *Ἐν ταὐτῷ* (p. 143 A).

Καὶ γὰρ ὁ Ῥωμαῖος νομοθέτης ἐκώλυσε δῶρα διδόναι καὶ λαμβάνειν παρ' ἀλλήλων τοὺς γεγαμηκότας, οὐχ ἵνα μηδενὸς μεταλαμβάνωσιν, ἀλλ' ἵνα πάντα κοινὰ νομίζωσιν.

51 *Ἐν ταὐτῷ* (p. 143 C).

Τοῖς περὶ τὸν Κῦρον Ἕλλησι παρήγγειλαν οἱ στρατηγοὶ τοὺς πολεμίους, ἐὰν μὲν βοῶντες ἐπίωσι, δέχεσθαι

---

1 ecl. habent lemmate addito SMA. semel posuit lemma ante ecl. 43 Tr. cf. Clem. Al. strom. IV 19 p. 301, 23 Stähl. (Theodoret. XII p. 317, 17 Raed.). idem responsum Atticae mulieri tribuitur in apophth. Vindob. ed. Wachsm. n. 166, simile ad Theano refertur ibid. 178 ‖ 2 *παρέφηνε* ex *παρέτεινε* corr. S¹ ‖ 3 *εἰπόντος δέ τινος* (sic SMA) reponunt in Plut., ubi libri *τινὸς δ' εἰπόντος* | *οὐ* A, Plut.: *οὐχ ὁ* (unde *οὐχὶ* prop. Mekler) SM. *οὐ* etiam Clem., Theod., apophth. Vind. n. 166 et 178 ‖ 4 *τὸν* tacite e Plut. add. Gesn.¹ ‖ 5 post *σώφρονος* in Plut. lacunam signavit Hercher ‖ 7 s. *ἐνορᾶται γὰρ αὐτῇ* Plut. | *τῆς* om. Plut. ‖ 9 ecl. hab. lemmate non iterato S, addito lemm. MA. cf. Plut. mor. p. 381 E ‖ 10 *τὴν δὲ* SMA *τὴν μὲν* Tr.: *τὴν* Plut. ‖ 11 *σύμβολον* S, Plut. *σύμβουλον* A¹ *σύμβο.λον* una litt. (*υ* igitur) rasa M ‖ 13 *ἀλλοτρίας* MA, Plut. *αὐλητρίας* S ‖ 14 *φθέγγεται σεμνότερον* Plut. ‖ 15 ecl. cum lemm. hab. SMA. cf. Plut. mor. p. 265 E ‖ 16 *ἐκώλυσεν* M ‖ 20 ecl. cum lemm. hab. SMA | 21 *παρὰ τὸν* Tr. | *οἱ στρατιῶται* Tr. ‖ 22 *ἐπιῶσι* SMA¹

μετὰ σιωπῆς, ἐὰν δ' ἐκεῖνοι σιωπῶσιν, αὐτοὺς μέγα βοήσαντας ἐξελαύνειν. αἱ δὲ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν κεκραγότων μὲν ἡσυχάζουσι, σιωπῶντας δὲ προσλαλοῦσαι καὶ παραμυθούμεναι πραΰνουσιν.

52 *Ἐν ταὐτῷ* (p. 143 F).

Ἡ Ἑρμιόνη δοκεῖ τι λέγειν ἀληθὲς λέγουσα
κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν.

τοῦτο δὲ οὐχ ἁπλῶς γιγνόμενόν ἐστιν, ἀλλ' ὅταν αἱ πρὸς τοὺς ἄνδρας διαφοραὶ καὶ ζηλοτυπίαι ταῖς τοιαύταις γυναιξὶ μὴ τὰς θύρας μόνον ἀλλὰ καὶ τὰς ἀκοὰς οἴγωσι. τότε οὖν δεῖ μάλιστα τὴν νοῦν ἔχουσαν ἀποκλείειν τὰ ὦτα καὶ φυλάττεσθαι τὸν ψιθυρισμόν, ἵνα μὴ πῦρ ἐπὶ πῦρ γένηται, καὶ πρόχειρον ἔχειν τὸ τοῦ Φιλίππου. λέγεται γὰρ ἐκεῖνος ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τοὺς Ἕλληνας ὡς εὖ πάσχοντας καὶ κακῶς αὐτὸν λέγοντας εἰπεῖν 'τί οὖν, ἂν καὶ κακῶς ποιῶμεν αὐτούς;' ὅταν οὖν ⟨αἱ⟩ διαβάλλουσαι λέγωσιν ὅτι 'λυπεῖ σε φιλοῦσαν ὁ ἀνὴρ καὶ σωφρονοῦσαν', 'τί οὖν, ἂν καὶ μισεῖν αὐτὸν ἄρξωμαι καὶ ἀδικεῖν;'

53 *Θεανοῦς.*

Θεανὼ ἡ Πυθαγορικὴ φιλόσοφος ἐρωτηθεῖσα ποσταία

---

1 *μέγα βοήσαντας ἐξελαύνειν* (*ἐπελ-* A[2]) SMA: *μετὰ βοῆς ἀντεξελαύνειν* Plut. concinnius (cf. *μετὰ σιωπῆς*), et apparet quam facile hoc in illud abire potuerit ‖ **2** *νοῦν*] *νῦν* A ‖ **4** *καὶ* om. A[1] | *παραμυθούμεναι πραΰνουσιν* SM: *παραμυθοῦσιν* A[1] | *καταπραΰνουσιν* Plut. ‖ **5** ecl. cum lemm. hab. SMA ‖ **7** Eur. Andr. 930. legitur ecloga supra 27 | 25 *εἴσοδό* (sic) M ‖ **8** *γιγνόμενον* M, Plut.: *γινόμενον* S *γενόμενον* A ‖ **10** *μόνον* SM, Plut. *μὲν* A | *ἀνοίγωσι* Plut. ‖ **12** *ἐπὶ πυρὶ* A ‖ **15** *ὡς* tacite e Plut. Gesn.[1]: *καὶ* SMA ‖ **16** *ἂν κακῶς* (deleto *καὶ*) scr. Hercher | *ποιοῦμεν* M ‖ **17** *αἱ* addidi e Plut. | *λέγουσιν* M ‖ **18** post *τί οὖν* excidisse *φήσει* videtur Herchero, '*τί οὖν*', ⟨*ἂν φαίης,*⟩ *ἂν* scr. Bernardakis | *καὶ μισεῖν* SA, Plut.: *και νοσεῖν* M ‖ **20** ecl. sine lemm. hab. S, addito lemm. MA. recurrit Diog. Laert. VIII 43 gnomol. Par. 77 Sternb. minus prope absunt a Stobaeo Theo prog. 5 p. 98, 3 Sp. apophth. Vind. 176 Wachsm. ‖ **21** *ἡ Πυθαγορικὴ φιλόσοφος* addidi ex MA, gnom. Par., Theone: om. S | *ποσταῖα* A | *ἐρωτηθεῖσα ὑπό τινος, ποσταία γυνὴ ἀπ' ἀνδρὸς καθαρὰ*

γυνὴ ἀπ᾽ ἀνδρὸς καθαρεύει, ʽἀπὸ μὲν τοῦ ἰδίου᾽ εἶπε ʽπαραχρῆμα, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδέποτε᾽.

54 *Τῆς Φίλωνος γυναικός.*

Ἡ Φίλωνος γυνὴ ἐρωτηθεῖσα ὑπό τινος ἐν συνόδῳ πλειόνων γυναικῶν διὰ τί μόνη τῶν ἄλλων οὐ φορεῖ χρυσοῦν κόσμον, ἔφη, ὅτι αὐτάρκης κόσμος ἐστὶ γυναικὶ ἡ τοῦ ἀνδρὸς ἀρετή.

55 *Θεανοῦς.*

Θεανὼ ἐρωτηθεῖσα τί πρέπον εἴη γυναικί, ʽτὸ τῷ ἰδίῳ᾽ ἔφη ʽἀρέσκειν ἀνδρί᾽.

56 *Δημάδου.*

Δημάδης εἶπε τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι.

57 *Ἰαμβλίχου ἐκ τῆς ἐπιστολῆς Περὶ γάμου χρήσεως.*

Οὐκοῦν καὶ περὶ τοῦ ἄρχειν μὲν τὸν ἄρρενα ἄρχεσθαι δὲ τὴν θήλειαν ὁμογνωμονήσουσι. τὸ δὲ σχῆμα τῆς ἀρχῆς ἔσται οὐχ οἷον τὸ δεσποτικόν, θεραπεῦον τὸ τοῦ κρείττονος συμφέρον· οὐδ᾽ οἷον τὸ τῶν τεχνῶν, μόνου

εἰς τὸ θεσμοφορεῖον κάτεισιν, εἶπεν Theo, *ἐρωτηθεῖσα, ποσταία ἡ* (*ἡ* superscr. cod. Vind.) *ἀπ᾽ ἀνδρὸς καθαρεύει καὶ εἰς ἱερὸν ἰέναι δεῖ αὐτήν, ἔφη* apophth. Vind.

2 *παραχρῆμα*] *αὐθημερόν* apophth. Vind. | *οὐδέποτε* supra lin. A[1] ‖ 3 ecl. sine lemm. hab. S, addito lemmate M A. recurrit corp. Par. 547 Elt. (*τῆς Φίλωνος γυναικός*). cf. etiam apophth. Vindob. ed. Wachsm. 181 et Stob. III 5, 37 p. 267, 3 cum adn. *Φωκίωνος* legi voluerunt Cobet mnemos. IX p. 137 Bernays *Phok.* p. 125 s. ‖ 4 *φίλωνος* S M A *Φωκίωνος* cod. Par. 1985 teste Gaisfordo. et sic in A man. rec. in marg. lemma *φωκίωνος γυνή* | *ὑπό τινος ἐν συνόδῳ πλειόνων γυναικῶν* dedi ex M A, corp. Par., om. S ‖ 5 *μόνη τῶν ἄλλων* M A, corp. Par.: *μόνη τῶν ἄλλων ἐν συνόδῳ* S ‖ 6 *ἔφη* S M *εἶπεν* A, om. corp. Par. | *ἐστὶ γυναικὶ* M A, corp. Par.: *μοι ἐστὶν* S | 8 ecl. sine lemm. hab. S, addito lemm. M A ‖ 9 post *Θεανὼ* quod in ecl. 53 inserere debuit Gesn.[2] *ἡ Πυθαγορικὴ φιλόσοφος*, id aberrans hic inseruit ubi deest in libris ‖ 10 *τὸ τῷ ἰδίῳ ἔφη* S *ἔφη τὸ τῷ ἰδίῳ* M *ἔφη τὸ τῷ* ni fallor A | *ἀρέσκειν ἀνδρί* S M *ἀνδρὶ ἀρέσκειν αὐτῆς* A ‖ 11 ecl. sine lemm. hab. S, addito lemm. M A. *δημάδου* M A, fallitur Gaisford ‖ 12 *δημάδης* M A *Δημάδην* S ‖ 13 ecl. cum lemm. hab. S M A; *ἰαμβλι*χ non plura S ‖ 14 *περὶ τοῦ* S M A *παρὰ τὸ* Tr. *περὶ τὸ* Gesn.[2]

τοῦ ἧττονος ἐπιμελούμενον· ἀλλ' οἷον τὸ πολιτικόν, κηδόμενον ἐξ ἴσου τοῦ κοινῇ συμφέροντος.

58 *Σωκράτους.*

Τοὺς μὲν ἄνδρας τοῖς τῆς πόλεως νόμοις δεῖ πείθεσθαι, τὰς δὲ γυναῖκας τοῖς τῶν συνοικούντων ἀνδρῶν ἤθεσι.

59 *Δίωνος ἐκ τοῦ Οἰκονομικοῦ* (fr. VI v. II p. 310 Arn.).

Εὐσέβεια δὲ γυναικεία ὁ πρὸς τὸν ἄνδρα ἔρως.

60 *Ἐν ταὐτῷ* (ibid. fr. VII).

Γέλως δὲ συνεχὴς καὶ μέγας θυμοῦ κακίων· διὰ τοῦτο μάλιστα ἑταίραις ἀκμάζων καὶ παίδων τοῖς ἀφρονεστέροις. ἐγὼ δὲ κοσμεῖσθαι πρόσωπον ὑπὸ δακρύων ἡγοῦμαι μᾶλλον ἢ ὑπὸ γέλωτος. δάκρυσι μὲν γὰρ ὡς ἐπὶ τὸ πλεῖστον σύνεστι καὶ πάθημά που χρηστόν, γέλωτι δὲ ἀκολασία. καὶ κλαίων μὲν οὐδεὶς προυτρέψατο ὑβριστήν, γελῶν δὲ ηὔξησεν αὐτοῦ τὰς ἐλπίδας.

61 *Φιντύος τᾶς Καλλικράτεος θυγατρὸς Πυθαγορείας ἐκ τοῦ Περὶ γυναικὸς σωφροσύνας.*

Τὸ μὲν ὅλον ἀγαθὰν δεῖ ἦμεν καὶ κοσμίαν· ἄνευ δ' ἀρετᾶς οὐδέποκα γένοιτό τις τοιαύτα. ἑκάστα γὰρ ἀρετὰ περὶ ἕκαστον γινομένα τὸ αὐτᾶς δεκτικὸν ἀποδίδωτι σπουδαῖον· ἁ μὲν τῶν ὀπτίλων τὼς ὀπτίλως, ἁ δὲ τᾶς ἀκοᾶς τὰν ἀκοάν, καὶ ἁ μὲν ἵππω τὸν ἵππον, ἁ δ' ἀνδρὸς τὸν

---

2 *κοινῇ* A: *κοινοῦ* SM ‖ 3 ecl. cum lemm. hab. SMA. recurrit gnom. homoeom. 160 Elt. ubi *τοὺς μὲν τῆς πόλεως ἄνδρας νόμοις* (om. *δεῖ*) *πείθεσθαι* testes non nulli, inter quos etiam append. Vat. 354 Sternb. ‖ 7 ecl. cum lemm. hab. SMA. hanc et proximam eclogam inter Dionis Prusaei fragmenta recepit L. Dindorf v. II p. 313 ‖ 8 *δὲ* om. S ‖ 9 ecl. cum priore sine lemmate cohaerentem hab. S, addito lemmate tamquam sui iuris eclogam MA ‖ 14 *μάθημα* SMA: corr. Halm lect. Stob. p. 28 ‖ 15 *κλέων* Tr. ‖ 16 *αὐτοῦ* Tr. et (si merito silet Mekler) A: *αὐτῶν* SM ‖ 17 ecl. cum lemm. hab. SMA; *καλικρ-* M, dein *πυθαγορίας* SMA. *σωφροσύνης* Tr. ‖ 19 *δ'* Meineke: *γὰρ* libri ‖ 20 *οὐδέποκ' ἂν* ci. Meineke | *τοιαύτα* S *τοιαῦτα* M *τοιαύτη* A | *ἑκάστα* MA *ἑκάστη* S ‖ 21 *γινομένα* A *γενόμενα* M *γενομένη* S | *τὸ αὐτᾶς* SA *τοιαύτασ* M | *ἀποδίδωτι* M *ἀποδιδῶτι* A *ἀποδίδωσι* S ‖ 22 *τῶν ὀπτιλῶν τὼς ὀπτιλὼς* fere libri ‖ 23 *ἄνδρα τὸν ἄνδρα* A

ἄνδρα· οὕτω δὲ καὶ ⟨ἁ⟩ γυναικὸς τὰν γυναῖκα. γυναικὸς δὲ μάλιστα ἀρετὰ σωφροσύνα· διὰ γὰρ ταύτας τὸν ἴδιον ἄνδρα καὶ τιμῆν καὶ ἀγαπῆν δυνασεῖται. πολλοὶ μὲν ἴσως δοξάζοντι, ὅτι οὐκ εὐάρμοστον γυναικὶ φιλοσοφέν, ὥσπερ οὐδ' ἱππεύεν οὐδὲ δαμαγορέν· ἐγὼ δὲ τὰ μέν τινα νομίζω ἀνδρὸς ἦμεν ἴδια, τὰ δὲ γυναικός, τὰ δὲ κοινὰ ἀνδρὸς καὶ γυναικός, τὰ δὲ μᾶλλον ἀνδρὸς ἢ γυναικός, τὰ δὲ μᾶλλον γυναικὸς ἢ ἀνδρός. ἴδια μὲν ἀνδρὸς τὸ στραταγὲν καὶ πολιτεύεσθαι καὶ δαμαγορέν, ἴδια δὲ γυναικὸς τὸ οἰκουρὲν καὶ ἔνδον μένεν καὶ ἐκδέχεσθαι καὶ θεραπεύεν τὸν ἄνδρα. κοινὰ δὲ φαμὶ ἀνδρείαν καὶ δικαιοσύναν καὶ φρόνασιν· καὶ γὰρ τὰς τῶ σώματος ἀρετὰς ἔχεν πρέπον καὶ ἀνδρὶ καὶ γυναικὶ καὶ τᾶς ψυχᾶς ὁμοίως· καὶ ὡς ὑγιαίνεν τῷ σώματι ἀμφοτέροις ὠφέλιμον, οὕτως ὑγιαίνεν τᾷ ψυχᾷ· σώματος δὲ ἦμεν ἀρετὰς ὑγείαν ἰσχὺν εὐαισθησίαν κάλλος. τὰ δὲ μᾶλλον ἀνδρὶ καὶ ἀσκὲν καὶ ἔχεν οἰκῆόν ἐντι, τὰ δὲ μᾶλλον γυναικί. ἀνδρότατα μὲν γὰρ καὶ φρόνασιν μᾶλλον ἀνδρὶ καὶ διὰ τὰν ἕξιν τῶ σώματος καὶ διὰ τὰν δύναμιν τᾶς ψυχᾶς,

---

1 *δὲ* om. A | *ἁ* addidit Meineke ‖ 3 *τιμῆν* (-*ὴν* M) *καὶ ἀγαπῆν* (*ἀγάπην* M) M A *τιμᾶν καὶ ἀγαπᾶν* S | *δυναθεῖται* A ‖ 4 *φιλοσοφεῖν* libri: corr. Orelli ‖ 5 *δαμαγορε͂ν* (sic saepius) S -*εν͂ν* A ‖ 6 *ἦμεν* om. A ‖ 7 *ἀνδρὸς καὶ γυναικὸς* om. A ‖ 9 *στραταγὲν* (vel -*ε͂ν*) S *στρατηγε͂ν* (-*ηγέν* A) M A | *τὸ πολιτεύεσθαι* (*καὶ* ante *τὸ* om.) S | *δαμαγορεῖν* M ‖ 10 *οἰκουρε͂ν* S *οἰκουρεῖν* M A | *καὶ ἔνδον* S M *οἴκοι* A | *μένεν* A: *μένηιν* S *μένειν* M Tr. ‖ 11 *θεραπεύεν* M A *θεραπεύειν* S | *ἀνδρίαν* sed *ἀνδρείαν* corr. m. antiqua A ‖ 12 *τῶ* (quod scripserat Orelli Op. sent. II p. 356) S M A: *τοῦ* Tr. ‖ 13 *ἔχεν πρέπον* S M: *πρέπον ἔχειν* A; *πρέπον ἔχεν* Gaisford ‖ 15 *ὑγιαίνειν* (-*εν* Tr.) S | *σώματος δὲ ἦμεν ἀρετάς*] videtur *νομίζω* vel *φαμί* sim. excidisse Orellio ‖ 16 *ὑγίειαν* tacite Meineke | *ὑγείαν* libri sed *γεί* in ras. M | *ἀνδρὶ καὶ* om. Tr. ‖ 17 *ἔχειν* S | *οἰκῆόν ἐντι* scripsi (cf. p. 592, 12): *οἰκεῖόν ἐντι* M *οἰκεῖον ἔντι* ut videtur S A *οἰκεῖον ἔν τι* Tr. ‖ 19 *τῶ* Tr.: *τοῦ* S M A | post *ψυχᾶς* distinctio maior, dein nova quasi ecloga cui praefigitur *ἐν ταυτῷ* in S M A. secutus sum Tr. ubi etsi fortiter distinguitur post *ψυχᾶς* tamen pergitur in eadem ecloga. nescio autem an vera gnomologii imago repraesentetur in S M A, certe minime inaudita eius modi oscitantia eclogariorum

σωφροσύναν δὲ γυναικί. διὸ δεῖ περὶ σωφροσύνας παιδευομέναν γνωρίζεν, ἐκ πόσων τινῶν καὶ ποίων τοῦτο τἀγαθὸν τᾷ γυναικὶ περιγίνεται. φαμὶ δὴ ἐκ πέντε τούτων· πρᾶτον μὲν ἐκ τᾶς περὶ τὰν εὐνὰν ὁσιότατός τε καὶ εὐσεβείας· δεύτερον δὲ ἐκ τῶ κόσμω τῶ περὶ τὸ σῶμα· τρίτον ⟨δ'⟩ ἐκ τᾶν ἐξόδων τᾶν ἐκ τᾶς ἰδίας οἰκίας· τέταρτον δ' ἐκ τῶ μὴ χρέεσθαι τοῖς ὀργιασμοῖς καὶ ματρῳασμοῖς· πέμπτον δ' ἐν τᾷ θυσίᾳ τᾷ πρὸς τὸ θεῖον εὐλαβέα ἦμεν καὶ μετρίαν. τούτων δὲ μέγιστον αἴτιον καὶ συνεκτικώτατον τᾶς σωφροσύνας το περὶ τὰν εὐνὰν ἦμεν ἀδιάφθορον καὶ ἄμικτον θυραίω ἀνδρός. πρᾶτον μὲν γὰρ εἰς τοῦτο παρανομοῦσα ἀδικεῖ γενεθλίως θεώς, οἴκῳ καὶ συγγενείᾳ οὐ γνασίως ἐπικούρως ἀλλὰ νόθως παρεχομένα· ἀδικεῖ δὲ τὼς φύσει θεώς, ὥσπερ ἐπομόσασα μετὰ τῶν αὑτᾶς πατέρων τε καὶ συγγενῶν ... συνελεύσεσθαι ἐπὶ κοινωνίᾳ βίω καὶ τέκνων γενέσει τᾷ κατὰ νόμον· ἀδικεῖ δὲ καὶ τὰν αὑτᾶς πατρίδα, μὴ ἐμμένουσα τοῖς ἐνδιατεταγ-

---

1 *δεῖ* M A: *δὴ* S *δῇ* Tr. | *παιδευομέναν* Tr.: *-ομένα* S M *-ομένᾳ* A ‖ 2 *ἐκ πόσων* A: *ἐπόσων* S M *ἐπ' ὅσων* Tr. vix voluit *ἐπόσων* ut in titulis nonnumquam *ἐΦιάλας* sim., cf. Collitz *Gr. dialektinschr.* II p. 54 | *ποίων τοῦτο* S M sed *ποίων τοῦτο* in ras. M[2] *ποῖον τοῦτο* dederat M[1] *ποῖον τοῦτ'* A | *τἀγαθὸν* S M *ἀγαθὸν* A ‖ 3 *τᾷ* Tr.: *τῇ* (*τῇ* A) S M A | *περιγίνεται* Nauck: *παραγίνεται* S M A ‖ 4 *πρᾶτον μὲν ἐκ τᾶς* (*τὰσ* M) M A Tr. *πρῶτον μὲν ἐκ τῆς* S | *τε* om. A ‖ 6 *δ'* addidi | *τῶν ἐξόδων τῶν* libri: corr. Meineke ‖ 7 *καὶ ματρωσμοῖς* S M, om. A: corr. Gesn.[2], cf. infra p. 593, 6 adn. ‖ 8 *δ'* ⟨*ἐκ τῶ*⟩ *ἐν τᾷ θ.* dubitans ci. Meineke | *τᾷ* (ante *πρὸς*) A Tr. *τὰ* S M | *περὶ τὸ θεῖον* scr. Meineke. *πρὸς* si verum, expectes *ποτὶ* ‖ 9 *ἦμεν* A Tr. *εἶμεν* S *εἶμεν* M ‖ 10 *τὸ* M Tr. *τᾶς* S *τὰ* A | *ἦμεν* A Tr. *εἶμεν* S *εἰ μὲν* M ‖ 11 *ἀνδρὸς* etiam A compend., non *ἀνδρί.* neque igitur recte *θυραίῳ ἀνδρί* Meineke ‖ 12 *ἐς* tacite Meineke | *παρανομοῦσα* S M A *παρανομοῖσα* Tr. | *γενεθλίους θεούς* libri: corr. Meineke qui mavult ⟨*τὼς*⟩ *γεν. θ.* ‖ 13 *οὐ* om. A | *γνασίους ἐπικούρους ἀλλὰ νόθους* libri: corr. Meineke ‖ 14 *τοὺς φύσει θεοὺς* libri: *τὼς φύσι θεὼς* Meineke | *οὕσπερ* ex *ὥσπερ* corr. S[1] *οὕσπερ* M A; seclusit Meineke ‖ 15 *αὐτᾶσ* M | ante *συνελ.* signavi lacunam. intercidit *ὑπέσχετο* sim. | *συνελεύσασθαι* A ‖ 16 *βίω* A: *βίω τε* S M | *γενέσι* Meineke | *τᾷ* (ut coniecerat Orelli) A: *τε* S *τὲ* M | *δὲ* S A *δὴ* M ‖ 17 *τὴν* A | *αὐτᾶσ* M

μένοις. ἔπειτα ἐπὶ τούτοις ἀμβλακίσκεν, ἐφ' οἷς τὸ μέγιστον τῶν προστίμων ὥρισται θάνατος διὰ τὰν ὑπερβολὰν τῶ ἀδικήματος, ἔκθεσμον καὶ ἀσυγγνωμονέστατον ἦμεν ἁδονᾶς ἕνεκεν ἁμαρτάνεν καὶ ὑβρίζεν· ὕβριος δὲ πάσας πέρας ὄλεθρος.

61ᵃ *Ἐν ταὐτῷ.*

Κἀκεῖνο δὲ χρὴ διαλογίζεσθαι, ὡς οὐδὲν καθάρσιον εὑρήσει τᾶς ἀμπλακίας ταύτας ἄκος, ὥστε ὡς ἱερὰ θεῶν καὶ βωμὼς ποτερχομέναν ἦμεν ἁγναν καὶ θεοφιλάταν· ἐπὶ γὰρ ταύτᾳ τᾷ ἀδικίᾳ μάλιστα καὶ τὸ δαιμόνιον ἀσυγγνωμόνητον γίνεται. κάλλιστος δὲ κόσμος γυναικὸς ἐλευθέρας πρᾶτόν τε κῦδος τὸ διὰ τῶν αὑτᾶς τέκνων ἐπιμαρτύρασθαι τὰν σωφροσύναν τὰν ποτὶ τὸν ἄνδρα, αἴκα τὸν τύπον τᾶς ὁμοιότατος ἐπιφέρωντι τῶ κατασπείραντος αὐτὼς πατρός. καὶ περὶ μὲν εὐνᾶς οὕτως ἔχει· περὶ δὲ τῶ κόσμω τῶ περὶ τὸ σῶμα δοκεῖ μοι οὕτως. δεῖ λευχείμονα ἦμεν καὶ ἁπλοϊκὰν καὶ ἀπερίσσευτον. ἐσσεῖται

---

1 *ἐπὶ τούτοις* libri: *ἐν τούτοις* dubitans prop. Meineke. sed ne proxima quidem integra, ubi *ἀμβλακίσκει* vel *ἀμβλακίσκεν* ⟨*φαμί*⟩ prop. Meineke | *ἀμβλακίσκεν* M A *ἀμπλακίσκεν* ex *ἀμβλ-* corr. S¹ ‖ 2 *τὰν* M A Tr. *τὴν* S ‖ 3 *τῶ* Tr.: *τοῦ* S M A | *ἔκθεσμον* ⟨*γὰρ*⟩ dubitanter prop. Meineke ‖ 4 *ἦμεν* Gesn.²: *εἶμεν* S *εἰ μὲν* M *εἰμὲν* A. *ἦμεν* ⟨*λέγω*⟩ *ἁδ.* sim. desiderat Meineke sed nimis patiens vocalium collisionis | *ἁμαρτάνειν* A | *πάσας* om. S ‖ 6 ecl. cum lemm. hab. S M A, sine lemm. cum priore cohaerentem Tr. ‖ 8 *εὑρίσκει* Tr. | *ἀμπλακίας* ex *ἀμβλ-* corr. S¹ *ἀμπλ-* M A | *ὡς* A: *ἐς* S M ‖ 9 *ἦμεν* Gesn.²: *εἶμεν* S A *εἰ μὲν* M | *θεοφιλατάν* libri. *θεοφίλητον* merito optat Lobeck Paral. II p. 460 ‖ 10 *ἐπὶ* S M *ἐπεὶ* A | *ἀσυγγνωμόνητον* S M A *ἀσυγγνωμότατον* Tr. *ἀσυγγνωμόνατον* Halm lect. Stob. p. 48 commonens vocabulum *ἀσυγγνωμόνητος* recurrere in scholiis ad Aesch. Prom. 34 ‖ 12 *πρᾶτόν τε κῦδος* Haupt: *πράττεν εὖ τ' εἶδος* (*εἰ-* M) S M A | *τῶν* M A *τὰν* S *τᾶν* Tr. | *αὐτᾶς* libri | *ἐπιμαρτύρεσθαι* (α supra ε) corr. S¹ *ἐπιμαρτύρασθαι* M Tr. *ἐπιμαρτύρεσθαι* A ‖ 14 *τὸν τύπον* S M *τὰ τῶν τύπων* A | *ὁμοιότητος* S *ὁμοιότατος* M A Tr. | *τῶ κατασπείραντος* Tr. *τῶ κατασπείραντι* S M A ‖ 15 *αὐτὼς* Tr.: *αὐτὰν* (sed *α* e corr. ut videtur S) S M *αὐτὸν* A. malim *αὐτὰ* (sc. *τέκνα*) ‖ 16 *τῶ κόσμω τῶ* Tr.: *τοῦ κόσμου τοῦ* S M A | *οὕτω* S sine distinctione ‖ 17 *ἦμεν* Gesn.³ p. 444: *εἶναι* S M A (fallitur Gaisf.) *εἶμεν* Tr. | *ἐσσεῖται* dedi ex S: *ἐσεῖται* M A Tr.

δὲ τοῦτο, αἴκα μὴ διαφανέεσσι μηδὲ διαποικίλοις μηδὲ ἀπὸ βόμβυκος ὑφασμένοις χρᾶται τοῖς περὶ τὸ σῶμα, ἀλλὰ μετρίοις καὶ λευκοχρωμάτοις· οὕτω γὰρ τὸ μᾶλλον κοσμεῖσθαι καὶ τρυφὰν καὶ καλλωπισμὸν φεύξεται, καὶ ζᾶλον οὐκ ἐμποιήσει μοχθηρὸν ταῖς ἄλλαις. χρυσὸν δὲ καὶ σμάραγδον ἁπλῶς μὴ περιτίθεσθαι· καὶ γὰρ πολυχρήματον καὶ ὑπεραφανίαν ἐμφαῖνον ποττὰς δαμοτικάς. δεῖ δὲ τὰν εὐνομουμέναν πόλιν, ὅλαν αὐτὰν δι' ὅλας τεταγμέναν, συμπαθέα τε καὶ ὁμοιόνομον ἦμεν, ἀπερύκεν δὲ καὶ δαμιοεργὼς ἐκ τᾶς πόλιος τὼς ἐργαζομένως τὰ τοιαῦτα. χρώματι δὲ φαιδρύνεσθαι τὰν ποτῶπα μὴ ἐπακτῷ καὶ ἀλλοτρίῳ, τῷ δ' οἰκήῳ τῶ σώματος δι' αὐτῶ τῶ ὕδατος ἀπολουομέναν, κοσμὲν δὲ μᾶλλον αὐτὰν αἰσχύνᾳ· καὶ γὰρ τὸν συμβιῶντα καὶ αὐτὰν ἔντιμον παρέξεται. τὰς δὲ ἐξόδως ἐκ τᾶς οἰκίας ποιεῖσθαι † τὰς γυναῖκας τὰς δαμοτελέας θυηπολούσας τῷ ἀρχαγέτᾳ θεῷ τᾶς πόλιος ὑπὲρ αὐτᾶς καὶ τῶ ἀνδρὸς καὶ τῶ παντὸς οἴκω· ἔπειτα

---

1 *διαφανέεσσι* SM *-έεσι* A ‖ 2 *βόμβυκος* voluit Gesn.[1] interpretatus *a bombyce*: *βέμβικος* SMA ‖ 4 *τρυφὴν* libri | *φευξεῖται* Meineke ‖ 7 *ποττὰς* M Tr.: *ποτας* (sine acc.) S *ποτὰς* A; etiam *ποτὸν* pro *πὸτ τὸν* sim. leguntur in titulis ‖ 9 *ἦμεν* Gesn.[2]: *εἶμεν* SMA ‖ 10 *δαμιοεργὼς* A *δαμιοεργοὺς* SM *δαμιουργὼς* Tr. exspectes aut *δαμιοργὼς* aut *δαμιεργὼς*. an fuit in archetypo *δαμι$^{\epsilon}$οργὼς*? | *ἐκ* suspectum Meinekio | *τὼς ἐργαζομένως* A Tr. *τουσ ἐργαζομένωσ* M *τοὺς* (ex *τὰς* corr. S[1]) *ἐργαζομένους* S ‖ 11 *ποτῶπα* Lobeck Paralip. I p. 169: *ποτ' ὦπα* A *ποτῶπαν* S *ποτ' ὦπαν* M ‖ 12 *οἰκήω* SM *οἰκείω* A | *τῶ σώματι* A ‖ 13 *κοσμὲν* MA Tr. *κοσμεῖν* S | *αὐτὰν* Tr. et ut videtur A: *αὖ τὰν* S *αὖ τὰν* M | *αἰσχύνᾳ* Tr.: *αἰσχύναν* SMA ‖ 14 *αὐτὰν* S: *αὐτὰν* M *αὐτὸν* A ‖ 15 *ἐξόδως* Tr.: *ἐξόδους* SMA | *τὰς γυναῖκας τὰς δαμοτελέας* (*δημο-* S) *θυηπολούσας* SMA: *τὰς θυηπολίας* (sive *θυσίας*) *τὰς δαμοτελέας θυηπολοῦσαν* ci. Halm lect. Stob. p. 48 idque probat Meineke flor. v. IV p. LXXV qui antea [*τὰς γυναῖκας*] *τὰς δαμοτελέας* ⟨*θυσίας*⟩ *θυηπολοῦσαν* dederat; similiter [*τὰς γυναῖκας*] *τὰς δαμοτελέας θυηπολοῦσ⟨αν θυσί⟩ας* ego. adscripserit enim quispiam *τὰς γυναῖκας* (cf. p. 593, 8), postquam *θυηπολοῦσαν θυσίας* depravatum est in *θυηπολούσας* ‖ 16 *δημοτελέας* S ‖ 17 *αυτᾶς* (sine spir.) M

μήτε ὄρφνας ἐνισταμένας μήτε ἑσπέρας ἀλλὰ πλαθυνούσας ἀγορᾶς καταφανέα γινομέναν τὰν ἔξοδον ποιεῖσθαι θεωρίας ἕνεκά τινος ἢ ἀγορασμῶ οἰκήω μετὰ θεραπαίνας μιᾶς ἢ καττὸ πλεῖστον δύο εὐκόσμως χειραγωγουμέναν. τὰς δὲ θυσίας λιτὰς παριστάμεν τοῖς θεοῖς καὶ καττὰν δύναμιν, ὀργιασμῶν δὲ καὶ ματρῳασμῶν τῶν κατ᾽ οἶκον ἀπέχεσθαι. καὶ γὰρ ὁ κοινὸς νόμος τᾶς πόλιος ἀπερύκει ταῦ⟨τα⟩ τὰς γυναῖκας ἐπιτελέν, καὶ ἄλλως καὶ ὅτι μέθας καὶ ἐκστάσιας ψυχᾶς ἐπάγοντι ταὶ θρησκεύσιες αὗται· τὰν δ᾽ οἰκοδέσποιναν καὶ προκαθεζομέναν οἴκω δεῖ σώφρονα καὶ ἀνέπαφον ποτὶ πάντα ἦμεν.

62 *Νικοστράτου ἐκ τοῦ Περὶ γάμου.*

Ἐστάλθω δὲ ἐσθῆτα ἢ ὡς πάτριον αὐτῇ ἢ ὡς ἥδιστον σοί. χρυσίον δὲ ἢν μὲν ἔχῃ, ὃ ⟨μὴ⟩ τὰ ἐν αὐτῇ ὀνίνησιν, ⟨ὀνίνησιν⟩ οὐδὲ περικειμένην· ὁμοίως γὰρ ἄν σοι ἀρέσαι καὶ ἔχουσα καὶ μὴ ἔχουσα· ἢν δὲ μήτε ἐκείνη οἴκοθεν ἐπιφέρηται μήτε σὺ ἔχῃς ὁπόθεν χαλκεύσεις, ἐπιθυμία δὲ ᾖ, ὁ λόγος ἐνταῦθά σοι παρασκευαστέος ὁ πείσων περί τε χρυσίου καὶ περὶ κάλλους χρυσίου, καὶ ὡς ἄχθος ἂν εἴη μᾶλλόν περ ἢ κόσμος τῇ γε σώφρονι· ἐνίοτε δὲ τοῦτο αὐτὸ καὶ

---

1 *ὀρφανᾶσ* M | *ἀνισταμένας* libri: corr. Meineke | *πλαθονούσας* SMA *πλαθούσας* Tr.: corr. Meineke ‖ 2 *γινομέναν* SM *γεν-* A ‖ 3 *οἰκήω* SM *οἰκήϊω* A ‖ 4 *κατὰ τὸ* A ‖ 5 *καττὰν* SM *κατὰ* A ‖ 6 *ματρωσμῶν* SMA: *ματρῳασμῶν* prop. Gesn.[2] mrg. idque adprobavit Meineke flor. v. IV p. LXXV. *μητρῴάζειν* ex Iambl. adfert Lobeck Aglaoph. p. 629 ‖ 7 *ἀπερύκει τᾶς* (*τὰς* SM) *πόλιος* SMA: traiecerunt Hirschig et Meineke ‖ 8 *ταῦ⟨τα⟩ τὰς* scripsi Meinekii obsecutus iudicio: *ταύτας* SMA *ταύτας τὰς* Tr. | *ὅτι* Gesn.[2]: *ποτὶ* S *ποτι* M *ποτὲ* A ‖ 9 *αὗται* S *ἀνται* M *αὐταί* A ‖ 11 *ποτὶ πάντα ἦμεν* dedi ex MA: *ἦμεν* (om. *ποτὶ π.*) S; *ἦμεν ποτὶ πάντα* quasi ex A Gaisford, fallitur ‖ 12 ecl. cum lemm. hab. SMA; *ἐκ τοῦ περὶ γάμου* om. S ‖ 14 *χρυσίον* Gaisford: *χρυσὸν* libri | ad *ἢν μὲν ἔχῃ* subaudienda est apodosis *ἴσθι* | *ὁ* vel *ὃ* libri | *μὴ* addidit Elter | *τὰ ἐν αὐτῇ* corruptum videtur Meinekio, mihi sanum, cf. p. 582, 7. 584, 10 | *ὀνίνησιν* addidi. praestat fort. *ὃ τὰ ἐν αὐτῇ ⟨μὴ ὀνίνησιν,⟩ ὀνίνησιν οὐδὲ π.* ‖ 17 *χαλκεύσεις* A: *χαλκεύσῃς* SM | *ᾖ* (sup. lin. S) SA *η* M: corr. Gesn.[1] mrg. ‖ 18 *ἐνταῦθά σοι* SM: *σοι ἐνταῦθα* A | *πείθων* Tr. ‖ 19 an *π. κάλλους, καὶ χρυσίον ὡς ἄχθος κτὲ.*? | *μᾶλλον ἤπερ κόσμος* prop. Meineke

τὰς ἐπιβουλὰς ἤγειρε τῶν τε ἀκολάστων εἰς τὰς γυναῖκας, τῶν τε ληστῶν εἰς τὰ χρήματα.

Ἐπεὶ δὲ ἐνταῦθα τοῦ λόγου ἐσμέν, οὗ καὶ χρυσὸς κάλλος τι †προσβαλέτω μοι, δοκῶ ἐρεῖν τε καὶ ὑποβαλεῖν πρᾶγμα χρυσοῦ πολλῷ τιμαλφέστερον. εἰ γὰρ μηδέν τι ὀκνῆσαι αὐτὴν καὶ περὶ γυμνάσια ἔχειν ἀναπείσαις, ἐνταῦθα εὕροι ἂν καὶ οὗ πάλαι ἐπεθυμοῦμεν, τὸν κόσμον τῷ σώματι. τοῦ μὲν γὰρ ὑγιαίνειν οὐδὲν ἔμοιγε δοκεῖ ἄλλο τι περίθημα καὶ περιδέραιον κρεῖττον. πόρρω δ' ἂν εἴη καὶ τοῦ δεηθῆναι γυνὴ ὑγιαίνουσα καὶ ψιμυθίου καὶ [ὑπ'] ὀφθαλμῶν ὑπογραφῆς καὶ ἄλλου χρώματος ζωγραφοῦντος καὶ ἀφανίζοντος τὰς ὄψεις. τά γε μὴν γυμνάσια ἄλλα μὲν ἂν ἔξω γένοιτο ἐν περιπάτοις, τὰ δὲ ἔνδον παρὰ τὸν ἱστὸν ἰοῦσα εὕροι ἄν τι πονῆσαι† δυνάμενον ἢ τιθέμενον. καὶ τοῦτο τὸ κάλλος τὸ ἀπὸ τῶν πόνων οὐδὲν ὅ τι ἤλεγξέ τε καὶ ἐβασάνισεν, οὔτε ἱδρὼς οὔτε δάκρυα· ὕπνος δὲ πόρρω ὢν τοῦ ἐλέγχειν καὶ μᾶλλόν τι προστίθησι ταῖς γε ἐρρωμέναις. καὶ οὔπω λέγω ὅτι καὶ ταῦτα πάντα εἰς τὰ ἔκγονα ἀναφέρεται, καὶ τοιαῦτα ἐγένετο παιδία, ὁποῖά ποτ' ἂν ἡ γυνὴ καὶ λούσηται καὶ γυμνάσηται καὶ ἀμφιάσηται, μαλακὰ μέν, εἰ μαλακοῖς τούτοις δῆτα ἐντυγχάνοι, ἄρρενα δὲ καὶ ῥωμαλέα,

3 in marg. *συμφωνεῖ ξενοφῶντι* A m. rec. cf. Oecon. 10 ‖ 4 fort. *κάλλους τι* | *προσβαλέτω* (*-βαλλέτω* A) libri: *προσβάλλεται* prop. Meineke, *προσβάλλειν λέγεταί μοι* Elter, malim *προσβάλλ⟨ειν λέγεται⟩, ἐγώ μοι δοκῶ* | *μοι δοκῶ* (*δοκῶ* ex *δοκεῖ* corr. S¹) SMA; *δοκῶ μοι* Gesn.² | *ἐρεῖν τι* Gesn.² ‖ 5 *τε* pro *τι* A ‖ 6 *ὀκνήσας* SMA: corr. Gesn.¹ mrg. | *γυμνασίας* libri: corr. Cobet mnemos. IX p. 137 | *ἀναπείσας* SMA: corr. Gesn.¹ mrg. ‖ 7 *εὕροι* Elter: *εὕροις* libri | *οὐ* SMA: corr. Gesn.¹ mrg.; *οὗ καὶ* prop. Meineke ‖ 9 *περιδέρραιον* (*αι* ex *ε* S¹) SA *περιδέρρεον* M: *περιδέραιον* Meineke ‖ 10 *τοῦ δεηθῆναι* SM *τοῦδε· θεῖν* (*αι* supra) sed *ει* corr. pr. m. ex *η* A *δεθῆναι* Tr. | *ψιμυθίου* M: *ψιμυθίω* SA ‖ 11 *ὑπ' ὀφθαλμῶ ὑπογραφῆς* libri: corr. Cobet coll. Xen. Cyrop. I 3, 2 ‖ 12 v. *ὄψεις* — (13) *γένοιτο ἐν* om. M ‖ 13 *ἄλλα* Gaisford: *ἅμα* SA ‖ 14 *παρὰ* SM *περὶ* A | v. *τι πονῆσαι* — *τιθ.* lacunosa vel corrupta ‖ 16 cf. Xen. Oecon. 10, 8 ‖ 18 *γε* Gesn.² ex M (?): *τε* SA ‖ 19 *καὶ ὅτι καὶ* A | *ἔγγονα* SM *ἔγκονα* A. scripturam *ἔγγονα* vix derunt qui recipiant ‖ 21 *μαλακὰ μέν, εἰ* Gaisford: *μάλα καὶ μένει* SMA | *μαλακῶν* A ‖ 22 *ἐντυγχάνει* A

εἰ διὰ τῶν πόνων καὶ τῶν καμάτων ἰοῦσα κυήσαι καὶ τέκοι. ἀλλ' ἐπεὶ καὶ πένητες ἄνθρωποι γαμοῦσι, καὶ πολλοῖς ἄρα μετεμέλησε, καὶ τούτοις ὑποθήσομαι, ὡς ἂν εὐδαιμόνως διάγοιεν τὸν βίον. ὅστις μὲν ἐργάζεται καὶ ἀπὸ τῶν ὤμων ἀποζῇ οὐδὲ ποθεῖ θεραπείας ἱκανὰ αὑτῷ καὶ τῇ γυναικὶ ἐργαζόμενος, οὗτος εἰ σφόδρα γυναικὸς ἐπιθυμεῖ, ἀγαθῇ τύχῃ γαμείτω· ὅστις δὲ καὶ ἔτι μᾶλλον πένης ὢν οὐ ταῦτα ὁρᾷ ἀλλὰ κἀκεῖνα, εἰ νοσήσαι αὐτὸς πόθεν ἂν θρέψαι τὴν γυναῖκα, τούτῳ δὴ οὐκέτι ῥᾴδιόν ἐστι τῷ ἀνθρώπῳ συμβουλεῦσαι γαμεῖν· ἦ γὰρ δὴ πολλάκις κλαύσεται ἡ γυνὴ τὴν ἀπορίαν, καὶ ἀναμνήσει τοῦ κακοῦ ἐνίοτε ἐπιλελησμένον. καὶ ὑγιείας μὲν δὴ παρούσης ταῦτα εὐκόλως ἐνεγκεῖν ἔστιν, ἐν δὲ νόσοις καὶ ταλαιπωρίαις τοῦ σώματος πένητα ὄντα τινὰ δύο νόσω νοσεῖν ἔστιν. ἀλλ' ἐπεὶ τῶν σφόδρα πενήτων ἐμνημονεύσαμεν.

63 *Ἐν ταὐτῷ.*

Μὴ λανθανέτω δέ σε ἡ γυνὴ ἐσθῆτα μὲν μείζονος ἢ κατὰ τὴν εὐπορίαν ἔχουσα, ὑποδήματα δὲ ὡσαύτως

1 *εἰ διὰ* Gaisford: *ἱερὰ* SMA. *διὰ* iam Gesn.[1] mrg. ‖ **3** inter *καὶ* et *τούτοις* iterata *ἄνοι γαμοῦσι* expunxit S | **4** *διάγοιεν* SM *διάγον* A ‖ **5** *ὤμων* libri: *πόνων* ci. Gesn.[1] mrg., *ὀλίγων* Nauck; 'fort. *baiulos* dicit' Meineke | *οὐδὲ ποθεῖ* Gaisford: *οὐδέπω δὲ* SMA | *αὐτῷ* (vel *αὑ-* M) *καὶ τῇ γυναικὶ* MA *καὶ τῇ γυναικὶ αὐτῷ* S (sed traiectionis signis superadditis S) Tr. ‖ **7** *ἐπιθυμεῖ* SA[2]: *ἐπιθυμία* MA[1] | *τύχῃ* ci. Gesn.[2] mrg: *ψυχῇ* SA *ψυχὴ* M ‖ **8** *ταῦτα ὁρα* SM *ταῦ ὁ ῥῆμα* (τ supra ο) A; *ταῦτα ὁρᾷ ⟨μόνα⟩ ἀλλὰ* prop. Gaisford | *εἰ νοσήσαι* Tr.: *ἢ νοσῆσαι* SMA ‖ **9** *πο* (θ supra) A | *τούτῳ δὴ* scripsi: *τούτῳ δὲ* Tr. *τοῦτο δὲ* SA *τοῦτεδέ* M ‖ **10** *ἦ* S *ἡ* M *εἰ* A ‖ **12** *ἐπιλελησμένον* A | *ὑγείας* SMA *ὑγιείας* Tr. ‖ **15** *ἐστιν* MA *ἐστι* S | *ἀλλ' ἐπεὶ* (*ἐπὶ* M) *τῶν σφόδρα πενήτων ἐμνημονεύσαμεν*: ∾ MA: om. S ‖ **16** ecl. cum lemm. hab. SMA. quae inter se cohaerebant apud Nicostratum *ἀλλ' ἐπεὶ τῶν σφόδρα πενήτων ἐμνημονεύσαμεν, μὴ λανθανέτω* [*δὲ*] *σε ἡ γυνὴ κτὲ.* dissecuisse eclogarium addito lemmate postque v. *μὴ λανθανέτω* intulisse suo Marte *δὲ* particulam perspexit Meineke flor. v. IV p. LXXV. tamen in Stobaeo nihil mutavi, ipse videtur gnomologus prava distinctione deceptus esse ‖ **17** *μὲν* om. A | *μείζονα* SMA: corr. Meineke ‖ **18** *ἀπορίαν* cod. Paris. 1985 teste Gaisfordo | *δὲ* Gesn.[2]: *τε* SMA | *ὡσαύτως* Iacobs Animadv. in Stob. p. 275: *ὡς οὐθ'* (*οὐθ'* A) *ὡς* SMA

πολλοῦ τινος ἄξια· ἀλλ' ἀπό γε τῶν ποδῶν μαντεύου, ὡς οὐδὲν ὑγιὲς ἐν τούτοις ἔνεστι, καὶ οὐ δεῖ πρὸς ταῦτα οὔτε Μελάμποδος οὔτε Τειρεσίου. ὃ δὲ τῶν φίλων μοί τις ἀπεμνημόνευσε τῶν γεγαμηκότων καὶ . . . . τοῦτο δὲ τοιοῦτον ἦν· ἐν ὕπνῳ καὶ ἐν τῇ εὐνῇ μάλιστα οἱ ἄνδρες ἐξαπατώμεθα. φυλακτέον δὲ ἑσπέρας μὲν κολακείας, προσετίθει ἐκεῖνος, ἕωθεν δὲ θορύβους καὶ κραυγάς.

64 Ἐν ταὐτῷ.

Φυλακτέον δὲ καὶ περὶ γυναικῶνα τὰς φιλίας τε καὶ συνηθείας, τὸ τοῦ Εὐριπίδου μεμνημένους. ἡ γὰρ δὴ ἐξαμαρτάνουσα οὐχ αὑτὴν ἔλεγεν αἰτίαν, ἀλλ' ἐκείνας ἃς τραγῳδεῖ· 'κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν'. χρηστὸν δὲ καὶ τό 'μετὰ τῶν σύ γε πῖνε καὶ ἵζανε', παρ' ὧν τι φησὶ καὶ χρηστὸν ἂν ἀπολαύσαις. καὶ ταῦτα οὐκ ἐγώ, πάντες δὲ ποιηταί τε καὶ λογοποιοὶ γράφουσιν. φυλακτέον δὲ μᾶλλον τῷ ἐμῷ λόγῳ καὶ τὰς πρεσβύτιδας· αὗται γὰρ ἱκαναί γε τὰς νεότητας μακαρίζειν, καὶ ὡς δὴ ἔμπειροι τοῦ βίου ὑποθήκας τινὰς ἀκολάστους ὑποτίθενται.

---

1 ἀπό τε SMA sed γε ex τε corr. A[1] ‖ 3 οὔτε μελάμποδος Tr. οὔτε πρὸς μελάμποδος SMA | τειρεσίου sed ει ex η corr. M[1] | ὃ δὲ SA: οὐδὲ M ‖ 4 ἀπομνημόνευε M | post καὶ signavi lacunam. exspectes καὶ ⟨σοὶ συνοίσειν οἶμαι.⟩ τοῦτο δὲ κτἑ. sim. cf. p. 595, 17 μὴ λανθανέτω σε vel 1 μαντεύου ‖ 6 ἑσπέραν SMA: corr. Gesn.[1] mrg. ‖ 7 θορύβου M ‖ 8 ecl. cum lemm. hab. MA, om. S. continuantur ni fallor praecepta amici modo commemorati (3), cf. φυλακτέον δὲ 6. inter ecl. 63 et 64 si quid deest, non multum deest ‖ 9 γυναικῶνα τὰς Iacobs: γυναικῶν αὐταῖς MA ‖ 10 τοῦ om. A | μεμνημένος A | ἡ γὰρ δὴ MA; ἡ γὰρ δὴ ⟨Ἑρμιόνη⟩ Meineke, rectius iudicat Iacobs lect. Stob. p. 116 ‖ 12 Androm. 930. vide quae adnotavi ad ecl. 27 | κακῶν tacite ex Eur. Gesn.[2]: καὶ MA | εἴσοδοί ex εἴσοδ' οἵ ut videtur corr. M[1] | χρηστὸν] puto εὔχρηστον vel χρήσιμον ‖ 13 an τὸ ⟨τοῦ Μεγαρέως⟩ μετὰ κτἑ.? Theogn. 33 ss. totum distichon adfert Musonius Stob. IV 15, 18 p. 583, 18, una cum proximo Plato Men. p. 95 D | καὶ μετὰ τῶν σύ γε π. Mus. καὶ μετὰ τοῖσιν π. libri Theogn. καὶ παρὰ τοῖσιν π. Plat. | καὶ ἵζανε (ἴζ- M) MA καὶ ἔσθιε Theogn. Plat. Mus. sed pergunt καὶ μετὰ τοῖσιν ἵζε ‖ 14 χρηστὸν M χρηστῶν A. ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι (vel διδάξεαι) Theogn. | ἂν delevit punctis subditis A ‖ 15 τε om. A ‖ 17 μακαρίζειν libri: μαλακίζειν ci. Iacobs, διακνίζειν Meineke

ὅτι τὸ ζῆν οὐδὲν ἄλλο ἐστὶν ἢ ὅσα τις ἂν φάγῃ καὶ ὅσα τις ἂν πίῃ, κἀκεῖνα δὴ ὅσα ἂν τούτοις ἕπηται, μοιχεῖαι καὶ ἀκολασίαι. καὶ τοῦτο συμβαίνει παρ' αὐτάς τε τὰς νέας καὶ παρὰ τὰς πρεσβύτιδας· αἱ μὲν γὰρ οὐκ ἂν ἀηδῶς ἔχοιεν πρὸς τοὺς ἐρῶντας καὶ τοὺς φιλοῦντας δῆθεν, αἱ δὲ δὴ πρεσβύτιδες ἐνταῦθά που ἀεὶ τούτῳ τῷ ἀκολάστῳ συναγορεύουσιν.

65 *Ἐν ταὐτῷ.*

Ἀλλ' ἐρῶ περὶ σωφροσύνης πάλιν· τοὺς οἰκέτας ἐθιστέον οὕτως ὁμιλεῖν, ὅπως μηδενὶ ἐξέστω αὐτῶν πρὸς τὸ οὖς αὐτῇ διαλέγεσθαι λάθρᾳ, ἐνίοτε δὲ καὶ σοῦ βλέποντος· ὃ γὰρ ἀκούειν οὐκ ἄγαν τὸν ἄνδρα λυσιτελεῖ, ἄδικον ⟨ὂν⟩ καὶ ἄνισον, ἀλλ' ἐκείνῃ γε ταῦτα συμφέρει; ὁπότε δὲ ἐν οἰκίᾳ τὸ λάθρᾳ διαλέγεσθαι ἀπήλλακται, πολλὴ ἐλπίς ἐστι μὴ ἄν τινα τολμῆσαι τῶν θεραπόντων μοιχικόν τινα λόγον τῇ δεσποίνῃ διακονήσασθαι· ἀκοῦσαι γὰρ ἀνάγκη τὸν δεσπότην, εἰ νόμος ἐστὶ πάντα φανερῶς διαλέγεσθαι. οἶδα μὲν οὖν καὶ ταῦτα ἅπαντα ἰσχύοντα πρὸς τὸ ποιῆσαί τινα βιοῦν σωφρόνως· ὅμως δὲ οὐδὲν οὕτως τούτῳ λυσιτελὲς ὡς λόγῳ διδάσκειν περὶ τοῦ ἀδικήμα-

---

1 *ὅσα τις* Meineke: *ὅστις* M A | *φάγῃ* Gaisford: *φάγοι* M A | *καὶ* A: *ἢ* M | *ὅσα τις* Meineke: *ὅστις* M A | 2 *πίῃ* Gesn.²: *πίοι* M A | *δὴ* Cobet mnemos.² II p. 428: *ἤδη* M A | *ἕπεται* M | *μοιχεῖαι καὶ ἀκολασίαι* seclusit Cobet scite monens vetulis istis satis fuisse dicere *ὅσα ἂν τούτοις ἕπηται* reique turpitudinem verbis obtegere ‖ 5 *τοὺς* (ante *ἐρ.*) om. A ‖ 6 *τούτων* prop. Meineke ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 9 *ἐρῶ* Halm lect. Stob. p. 28: *ἐγὼ* S M A ‖ 10 *ὅπως ὁμιλεῖν* S M A: transposuit Gaisford | *ἐξέσται* dubitans ci. Meineke ‖ 12 *ὃ* S M A *οὐ* Tr. *εἰ* ci. Gaisford | *οὐκ ἄγαν* om. S | *λυτιτελεῖ* Tr.: *λυσιτελεῖν* S M A ‖ 13 *ἄδικον καὶ ἄνισον* M A *ἄνισον καὶ ἄδικον* S *ἄνισον ⟨ὂν⟩ καὶ ἄδικον* Iacobs lect. Stob. p. 117, quem imitatus dedi *ἄδικον ⟨ὂν⟩ καὶ ἄνισον* | *ἐκείνη γε* S M *εἰς ἐκείνη γε* A *ἐκείνῃ* Tr. | *ταῦτα* libri. miror quod plurali numero non offenditur Iacobs l. c., qui merito interrogandi signum post *συμφέρει* posuit. *ταὐτὸ* Elter. num *τοῦτ' ἂν συμφέροι*? ‖ 16 *λόγον* A: om. S M. aberravit Gaisford | *διακον* etiam A sed post *ο* littera rasa ‖ 17 *πάντα* Iacobs: *πάντως* S M A ‖ 19 *οὕτως τούτῳ* (sc. *τῷ ποιῆσαί τινα βιοῦν σ.*) scripsi: *οὕτως τούτων* S M A *τούτων* (om. *οὕτως*) Tr. ‖ 20 *λυσιτελὲς* Hirschig: *λυσιτελέστερον* S M A; *λυσιτελὲς ἐρῶ* Meineke

τος τῆς μοιχείας. λεκτέον οὖν πρὸς αὐτὴν τό τε αἰσχρὸν καὶ τὸ ἀκόλαστον τῆς μοιχείας καὶ ἄδικον, καὶ ὡς ἀδοξία μὲν ἐν γυναιξὶν ἀδοξία δὲ ἐν ἀνδράσι, καὶ ὡς ὅ τι δήποτέ ἐστιν ἡ πίστις, ἐξ ἀνθρώπων τοῦτο οἴχεται ὑπὸ σοῦ· ὃ δὲ ἔτι βαρύτερον, τὸ μὴ μόνον νόθους γίνεσθαι παῖδας, ἀλλ' εἶναι τούτους ἐξ ἀκολασίας καὶ ὕβρεως γεγονότας. ταῦτα αὐτῇ λεκτέον, καὶ φοβείσθω τὸ ὄνομα τῆς μοιχείας, εἴ γε αὐτῇ μέλει ζῆν καὶ μὴ ἀποσφάττεσθαι. καὶ ταῦτα οὕτω λεκτέον ἐπιτείνοντά τε καὶ εἰδότα, ὡς πολὺ ἔτι ἀτοπωτέρων ἐρῶσιν, οἷον οὐ ξένων νανίσκων, ἀλλ' (οὐδὲ εἰπεῖν καλόν) οἵου φασὶ τὴν Πασιφάην ἐρασθῆναι θρέμματος. λεκτέον δὲ οὕτως εἰδότα ὡς οὐδεμία μηχανὴ κρατῆσαι τῶν γυναικῶν, κἀκεῖνο ὡς εἰσι πάντων τέχνας τε ἐξευρεῖν καὶ πλέξαι σοφώταται· εἰ δὲ ἀπιστεῖς, ἀναγίγνωσκε τὰς τραγῳδίας, ὑπόσα ἐποίησαν ἢ ἐβουλεύσαντο γυναῖκες ἐπιθυμίᾳ ξένων ἀφροδισίων. σωφροσύνην μὲν οὖν ὧδε ἐξασκητέον· διδακτέον δὲ ἃ διδάσκεσθαι χρὴ γυναῖκα, καὶ μάλιστα τὴν σωφροσύνην αὐτῆς φυλάξει τὰ περὶ τὴν οἰκίαν, ὅπως ἂν ἄριστα † ἔθηκε τὰ περὶ τοὺς

---

1 *οὖν* om. A | *αὐτὴν* Tr.: *αὐτῆς* SMA ‖ 2 *καὶ τὸ ἀκόλαστον τῆς μοιχείας καὶ ἄδικον* SM: *τῆς μοιχείας καὶ τὸ ἀκόλαστον καὶ τὸ ἄδικον* A | *εὐδοξία* (ante *μὲν*) A corr. A[2] atramento pallidiore quod saepe conferentis oculos fugit ‖ 4 post *πίστις* recte distinxit Cobet coniungens *ἐξ ἀνθρώπων τοῦτο οἴχεται* mnemos. IX p. 138 | *ἐξ* S *ἡ ἐξ* M A | *ὑπὸ* Cobet: *ἀπὸ* libri ‖ 5 *γίν-* S *γίγν-* M A ‖ 6 *τούτους* SM *τοῦτο* A ‖ 7 *αὐτηλέκτεον* A | *ὄνειδος* pro *ὄνομα* ci. Meineke, sed *ὄνομα* est etiam *mala fama* ‖ 8 *αὐτῇ μέλει* Cobet l. c.: *ταύτῃ μέλλει* libri | *μὴ ἀποσφάττεσθαι* Tr.: *ἀποσφάττεσθαι* S M A ‖ 10 *πολὺ* libri; *πολλαὶ* tacite scr. Meineke | *ἀτοποτέρων* M | *οἷον* M A *οἵων* S | *οὐ* vel potius *οὐ* ⟨*μόνον*⟩ prop. Gesn.[1] mrg.: *σὺ* S M A | *νανίσκων* Casaubonus et Iacobs lect. Stob. p. 118: *νεανίσκων* S M A ‖ 11 *ἀλλ'* ⟨*ὧν*⟩ *οὐδὲ* Hirschig. si quid addendum, in parenthesi malim *ἀλλ'* (*ὃ οὐδὲ εἰπεῖν καλόν*) *οἵου φασὶ κτέ.* | *οἵου* (vel *οἷου*) SMA; *οἷον* ci. Gesn.[1] mrg. ‖ 12 *οὐδεμία* (vel *οὐδὲ μία*) S M *δὲ μία* A ‖ 14 *καὶ* ⟨*πλοκὰς*⟩ *πλέκειν* prop. Meineke. malim *τέχνας ἐξευρεῖν τε καὶ πλέξαι* ‖ 15 *ἀναγίγνωσκε* SM *ἀναγίν-* A Tr. ‖ 16 *ἐπιθυμα* ut videtur A ‖ 17 *οὖν* Halm lect. Stob. p. 28: *ἂν* libri ‖ 18 *αὐτῆς* Halm: *αὐταῖς* S M A | *φυλάξει* S M *διδάξαι* A ‖ 19 *ἔθηκε* S M A non sanum. *θείη* Halm

οἰκέτας, ὅπως ἂν ἄριστα θεραπεύσαι τὰ περὶ ὑμῶν αὐτῶν, ὅπως ἂν ἐν πολλῇ εἴητε τιμῇ. τί μὲν γὰρ χρηστότερον ἀνδρὶ ἢ γυνὴ εὔνους καὶ ὅσα χρὴ ἀνδρὶ ἐρρωμένῳ εἰδυῖά τε καὶ διακονουμένη; τί δὲ ἄλλο οὕτω περισπούδαστον ἂν εἴη ⟨ἢ εἰ⟩ νοσοῦντα αὐτὴ θεραπεύοι; καὶ εἴ τε ἀγαθὴ εἴη καὶ βελτίστη, οὐδὲν ἄλλο ἐγὼ κτῆμα οἰκίας ἀγαθόν τε καὶ πολλοῦ λόγου ἄξιον εὑρίσκω. ἀλλὰ καὶ ἄξιόν γε τὴν γυναῖκα οὕτως ἔχειν· οὐ γὰρ ἄλλῳ τινὶ ἢ τῇ γυναικὶ νυκτός τε καὶ μεθ' ἡμέραν ἀνὴρ προσαναπαύεται, καὶ πρὸς ἄλλον οὐδένα τῶν ἐν τῇ πόλει τὰ ἀπόρρητα ὅσαπέρ ἐστιν αὐτῷ διαλέγεται, ἀλλὰ μόνῃ τῇ γυναικί, καὶ ἐν ἴσῳ ὥσπερ ἂν ἑαυτῷ. οὐ γυνὴ μέντοι ἐστὶν ἡ ὁπόταν φίλη τε καὶ εὔνους ᾖ μάλιστα σεαυτὸν εὐφραίνουσα, ἥκιστα δὲ ἀνιῶσα; οὐχ αὕτη ἐστὶν ἡ καὶ παῖδάς σοι αὐτὴ τεξομένη; οὐχ αὕτη ἐστὶν ἡ πόθον πρώτη ἔχουσά σου ἀποθανόντος, κἂν ὁ πατὴρ κἂν ἡ μήτηρ λυπεῖσθαι μὴ θέλωσιν, ὁ νόμος.

---

1 *θεραπεύσηται* libri: *θεραπεύσαι* Halm ‖ 3 *καὶ* ante *ὅσα* non om. A, fallitur Gaisford; est in intimo folii angulo fere evanidum | *ἐρρωμένω* SM *ἐρωμένῳ* A Tr. cf. 4. Muson. rel. p. 68, 6 H. ‖ 4 *δὲ* (quod coniecerat Meineke) A: *δαὶ* SM; fort. *τί δ' ἂν ἄλλο οὕτω περισπ. εἴη* ‖ 5 *ἂν* Tr.: om. SMA | *ἂν εἴη, ⟨ἢ εἰ⟩* Gaisford. *ἄν, ἢ εἰ* praeiverat Gesn.[2] | fort. *εἴ γε ἀγαθὴ* ‖ 6 optes *καὶ πιστή* (cf. p. 598, 4), vix aptum *εἴη ⟨ἢ⟩ καὶ βελτίστη*. vereor autem ne v. *καὶ βελτίστη* addita sint, postquam *εἴ γε* transiit in *εἴ τε* | *κτῆμα οἰκίας ⟨οὕτω⟩ ἀγαθόν* prop. Gesn.[1] mrg. atque intercidisse *οὕτως* vel *ὁμοίως* et ego crediderim, nisi altius latet mendum. *ἀντάξιον* (7) verbis *ἀγαθόν τε καὶ πολλοῦ λόγου* deletis Hirschig ‖ 12 *ἑαυτῶ* SM *αὐτῷ* A | *ἢ* (*ἢ* Tr.) libri | *ἡ* M ‖ 14 *ἀνιῶσα* Wakefield: *ἂν* (*ἀν* M) *ἴσωσ*: *ἃ* MA *ἂν ἴσωσ* S | *οὐχ* (*οὐχ'* M) *αὕτη* SM *οὐχ αὐτῇ* vel *αὐτῇ* A | post *ἐστὶν* (compend. in S) quae sequuntur in MA, om. S | *ἡ*] *ἢ* M *ἢ* A ‖ 15 *αὐτὴ* (*αὕτη* M) *τεξομένη* MA i. *quae ipsa pariet liberos, non supponet.* seclusit pronomen Gesn.[2] | *αὕτη* Wakefield: *αὐτοῦ* A *αὐτοῦ* M | *ἡ* M *ἢ* A | *πρώτη*] *μόνη* Elter ‖ 16 *σου* Wakefield: *καὶ οὐ* MA ‖ 17 s. *θέλωσιν, ⟨ἃ⟩ ὁ νόμος ⟨κελεύει ποιοῦσα;⟩* prop. Meineke. malim *θέλωσιν, ⟨οὐ μόνον ποιοῦσα ἃ προστάττει ποιεῖν⟩ ὁ νόμος* sim. desiderio defunctum prosequitur, non solum iusta facit (*τὰ νομιζόμενα ποιεῖ*)

CAPVT XXIV. PARS PRIMA

ΟΤΙ ΚΑΛΟΝ ΤΟ ΕΧΕΙΝ ΠΑΙΔΑΣ.

1 *Διογένους* (Trag. gr. fr. p. 775 N.²).

Μακάριος ὅστις αὐτὸς ἰσχύων ἔτι
παῖδας παρασπίζοντας ἀλκίμους ἔχει.

2 *Εὐριπίδου Μελεάγρῳ* (fr. 518 N.²).

Καὶ κτῆμα δ', ὦ τεκοῦσα, κάλλιστον τόδε,
πλούτου δὲ κρεῖσσον· τοῦ μὲν ὠκεῖα πτέρυξ,
παῖδες δὲ χρηστοί, κἂν θάνωσι, δώμασιν
καλόν τι θησαύρισμα τοῖς τεκοῦσί τε
ἀνάθημα βιότου κοὔποτ' ἐκλείπει δόμους.

3 *Εὐριπίδου Οἰνεῖ* (fr. 566 N.²).

Ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων·
κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ.

4 (8 Mein.) *Μενάνδρου* (fr. 655 K.).

Ὀδυνηρόν ἐστιν εὐτυχοῦντα τῷ βίῳ

---

2 Inscriptio legitur in S M A Mac. *οα'* praefigitur in S *ογ'* in M A Mac. *Περὶ παίδων καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου* offert Photius uno titulo comprendens quattuor capitis particulas. numerum huius capitis genuinum eumque ad totum Stobaei opus pertinentem *ρορβ* in superiore marg. f. 131ʳ servavit S, vide vol. III proleg. p. IX ‖ 3 ecl. cum lemm. hab. S M A. *Δικαιογένους* scribendum videtur Nauckio, cf. p. 602, 4 adn. ‖ 6 ecl. cum lemm. hab. S M A; ecl. 2—7 Mein. (om. ecl. 6 Mein.) lemmate *Εὐρ.* comprendit S ‖ 7 *ἓν κτῆμα* inutiliter Nauck ‖ 9 *κἂν θάνωσι*] *κἂν στενοῖσι* vel *πένησι* ci. Heath ‖ 10 *καλόν τι* Wagner: *καλὸν τὸ* S M *καλόν τε* A ‖ 11 *ἄγαλμα βιότου* prop. Nauck Trag. dict. ind. p. XXII | *καὶ οὔποτ'* M | *ἐκλίπει* M A ult. syllaba potest *-πη* esse in A ‖ 12 ecl. cum lemm. hab. S M A. Diomedi dat priorem versum, Oeneo alterum Herwerden Exerc. cr. p. 55 s. ‖ 15 ecl. cum lemm. hab. S (post ecl. 7 Mein.) M A (post ecl. 3)

ἔχειν ἔρημον διαδόχου τὴν οἰκίαν.

5 (4 Mein.) *Εὐριπίδου Δανάῃ* (fr. 316 N.²).

Γύναι, καλὸν μὲν φέγγος ἡλίου τόδε,
καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον,
γῆ τ' ἠρινὸν θάλλουσα πλούσιόν θ' ὕδωρ,
πολλῶν τ' ἔπαινον ἐστί μοι λέξαι καλῶν·
ἀλλ' οὐδὲν οὕτω λαμπρὸν οὐδ' ἰδεῖν καλὸν
ὡς τοῖς ἄπαισι καὶ πόθῳ δεδηγμένοις
παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν φάος.

6 (9 Mein.) *Μενάνδρου* (fr. 603 K.).

Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρί,
ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα
τῶν ἐξ ἑαυτοῦ.

7 (5 Mein.) *Εὐριπίδου* (Herc. 1261 s.).

Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.

---

2 ecl. cum lemm. hab. S (post ecl. 3) M A (post ecl. 8 Mein.) de S vide ad ecl. 2. *δαναη* sine acc. M ‖ **3** *καλὸν* Herwerden: *φίλον* S M A ‖ **4** *ἔκνεμον* ut videtur A ‖ **5** *θάλασσα* M | *πλούσιον τ' ὕδωρ* S; *πλούσιον θάλος* ci. Schneidewin, *ποτάμιόν θ' ὕδωρ* Meineke. spectare huc Hesychium *πλούσιον· θαλασσιοειδές. οἱ δὲ τὸ ὕδωρ* suspicatur Nauck. intellegendus videtur fons fecundus, ut dicebant *πηγὴ πλουσία* (Plut. Cat. m. c. 5) ‖ **6** *ἄλλων* ci. Meineke | *ἔπαινον* tacite Gaisford: *ἐπαίνων* S M A ‖ **7** *καλῶν* A, corr. A¹ ‖ **8** *πόθον* A | *δεδηγμένοισ* ex *-ονσ* ut videtur corr. M¹ ‖ **9** *νεογνὸν ἐν δόμοις ἰδεῖν θαλος* ci. F. G. Schmidt ‖ **10** ecl. cum lemm. hab. S (post ecl. 8 Mein.) M A (post ecl. 4 Mein.). Dicaeogenis potius esse hos versus licentius coni. Nauck Trag. gr. fr.² p. 776 ‖ **11** *ἡ δεινὴ* A¹, corr. alia ut videtur manus ‖ **12** *σωφρονοῦντα κεὐτυχοῦντ' ἰδεῖν* ci. Meineke Men. et Phil. p. 230, *σωφρονοῦντα κεὐποροῦντ' ἰδεῖν* Herwerden Obs. cr. in fragm. com. Gr. p. 95, *σωφρονοῦντα κεὐθενοῦντ' ἰδεῖν* vel potius *κεὐθενοῦντα παῖδ' ἰδεῖν Τὸν ἐξ ἑαυτοῦ* F. G. Schmidt *Krit. st.* III p. 12 adn. sed vide ne Menandri sit nil nisi hoc *Οὐκ ἔστι μ. ἡδ. ταύτης πατρί, Τῶν ἐξ ἑαυτοῦ σωφρονοῦντ' ἰδεῖν τινα.* addita *ἢ* particula usitatiorem aliquis structuram invexerit, dein latius serpsit interpolatio. praeter Aesch. Ag. 603 Weil vide quae collegit Schoemann ad Isaei or. I 23 ‖ **13** *ἑαυτοῦ* S *αὐτοῦ* M A ‖ **14** ecl. cum lemm. hab. S (post ecl. 4 Mein.) M A (post ecl. 9 Mein.). de S vide adecl. 2. iteratur ecloga flor. 90, 4 Mein. praemisso lemm. *Εὐριπίδου.* adfert versus Plut. de lib. educ. p. 1 B ‖ **15** *καὶ μὴ* A, delevit *καὶ* A²

8 (6 Mein.) *Μενάνδρου Ἐμπιμπραμένῃ* (fr. 157 K.).

Ὡς ⟨ἔστ'⟩ ἀγαθόν τι πρᾶγμα τὸ γενέσθαι τινὸς πατέρα.

9 (10 Mein.) *Δικαιογένους.*

* * *

9a (10 Mein.: Eur. Or. 542 s.)

Ζηλωτὸς ὅστις εὐτύχησεν ἐν τέκνοις
καὶ μὴ 'πισήμοις συμφοραῖς ὠδύρατο.

10 (7 Mein.) *Εὐριπίδου ἐν Πρωτεσιλάῳ* (fr. 652 N.²).

Ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός.

11 *Ἐκ τῶν Σερήνου Ἀπομνημονευμάτων.*

Ἡ Λάκαινα πρός τινα Ἰωνικὴν δείξασαν αὐτῇ τὸν κόσμον ἀντεπέδειξε τὰ τέκνα εἰποῦσα 'ὁ δὲ ἐμὸς κόσμος τοιοῦτος'.

12 *Πλάτωνος* (Symp. p. 208 A—B).

Τούτῳ τῷ τρόπῳ πᾶν τὸ θνητὸν σῴζεται, οὐ τῷ παντάπασι τὸ αὐτὸ ἀεὶ εἶναι ὥσπερ τὸ θεῖον, ἀλλὰ

---

1 ecl. cum lemm. hab. MA, om. S. *ἐν πιμπραμένῃ* A. fort. *ἐν Ἐμπιμπρ.* coll. ecl. 10 ‖ 2 *ὡς ἔστ'* (vel *ἄρ'*) *ἀγαθόν τι* scripsi: *ὡς ἀγαθὸν τὸ πρᾶγμα* MA. *ὡς ἀγαθόν ἐστι* Gesn.² p. 448 ‖ 4 lemma cum ecloga ex Eur. Oresta petita hab. S (post ecl. 9 Mein.) MA (post ecl. 6 Mein.); *δικαιογένους* S *διογένους* MA. indicavi lacunam qua periit Dicaeogenis ecloga una cum lemmate *Εὐριπίδου* vel *Εὐρ. Ὀρέστῃ* sim. ‖ 5 prior versus recurrit Thom. Mag. p. 156, 6 ‖ 6 *ηὐτύχησεν* recte libri nonnulli Eur. | *εἰς τέκνα* libri Eur. ‖ 7 *καὶ μὴ 'πισήμους συμφορὰς ἐκτήσατο* Eur. | *καὶ μὴ*] *καμη* sine acc. S | *ὠδύρατο* SM *ὠδύρετο* A ‖ 8 ecl. cum lemm. hab. S (post ecl. 5 Mein.) MA (post ecl. 10 Mein.); *ἐν πρωτεσιλάῳ* MA, om. S ‖ 9 *οἱ παῖδες* F. G. Schmidt *Krit. st.* II p. 484 ‖ 10 ecl. cum lemm. hab. S (post ecl. 10 Mein.) MA (post ecl. 7 Mein.); *σερίνου* SMA. *ἀπομνημ.* om. S. cf. Plut. Lacaen. apophth. p. 241 D. Olympiadi Alexandri matri simile dictum tribuitur gnomol. Vat. 576, ubi vide quae collegit Sternbach ‖ 11 usitatius *Λάκαινα* vel *γυνὴ Λ.*, quam *ἡ Λ.*, eademque ratione *Λάκων* legitur p. 548, 24 vel *Συβαρίτης* III 29, 96 sim. sed vide etiam III 13, 58 p. 466, 4 vel IV 23, 45 p. 583, 14 ‖ 14 ecl. cum lemm. hab. SMA. leguntur verba etiam Oxyrh. pap. V n. 843 col. X v. 464 ss. intra maius excerptum ‖ 15 *γὰρ* post *τούτῳ* Plat., etiam Oxyrh. ‖ 16 *τὸ αὐτὸν* Plat., etiam Oxyrh.

τῷ τὸ ἀπιὸν ἕτερον νέον καταλείπειν οἷον αὐτὸ ἦν. Μὴ οὖν θαύμαζε, εἰ τὸ αὑτοῦ ἀποβλάστημα φύσει ἅπαν τιμᾷ· ἀθανασίας γὰρ ἅμα καὶ εὐδαιμονίας εἰς τὸν ἀεὶ χρόνον παντὶ αὕτη ἡ σπουδὴ καὶ ὁ ἔρως ἕπεται.

13 (De re publ. p. 467 B)

Ἀλλὰ μὴν μάχεταί γε πᾶν ζῷον διαφερόντως παρόντων ὧν ἂν τέκῃ.

14 Ἱεροκλέους (p. 55 de Arn.).

Ἐν δὲ τῷ περὶ τοῦ γάμου καὶ τῆς παιδοποιίας τόπῳ θετέος ἐστὶ καὶ ὁ τῆς πολυτεκνίας λόγος. κατὰ φύσιν γάρ πως καὶ ἀκόλουθον τῷ γάμῳ τὸ πάντα ἢ τά γε πλεῖστα τῶν γεννωμένων ἀνατρέφειν· ἀλλ' ἐοίκασιν οἱ πλείους ἀπειθεῖν τῇ παραινέσει δι' αἰτίαν οὐ μάλα πρεπώδη, διὰ γὰρ φιλοπλουτίαν καὶ τὸ πάμμεγα κακὸν ἡγεῖσθαι τὴν πενίαν τοῦτο πάσχουσι. πρῶτον μὲν δὴ λογιστέον, ὡς οὐχ ἑαυτοῖς μόνον παραστάτας καὶ γηροβοσκοὺς καὶ πάσης τύχης τε καὶ περιστάσεως κοινωνοὺς γεννῶμεν, οὐδ' ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν γονέων ἡμῶν κατὰ πολλά γε. καὶ γὰρ εὐχαριστίαν ἔχει πρὸς αὐτοὺς ἡ παιδοποιία τῷ, κἂν εἴ τι πάθοιμεν ἡμεῖς πρότερον, καταλείπειν ἐκείνοις ἀνθ' ἡμῶν αὐτοὺς γηροβοσκούς. καλὸν δὲ πάππος ὑπὸ σφετέρων ἐκγόνων χειραγωγούμενός τε καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιούμενος· ὥστε πρῶτον μὲν εὐχάριστα πράττοιμεν ἂν εἰς γονέας

---

1 τὸ om. A | post ἀπιὸν habet καὶ παλαιούμενον Plat. (etiam Oxyrh.), ex Plat. Gesn.[1], om. SMA | ενκαταλιπειν (ε superscr.) Oxyrh. ἐγκαταλείπειν Plat. BT | post αὐτὸ ἦν addit Plato ταύτῃ τῇ μηχανῇ, ὦ Σώκρατες, ἔφη, θνητὸν ἀθανασίας μετέχει, καὶ σῶμα καὶ τἆλλα πάντα· ἀθάνατον (ἀδύνατον Creuzer) δὲ ἄλλῃ ‖ 2 αὐτοῦ SMA | πᾶν Plat., etiam Oxyrh. ‖ 3 ἀθανασίας γὰρ χάριν παντὶ (om. ἅμα — χρ. sed cf. p. 208 C) Plat. ‖ 5 ecl. sine lemm. cum priore iunctam hab. SMA: separavit Gesn.[1]. lemma fuit Πολιτείας ε' ‖ 6 ἀλλὰ μὲν καὶ μαχεῖταί (μάχεται Platonis Vind. 55) γε Plat. ‖ 8 ecl. cum lemm. hab. SMA ‖ 10 ὁ ⟨περὶ⟩ τῆς π. λ. Arnim ‖ 11 ἢ ex εἰ ut videtur corr. A, superscr. τά ‖ 12 πλεῖστον τῶν γενωμένων A ‖ 14 γὰρ om. A | πάμμεγα ATr.: πᾶν μέγα SM ‖ 16 παραστάντας A | γηρωβ- A hic et 21 ‖ 19 post κατὰ πολλά γε optat περὶ παιδοποιίαν σπουδάζομεν sim. Praechter

τοὺς ἑαυτῶν, παίδων ἐπιμελούμενοι γενέσεως. εἶτα καὶ ταῖς εὐχαῖς τε καὶ σπουδαῖς τῶν ἡμᾶς γειναμένων συνεργήσομεν· εὐθὺ γὰρ ὅτε πρῶτον περὶ τὴν ἡμετέραν εἶχον γένεσιν, διανοίᾳ χρώμενοι τοῦ χύσιν αὐτῶν εἰς πλεῖστον λαβεῖν τὴν διαδοχὴν καὶ παῖδας ἐκ παίδων ὑπολιπέσθαι, καὶ γάμου προὐνόησαν καὶ τῆς ἡμετέρας σπορᾶς καὶ ἀνατροφῆς. ὅθεν γαμοῦντες μὲν καὶ παιδοποιούμενοι πράττοιμεν ἂν οἷον μέρη τῆς ἐκείνων εὐχῆς· τὰ δ' ἐναντία φρονήσαντες ἐγκόπτοιμεν ἂν αὐτῶν τῇ προαιρέσει. καὶ μὴν κινδυνεύει πᾶς ὁ θελοντὴς καὶ περιστάσεως ἄνευ γάμου ἐκκλίνων καὶ παιδοποιίαν παρανοίας κρίνειν τοὺς ἑαυτοῦ γονέας, ὡς οὐ σὺν ὀρθοῖς λογισμοῖς περὶ γάμου πεπραγματευμένους. ἔνθα δὴ καὶ τὴν ἀνομολογίαν φωράσειεν ἄν τις εὐπετῶς. πῶς γὰρ οὐ μάχης πλῆρες εὐαρεστεῖν μὲν τῷ ζῆν καὶ μένειν ἐν αὐτῷ, ὡς καθηκόντως εἰς τὸν βίον ὑπὸ τῶν σπειράντων παρηγμένον, τὸ δ' αὐτὸν ἑτέρους γεννῆσαι τῶν ἀδοκίμων ὑπολαμβάνειν; ἀλλὰ γὰρ πρῶτον μέν, ὡς ἔφην, ἐντεθυμῆσθαι χρή, διότι γεννῶμεν οὐχ ἑαυτοῖς μόνον ἀλλὰ καὶ τοῖς δι' οὓς γεγόναμεν αὐτοί· ἔπειτα καὶ ὑπὲρ φίλων τε καὶ συγγενῶν. κεχαρισμένον γὰρ καὶ τούτοις ἐστὶ παῖδας ἐξ ἡμῶν ἰδεῖν, διά τε τὴν εὔνοιαν καὶ οἰκειότητα καὶ δὴ καὶ διὰ τὴν ἀσφάλειαν. διορμίζεται γὰρ ὑπὸ τοῦ τοιούτου τοῖς προσήκουσιν ὁ βίος ἀνάλογον ταῖς ἐπὶ πολλῶν ἀγκυρῶν σαλευούσαις ναυσίν. ὅθεν κατὰ τὸν φιλοσυγγενῆ καὶ φιλεταῖρόν ἐστιν ἡ περὶ γάμον καὶ τέκνα σπουδή. παρακαλεῖ δ' εὖ μάλα καὶ ἡ πατρὶς ἐπὶ ταὐτόν. καὶ σχεδὸν οὐδ'

5 *ὑπολιπέσθαι* Meineke: *ὑπολίπεσθαι* A *ὑπολείπεσθαι* S M ‖ **10** *πᾶς ἐθελοντὴς* Tr. ‖ **11** *γάμων* A ‖ **12** *συνορθοῖσ* M ‖ **13** *πεπραγματευμένους* A *-μένοις* S M | *φ⟨ωράσειεν ἄν τ⟩ις* uncis inclusa perierunt folii damno in A ‖ **14** *εὐαρεστὸν* A ‖ **15** *τὸ ζῆν* S M A: corr. Bentley | *ἐν αὐτῷ* A: *ἐν ἑαυτῶ* S M ‖ **17** *αὐτὸ* S M A: corr. Gesn.[1] f. 409ᵛ mrg. | *ὑπολαμβάνει* A ‖ **18** *ἐντεθυμῆσθαι* A sed *η* ex *α* ut videtur corr. A[1] ‖ **20** *καὶ* (ante *ὑπὲρ*) ex *γὰρ* corr. S[1] ‖ **21** *τούτοισ* S[1] | *ἐστὶν* M ‖ **22** *καὶ τὴν οἰκειότητα* A | *καὶ δὴ καὶ* M: *καὶ* S A ‖ **24** de imagine vide interpretes ad Herodae mim. I 41 vel quae composuit Elter Gnom. homoeom. 14 ‖ **27** *οὐδὲ αὐτοῖς* A

ἑαυτοῖς οὕτως ὡς τῇ πατρίδι φυτεύομεν παῖδας, τῆς μεθ' ἡμᾶς προνοούμενοι τάξεως καὶ τῷ κοινῷ παρέχοντες τοὺς διαδεξομένους ἡμᾶς. ὅθεν ὁ μὲν ἱερεὺς ἴστω τῇ πόλει τῇ ἑαυτοῦ ἱερέας ὀφείλων, ὁ δ' ἄρχων ἄρχοντας, ὁ δὲ δημηγόρος δημηγόρους, καὶ ὡς ἁπλῶς εἰπεῖν, ὁ πολίτης πολίτας. καθάπερ οὖν χορῷ μέν ἐστι κεχαρισμένη ἡ τῶν χορευτῶν διαμονή, στρατεύματι δὲ ἡ τῶν στρατιωτῶν, οὕτω καὶ πόλει ἡ τῶν πολιτῶν. ἀλλ' εἰ μὲν ἦν ὀλιγοχρόνιόν τι σύστημα πόλις ὅ τε βίος αὐτῆς κατὰ βίον ἀνθρώπου τὴν συμμετρίαν ἐλάμβανεν, οὐδὲν ἔδει διαδοχῆς· ἐπεὶ δ' εἰς πολλὰς γενεὰς ἐξικνεῖται, δαίμονι δὴ εὐδαιμονεστέρῳ χρησαμένη καὶ εἰς μακροὺς αἰῶνας πόλις, φανερόν, ὡς οὐ τοῦ παρόντος ἐστοχάσθαι δεῖ μόνον, ἀλλὰ καὶ τοῦ μετέπειτα, τήν τε ἰδίαν μὴ περιορᾶν χώραν ἔρημον, ἀλλ' ἐπ' ἐλπίσιν ἱδρυμένην ταῖς ἀπὸ τῶν ἡμετέρων τέκνων.

15 *Μουσωνίου ἐκ τοῦ Εἰ πάντα τὰ γινόμενα τέκνα θρεπτέον* (Muson. rel. p. 77 H.).

Οἱ δὲ νομοθέται, οἷς αὐτὸ τοῦτο γέγονεν ἔργον ζητεῖν καὶ σκοπεῖν, τί μὲν ἀγαθὸν πόλει τί δὲ κακόν, καὶ τί μὲν ὠφελεῖ τί δὲ βλάπτει τὸ κοινόν, οὐχὶ δὲ καὶ οὗτοι πάντες συμφορώτατον μὲν ταῖς πόλεσιν ἐνόμισαν τὸ πληθύνεσθαι τοὺς τῶν πολιτῶν οἴκους, βλαβερώτατον δὲ τὸ μειοῦσθαι; καὶ ἀπαιδίαν μὲν ἢ ὀλιγοπαιδίαν τῶν πολιτῶν ὑπέλαβον εἶναι ἀλυσιτελές, τὸ δὲ ἔχειν παῖδας καὶ νὴ Δία πολλοὺς ἔχειν εἶναι λυσιτελές; τοῦτο μὲν γὰρ

---

2 *τοὺς* sed *ου* ex *ω* A ‖ 3 *ἔστω* Tr. ‖ 4 *ὀφίλων* M | *ἄρχων* om. MA | *δημηγόρος* SMA sed *οσ* ex *ουσ* corr. M[1] ‖ 8 *οὕτως* A | *ἡ* om. A ‖ 9 *κατὰ βίον ἀνθρώπου τὴν συμμετρίαν*] erraverat librarius codicis A scribens *κατὰ συμμετρίαν,* tum propter spatii angustias verba *βίον τὴν* scripsit supra lin., infra *ἀνθρώπου* ‖ 11 *ἐξιχνεῖται* A | *δὴ* de Arnim: *δὲ* libri ‖ 12 *εὐμενεστέρῳ* subdubitans prop. Meineke | *πόλις* A: *πόλεις* SM ‖ 13 *ἐστοχᾶσθαι* SM *ἐστϊχᾶσθαι* A ‖ 15 *ἐπ'* om. A ‖ 17 ecl. cum lemm. hab. SMA; *Μουσωνίου* nec plura S; *γιγνόμενα* libri infra Stob. IV 27, 21 p. 664, 19 *θρεπτέον* M *θεραπευτέον* A ‖ 20 *δὲ* MA *δαὶ* S ‖ 21 *δὲ* post *οὐχὶ* delet A[2] ‖ 26 *ἔχειν εἶναι* M: *ἔχειν* S *εἶναι* A

ἀμβλίσκειν ἀπεῖπον ταῖς γυναιξὶ καὶ ταῖς ἀπειθούσαις ζημίαν ἐπέθεσαν, τοῦτο δ' ἀτοκίᾳ προστίθεσθαι καὶ τὴν κύησιν εἴργειν ἀπηγόρευσαν αὐταῖς, τοῦτο δὲ πολυπαιδίας ἔταξαν γέρα καὶ ἀνδρὶ καὶ γυναικί, καὶ τὴν ἀπαιδίαν ἐπιζήμιον κατέστησαν. πῶς οὖν οὐκ ἂν ἡμεῖς ἄδικα καὶ παράνομα δρῷμεν ἐναντία δρῶντες τῇ βουλήσει τῶν νομοθετῶν, θείων καὶ θεοφιλῶν ἀνδρῶν, οἷς ἕπεσθαι νομίζεται καλὸν καὶ συμφέρον; δρῷμεν δ' ἂν ἐναντία τὴν πολυπαιδίαν τὴν ἑαυτῶν κωλύοντες. πῶς δ' οὐχὶ καὶ εἰς τοὺς πατρῴους θεοὺς ἐξαμαρτάνοιμεν ἂν καὶ εἰς τὸν ὁμόγνιον Δία ταῦτα πράττοντες; ὥσπερ γὰρ ὁ περὶ ξένους ἄδικος εἰς τὸν ξένιον ἁμαρτάνει Δία καὶ ὁ περὶ φίλους εἰς τὸν φίλιον, οὕτως ὅστις εἰς τὸ ἑαυτοῦ γένος ἄδικος, εἰς τοὺς πατρῴους ἁμαρτάνει θεοὺς καὶ εἰς τὸν ὁμόγνιον Δία, τὸν ἐπόπτην τῶν ἁμαρτημάτων τῶν περὶ τὰ γένη· ὁ δέ γε περὶ τοὺς θεοὺς ἁμαρτάνων ἀσεβής. καὶ μὴν ὅτι καλὸν καὶ λυσιτελὲς παίδων ἀνατροφὴ πολλῶν, μάθοι τις ἂν λογισάμενος, ὡς μὲν ἔντιμος ἐν πόλει πολύπαις ἀνήρ, ὡς δ' αἰδῶ παρέχει τοῖς πλησίον, ὡς δὲ δύναται πλέον πάντων τῶν ὁμοίων, ἄν γε μὴ ὁμοίως παίδων εὐπορῶσιν. καθάπερ γάρ, οἶμαι, πολύφιλος ἀφίλου ἀνδρὸς δυνατώτερος, οὕτω καὶ πολὺ μᾶλλον ὁ πολύπαις τοῦ μὴ ἔμπαιδος ἢ τοῦ ὀλίγους κεκτημένου παῖδας, καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ περ ἐγγύτερον υἱὸς ἑκάστῳ ἢ φίλος. ἄξιον δὲ νοῆσαι, ποῖόν τι καὶ θέαμά ἐστιν

---

1 *ἀμβλίσκειν ἀπεῖπον* M Tr. *ἀμβλήσκειν* ^απ^*εἶπον* corr. S¹ *ἀμβλίσκειν* ^ἀπ^*εἶπον* A superscr. A² ‖ 2 *δ'* S *δὲ* M A | *ἀτοκία* sed alterum *α* rescripsit A² ‖ 5 *πῶς οὖν οὐκ ἂν ἡμεῖς* S M *οὖν* primo omissum compendiose inseruit S¹ *πῶς οὖν ἡμεῖς οὐκ ἂν* A; *πῶς δ' οὖν οὐκ ἂν ἡμεῖς* Tr. ‖ 6 *δρωῦμεν* S M A sed *ῷ* corr. A² ut etiam 8 ‖ 8 *δρῶμεν* S M A | *δ'* om. A¹ add. A² ‖ 11 *δία* (*δια* M) *ταῦτα* S M *τὰ τοιαῦτα* A; *Δία τὰ τοιαῦτα* immerito Meineke ‖ 12 *εἰς τὸν ξένιον* per errorem iteravit in initio f. 150ʳ ‖ 16 *τοὺς* om. A, aberravit Gaisford ‖ 17 *ὅτι* S M *τὸ* A¹ *ὅτι γε* A² ‖ 19 *περιέχει* A¹ *παρέχει* A² ‖ 21 *πολὺ φίλος* A¹ ‖ 22 *οὕτωσ* M ‖ 23 *τοῦ μὴ ἄπαιδος* Tr. p. 426, unde tacite *τοῦ ἄπαιδος* Gesn. f. 410ᵛ

ἀνὴρ πολύπαις ἢ γυνὴ σὺν ἀθρόοις ὁρώμενοι τοῖς ἑαυτῶν παισίν· οὔτε γὰρ πομπὴν πεμπομένην θεοῖς οὕτω καλὴν θεάσαιτ' ἄν τις οὔτε χορείαν ἐπὶ ἱεροῖς κόσμῳ χορευόντων οὕτως ἀξιοθέατον, ὡς χορὸν παίδων πολλῶν προηγουμένων ἐν πόλει πατρὸς τοῦ ἑαυτῶν ἢ μητρός, χειραγωγούντων τοὺς γονεῖς ἢ τρόπον ἕτερον περιεπόντων κηδεμονικῶς. τί μὲν τούτου κάλλιον τοῦ θεάματος; τί δὲ τῶν γονέων τούτων ζηλωτότερον, ἄλλως τε κἂν ἐπιεικεῖς ὦσι; τίσι δ' ἂν ἄλλοις οὕτω προθύμως ἢ συνεύξαιτό τις ἀγαθὰ παρὰ θεῶν, ἢ συμπράξειεν αὐτοῖς εἰς ὅ τι δέοιντο; 'νὴ Δία' φησίν ⟨'ἀλλὰ . . .'⟩.

---

1 *ὁρωμένη* male Gesn.[3] p. 450 | *ἑαυτὸν* A[1] *ἑαυτῶν* A[2] ‖ 3 *χορευτῶν* S M *χορευόντων* A ‖ 4 *παίδων πολλῶν πρ. κτέ.*] assimilationis apud Musonium exempla collegit C. Schmich De arte rhet. in Musoni diatribis conspicua (Frib. Brisg. a. 1902) p. 33 ‖ 6 ante *χειραγ.* addidit *καὶ* A[2], sed nulla opus est particula. de re ipsa cf. Hierocles p. 603, 22 ‖ 7 *τὶ μὲν γὰρ τούτου* A[2] ‖ 8 *δὲ* A: *δαὶ* S M ‖ 9 *τίσι* S M *τοῖσι* A corr. A[2] ‖ 10 *εἰσότι* M ‖ 11 *νὴ Δία* (*δῖα* M) *φησίν* (*φησί* A): ∾ M·A, punctis notat tamquam delenda A, om. S. concesserat per *νὴ Δία* fictus adversarius priora, idem per *ἀλλὰ* quod addidi aliquid opposuisse censendus est ab excerptore nunc omissum (vide quae dixi ad Stob. vol. III p. 287, 7), velut paupertatem dissuadere, ne quis liberos educet omnes, cf. Plut. De amore prolis p. 497 E *οἱ μὲν γὰρ πένητες οὐ τρέφουσι τέκνα, φοβούμενοι μὴ χεῖρον ἢ προσήκει τραφέντα δουλοπρεπῆ καὶ ἀπαίδευτα καὶ τῶν καλῶν πάντων ἐνδεᾶ γένηται κτέ.* hoc quasi inani praetextu remoto pergere poterat Musonius infra (Stob. IV 27, 21 p. 665, 1) *ὃ δέ μοι δοκεῖ δεινότατον, οὐδὲ πενίαν ἔνιοι προφασίζεσθαι ἔχοντες κτέ.* cf. etiam Hierocles p. 603, 14 ss., quo duce verum perspexit etiam Praechter *Hier.* p. 86

CAPVT XXIV. PARS SECVNDA.

ΟΤΙ ΑΣΥΜΦΟΡΟΝ ΤΟ ΕΧΕΙΝ ΤΕΚΝΑ, ΚΑΙ ΑΔΗΛΟΝ ΕΙ ΙΔΙΑ ΤΩΝ ΕΧΕΙΝ ΝΟΜΙΖΟΝΤΩΝ. ΚΑΙ ΜΗΔΕ ΘΕΤΟΥΣ ΠΟΙΕΙΣΘΑΙ.

16 (76, 1 Mein.) *Μενάνδρου* (fr. 656 K.).

Οὐκ ἔστιν οὐδὲν ἀθλιώτερον πατρός,
πλὴν ἕτερος ἂν ᾖ πλειόνων παίδων πατήρ.

17 (76, 2 Mein.) *Εὐριπίδου Οἰνομάῳ* (fr. 571 N.[2]).

Ἀμηχανῶ δ' ἔγωγε κοὐκ ἔχω μαθεῖν,
εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
θνητοῖσιν εἴτ' ἄπαιδα καρποῦσθαι βίον.
ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους,
ὅσοισι δ' εἰσίν, οὐδὲν εὐτυχεστέρους.
καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος,
κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα,
λυποῦσι τὸν φύσαντα μὴ πάθωσί τι.

18 (76, 4 Mein.) *Μενάνδρου Ἐπικλήρῳ* (fr. 166 K.).

Ἢ δεῖ μόνον
ζῆν ἢ γενόμενον πατέρα παίδων ἀποθανεῖν·
οὕτω τὸ μετὰ ταῦτ' ἐστὶ τοῦ βίου πικρόν.

---

2 Inscriptio legitur in S M A Mac. sed *καὶ ἄδηλον κτἑ.* om. Mac. *ἔχειν νομιζόντων* ex *ἐχόντων* corr. S. *θετοὺς* S M A[2] *θεοὺς* A[1]: *θετὸν* Tr., inde vulg. numerum *ο'* praef. S *οδ'* M A Mac. quattuor capitis particulas uno titulo *Περὶ παίδων καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου* comprendit Photius, vide supra p. 600, 2 adn. ‖ 4 ecl. cum lemm. hab. S M A ‖ 6 *ἕτερος ⟨ὃς⟩ ἂν ᾖ* Porson | *παίδων* om. Tr. ‖ 7 ecl. cum lemm. hab. S M A ‖ 8 *καὶ οὐκ* S M ‖ 11 *ἔφυσεν* A ‖ 13 *γεγότες* A | *αἰσχίστη* ci. Bergk ‖ 16 ecl. sine lemm. hab. S (post ecl. 76, 3 Mein.) addito lemmate M A (post ecl. 76, 2 Mein.) ‖ 17 s. *ἢ μόνον δεῖ ζῆν* (*ζεῖν* S) *ἢ παίδων γεννωμένων πατέρα* (*πάτερ'* S *πατερ* M) *ἀποθανεῖν* S M A: transposuit et correxit Dobree Adv. II p. 273 ‖ 19 *οὕτως* M A

19 (76, 3 Mein.) *Εὐριπίδου Ἀνδρομάχης* (419 s.).

Ψυχὴ τέκν᾽· ὅστις δ᾽ αὔτ᾽ ἄπειρος ὢν λέγει,
ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ᾽ εὐδαιμονεῖ.

20 (76, 5 Mein.) *Σοφοκλῆς Ἠλέκτρα* (770 s.).

Δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται.

21 (76, 8 Mein.) *Μενάνδρου Προεγκαλῶν* (fr. 418 K.).

Οἷον τὸ γενέσθαι πατέρα παίδων ἦν . . .
λύπη, φόβος, φροντίς, πέρας ἐστὶν οὐδὲ ἕν.

22 (76, 6 Mein.) *Ὁμήρου* (Od. I 215).

Μήτηρ μέν τ᾽ ἐμὲ φησὶ τοῦ ἔμμεναι, αὐτὰρ ἐγώ γε
οὐκ οἶδ᾽· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.

23 (76, 7 Mein.) *Μενάνδρου.*

* * *

24 (contin. 76, 7 Mein.: Eur. fr. 1015 N.²).

Ἔστιν δὲ μήτηρ φιλότεκνος μᾶλλον πατρός·

---

1 ecl. cum lemm. hab. S (post ecl. 76, 2 Mein.) M A (post ecl. 76, 4 Mein.). *πᾶσι δ᾽ ἀνθρώποις ἄρ᾽ ἦν Ψυχὴ τέκνα* Eur. haec verba citat Philostr. vit. Apoll. II 14 p. 30 ‖ 2 *τέκνα* S M | *λέγει*] *ψέγει* libri Eur. praeter Laur. XXXII 2 ‖ 4 ecl. cum lemm. hab. S (post ecl. 7 6, 4 Mein.) M A (post ecl. 76, 3 Mein.) ‖ 5 *δεινὸν* sed *ειν* in ras. M² ‖ 6 *τέκῃ* A ut videtur, Soph. L² duo Parisini: *τέκει* (*κει* in ras. M²) S M, Soph. L alii ‖ 7 ecl. cum lemm. hab. S (post ecl. 76, 6 Mein.) M A (post ecl. 76, 5 Mein.); *μ*^ε nec plura S ‖ 8 *πατέρα παίδων* S M *παίδων πατέρα* A | *ἦν* S M *ἢ* (cui colon subiectum) A *ἦν ⟨ἄρα·⟩* Meineke, *ἦν ⟨κακόν·⟩* Grotius. an vocativus periit, velut *Σύρε*? ‖ 9 *οὐδεέν ἐστιν* S *οὐδὲ ἔνεστι* M *οὐδὲν ἐστι* A: corr. Bentley ‖ 10 ecl. cum lemm. hab. S (post ecl. 76, 5 Mein.) M A (post ecl. 76, 8 Mein.). ab hac ecloga incipit nova tituli pars (*ἄδηλον εἰ ἴδια τῶν ἔχειν νομιζόντων*), ut videas confirmari eclogarum dispositionem M A librorum archetypo oblatam. cf. schol. Od. IV 387 ‖ 12 *οἶδα* S M | *πω τισ* (vel *τὶς*) S M *πῶ εἰς* A | *ἀνέγνων* A ‖ 13 lemma *Μενάνδρου* cum versibus *ἔστιν δὲ — οἴεται* habent M A, om. S. frustra Menandro tribuit Kock Com. III p. 193. potius lacunam signavi post *Μενάνδρου*: huius interciderit ecloga una cum lemmate *Εὐριπίδου*. cf. quae dixi ad ecl. 27. citatos esse hos Euripidis versus in Menandri fabula quadam veri simile non est ‖ 15 Euripidis esse versus testantur schol. M Od. IV 387 schol. E M Od. I 215 Eust. Od. p. 1412, 14. omisso poetae nom. afferunt schol. Hermog. in Rhet. vol. VII p. 765, 24 Walz |

ἡ μὲν γὰρ αὑτῆς οἶδεν ὄνθ', ⟨ὁ δ'⟩ οἴεται.

25 (76, 9 Mein.) *Σοφοκλῆς Ἀλεάδαις* (fr. 83 N.[2]).

Παῦσαι· καταρκεῖ τοῦδε κεκλῆσθαι πατρός,
εἴπερ πέφυκά γ'· εἰ δὲ μή, μείων βλάβη.
τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ.

26 (76, 10 Mein.) *Εὐριπίδου Μελανίππῃ* (fr. 491 N.[2]).

Ἴστω δ' ἄφρων ὢν ὅστις ἄτεκνος ὢν τὸ πρὶν
παῖδας θυραίους εἰς δόμους ἐκτήσατο,
τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων.
ᾧ γὰρ θεοὶ διδῶσι μὴ φῦναι τέκνα,
οὐ χρὴ μάχεσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν.

27 (76, 11 Mein.) *Μενάνδρου Καρχηδονίῳ* (fr. 261 K.).

ἔστιν (*ἔστι* A) *δὲ* M A *ἔστι* schol. Herm., *αἰεὶ δὲ* schol. Od IV, om. schol. Od. I et Eust. | *φιλότεκνον μᾶλλον πατρὸς* schol. Od. I 215 cod. M *πατρὸς φιλοτεκνοτέρα* schol. Hermog.

1 *αὐτῆς* (vel potius *αὑτῆς*) *οἶδεν* schol. Hermog. et Eust., *αὐτῆς οἶδ'* M A, schol. Od. I *οἶδεν αὑτῆς* schol. Od. IV | *ὄντα ὁ δ'* schol. Od. IV Eust. schol. Hermog., *ἐόντας ὁ δ'* schol. Od. I: *υἱόν θ'* M A, inde (*οἶδεν*) *υἱόν, ὁ δ'* Gesn.[2] quod Graecum esse merito negat Cobet N. l. p. 54. *οἶδε φύνθ', ὁ δ* prop. Nauck *Mél. Gr.-R.* VI p. 122. immo hanc ego mihi fingo primitivi libri imaginem
υἱὸν
οἶδεν ὄνθ' ὁ δ' οἴεται, unde apparet quam facile oriri potuerit *οἶδ υἱόν θ' ⟨ὁ δ'⟩ οἴεται* ‖ 2 ecl. cum lemm. hab. S (post ecl. 76, 8 Mein.) M A (post ecl. 76, 7 Mein.); *ἀλεάδες* A ‖ 4 *γεὶ* sine distinctione M | *δεὶ μὴ* M | *μείων* ci. Gesn.[1] f. 410[v] mrg.: *μείζων* S A *μεῖζον* M ‖ 5 *τι* A[1] *τοι* A[2] ‖ 6 ecl. cum lemm. hab. S M A ‖ 8 *εἰ* A[1] *ς* add. m. rec. ‖ 9 *τη η μοιραν* (sine acc.) S *τη η μοίραν* M. totum versum om. Tr. ‖ 10 *ὡς γὰρ* A | *δίδωσι* S M A: corr. Matthiae | *φῦσαι* ci. Matthiae ‖ 11 *μάχεσθαι* Conington: *γλεῖσθαι* S M *τλεῖσθαι* A ubi post *χρὴ* distinguitur, *'γκαλεῖσθαι* Tr. ‖ 12 ecl cum lemm. hab. M A, om. S. qui singulas tituli particulas intra eclogas metricas respexerit, eclogam hanc alibi expectabit, velut post 22 (*οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω*), ut illa esse ipsa videri possit quae desideratur ante ecl. 24. ecloga quae iam supra exarari coepta erat (*Μενάνδρου*) nescio an in margine posthac suppleta sit, iam ut intellegatur cur desit in S, adsit in M A sed loco minus apto. et re vera vicinae adferuntur ecl. 24 et 27 Eust. Od. p. 1412, 14 et schol. Od. I 215 ubi 27 uno versu aucta exhibetur sed fab. nom. non commemorato

Αὐτὸς γὰρ οὐδεὶς οἶδε πῶς ⟨ποτ'⟩ ἐγένετο.

28 (76, 12 Mein.) *Εὐριπίδου Ἐρεχθεῖ* (fr. 359 N.[2]).

Θετῶν δὲ παίδων ποῦ κράτος; τὰ φύντα γὰρ
κρείσσω νομίζειν τῶν δοκημάτων χρεών.

29 (76, 13 Mein.) *Δημοκρίτου* (fr. 275 Diels[2]).

Τεκνοτροφίη σφαλερόν· τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μεστὴν καὶ φροντίδος κέκτηται, τὴν δὲ ἀποτυχίην ἀνυπέρθετον ἑτέρῃ ὀδύνῃ.

30 (76, 14 Mein.) *Ἀριστίππου.*

Μεμφομένης αὐτῷ τῆς γυναικὸς ὅτι τὸν υἱὸν οὐ προσίεται, καὶ λεγούσης ὅτι ἐκ σοῦ εἴη, ἀποπτύσας ʻκαὶ γὰρ τοῦτοʼ εἶπεν ʻἐξ ἐμοῦ· ἀλλ' οὐδέν μοι χρήσιμόν ἐστινʼ.

31 (76, 15 Mein.) *Δημοκρίτου* (fr. 276 Diels[2]).

Οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα.

32 (76, 16 Mein.) *Τοῦ αὐτοῦ* (fr. 276 Diels[2]).

Ὅτεῳ χρήματά ἐστι παῖδα ποιήσασθαι, ἐκ τῶν φίλων τεύ μοι δοκεῖ ἄμεινον εἶναι. καὶ τῷ μὲν παῖς ἔσται τοιοῦτος, οἷον ἂν βούληται· ἔστι γὰρ ἐκλέξασθαι οἷον ἐθέ-

---

1 *αὐτὸν* Eust. et schol. Od. | *οὐθεὶς* (sine acc. et spir. M) M A | *πῶς* M A *πῶς ποτ'* schol. E M Od. *τοῖ ποτ'* recte Eust. || **2** ecl. cum lemm. hab. S (post ecl. 76, 10 Mein.) M A (post ecl. 76, 11 Mein.) || **3** *δὲ* M A *γὰρ* S || **4** *κρείσσω* M A[2] videtur *κρεῖσσον* fuisse in A | *τῶν ἐπικτήτων* Herwerden mnemos.[2] XII p. 313 || **5** ecl. cum lemm. hab. S M A || **8** *ἑτέρη ὀδύνη* S M *ἑτέρῃ ὀδύνῃ* A || **9** ecl. cum lemm. hab. S M A. recurrit corp. Par. 426 Elt. (*τοῦ Διογένους*). cf. Diog. L. II 81 || **10** *αὐτὸν τῆς γυν. αὐτοῦ ὅτι τὸν υἱὸν αὐτοῦ οὐ πρ. ἄχρηστον ὄντα καὶ λέγουσαν ὅτι ἐξ αὐτοῦ εἴη — ἀλλ' οὐ χρήσιμον* corp. Par. || **12** *οὐδ' ἐμοὶ* A || **13** ecl. cum lemm. hab. S M A || **14** *ἐνορῶ* S *ἐνουρῶ* (sine acc. M) M A || **15** *κτίσει* S M A (sic): tacite corr. Gesn.[1] f. 411[v] || **16** *εὐθηνέοντα* prop. Gesn.[1] f. 411[v] mrg. || **18** ecl. cum lemm. hab. S M A || **19** *χρήματά ἐστι* libri: *χρήμη* (*χρήμη* iam Meineke) *τεά ἐστι* Diels || **20** *τεύ μοι* Diels: *τ' ἐμοὶ* S (sic) M A *ἐμοὶ* Tr. *τεῴ μοι* Meineke || **21** *ἐθέλει* (-*ει* in -*η* corrigere voluisse videtur M[1]) S M *θέλει* A

λει· καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, κἂν μάλιστα κατὰ φύσιν ἕποιτο. καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν, οἷον ἂν δέῃ. ἢν δέ τις ποιῆται ἀπὸ ἑωυτοῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτῳ χρῆσθαι.

33 (76, 17 Mein.) *Τοῦ αὐτοῦ* (fr. 278 Diels[2]).

Ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι παῖδας κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης. δῆλον δὲ καὶ τοῖς ἄλλοις ζῴοισι. πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν, ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα· ἀλλ' ὅταν γένηται, ταλαιπωρεῖ καὶ τρέφει ἕκαστον ὡς δύναται καὶ ὑπερδέδοικε, μέχρι σμικρὰ ᾖ, καὶ ἤν τι πάθῃ ἀνιᾶται. ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶν ὅσα ψυχὴν ἔχει· τῷ δὲ δὴ ἀνθρώπῳ νομίζον ἤδη πεποίηται, ὥστε καὶ ἐπαύρεσίν τινα γίνεσθαι ἀπὸ τοῦ ἐκγόνου.

---

1 *ὃς*] *οὖσ* M | *δοκῇ* S *δοκῇ τ'* (*τ'* ex iota adscripto ortum sit) M *δοκῇ τ'* A | *κἂν* Diels: *καὶ* libri ‖ **3** *ἔστι τὸν* SM *λιτὸν* (sic) A *λιτὸν* ex copulae compendio ϰ et *τὸν* ortum esse monuit Diels | *οἷον* Diels: *ὧν* libri; *ὃν* ci. Gaisford ‖ **4** *δέῃ* Gaisford: *δεῖ* SA *δῇ* M | *ἢν — ποιῆται* MA *εἰ — ποιεῖται* S ‖ **6** ecl. cum lemm. hab. MA, om. S ‖ **9** *ζώοισι* MA; *ζῴοις* Diels ‖ **10** *ἐπὶ ὠφελείης* MA: corr. Schaefer melet. cr. p. 70 ‖ **12** *ὑπερδέδυκε* MA: tacite corr. Gesn.[2] p. 452 | *σμικρὰ ᾖ* prop. Schaefer l. c.: *σμικρᾶς* MA ‖ **13** *ἐστὶν* (vel *ἔστιν* M) MA | *ὅσα* ci. Gesn.[2] l. c. mrg.: *οὖσα* MA; *ὅσσα* Diels | *τῶ δὲ* MA; *τὸ δὲ* frustra Gesn.[2] ‖ **14** *νόμιμον ἤδη π.* scr. Natorp *Die eth. des Demokr.* p. 24 | *ἐπαύρησιν* Gesn.[2] temere ‖ **15** *γίγνεσθαι* MA

CAPVT XXIV. PARS TERTIA.

ΟΤΙ ΚΡΕΙΤΤΟΝΕΣ ΟΙ ΑΡΡΕΝΕΣ ΤΩΝ ΠΑΙΔΩΝ, ΚΑΙ ΟΤΙ ΤΟΥΣ ΝΟΘΟΥΣ ΟΥΚ ΕΛΑΤΤΟΝΑΣ ΧΡΗ ΚΡΙΝΕΙΝ ΤΩΝ ΓΝΗΣΙΩΝ.

34 (77, 1 Mein.) *Εὐριπίδου* (fr. 318 N.[2]).

Γυνὴ μὲν ἐξελθοῦσα πατρῴων δόμων
οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους.
τὸ δ' ἄρσεν ἕστηκ' ἐν δόμοις ἀεὶ γένος
θεῶν πατρῴων καὶ τάφων τιμάορον.

35 (77, 2 Mein.) *Μενάνδρου* (fr. 658 K.).

Θυγάτηρ ἐπίγαμος, κἂν ὅλως μηθὲν λαλῇ,
διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὑτῆς λέγει.

36 (77, 3 Mein.) *Εὐριπίδου Ἰφιγενείᾳ* (T. 57).

Στῦλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες.

37 (77, 4 Mein.) *Μενάνδρου* (fr. 60 v. 1 K.).

---

2 Inscriptio legitur in S M A, nil nisi *Ὅτι κρείττονες οἱ ἄρρενες τῶν παίδων* in Mac. *ΑΡΣΕΝΕΣ* Tr. numerum *οα'* praef. S, *οε'* M A Mac. quattuor capitis particulas uno titulo *Περὶ παίδων καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου* comprendit Photius, vide supra p. 600, 2 adn. ‖ 4 ecl. cum lemm. hab. S M, sine lemm. A. duo versus priores leguntur etiam supra p. 552, 18 addito fab. nom. *δανάης* vel *δανάη* ‖ 5 *μὲν* S M A: *γὰρ* Stob. supra | *δ' ώμων* M ‖ 7 *ἕστηκεν ἐν* S *ἔστηκεν* M ‖ 8 *τιμάορον* Valesius: *τιμᾶ ὅρον* libri ‖ 9 ecl. cum lemm. hab. S M A Mac. ‖ 10 *θυγάτηρ ἐπίκληρος* Nauck inutiliter | *ὅλως* S M *ἄλλος* A | *μηθὲν* S M *μηδὲν* A | *λαλῇ*] *λέγῃ* Nauck ‖ 11 *αὑτῆς* Mac.: *αὐτῆς* S M A | *λέγει*] *λαλεῖ* Nauck *Mél. Gréco-R.* II p. 337 ‖ 12 ecl. cum lemm. hab. S M A. citant versum Artemid. II 10 p. 94 Men. monost. 713 Suid. I 2 p. 639 Bernh. ‖ 13 *εἰσὶ παῖδες* Euripidis LP, Suid. ‖ 14 ecl. cum lemm. hab. S M A. cum proximo versu in unum fragmentum coniunxit Grotius Dict. poet. p. 331 probabiliter, ut *Ἀνεψιοῖς* lemma etiam ad ecl. 4 Mein. pertineat. sic habemus tria frustula Menandrea ex ordine litterarum disposita

Εὐδαιμονία τοῦτ' ἐστὶν υἱὸς νοῦν ἔχων.

38 (77, 5 Mein.) *Μενάνδρου Ἀνεψιοῖς* (fr. 60 v. 2 K.).

Ἀλλὰ θυγάτηρ κτῆμ' ἐστὶν ἐργῶδες πατρί.

39 (77, 6 Mein.) *Μενάνδρου Ἁλιεῦσι* (fr. 18 K.).

Χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον.

40 (77, 7 Mein.) *Ποσειδίππου Ἑρμαφροδίτου* (fr. 11 K.).

Υἱὸν τρέφει πᾶς, κἂν πένης τις ὢν τύχῃ·
θυγατέρα δ' ἐκτίθησι, κἂν ᾖ πλούσιος.

41 (77, 8 Mein.) *Διφίλου* (fr. 136 K.).

Κόρης ἀπαλλαττόμεθα ταμιείου πικροῦ.

42 (77, 9 Mein.) *Σοφοκλῆς Ἀλεάδαις* (fr. 84 N.²).

Ὁ δ' εἰ νόθος τις γνησίοις ἴσον σθένει·
ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν.

43 (77, 10 Mein.) *Εὐριπίδου Ἀντιγόνῃ* (fr. 168 N.²).

Ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση.

44 (77, 11 Mein.) *Εὐριπίδου Εὐρυσθεῖ* (fr. 377 N.²).

Μάτην δὲ θνητοὶ τοὺς νόθους φεύγουσ' ἄρα

---

1 *εὐδαιμονία* H. Stephanus: *εὐδαιμονίας* SMA ‖ 2 ecl. cum lemm. hab. SMA; *ἀνεψιοῖς* om. S ‖ 3 probata Grotii sententia (vide ad ecl. 4 Mein.) hunc versum inter duas personas sic distribuit Nauck *ἀλλὰ θυγατήρ; — κτῆμ' ἐστὶν ἐργῶδες πατρί* ‖ 4 ecl. cum lemm. hab. SMA; fabulae nom. om. S. *ἁλιεῦσι* (ut coniecit Meineke Com. IV p. 76) M: *ἁλιεύς* A ‖ 6 ecl. cum lemm. hab. SMA, *ποσειδίππου* (*ποσιδ-* MA) om. S ‖ 7 *πᾶς* MA *τίς* S ‖ 8 *δ'* non a pr. m. videtur scriptum in A | *ἐκδίδωσι* ci. Nauck inutiliter ‖ 9 ecl. cum lemm. hab. MA, om. S. Anaxandridae datur versus supra Stob. IV p. 515, 17 ‖ 10 *ἀπαλαττόμεσθα* (λ superscr.) A, corr. A¹ ‖ 11 ecl. cum lemm. hab. SMA; *ἀλεάδαισ* (*-δες* A) M, om. S ‖ 12 *ὁ δὴ* frustra scr. Gesn.¹ f. 411ᵛ | *τις* Nauck: *τοῖς* SM *τις τοῖς* A | *ἶσον* M | *σθένοι* A ‖ 13 versum alteri personae dari vult Nauck sic scribens priorem *οὐ δὴ — σθένει;* | *γνησίαν*] Clemens Al. strom. VI 2 p. 429, 16 Stähl. *Σοφοκλέους δ' ἐξ Ἀλεαδῶν 'ἅπαν τὸ χρηστὸν τὴν ἴσην ἔχει φύσιν'*. scripsit autem *τὴν ἴσην* Clemens ad exemplum Antigonae Eur. versiculi (ecl. 43) quem praemiserat. non alio illum gnomologio usum esse quam Stobaeum vidit Elter De gnomol. Gr. hist. atque origine commentationis rament. (Bonn. ed. a. 1897) p. 23 ‖ 14 ecl. cum lemm. hab. SMA, *ἀντιγόνῃ* om. S. adfert Clemens Al. strom. VI 2 p. 429, 14 Stähl. (*Εὐριπίδου μὲν ἐξ Ἀντιγόνης*), vide quae dixi ad ecl. 42 ‖ 15 *δ' ἴση*] *δοίη* libri Clem. ‖ 16 ecl. cum lemm. hab. SMA, *ῑ αῡ* nec pl. S

παῖδας φυτεύειν· ὃς γὰρ ἂν χρηστὸς φύῃ,
οὐ τοὔνομ' αὐτοῦ τὴν φύσιν διαφθερεῖ.

45 (77, 12 Mein.) *Εὐριπίδου Ἀνδρομέδας* (fr. 141 N.[2]).

Ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν·
τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς
νόμῳ νοσοῦσιν· ὃ σε φυλάξασθαι χρεών.

---

1 *παῖδας φατίζειν* Mekler *Krit. beitr.* p. 8 | *φυῇ* (vel -*ῇ*) S M A. corr. Fr. Duebner (ut putat Nauck) et Cobet N. l. p. 560 ‖ 2 *οὔτ' ὄνομ'* A | *διαφθείρει* S M A: corr. Valckenaer ‖ 3 ecl. cum lemm: hab. S M A; *ἀνδρομέδας* om. S ‖ 4 *νόθους λέγειν* ci. Th. Gomperz *Sitzungsber. der Wien. Ak.* 1875 p. 263, *νόθους καλεῖν* ego ‖ 6 *ὧι* (vel *ὧσ*) σε S *ὧ σε* M *ὧσ* A *ὥς σε* Tr.: corr. Grotius Dict. poet. p. 545

CAPVT XXIV. PARS QVARTA.

ΠΕΡΙ ΝΗΠΙΩΝ.

46 (78, 1 Mein.) *Καλλιμάχου* (fr. 127 Schn.).

Ἄρνες τοι, φίλε κοῦρε, συνήλικες, ἄρνες ἑταῖροι
ἔσκον, ἐνιαυθμοὶ δ' αὔλια καὶ βοτάναι.

47 (78, 2 Mein.) *Θεοκρίτου Βουκολικῶν* (VIII 63 s.).

Φείδευ τῶν ἀρνῶν, φείδευ, λύκε, τῶν ἐρίφων μευ,
μηδ' ἀδικῇς μ', ὅτι μικρὸς ἐὼν πολλοῖσιν ὁμαρτέω.

48 (78, 3 Mein.) *Βιότου ἐκ Μηδείας* (cf. Com. III p. 36̣ K.).

Τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις
πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.

---

1 Inscriptio exstat in S M A sed in A post *καλλιμάχυ* (sic: *κ. περὶ νηπίων*). numerum *οβ'* (ex corr.) praef. S *ο5'* M T; priorem numerum (*οε'*) etiam ad hanc particulam pertinere voluitut videtur A. quattuor capitis particulas titulo *Περὶ παίδων καὶ ἃ ἑξῆς τοῦ κεφαλαίου τούτου* comprendit Photius, vide p. 600, 2 dn. ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 4 *φίλε* (sine acc. M) S M *φίλοι* A | *κουρέου* (sine acc. S *κουρεοῦ* A) *νήλικες* (acc. in corr. S) S M A corr. Gaisford et Wernicke; *κοῦρε, ὁμήλικες* Gesn.[1] *ἑταῖροι* Gesn.: *ἕτεροι* S M *ἑτέροι* A *ἑτάροι* Tr. ‖ 5 *ἐνιαυθμοὶ* Bergk: *ἐνηρυθμοὶ* S M *ἐνηρυθμοῖ* A. cf. Etym. M. p. 342, 35 | *δαυλία* S M *δαύλια* A: corr. Bentley ‖ 6 ecl. cum lemm. hab. S M A ‖ 7 *φείδευ τᾶν ἐρίφων* Theocr. | *φείδευ*] *φεῦγευ* ni fallor A | *τᾶν τοκάδων μευ* Theocr. ‖ 8 *μηδὲ* S M | *ἀδίκει μ'* Theocr. | *μικκὸς* Theocr. ‖ 9 ecl. hab. S M A; *Βιότου* (*Βιο*^{τ} S) *ἐκ μηδείας* (*μη*^{δ} S) S M A. Bioti iam in priore operis parte commemorationem factam fuisse docet pinacogr. Photii p. 51 Elt. inter tragicos recepit eum Nauck fr.[2] p. 825 tragico nimirum orationis colore ductus; eundum esse ac *Βίοττον* idem comicum alterius ante Chr. saeculi fuisse ex titulis cognovimus (CIA. II 975) statuit de Wilamowitz Herm. XXXIV p. 609. affert versus Clemens Al. Paed. I 6 p. 19, 26 Stähl. sed omisso poetae et fab. nomine

49 (78, 4 Mein.) *Εὐριπίδου Αὔγης* (fr. 272 N.[2]).
Τίς δ' οὐχὶ χαίρει νηπίοις ἀθύρμασιν;
50 (78, 5 Mein.) *Εὐφορίωνος* (fr. 107 Scheidweiler).
Τέκνον, μή σί γε μητρὸς ἀπ' ἀνθερεῶνας ἀμήσῃς,
ἠελίους ἥτις σε τριηκοσίους ἐφόρησα,
τέκνον, ὑπὸ ζώνῃ, φοβερὰς δ' ὠδῖνας ἀνέτλην,
εἰς φάος ἐρχομένου· λαρὸν δ' ἐπὶ χείλεσι πρώτη
μαστὸν ἐπισχομένη λευκῷ ⟨σ'⟩ ἔψισα γάλακτι.
51 (78, 6 Mein.) *Ἡρώδου Μιμιάμβων* (fr. 62 Cr.).
Ἢ χαλκέην μοι μυῖαν ἢ κύθρην παίζει,
ἢ ταῖσι μηλάνθαισιν ἅμματ' ἐξάπτων
τοῦ κεσκέου μοι τὸν γέροντα λωβῆται.
52 (78, 7 Mein.) *Πομπηίου Μάκρου* (Tr. gr. fr. p. 831 N.[2]).
Δεῦτ' ὦ τέκν', ὦ στερχθένθ' ὅσον πλεῖστον θέμις,
ὦ πολλὰ τέρψαντ' οὐδὲ λυπήσαντά τι
μητέρα· τί προσλάζυσθε κἀξαρτᾶσθέ μου;
βούλεσθ' ἀθύρειν; παίζετ', ὦ νέαι φρένες·
ὡς ἔστιν ἡμῖν τοῦτ' ἔαρ παντὸς βίου.

---

1 ecl. habent S M A cum lemm. *αὐγῆς* ‖ **2** *νηπίων* prop. Herwerden in Eur. Ion. p. 78 ‖ **3** ecl. cum lemm. hab. S M A. primum versum adfert Et. M. p. 109, 27, etiam schol. F V Hom. Il. XXIV 165, alterum Cocondrius *Περὶ τρόπων* (Rh. gr. III p. 234, 24 Sp.) '*ἠελίους τριακοσίους ἐφόρησα*' ‖ **4** *μητρὸς* Tr. p. 429, Et. M., schol. Hom.: *παιδὸς* (superscr. S[1]) S M A *ματρὸς* A[2] | *ἀπ' ἀνθερεῶνας* A Tr.: *ἀπανθερεῶνας* (*απανθ-* S) S M, *ὑπ' ἀνθερεῶνος* Et. *ἀπ' ἀνθερεῶνος* schol. Hom. ‖ **5** *τριακοσίους* Cocondrius ‖ **6** *ζώνην* ut videtur in *ζώνῃ* corr. A[1] ‖ **8** *ἐποιχομένη* A | *λευκῷ σ' ἔψισα* Meineke: *λευκῶ ἔψησα* S M A *λευκῶ δέ σ' ἔλοισα* Tr. cf. Orio Theb. p. 186 *ψίω· ποτίζω* ‖ **9** ecl. cum lemm. hab. S M A ‖ **10** *χαλκέην* A: *χαλκαίην* S M | *μυῖαν* A: *μύιαν* M *μυίην* S ‖ **11** *ταῖσι* S *ταῖσσι* A *τμῖσι* M; *τῇσι* Meineke | *μηλάνθασιν* (sine acc. S M) S M A *μηλολόνθης* Tr. *μηλάνθῃσιν* Gaisford | *ἅμματ'* Meister ‖ **12** *γερόντα* A ‖ **13** ecl. cum lemm. hab. S M A; *μάκρου* (ut scribi iussit Meineke) S *μακροῦ* M A ‖ **14** *ὦ τέκνα ὧστ' ἐρχθέντα* S M ‖ **15** *τέρψαντ'* ex *τέρψαντά τι* corr. S[1] ‖ **16** *τί* (sine acc. M) S M A; *τε* Gesn.[1] | *προσλάζεσθε* S M A; *προσλάζυσθε* Voss. Frob. idque recepit Meineke | *κἀξάρτεσθέ* (*καξ-* M) *μου* libri: corr. Valckenaer ‖ **17** *ἀθύρειν* ex *ἀρθ-* corr. S[1] | *νέαι* Voss. Tr.: *νέε* S M A ‖ **18** *ἡμῖν* S M A Frob. et Voss. teste Guilelmo

ἥβῃ δὲ λῦπαι φροντίδες θ' ἡβῶσ' ὁμοῦ.

53 (78, 8 Mein.) *Εὐριπίδου Δανάης* (fr. 323 N.²).

Τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς
πηδῶν ἀθύροι, καὶ φιλημάτων ὄχλῳ
ψυχὴν ἐμὴν κτήσαιτο· ταῦτα γὰρ βροτοῖς
φίλτρον μέγιστον, αἱ ξυνουσίαι, πάτερ.

54 (78, 9 Mein.) *Σοφοκλέους Αἴαντι* (550 ss.).

Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.
καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
ὁθούνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν·
ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος,
ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.

55 (78, 10 Mein.) *Εὐριπίδου Μηδείας* (46 ss.).

Ἀλλ' οἵ γε παῖδες ἐκ τρόχων πεπαυμένοι
στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

Hällingk, cui fidem habendam puto etiam ideo, quia Voss. consentire solet cum Frobenio: ὑμῖν Voss. teste Gaisfordo, idque recepere Meineke et Nauck. potest defendi ἡμῖν, i. *nobis mortalibus*

2 ecl. cum lemm. hab. S M A ‖ **4** *πεσὼν* (vel *πίτνων*) *ἀθύροι* Nauck | *ἀθύρῃ* A | *ὄχλωι* (*ω* ex *οι*) S¹ *ἔχλω* A ‖ **5** *βροτοῖς* om. A ‖ **6** *φίλτρον μέγιστον* M A *μέγιστον φίλτρον μέγιστον* (sic) S ‖ **7** ecl. cum lemm. hab. S M A; *αἴαντι* dedi ex S M. *αἴαντος* A om. Tr. ‖ **9** *τὰ δὲ ἄλλα* M ‖ **10** *γε* om. A ‖ **11** *οὔθ' οὕνεκ'* (spir. in *οὕνεκ'* e corr. M¹) M ‖ **12** *ἥδιστον* Tr. | post *βίος* quem offerunt libri Sophoclei versum *τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν* ignorant libri Stobaei recte in Soph. delerunt Valckenaer et Brunck ‖ **13** *ἕως τε χαίρειν* A ‖ **14** ecl. cum lemm. hab. S M A. v. *ἀλλ' — κακῶν* affert Choeroboscus schol. in can. p. 236, 15 Hilg., *ἀλλ' — στείχουσι* Etym. m. p. 769, 51 versum 15 Photius s. v. *τρόχον* Gramm. Ambros. ed. Nauck (Lex. Vindob.) p. 254, 16, *νέα γὰρ — φιλεῖ* schol. Soph. Ai. 554 b Trach. 144, Cyrilli contra Iulian. VII p. 227 B commonet Nauck ‖ **15** *οἵδε* Eur. idque gnomologi consilio parum conveniebat ‖ **16** versum om. Tr.

CAPVT XXV.

ΟΤΙ ΧΡΗ ΤΟΥΣ ΓΟΝΕΙΣ ΤΗΣ ΚΑΘΗΚΟΥΣΗΣ ΤΙΜΗΣ ΚΑΤΑΞΙΟΥΣΘΑΙ ΠΑΡΑ ΤΩΝ ΤΕΚΝΩΝ, ΚΑΙ ΕΙ ΕΝ ΑΠΑΣΙΝ ΑΥΤΟΙΣ ΠΕΙΣΤΕΟΝ.

1 *Θεόγνιδος* (131 s.).

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρος ἄμεινον
ἔπλεθ', ὅσοις ὁσίης, Κύρνε, μέμηλε δίκης.

2 *Εὐριπίδου Ἡρακλείδαις* (cf. Eur. fr. 852 N.²).

Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
οδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος.

3 *Ἐν ταὐτῷ* (Eur. Heraclid. 297 s. fr. 949 N.²).

---

2 Inscriptionem Photio fere congruam exhibent SMA nisi quod v. *καὶ εἰ ἐν ἅπασιν αὐτοῖς πειστέον* om. Photius. *εἰ* om. A. *πιστέον* SM Mac. nil nisi *Ὅτι τοῖς γονεῦσιν ἐν πᾶσι πιστέον* Mac. *περὶ τοῦ ὅτι δεῖ τιμᾶσθαι τοὺς γονεῖς παρὰ τῶν τέκνων* variat corp. Par. *ογ* adicit S *οζ'* M *ος* A Mac. ‖ 4 ecl. cum lemm. hab. SMA ‖ 5 *οὐθὲν ἐν ανοις* S ‖ 6 *ἔπλετο οἷς* (*τοῖς* vulg.) libri Theogn. | *ὁσίης* SM *ὁσίοις* A: *ὁσίη* Theogn. | *δίκης* SMA: *δίκη* Theogn. ‖ 7 ecl. cum lemm. hab. SMA; *ηρ* addita compendii lineola S *ἡρακλείδαισ* M *ηρακλειδῶν* A, corp. Par. tribus senariis ditiorem exhibet Orio flor. Eur. 7 p. 56 Schneidew. eodem gnomologio Euripideo usus ac Stobaeus, vide ad ecl. 3. 4. 29. pertinet locus ad eam ut videtur Heraclidarum partem quam post v. 629 perisse intellexit Kirchhoff. vide eius adn. ad Heracl. 627 vel quae monuit Gilb. Murray sub fin. fabulae. eclogas 2 et 3 eodem ordine ac Stobaeus iterat corp. Par. 735 et 736 Elt. semel posito lemmate *Εὐριπίδου* ‖ 9 *θεοῦ φίλος* corp. Par. | *φίλος* ex *φίλοις* corr. S¹ ‖ 10 ecl. cum lemm. hab. SMA. etiam hanc et proximam eclogam l. c. offert Orio sed ordine inverso. recurrunt duo versus priores (*οὐκ ἔστι — πεφυκέναι*) sine versu tertio in maiore Heraclidarum loco cum libris Euripideis congruo infra flor. 88, 7 Mein. (*Εὐρ. Ἡρακλειδῶν*). versum tertium (*καὶ — νέμειν*), quem ignorant libri Euripidis, recte tamquam sui iuris eclogam exhibet Orio. perperam copulatus est cum duobus prioribus a Stobaeo, nimirum ut etiam duo priores locum habere possent in capite *Ὅτι χρὴ τοὺς*

Οὐκ ἔστι παισὶ τοῦδε κάλλιον γέρας
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι
καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.

4 *Εὐριπίδου Ἐρεχθεῖ* (fr. 358 N.[2]).

Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις·
ἐρᾶτε μητρός, παῖδες, ὡς οὐκ ἔστ' ἔρως
τοιοῦτος ἄλλος οἷος ἥδίων ἐρᾶν.

5 *Κλεαινέτου* (fr. 1 p. 807 N.[2]).

Γεννητόρων ἕκατι κατθανεῖν καλόν.

6 *Δικαιογένους* (fr. 4 p. 776 N.[2]).

Αὐτὸς τραφεὶς δὲ τῶν φυτευσάντων ὕπο
καλῶς, τὸν αὐτὸν ἔρανον αὐτοῖσιν νέμεις.

7 *Ἀντιφάνους* (fr. 261 K.).

Ὅστις δ' ἐρυθριᾷ τηλικοῦτος ὢν ἔτι
πρὸς τοὺς ἑαυτοῦ γονέας, οὐκ ἔστιν κακός.

7ᵃ (7 Mein.: Antiph. fr. 262 K.)

Ὅστις γὰρ ὁμόλογόν τι μὴ ποιεῖ πατρί,

γονεῖς τῆς καθηκούσης τιμῆς καταξιοῦσθαι. rem perspexerunt Bernhardt mus. Rhen. XVII p. 456 et Wachsmuth *Stud. zu den gr. floril.* p. 146. ex Stobaeo pendet ut solet corp. Par., ex alio gnomologo *Die Wiener apophthegmensamml.* n. 141 p. 25 Wachsm., ubi offeruntur duo versus priores quod fugit editores Euripidis

1 *παισὶ τοῦδε* A, Or., apophth. Vind. *παισὶ τούτου* SM, corp. Par. *τοῦδε παισὶ* Eur. et Stob. flor. 88, 7 Mein. an *τούτου παισὶ* nostro loco Stobaeus? ‖ **4** ecl. cum lemm. hab. SMA. offert etiam Orio flor. Eur. 8 p. 56, 8 sine fab. nom., vide ad ecl. 2 ‖ **5** *ἔστι μητρὸς οὐδὲν* Or. | *οὐθὲν* A ‖ **6** *ἔραται* A | *ὡς*] *καὶ* A ‖ **7** *οἷος*] *ὅστις* Or. | *ἡδῖον* A sed corr. A¹ ‖ **8** ecl. hab. S, praemisso *κλεαινέτου* M *κλενε*ᵀ (lineola supra λ addita qua nomen proprium indicatur) A. Dicaeogenis lemma voluit ni fallor etiam ad hanc eclogam spectare S fortiore distinctione qua uti solet ∾ post *καλόν*: non adhibita ‖ **10** ecl. cum lemm. hab. SMA ‖ **11** *τραφεὶς δὲ* (*δε* A) SMA; *δὲ τραφεὶς* Tr. *δὲ θρεφθεὶς* inutiliter Porson Adv. p. 304 ‖ **12** *αὐτοῖσι* A | *νέμοις* Apostol. cent. V 30 a ‖ **13** ecl. cum lemm. hab. SMA ‖ **16** eclogam sine lemm. prioribus versibus adnectunt SMA, Antiphaneam fortasse et ipsam, ut lemma non sit iteratum. separandam esse vidit Meineke Com. III p. 152 ‖ **17** *ὁμόλογόν τι* Tr.: *ὁμολογῶν τι* (uno ductu S) SMA | *μη ποιη* (in *ποιει* corr. S¹) S *μὴ ποιεῖ* M *μὴ ποιῇ* A. locus nondum expeditus, cf. Herwerden Collect. cr. p. 94. *μὴ νέμει* Elter

πάντων ἂν οὗτος κατεφρόνησε τῶν θεῶν.

7[b] (7[a] Mein.: Trag. gr. fr. adesp. 544 N.[2])

Τοῦ γὰρ πατρὸς κρατεῖν μὲν αἰσχύνην φέρει,
ἡσσημένῳ δὲ δόξα νικητήριος.

8 *Φιλήμονος* (fr. 156 K.).

Ἔτεκές με, μῆτερ, καὶ γένοιτό σοι τέκνων
ὄνησις, ὥσπερ καὶ δίκαιον ἔστι σοι.

9 *Ἰουλίου ἐκ τῶν εἰς τὸν Διόνυσον καὶ τὴν πατρίδα γραφέντων.*

Κάδμον δ' ἀραμένη τλήμων ἐξῆλθεν Ἀγαυὴ
ὃν πατέρα τρομέοντα· φέρεν δέ μιν ὧν ὑπὲρ ὤμων
γήραϊ κεκμηῶτα, καλῷ δ' ἐβαρύνετο φόρτῳ.

10 *Σοφοκλῆς ἐν Ἀντιγόνῃ* (757).

Εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.

11 *Πυθαγόρου ἐκ τῶν Χρυσῶν ἐπῶν* (4 ed. Nauck).

Τούς τε γονεῖς τίμα τούς τ' ἄγχιστ' ἐκγεγαῶτας.

12 *Ἀγάθωνος* (fr. 28 p. 768 N.[2]).

Ὡς ἡδὺ τῷ φύσαντι πείθεσθαι τέκνα.

---

1 *κατενφρόνησε* A; *καταφρονήσειεν θεῶν* Nauck ‖ 2 ecl. sine lemmate cum prioribus distichis coniunctam hab. S M A, prioribus omissis sed lemmate *Ἀντιφάνους* iterato Mac. post *φέρει* fortius distinguunt (: ∾ distinctionem delevit S) M A lemmate *Φιλήμονος* male retracto ad *Ἡσσημένῳ* ex ecl. 8. versus ab antecedentibus diremit Grotius Dict. poet. p. 336, tragici esse poetae sensit Meineke Com. III p. 152. tragico autem, quod propter Kockium (Com. II p. 121 s.) moneo, suffragatur non solum *ἡσσημένω* quod in libris est sed etiam *αἰσχύνην φέρει* quod in eadem versus sede collocatum est Soph. Tr. 66 Eur. Hec. 1241 Ion. 854 ‖ 3 *γὰρ* suo more recidit Mac. ‖ 4 *νικητόριος* A ‖ 5 ecl. cum lemm. hab. S M A. *Φιλήμονος* lemma in M A legi ante *Ἡσσημένω* (*Ἡ* rubr. M), quasi ab hac voce nova ecloga incipiat, monui ad ecl. 7[b] ‖ 6 *μῆτερ* S M A ‖ 8 ecl. cum lemm. hab. S M A. *Ἰουλίου* S M pinacogr. Photii p. 53 Elt.: *Ἰλίου* A. v. *Διόνυσον καὶ τὴν πατρίδα γραφέντων* om. rubricator in M ‖ 10 *αδμον* (K om. rubr.) dein tres litt. rasae M | *δ' ἀραμένη* A *δ' ἄρα μὲν ἡ* M *ἄρα μὲν ἡ* S *ἀραμένη* Tr. | *ἀγαυὴ* S A *γυνή* M ‖ 11 *ὂν ὕπερ ὦμον* A ‖ 13 ecl. cum lemm. hab. S M A; *ἐν* S M, om. A ‖ 14 *ἦσθα* S M A | *σε* S M ‖ 15 ecl. cum lemm. hab. S M A, $\overset{\theta}{\text{πυ}}$ nec pl. S ‖ 16 *τούς τε* (ante *γονεῖς*) M Tr., Ps.-Pyth.: *σούς τε* S A, Ps.-Pythagorae non nulli | *ἄγχιστα* M ‖ 17 ecl. cum lemm. hab. S M A

13 *Ἀλέξιδος* (fr. 267 K.).

Οὐκ ἠξίωσα καταλιπεῖν τὴν μητέρα,
πρώτην δὲ σῴζειν· τοῖς γὰρ ὀρθῶς εἰδόσι
τὰ θεῖα μείζω μητρὸς οὐκ ἔστιν ποτέ.
ὅθεν † ὁ πρῶτος οὐκ ἀπαιδεύτως ἔχων,
ἱδρύσαθ' ἱερὸν μητρός, οὐ δείξας σαφῶς
ποίας, ἐάσας δ' ὑπονοεῖν εἰς τοὔνομα.

14 *Μενάνδρου* (fr. 586 K.).

Αἰσχύνομαι τὸν πατέρα, Κλειτοφῶν, μόνον.
ἀντιβλέπειν ἐκεῖνον οὐ δυνήσομαι
ἀδικῶν· τὰ δ' ἄλλα ῥᾳδίως χειρώσομαι.

15 *Εὐριπίδου Ἀλκμέωνος* (fr. 82 N.[2]).

Τὰ τῶν τεκόντων ὡς μετέρχεται θεὸς
μιάσματα.

16 *Διφίλου* (fr. 93 K.).

Εἰ τοῦ πατρὸς δόξαιμι κρεῖττόν σοι λέγειν,
ἐμαυτὸν ἀδικῶ κοὐκέτ' εἰμὶ θεοσεβής,
ὅτι τὸν κατασπείραντα λυπῶ κοὐ φιλῶ.

17 *Τιμοκλέους* (fr. 34 K.).

Ὅστις φοβεῖται τὸν πατέρα κᾀσχύνεται,
οὗτος πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον

---

1 ecl. cum lemm. hab. S M A; *ἀλεξίδου* M ‖ 2 *ἠξίωσ* (superscr. *α*) etiam A, si recte intellego notam Mekleri ‖ 4 *μεῖζον* A ‖ 5 *ὅθεν ὁ Προμηθεὺς* ci. G. Hermann, sed Prometheum si commemorasset poeta, vix adiecisset *οὐκ ἀπαιδεύτως ἔχων.* quare *ὅθεν βροτῶν τις* proposui Act. soc. phil. Lips. II p. 35. *ὅθεν Βροτέας ποτ'* ci. Kock conl. Paus. 3, 22, 4 ‖ 7 *δ'* om. A | *ὑπονοεῖσθαι τοὔνομα* ci. Kock ‖ 8 ecl. cum lemm. hab. M A, om. S ‖ 10 *ἀντιβλέπειν ⟨πρὸς⟩ ἐκεῖνον* prop. Naber mnemos.[2] VIII p. 423 ‖ 11 *ἀδίκως* M A: corr. Bentley ‖ 12 ecl. cum lemm. hab. M A, om. S; *ἀλκμαίωνος* A ‖ 15 ecl. cum lemm. hab. S M A ‖ 16 *εἰ τοῦ πατρὸς δοκῶ τι* (vel *δόξω τι*) *κρεῖττόν σου λέγειν Ἐμαυτόν, ἀδικῶ* prop. Herwerden Collect. cr. p. 152 s. et *δόξω τι* quidem praeeunte Blaydesio ‖ 17 *καὶ οὐκέτ'* M | *εἰμὶ θεοσεβής* Iacobs Lect. Stob. p. 120: *εἰμ' ευσεβης* S *εἶμευσεβὴσ* M *εἰμὶ εὐσεβὴς* A ‖ 18 *κατασπείροντα* A | *καὶ ου* M A ‖ 19 ecl. cum lemm. hab. S M A ‖ 20 *καὶ αἰσχύνεται* S M A ‖ 21 *οὗτος* S M *οὕτως* A. de Kockii commento vide Blaydesii Adv. in com. gr. fr. II p. 179 s.

καὶ τοὺς πολεμίους δυνάμενος κακῶς ποιεῖν.

18 *Μενάνδρου* (fr. 659 K.).

Μηθὲν ὀδύνα τὸν πατέρα γινώσκων, ὅτι
ὁ † μέγιστα ἀγαπῶν δι' ἐλάχιστ' ὀργίζεται.

19 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 234 N.[2]).

Πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ.

20 *Σοφοκλῆς Οἰδίποδι* (tyr. 999).

Τὰ τῶν τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν.

21 *Ὁμήρου* (Od. I 298 s.).

Ἦ οὐκ ἀίεις ὅσσον κλέος ἔλλαβε δῖος Ὀρέστης
πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα;

22 *Εὐριπίδου* (Herc. 583).

Δίκαια τοὺς τεκόντας ὠφελεῖν τέκνα.

23 *Εὐριπίδου Ἀλκμέωνι* (fr. 84 N.[2]).

Ἦ τί πλέον εἶναι παῖδας ἀνθρώποις, πάτερ,
εἰ μὴ 'πὶ τοῖς δεινοῖσιν ὠφελήσομεν;

24 *Σοφοκλέους Ἀκρισίῳ* (fr. 61 N.[2]).

Ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα
πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει.

25 *Χαιρήμονος* (fr. 33 p. 790 N.[2]).

Γένοιτό μοι τὰς χάριτας ἀποδοῦναι πατρί.

26 *Μενάνδρου* (fr. 805 K.).

Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.

---

2 ecl. cum lemm. hab. M A, om. S ‖ **3** *μηδὲν ὀδύνα τὸν* Bentley: *μηθέν ἀδύνατον* M *μηθένα δυνατὸν* A | *γινώσκων* M A | **4** *ὁ μέγιστα* M *μέγιστ'* (om. *ὁ*) A: *ὁ μέγιστον ἀγ.* Bentley, *ὁ πλεῖστον ἀγ.* vel *ὁ πλεῖστ' ἀγ. καὶ* Meineke, *ὁ μάλιστά σ' ἀγ.* Kock ‖ **5** ecl. sine lemm. hab. S, addito lemmate M A, om. Tr. ‖ **6** *λόγων* M ‖ **7** ecl. cum lemm. hab. S M A, *οἰδίποδι* om. S ‖ 8 *τεκόντων* Soph.: *τέκνων* S M A | *ὄμματ'* M ‖ **9** ecl. cum lemm. hab. S M A ‖ **10** *ἦ* om. A | *ὅσσον* scr. tacite Gesn.[1] f. 413[v]: *ὅσον* S M A *οἷον* Hom. ut dubitari possit utrum maluerit gnomologus | *ἔλλαβε* Hom.: *ἔλαβε* S M A ‖ **11** *πατροφονῆα* (*ῆ* e corr. M[1]) S M. Hom. *πατροφόνια* A ‖ **12** ecl. cum lemm. hab. M A, om. S ‖ **14** ecl. sine lemm. hab. S, addito lemmate M A; *ἀλκμαίωνι* A. lemma *Σοφοκλέους* ex ecl. proxima huc male retraxit Tr. ‖ **17** ecl. cum lemm. S M A; *σοφοκλῆσ* M. vide supra IV 23, 28 p. 579, 10 adn ‖ **20** ecl. cum lemm. hab. M A, om. S ‖ **22** ecl. sine lemm. hab. S, addito lemmate M A. recurrit versus inter monost. 378

27 *Εὐριπίδου* (fr. 1064 N.[2]).

Ἀλλ' ἴσθ', ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος,
τὸ μὴ οὐ σέ, μῆτερ, προσφιλῆ νέμειν ἀεὶ
καὶ τοῦ δικαίου καὶ τόκων τῶν σῶν χάριν.
στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν
μάλισθ'· ὁρίζω τοῦτο, καὶ σὺ μὴ φθόνει·
κείνου γὰρ ἐξέβλαστον· οὐδ' ἂν εἷς ἀνὴρ
γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός.

28 *Ὀρφέως* (fr. 281 Abel).

Ζεὺς δ' ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας,
ηδ' ὅσοι οὐκ ἀλέγουσιν ἀναιδέα θυμὸν ἔχοντες.
καὶ τοῖς μὲν πρόφρων τε καὶ ἤπιος ἐσθλὰ δίδωσι,
τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται ἐμμενὲς αἰεί·
δειναὶ γὰρ κατὰ γαῖαν Ἐρινύες εἰσὶ τοκήων.

29 *Εὐριπίδου Ἀλόπης* (fr. 110 N.[2]).

Ἐγὼ δ', ὃ μὲν μέγιστον, ἄρξομαι λέγειν
ἐκ τοῦδε πρῶτον· πατρὶ πείθεσθαι χρεὼν
παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην.

30 *Φιλήμονος* (fr. 199 K.).

Βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν.

31 *Χαιρήμονος.*

* * *

---

1 ecl. cum lemm. hab. S M A. ex Phoenice sublatam esse ci. Evaldus Bruhn ‖ **2** *ἴσθ'* (sine acc. M) S M A: *ἴστ'* Tr. ‖ **3** *οὖ* (sine spir. M) *σε* S M A | *ἀεὶ* Scaliger ap. Grotium Dict. poet. p. 546: *δεῖ* S M A ‖ **5** *δὲ* supra lin. A[1] | *τῶν* om. A ‖ **8** *τοῦ πατρὸς Φῦναι* olim fuisse conieci Act. soc. philol. Lips. II p. 13 ‖ **9** ecl. cum lemm. hab. S M A ‖ **12** *πρώφρων* M ‖ **13** *ἐμμενὲς ἀεί* Elmsley: *ἐν μὲν ἔσδει* S *ἐν μὲν ἐσ δεῖ* M A *εὐμενίδεσσι* Tr. ‖ **14** *ἐρινύες* S M *ἐριννύες* Tr. et ut videtur A ‖ **15** ecl. cum lemm. hab. M A, om. S. eosdem versus sine fab. nom. offert Orio flor. Eur. 11 p. 56, 17 ‖ **16** *δὲ* M | *ὃ μὲν*] *ὅθεν* Or. ‖ **17** *πρῶτον* om. Or. ‖ **18** *τ'*] *δ'* Or. | *τοῦτ' εἶναι*] *τὴν* Or. ‖ **19** ecl. cum lemm. hab. S M A. recurrit versus inter Men. mon. 72. ad *Thesaurum* rettulit G. Hermann Plaut. Trin. praef. p. XXVII. inter Chaeremonis fragmenta recepit Nauck p. 790, vide ad 31 ‖ **20** *γονῆς* in Chaeremone Nauck | *πρώτιστον*] *πρὸ παντὸς* Mon. ‖ **21** lemma cum versu *βεβαιοτέραν κτέ.* habent S M A. Philemoni versum tribuit Meineke hist. cr. com. p. 519 qua coniectura

31[a] (contin. 31 Mein.: incerti poetae comici)

Βεβαιοτέραν ἔχε τὴν φιλίαν πρὸς τοὺς γονεῖς.

32 *Μενάνδρου* (fr. 806 K.).

Δίκας γραφόμενος τοὺς γονεῖς μαίνῃ, τάλαν.

33 *Δικαιογένους* (fr. 5 p. 776 N.²).

Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς.

34 *Πλάτωνος Νόμων ια'* (p. 930 E — 931 A).

Γονέων δὲ ἀμελεῖν οὔτε θεὸς οὔτ' ἄνθρωπος ξύμβουλος νοῦν ἔχων ποτὲ γένοιτ' ἂν οὐδεὶς οὐδενί. φρονῆσαι δὲ χρὴ περὶ θεῶν θεραπείας τοιόνδε προοίμιον ἂν γενόμενον εἰς τὰς τῶν γεννησάντων τιμάς τε καὶ ἀτιμίας ὀρθῶς ξυντεταγμένον· νόμοι περὶ θεοὺς ἀρχαῖοι κεῖνται πᾶσι διχῇ. τοὺς μὲν γὰρ τῶν θεῶν ὁρῶντες σαφῶς τιμῶμεν, τῶν δ' εἰκόνας ἀγάλματα ἱδρυσάμενοι, οὓς ἡμῖν ἀγάλλουσι καίπερ ἀψύχους ὄντας, ἐκείνους ἡγούμεθα τοὺς ἐμψύχους θεοὺς πολλὴν διὰ ταῦτ' εὔνοιαν καὶ χάριν ἔχειν. πατὴρ οὖν ὅτῳ καὶ μήτηρ ἢ τούτων πατέρες ἢ μητέρες ἐν οἰκίᾳ κεῖνται κειμήλιοι ἀπειρηκότες γήρᾳ, μηδεὶς διανοηθήτω ποτὲ ἄγαλμα αὐτῷ, τοιοῦτον ἐφέστιον

---

satis incerta usus lemmata huius et antecedentis versiculi transponi iussit Nauck l. c. inter Philemonis fragmenta dubia recepit Kock Com. II p. 538. cautius existimavi lacunam signare post *Χαιρήμονος*

2 *βεβαιοτάτην* Grotius. cf. Hierocles p. 641, 7 | *ἔχε τὴν φιλίαν* tacite Gaisford (de A codice errans): *τὴν φιλίαν ἔχε* S M A; *φιλίαν ἔχε τὴν* Elter. fortasse scriptoris cuiusdam prosarii esse haec verba opinatur Meineke in Stob., vix apte, nisi forte ex margine ea huc irrepsisse putaveris. separari solent in Stobaeo pedestris sermonis eclogae a poeticis ‖ **3** ecl. cum lemm. hab. S M A ‖ **4** *τοὺς* Blaydes Adv. in com. gr. fr. II p. 234: *πρὸς* S M A | *μαίνῃ* A Tr.: *μένῃ* S M ‖ **5** ecl. cum lemm. hab. S M A. recurrit sententia inter Men. mon. 238 ‖ **6** *θεοὶ μέγιστοι* monost. | *γονῆς* Nauck ‖ **7** ecl. cum lemm. hab. S M A. verba *γονέων δὲ ἀμελοῦντι* (sic) *οὔτε θεὸς — οὐδεὶς οὐδενί* leguntur etiam infra ecl. 46 (*τοῦ αὐτοῦ*). pendet ab his verbis etiam Pempelus Thurius ecl. 52 init. ‖ **8** *οὔτε θεὸς* ecl. 46, Plat.: *οὔτε θεῶν* supra lin. S¹ om. M A Tr. | *νοῦν ἔχων ξύμβουλός* (*σύμ-* Plat.) *ποτε* ecl. 46, Plat. ‖ **9** *ποτὲ* om. A ‖ **13** *τῶν* om. A ‖ **15** *ἡγήμεθα* A ‖ **16** *χαρὰν* non nulli Plat. ‖ **19** *ποτὲ ἄγαλμα αὐτῷ* (*αὐτῷ* Plat.) reposui ex M A, Plat.: *ἄγαλμα αὐτῷ ποτε* S | *ἐφέσιον* M A

ἵδρυμα ἐν οἰκίᾳ ἔχων, μᾶλλον κύριον ἔσεσθαι, ἐὰν δὴ κατὰ τρόπον γε ὀρθῶς αὐτὸ θεραπεύῃ ὁ κεκτημένος.

35 *Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος* (p. 4 E).

Σὺ δὲ δὴ πρὸς Διός, ὦ Εὐθύφρων, οὑτωσὶ ἀκριβῶς οἴει ἐπίστασθαι περὶ τῶν θεῶν ὅπῃ ἔχει, καὶ τῶν ὁσίων τε καὶ ἀνοσίων, ὥστε τούτων οὕτω πραχθέντων ὡς σὺ λέγεις, οὐ φοβῇ δικαζόμενος τῷ πατρὶ ὅπως μὴ αὖ σὺ ἀνόσιον πρᾶγμα τυγχάνῃς πράττων;

36 *Ἰσοκράτους πρὸς Δημόνικον* (§ 14 p. 4 E).

Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας.

37 *Ἀναξιμένους.*

Οὗτος γὰρ μάλιστα πάντων φιλοπάτωρ ἐστίν, ὅστις ζητεῖ δι' οὗ μηδὲν λυπήσας τὸν πατέρα πλεῖστ' αὐτὸς εὐφράναιτ' ἄν. τί γάρ ἐστι δικαιότερον ἢ τοὺς γενέσεως καὶ παιδείας αἰτίους ὄντας ἀντευεργετεῖν;

38 *Αἰλιανοῦ ἐκ τῆς Συμμίκτου ἱστορίας* (p. 427 ed. mai. Herch.).

Πρώτῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι φασὶ τὴν Αἴτνην ῥυῆναι, ὅτε καὶ Φιλόνομος καὶ Καλλίας οἱ Καταναῖοι

---

1 *ἵδρυμα*] *οἴκημα* ex Platonis Ald. ut supra *παρὰ πᾶσι* Gesn.[1] mrg. ‖ 2 *γε* om. A | *ὀρθῶς θεραπεύῃ αὐτὸ ὁ* (sic) *κεκτ.* A. vocem *ὀρθῶς* et 1 *ἐν οἰκίᾳ* tamquam emblemata expelli iubet Cobet mnemos.[2] II p. 431 ‖ 3 ecl. cum lemm. hab. M A, om. S ‖ 4 *εὐθύφρον* A ‖ 6 *τὲ* M *τϊ* A ‖ 9 ecl. cum lemm. hab. S M A, *πρὸς Δημόνικον* om. M A. recurrit corp. Par. 128 Elt. (*Ἰσοκράτους*). interpretatur [Sergius] expl. in Don.: Gramm. lat. IV p. 553, 6 K. similia congessit E. Drerup in Isocr. v. I p. 98 ‖ 10 *τοιούτους* A | *γίνου* S M A corp. Par. *γίγνου* Ps.-Is. ‖ 11 *σεαυτοῦ* Is. lib. plerique, corp. Par.: *ἑαυτοῦ* S M A ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 15 *αὐτὸς εὐφράναιτ' ἂν* Nauck (per litt.): *αὐτὸν εὐφράναιτ' ἂν* libri; *αὐτὸν εὐφράναι ἂν* vel *εὐφρᾶναι ⟨δύναι⟩τ' ἂν* prop. Meineke | *γενέσωσ* M ‖ 17 ecl. cum lemm. hab. S M A. in variae historiae codicibus non exstat locus. recurrit corp. Par. 738 Elt. (*Αἰλιανοῦ ἱστορίᾳ*). cod. saec. X Coislin. n. 371, de quo rettulit Hercher Aeliani ed. Didot. p. 427, est Maximi codex, docuit me Elter ‖ 19 *ὀγδοηκοστῇ* S M corp. Par. *π̄* A *εἰκοστῇ* etiam cod. 'Bodleianus Clark. 11 Catal. p. 20', ut adnotat Gaisford | *ὀλυπιάδι* S

τοὺς ἑαυτῶν πατέρας ἀράμενοι διὰ μέσης τῆς φλογὸς ἐκόμισαν, τῶν ἄλλων κτημάτων καταφρονήσαντες, ἀνθ᾽ ὧν καὶ ἀμοιβῆς ἔτυχον τῆς ἐκ τοῦ θείου· τὸ γάρ τοι πῦρ θεόντων αὐτῶν διέστη καθ᾽ ὃ μέρος ἐκεῖνοι παρεγίνοντο.

39 *Τοῦ αὐτοῦ* (IX 33).

Μειράκιον Ἐρετρικὸν προσεφοίτησε Ζήνωνι πλείονος χρόνου ἔστ᾽ † ἂν καὶ εἰς ἄνδρας ἀφίκετο. ὕστερον οὖν εἰς τὴν Ἐρετρίαν ἐπανῆλθεν, καὶ αὐτὸν ὁ πατὴρ ἤρετο, ὅ τι ἄρα μάθοι σοφὸν ἐν τῇ τοσαύτῃ διατριβῇ τοῦ χρόνου. ὁ δὲ ἔφη δείξειν, καὶ οὐκ εἰς μακρὰν ἔδρασε τοῦτο. χαλεπήναντος γὰρ αὐτῷ τοῦ πατρὸς καὶ τέλος πληγὰς ἐντείναντος, ὁ δὲ τὴν ἡσυχίαν ἀγαγὼν καὶ ἐγκαρτερήσας τοῦτο ἔφη μεμαθηκέναι, φέρειν ὀργὴν πατέρων καὶ μὴ ἀγανακτεῖν.

40 *Πλάτωνος* (epist. VII p. 331 C).

Πατέρα δὲ ἢ μητέρα οὐχ ὅσιον ἡγοῦμαι προσβιάζεσθαι μὴ νόσῳ παραφροσύνης ἐχομένους, ἐὰν δέ τινα καθεστῶτα ζῶσι βίον, αὐτοῖς μὲν ἀρέσκοντα, ἐμοὶ δὲ μή, μήτε ἀπεχθάνεσθαι νουθετοῦντα ⟨μήτε δὴ κολακεύοντά γε ὑπηρετεῖν αὐτοῖς, πληρώσεις ἐπιθυμιῶν⟩ ἐκπορίζοντα, ἃς αὐτὸς ἀσπαζόμενος οὐκ ἂν ἐθέλοιμι ζῆν.

---

3 *ἐκ τοῦ θείου* S M A *εἰς τὸ θεῖον* Tr. ‖ 5 ecl. cum lemm. hab. S M A. breviata est historiola in Aeliani codicibus sic *Μειράκιον Ἐρετρικὸν Ζήνωνι προσεφοίτησε πλείονα χρόνον. ἐπανελθόντα δὲ ἤρετο ὁ πατὴρ τί ἄρα μάθοι σοφόν, ὁ δὲ ἔφη δείξειν. χαλεπήναντος δὲ τοῦ πατρὸς καὶ πληγὰς ἐντείναντος τὴν ἡσυχίαν ἀγαγὼν καὶ ἐγκαρτερήσας τοῦτο ἔφη μεμαθηκέναι, φέρειν ὀργὴν πατρός.* cf. Hercher Ael. ed. Didot. praef. p. V s. ‖ 7 *ἂν καὶ* secl. Hercher ed Teubn. conicio *ἔστ᾽ ἀκαρὴς εἰς ἄνδρας ἀφ.* | *εἰς* S M A *ἐς* Tr. | *οὖν* om. S ‖ 8 *εἴρετο* S[1] corr. S[2] *εἴρετο* ex *ἤ-* corr. M[1] *ἤρετο* A Tr. ‖ 9 *τοιαύτῃ* A ‖ 10 *ἔφη δείξειν* reposui ex M A, Ael.: *δείξειν ἔφη* S ‖ 12 *ὁ δὲ* (ut scripserat Hercher) A *ὃ δὴ* M *ὁδὶ* S ‖ 15 ecl. cum lemm. hab. M A, om. S ‖ 17 *ἐχομένους* ex *-νης* corr. A[1] ‖ 18 *καθεστῶτα* M *καθιστῶτα* A | *ἑαυτοῖς ἀρέσκοντα* Plat. ‖ 19 *ἀπεχθ. μάτην νουθετ.* Plat. | *μήτε δὴ — ἐπιθυμιῶν* tacite ex Plat. addidit Gesn.[2] p. 456: om. M A. integrum versum ut videtur transiluit archetypi librarius. fort. *νουθετοῦντα ⟨μάτην, μήτε — ἐπιθυμιῶν⟩* ‖ 20 *τε* Platonis cod. Paris. 1807 *γε* (*γ᾽* supra vers.) idem e corr. ‖ 21 *ἃσ* M *οὓς* A

41 *Πιττακοῦ.*

Πιττακὸς παρακαλούμενος υἱῷ καὶ πατρὶ διαιτῆσαι εἶπε πρὸς τὸν υἱόν ‘εἰ μὲν ἀδικώτερα μέλλεις λέγειν τοῦ πατρός, κατακριθήσῃ· εἰ δὲ δικαιότερα, διὰ τοῦτο αὐτὸ ἄξιος εἶ κατακριθῆναι’.

42 *Σωκράτους.*

Ἀγνώμονι πατρὶ καθάπερ αὐστηρῷ νόμῳ συμπεριενεκτέον.

43 *Πλάτωνος.*

Πλάτων θρασυνόμενον ἰδών τινα πρὸς τὸν ἑαυτοῦ πατέρα ‘οὐ παύσῃ μειράκιον’ εἶπε ‘τούτου καταφρονῶν, δι’ ὃν μέγα φρονεῖν ἀξιοῖς;’

44 *Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων.*

Οἱ ἄρτι ἐκ φιλοσοφίας πάντας ἐλέγχοντες καὶ ἀπὸ τῶν γονέων ἀρχόμενοι πάσχουσιν ὅπερ νεώνητοι κύνες· οὐ μόνον τοὺς ἄλλους ὑλακτοῦσιν ἀλλὰ καὶ τοὺς ἔνδον.

45 *Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων* (Diels *Vorsokr.*[2] I p. 283).

Μετὰ τὸ θεῖον καὶ δαιμόνιον πλεῖστον ποιεῖσθαι

---

1 ecl. sine lemm. hab. S, addito lemmate MA. recurrit gnomol. Paris. 78 Sternb., paulum variata gnomol. Vat. 458 et gnomol. Paris. 10 Sternb. sed horum discrepantias adferri nihil attinet ‖ 3 *εἶπεν* (ut 11) M ‖ 4 *καταφιθήσῃ* (sic) A[1] *κρ* supra scr. m. recentior | *αὐτὸ* M, gnomol. Paris. 78: *αὐτὸς* A, om. S ‖ 5 *εἶ* om. A ‖ 6 ecl. cum lemm. hab. SMA, om. Tr. sine lemmate recurrit gnom. homoeom. 171 Elt. (= append. Vat. 363 Sternb.) ‖ 7 non recte *νόμῳ* in *οἴνῳ* mutari voluit Wyttenbach animadv. in Plut. p. 124 B | *-ενεκτέον* forma rara ‖ 9 ecl. sine lemm. hab. S, addito lemmate MA. recurrit corp. Par. 737 Elt. (*Πλάτωνος*). cf. gnomol. Vat. 429 Sternb *Ὁ αὐτὸς* (sc. *Πλάτων*) *ἰδών τινα πατρὸς καταφρονοῦντα ‘οὐ παύσῃ’ ἔφη ‘τούτου καταφρονῶν, δι’ ὃν σὺ μέγα φρονεῖς;’* similiter conceptum Diogeni datur apophthegma a Laertio VI 65 ‖ 13 ecl. cum lemm. SMA; *ἐκ* $\overline{\tau}$ M. *ὁμοιωμάτων* om. S ‖ 15 *ὅπερ* SM: *ὅπερ καὶ* *οἱ* A[1] ut videtur | *νέον ἤτοι* S ‖ 16 *οἱ* ante *οὐ* inseruit A[2]. seclusis his emblematis quanto iam concinnius dictum est et argutius | *τοὺς*] *τὸ* A[1] ‖ 17 ecl. cum lemm. hab. SMA; *ἐκ* $\overline{\tau}$ *ἀριστοξ*[ε] e. q. s. S. cf. Iambl. de vita Pyth. 175 et 176 ‖ 19 *καὶ μετὰ* A | *μετὰ δὲ τὸ θεῖόν τε καὶ τὸ δαιμόνιον* Iambl.

λόγον γονέων τε καὶ νόμων μὴ πλαστῶς, ἀλλὰ πεπιστευμένως ἑαυτὸν πρὸς ταῦτα παρασκευάζοντα. τὸ μένειν ⟨ἐν⟩ τοῖς πατρίοις ἔθεσί τε καὶ νόμοις ἐδοκίμαζον, εἰ καὶ μικρῷ χείρω τῶν ἑτέρων εἴη.

46 *Τοῦ αὐτοῦ* (Plat. Leg. XI p. 930 E).

Γονέων δὲ ἀμελοῦντι οὔτε θεὸς οὔτε ἄνθρωπος νοῦν ἔχων ξύμβουλός ποτε γένοιτ' ἂν οὐδεὶς οὐδενί.

47 *Τοῦ αὐτοῦ* (p. 931 E).

Πᾶς δὴ νοῦν ἔχων φοβεῖται καὶ τιμᾷ γονέων εὐχάς, εἰδὼς πολλοῖς καὶ πολλάκις ἐπιτελεῖς γινομένας.

48 *Τοῦ αὐτοῦ* (p. 932 A).

Τοῖς μὲν ἀγαθοῖς ἕρμαιον πρόγονοι γηραιοί, ζῶντες μέχρι τῶν ἐσχάτων τοῦ βίου, καὶ ἀπιόντες νέοις σφόδρα ποθεινοί, τοῖς δὲ κακοῖς εὖ μάλα φοβεροί.

49 *Πλάτωνος Νόμων δ'* (p. 717 B — 718 A).

Γονέων δὲ μετὰ ταῦτα τιμαὶ ζώντων· ὡς θέμις ὀφείλοντα ἀποτίνειν τὰ πρῶτά τε καὶ μέγιστα ὀφειλήματα, χρεῶν πάντων πρεσβύτατα, νομίζειν δέ, ἃ κέκτηται καὶ ἔχει, πάντα εἶναι τῶν γεννησάντων καὶ θρεψαμένων πρὸς

---

1 *λόγον γονέων* M A² Tr., Iambl.: *λόγον νέων* S A¹ | *νόμου, καὶ τούτων ὑπήκοον αὐτὸν κατασκευάζειν, μὴ πλαστῶς ἀλλὰ πεπεισμένως* Iambl. | *πεπιστευμένως* vitiosum putat Nauck ‖ **2** *μένειν ἐν* Iambl. l. c. 176: *μένειν* S M A; *ἐμμένειν* tacite scr. Gesn.¹ fort. recte, ⟨*δ' ἐμ*⟩*μένειν* Elter ‖ **3** *πατρῴοις* A | *νομίμοις ἐδοκίμαζον οἱ ἄνδρες ἐκεῖνοι, κἂν ᾖ μικρῷ χείρω ἑτέρων* Iambl. | *ἐδοκίμαζον — ἑτέρων εἴη* om. Tr. ‖ **4** *χείρω* S M *χείρων* A ‖ **5** ecl. cum lemm. hab. M A, om. S. nisi in lemmate a librario erratum est, *τοῦ αὐτοῦ* ita lucem accipiet, si eiusdem Legum libri undecimi eclogam olim praecessisse sumens signaveris lacunam. legitur ecloga supra n. 34 sed auctior multo ‖ **6** *ἀμελοῦντι* M A: *ἀμελεῖν* ecl. 34, Plat. | *οὔτε θεὸς*] cf. ecl. 34 adn. ‖ **7** *ξύμβουλος* (*σύμ-* Plat.) *νοῦν ἔχων* ecl. 34, Plat. | *ποτὲ γένοιτ' ἂν* M, ecl. 34, Plat.: *γένοιτ' ἂν ποτε* A ‖ **8** ecl. cum lemm. hab. M A, om. S ‖ **10** *καὶ* reposui ex M, Plat.: om. A | *γενομένας* Plat. ‖ **11** ecl. cum lemm. hab. S M A ‖ **12** *γηραιοί* reposui ex S, Plat.: *γηραιὸν* sic sed *α* superscr. et *ι* ex *ε* corr. M¹ *γήραϊ* A ‖ **13** *νέοις* S M A, contestatur infra Pempelus p. 639, 11: *νέοι* Plat. ‖ **15** ecl. cum lemm. hab. S M A ‖ **17** *ἀποτείνειν* (*ει* in *ι* corr. fort. S¹) S M A | *ὀφειλήματα* tacite ex Plat. Gesn.¹: *φιλήματα* S M A ‖ **18** *πρεσβύτατον* A ‖ **19** *γενησάντων* A

τὸ παρέχειν αὐτὰ εἰς ὑπηρεσίαν ἐκείνοις κατὰ δύναμιν πᾶσαν, ἀρχόμενον ἀπὸ τῆς οὐσίας, δεύτερα τὰ τοῦ σώματος, τρίτα τὰ τῆς ψυχῆς, ἀποτίνοντα δανείσματα ἐπιμελείας τε καὶ ὑπερπονούντων ὠδῖνας παλαιὰς ἐπὶ νέοις δανεισθείσας, ἀποδιδόντα δὲ παλαιοῖς ἐν τῷ γήρᾳ σφόδρα κεχρημένοις. παρὰ δὲ πάντα τὸν βίον ἔχειν τε καὶ ἐσχηκέναι χρὴ πρὸς αὑτοῦ γονέας εὐφημίαν διαφερόντως, διότι κούφων καὶ πτηνῶν λόγων βαρυτάτη ζημία. πᾶσι γὰρ ἐπίσκοπος τοῖς περὶ τὰ τοιαῦτα ἐτάχθη Δίκης Νέμεσις ἄγγελος. θυμουμένοις γε οὖν ὑπείκειν δεῖ καὶ ἀποπιμπλᾶσι τὸν θυμόν, ἐάν τε ἐν λόγοις ἐάν τε ἐν ἔργοις δρῶσι τὸ τοιοῦτον, ξυγγιγνώσκοντα, ὡς εἰκότως μάλιστα πατὴρ ὑεῖ δοξάζων ἀδικεῖσθαι θυμοῖτ᾽ ἂν διαφερόντως. τελευτησάντων δὲ γονέων ταφὴ μὲν ἡ σωφρονεστάτη καλλίστη, μήτε ὑπεραίροντα τῶν εἰθισμένων ὄγκων μήτ᾽ ἐλλείποντα ὧν οἱ προπάτορες τοὺς αὐτῶν γεννητὰς ἐτίθεσαν, τάς τε αὖ κατὰ ἐνιαυτὸν τῶν ἤδη τέλος ἐχόντων ὡσαύτως ἐπιμελείας τὰς κόσμον φερούσας ἀποδιδόναι, τῷ δὲ μὴ παραλείπειν μνήμην ἐνδελεχῆ παρεχόμενον, τούτῳ μάλιστ᾽ ἀεὶ πρεσβεύειν, δαπάνης τε τῆς διδομένης ὑπὸ τύχης τὸ μέτριον τοῖς κεκμηκόσι νέμοντα. ταῦτα δ᾽ ἂν ποιοῦντες καὶ κατὰ ταῦτα ζῶντες ἑκάστοτε

1 *αὐτὰ* Plat.: *αὐτὸ* S *αὐτὸν* M A ‖ 2 *δεύτερον* — *τρίτον* A ‖ 3 *ἀποτείνοντα* S A *ἀποτίν-* ut videtur M ‖ 5 *δανεισθείσας* A, Plat.: *δανεισθεῖσα* SM | *δὲ καὶ παλαιοῖσ* M ‖ 7 *χρὴ* om. A | *αὑτοῦ* Plat.: *αὐτοὺς* S M A ‖ 8 *λόγον* in *λόγων* corr. M[1] ‖ 9 *τοῖς* S M, Plat. *τῆς* A ‖ 10 *θυμουμένουσ* M | *τε οὖν* Plat. ‖ 13 *ὑεῖ* M, Plat.: *υἱεῖ* S A ‖ 15 *τῶν εἰθισμένων ὄγκων* M, Plat.: *τὸν εἰθισμένον ὄγκον* S A; *τῶν εἰθισμένων ὄγκον* Badham | *μήτε ἐλλείποντα* (praetuli *μήτ᾽ ἐλλ-*) tacite e Plat. Gesn.[1] f. 414[v]: *μήτε λείποντα* S M A ‖ 16 *εἰς τοὺς* Stephanus | *αὐτῶν γεννήτας* tacite e Plat. Gesn.: *αὐτογεννήτας* (sine acc. S) S M A *αὐτογεννήτους* Tr.; *τοῖς αὐτῶν γεννήταις* Badham ‖ 17 *τῶν* om. S ‖ 19 *τῶ* A *τ* (superscr. *ω*) in ras. M[2], *τῷ* Plat.: *τὸ* (ut voluit Badham) S | *δὲ μὴ* S M, Plat. *μὴ δὲ* A | *παραλείπειν* Plat.: *παραλιπεῖν* S M A ‖ 20 *τούτω* M A, Plat.: *τοῦτο* (ut voluit Badham) S | *μάλιστα* (praetuli *μάλιστ᾽*) *ἀεὶ* tacite e Plat. Gesn.[1]: *μάλιστά* (*μάλιστα* M, fort. A) *οἱ* S M A | *τε* secl. Ast ¦ *τῆς* corr. ex *τοῖς* S[1] 22 *ταῦτ᾽ ἂν* Plat.

ἕκαστοι τὴν ἀξίαν παρὰ θεῶν καὶ ὅσοι κρείττονες ἡμῶν κομιζοίμεθα, ἐν ἐλπίσιν ἀγαθαῖς διάγοντες τὸ πλεῖστον τοῦ βίου.

50 *Περικτυόνης Πυθαγορείας ἐκ τοῦ Περὶ γυναικὸς ἁρμονίας.*

Οὔτε λέξαι δεῖ κακὸν γονέας οὔτε ἔρξαι, πείθεσθαι δὲ ⟨ἐν⟩ σμικροῖσί τε καὶ μεγάλοισι γονεῦσιν, ἐν πάσῃ δὲ ψυχῆς τε καὶ σώματος τύχῃ καὶ τῶν ⟨ἔσωθεν καὶ τῶν⟩ ἔξωθεν, καὶ ἔν τε εἰρήνῃ καὶ πολέμῳ, καὶ ὑγιείῃ ⟨καὶ νούσῳ⟩, καὶ πλούτῳ καὶ ἀπορίῃ, καὶ δόξῃ καὶ ἀδοξίῃ, καὶ ἰδιώτῃσι καὶ ἄρχουσιν, ὁμουρέειν δεῖ καὶ φεύγειν μηδέποτε, πείθεσθαι δὲ μονονουκὶ καὶ μανίῃ· πεπνυμένα γὰρ ταῦτα καὶ κρήγυα τοῖσιν εὐσεβέσιν. εἰ δέ τις γονέας ὑπερφρονέοι ἐν ἰδέῃ κακῶν ἡτινιῶν, ταύτῃ καὶ ζώσῃ καὶ θανούσῃ ἁμαρτίη παρὰ θεοῖσι γράφεται, ὑπό τε ἀνθρώπων μισέεται, καὶ ὑπὸ γῆν μετὰ τῶν ἀσεβέων ἐν τουτέων τῷ χώρῳ δι' αἰῶνος κακοῖσι ἰαπτομένῃ ὑπὸ δίκης καὶ τῶν ἔνερθε θεῶν, οἳ τουτέων ἐπίσκοποι ἐτάγησαν τῶν πρηγμάτων. θείη γὰρ καὶ καλὴ ὄψις γονέων, καὶ ἡ τουτέων ὄπις

1 *τὴν ἀξίαν ἂν* Plat. ‖ **4** ecl. cum lemm. hab. SMA; *πυθαγορίας* libri ‖ **7** *ἐν* inseruit Koen | *ἐν σμικροῖσί τε καὶ μεγάλοισιν*] cf. Teletis rel.² p. 52, 6 cum adn. | *σμικροῖσι* (-*σιν* M) MA *μικροῖσι* S ‖ **8** *ἔσωθεν καὶ τῶν* addidit Meineke | *καὶ* (ante *πολ.*) A: *ἢ* S *κῆ ἡ* M ‖ **9** *καὶ νούσῳ* vel *καὶ ἀρρωστίῃ* suppleri voluit Orelli Opusc. sent. II p. 719 ‖ **10** *ἀδοξίῃ* Tr.: *ἀδοξία* SM *ἀπορία* A | *ὁμοῦ ῥέειν* M ‖ **11** *δεῖ* libri: *δὲ ἀεὶ* ci. Meineke, sed exspectes *δὲ αἰεὶ* | *μηδέποτε* SM *οὐδέποτε* A ‖ **12** *μονονουκὶ* MA *μονονουχὶ* S | *καὶ ⟨ἐν⟩ μανίῃ* Salmasius, *καὶ μανεῖσι* Meineke. fort. *καὶ μανίῃ ⟨ἐχομένοισι⟩* sim. ‖ **13** *εὐσεβέσιν* SMA *εὐσεβέεσιν* Tr. | *εἰ δέ τις* SM *εἰδότες* A | *ὑπερφρονέοιεν* SMA: corr. Halm lect. Stob. p. 33 ‖ **14** *ἰδέῃ* SA *ἴδεῃ* M *ἡτινιῶν* Halm: *ἤ τινι ὧν* S *ἡτινῒ ὧν* M *ἤ τινι ὧν* A ‖ **15** *ἁμαρτία* SMA: corr. Meineke ‖ **16** *ἀσεβῶν* SMA: corr. Meineke. cf. flor. 85, 19 p. 145, 17 Mein. | *τουτέων* Meineke: *τουτέω* (vel -*ῳ*) SMA sed sine acc. A ‖ **17** *δι' αἰῶνος* SM *δίαιῶ* A | *κακοῖσιν ἁπτομένῃ* (-*να* A) SMA: corr. Meineke | *ἁπτομένα ὑπὸ λύπης ὑπὸ δίκης* sed v. *ὑπὸ λύπης* expuncta A ‖ **18** *ἔνερθε* SM -*θεν* Tr. et fort. A | *τουτέων* Meineke: *τούτων* libri | *πρηγμάτων* SM *πραγμ-* A ‖ **19** *καὶ ἡ* SM: *καλὴ* A | *ὄπις* Meineke: *ἄψις* sine acc. SM *ἅψις* Tr. *ὄψις* A

καὶ θεραπείῃ, ὁκόση οὐδὲ ἡλίου οὐδὲ πάντων ἄστρων, τὰ οὐρανὸς ἐναψάμενος ἀμφιχορεύει, καὶ εἴ τι ἄλλο δοκέει τις χρῆμα μέζον εἶναι ἐόντων κατὰ θεωρίην. δοκέω δὲ μη⟨δὲ⟩ θεοὺς ⟨δυσ⟩φορέειν, ὁκότε τοῦτο ὁρέωσι γιγνόμενον. καὶ ζῶντας ὦν καὶ ἀποιχομένους σέβειν χρὴ καὶ μηδέποτε ἀντιλεσχαίνειν, ἀλλ' ἢν καὶ ἀγνωμονέωσι νούσῳ ἢ ἀπάτῃ παρηγορέειν καὶ διδάσκειν, ἐχθρεύειν δὲ μηδαμῇ. μέζων γὰρ ἁμαρτίη καὶ ἀδικίη ἀνθρώπων οὐκ ἂν γένοιτο ἢ ἐς πατέρας ἀσεβέειν.

51 *Μουσωνίου ἐκ τοῦ Εἰ πάντα πειστέον τοῖς γονεῦσιν* (Muson. rel. p. 81, 14 H.).

Νεανίας τις, ὃν ὁ πατὴρ φιλοσοφεῖν βουλόμενον ἐκώλυεν, ἤρετο αὐτὸν ὧδέ πως· Ἆρά γε, ὦ Μουσώνιε, χρὴ πάντα πείθεσθαι τοῖς γονεῦσιν, ἢ ἔστιν ἃ καὶ παρακουστέον αὐτῶν; Καὶ ὁ Μουσώνιος· Πείθεσθαι μέν, ἔφη, μητρὶ ἢ πατρὶ τῷ ἑαυτοῦ ἕκαστον φαίνεται καλόν, καὶ ἐπαινῶ ἔγωγε. τί μέντοι τὸ πείθεσθαί ἐστι, θεασώμεθα· μᾶλλον δὲ πρότερον τὸ ἀπειθεῖν ὁποῖόν τι, καὶ ὁ ἀπειθὴς ὅστις, καταμάθωμεν, εἶθ' οὕτως κρεῖττον ὀψόμεθα τὸ πείθεσθαι ὁποῖόν τί ἐστι. φέρε δή, εἰ ὑῷ νοσοῦντι

---

1 *θεραπείῃ* Tr.: *θεραπείᾳ* SMA ‖ **2** *οὐρανὸς ἐναψάμενος*] *οὐρανὸν συναψάμενα* prop. Meineke. respici Eur. fr. 593, 4 s. N.[2] *ἄκριτός τ' ἄστρων ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει* vidit Gaisford | *δοκέῃ* M ‖ **3** *τίσι* (ante *χρῆμα*) in *τίς* corr. S[1] | *μέζον* (ut voluit Meineke) SM *μεῖζον* ATr. | *εἶναι ἐόντων κατὰ θεωρίην* Meineke: *εἶναι ἐόντων καὶ θεωρίην* MA *εἶναι καὶ θεωρίην ἐόντων* S ‖ **4** *δὲ μηδὲ* Iacobs lect. Stob. p. 121: *δὲ μὴ* libri | *θεοὺς δυσφορέειν* scripsi: *θεοὺς φρονέειν* libri. *θεοὺς δυσχεραίνειν* praeiverat Elter ‖ **5** *ὦν* MA *οὖν* S ‖ **6** *ἀντιλεχαίνειν* A | *ἀγνωμονέωσι* Wyttenbach: *ἀγνοῶσι* (*-σιν* M) SMA. *ἀνοητέωσι* ci. Meineke ‖ **7** *παρηγορεῖν* SMA: corr. Meineke | *ἐχθρεύειν* Tr.: *ἐχθεύειν* SMA | *μέζων* SMA; *μείζων* oscitanter Gesn.[2] ‖ **8** *ἢ ἐς πατέρας* S *ἢ ἐπατέρας* M *ἢ ἐ πατέρας* A *ἢ εἰς πατέρας* Tr. ‖ **9** *ἀσεβεῖν* MATr. *εὐσεβεῖν* primo S *α* superscr. S m. rec. *ἀσεβέειν* Meineke ‖ **10** ecl. cum lemm. hab. SMA, *Μουσωνίου* nec plura S. hic ut alibi in Musonii excerptis interpunctionem correxit A[2] ‖ **12** *ὃν* ex *ὧν* radendo corr. M[2] | *βουλόμενον* SA *-οσ* M ‖ **13** *ἤρετο* A, ex corr. S *εἴρετο* S[1] M ‖ **16** *φαίνεται* SMA *μοι* supra lin. add. A[2] ‖ **19** *κρεῖττον* sup. lin. add. S[1], om. Tr. p. 434 ‖ **20** *υἱῷ* (praetuli *ὑῷ*) Iacobs lect. Stob. p. 121: *τῶι* vel *τῷ* libri

ὁ πατὴρ οὐκ ὢν ἰατρὸς οὐδὲ ἔμπειρος ὑγιεινῶν τε καὶ νοσερῶν προστάττοι τι ὡς ὠφέλιμον, τὸ δὲ εἴη βλαβερὸν καὶ ἀσύμφορον, καὶ μὴ λανθάνοι τὸν νοσοῦντα τοιοῦτον ὄν, ἆρά γε μὴ πράττων ἐκεῖνος τὸ προσταχθὲν ἀπειθεῖ τε καὶ ἀπειθής ἐστιν; ἀλλ' οὐκ ἔοικεν. τί δέ, εἴ του ὁ πατὴρ νοσῶν αὐτὸς οἶνον ἢ τροφὴν αἰτοίη παρὰ καιρόν, μέλλων εἰ λάβοι μείζω τὴν νόσον ποιεῖν, ὁ δὲ παῖς τοῦτο εἰδὼς μὴ διδοίη, ἆρά γε ἀπειθεῖ τῷ πατρί; οὐκ ἔστιν εἰπεῖν. καὶ πολύ γε τούτου ἧττον ἐκεῖνον, οἶμαι, φαίη ἄν τις ἀπειθῆ εἶναι, ὅστις πατέρα φιλοκερδῆ ἔχων, κελευόμενος ὑπ' αὐτοῦ κλέπτειν ἢ παρακαταθήκην ἀποστερεῖν, οὐχ ὑπουργεῖ τῷ προστάγματι. ἢ οὐκ οἴει σύ τινας εἶναι πατέρας, οἳ τοιαῦτα τοῖς ἑαυτῶν παισὶ προστάττουσιν; ἐγὼ μὲν γὰρ οἶδά τινα οὕτω πονηρόν, ὅς γε υἱὸν ἔχων ὡραῖον τὴν ὥραν ἀπέδοτο αὐτοῦ. εἰ οὖν ἐκεῖνο τὸ μειράκιον τὸ πεπράμενον, πεμπόμενον ὑπὸ τοῦ πατρὸς ἐπὶ τὴν αἰσχύνην, ἀντέλεγε καὶ οὐκ ἀπῄει, πότερον ἀπειθὲς ἂν τὸ μειράκιον ἔφαμεν εἶναι ἢ σωφρονεῖν; ἢ οὐδὲ ἐρωτᾶν τοῦτό γε ἄξιον; καὶ γὰρ δὴ τὸ μὲν ἀπειθεῖν καὶ ὁ ἀπειθὴς λοιδορία ἐστὶ καὶ ὄνειδος, τὸ δὲ μὴ πράττειν ἃ μὴ χρὴ οὐκ ὄνειδος, ἀλλ' ἔπαινος. ὥστε εἴτε πατρὸς εἴτε ἄρχοντος εἴτε καὶ νὴ Δία δεσπότου προστάγματι μὴ ὑπουργεῖ τις κακὰ προστάττοντος ἢ ἄδικα ἢ αἰσχρά, οὐκ ἀπειθεῖ οὐδαμῶς, ὥσπερ οὐδ' ἀδικεῖ οὐδ' ἁμαρτάνει·

---

1 ὢν SA ἂν M ‖ 2 προστάττει A ‖ 3 λανθάνει A ‖ 4 ἀπειθεῖ A fort. A[1] ἀπειθεῖν Tr. ‖ 5 τί δὲ A τί δαι S τί δαὶ M ‖ 6 αἰτοίη A αἰτοῖ M αἰτεῖ S ‖ 7 λάβοι (sine acc. S) SM λάβῃ A[1] | τὴν νόσον μείζω S ‖ 8 διδοῖ S | ἀπιθεῖ A[1] ει ex ι fecit A[2] ‖ 11 ἀποστερεῖν A ex -ῶν fecit S[1] ἀποστερνεῖν M ‖ 14 γὰρ om. Tr. | ὥστε ex ὅς γε corr. A[2] ‖ 16 πεπραμένον M ex πεπραμμένον corr. S[1] ex πεπραιμένον vel πεπραγμ- A[2] πεπραγμένον Tr. ‖ 17 ἀπήει ex ἀπείη S[1] | ἀπιθὲς S ‖ 18 ἂν τὸ SM τὸ A; αὐτὸ Tr., inde αὐτῷ Gesn.[2] p. 458 | ἔφαμεν SMA ἂν superscr. A[2] ‖ 19 δὴ SA[2]M (η in ras. corr. M[2]) δεῖ A[1] | τὸ μὲν ἀπειθεῖν καὶ ὁ ἀπειθὴς λοιδορία SM τὸ μὲν ἀπιθεῖν. καὶ ὅσα ἀπειθὴς λοιδορία A[1] τὸ μὲν ἀπειθεῖν ὅσα οὐκ ἀπειθεῖν δεῖ λοιδορία A[2] ‖ 22 νη δία M ‖ 24 ἀπιθεῖ A[1]

ἀλλ' ἐκεῖνος ἀπειθεῖ μόνος ὁ τῶν εὖ καὶ καλῶς καὶ συμφερόντως προσταττομένων ἀφροντιστῶν καὶ παρακούων. ὁ μὲν οὖν ἀπειθὴς τοιοῦτός τίς ἐστιν· ὁ δ' εὐπειθὴς ἔχει μὲν ἐναντίως τούτῳ καὶ ἔστιν ἐναντίος, εἴη δ' ἂν ὁ τῷ τὰ προσήκοντα παραινοῦντι κατήκοος ὢν καὶ ἑπόμενος ἑκουσίως, οὗτος εὐπειθής. ὅθεν καὶ γονεῦσι τοῖς ἑαυτοῦ τότε πείθεταί τις, ὅταν χρηστὰ παραινούντων αὐτῶν ταῦτα πράττῃ ἑκών. ἐγὼ μέντοι κἂν μὴ παραινούντων τῶν γονέων πράττῃ τις ἃ χρὴ καὶ συμφέρει αὑτῷ, φημὶ τοῦτον πείθεσθαι τοῖς γονεῦσιν· καὶ ὅτι ὀρθῶς φημι, σκόπει οὕτως. ὁ γὰρ δὴ πράττων ἃ βούλεται ὁ πατὴρ καὶ τῇ βουλήσει τοῦ πατρὸς ἑπόμενος πείθεται, οἶμαι, τῷ πατρί· ὁ δὲ πράττων ἃ δεῖ καὶ ἃ κρεῖττόν ἐστι, τῇ βουλήσει ἕπεται τοῦ πατρός. τίνα τρόπον; ὅτι πάντες οἱ γονεῖς εὐνοοῦσι δήπου τοῖς ἑαυτῶν παισίν, εὐνοοῦντες δὲ βούλονται ἃ χρὴ καὶ συμφέρει πράττεσθαι ὑπ' αὐτῶν. ὅστις οὖν πράττει τὰ προσήκοντα καὶ τὰ συμφέροντα, πράττει οὗτος ἃ βούλονται οἱ γονεῖς. ὥστε πείθεται τοῖς γονεῦσι ταῦτα πράττων, κἂν μὴ τῷ λόγῳ κελεύωσιν αὐτὰ πράττειν οἱ γονεῖς. τοῦτο δὴ μόνον προσήκει σκοπεῖν, ὅστις βούλεται πείθεσθαι τοῖς γονεῦσιν, ἐφ' ἑκάστῳ τῶν πραττομένων, εἰ καλὸν καὶ συμφέρον ὃ μέλλει πράξειν ἐστίν, ἕτερον δὲ οὐδέν,

---

1 *ἀπιθεῖ* A[1] corr. A[2] ‖ 3 *τις* om. A ‖ 4 *ἔστιν ἐναντίος* libri, sed *ἐναντίως* A[1] | *ὁ τῷ*] *ὅτω* S ‖ 5 *ὢν* SMA *ἐστι* A[2] ‖ 7 *χρειστὰ* (η superscr.) A corr. A[1] | 8 *κἂν* S M *καὶ* A ‖ 9 *πράττῃ* (vel -*ῃ*) M A Tr. *πράττει* S *ἂν* superscr. A[2] ‖ 10 *αὑτῷ* S *αὐτῷ* M *ἑαυτῷ* A | *ὅτι* S M A[2] *ὁ* (τ̀ superscr.) id est *τὸ* A[1] ‖ 12 *καὶ* ex praecedenti pagina repetitum est S ubi a. v. *καὶ τῇ βουλήσει* inc. f. 135[r]; *καὶ ἐν τῇ βουλήσει* Tr. ‖ 13 *καὶ ⟨δι'⟩ ἃ κρεῖττον ἔσται* (sc. *αὐτῷ*) coni. Iacobs lect. Stob. p. 121, non necessario, ut monuit Halm lect. Stob. p. 7: *ἃ* est accusativus ut in *ἃ δεῖ* verbis. *καὶ ⟨δι'⟩ ἃ κρείττων ἔσται* aut titubante memoria Iacobsio tribuit Meineke flor. v. III p. XIX aut tacite eius conatum reddens commodiorem ‖ 18 *οὗτος* ex *οὕτως* corr. A[1] ‖ 21 *προσήκειν* A | *ὅστις* libri: *ὅτις* vel *οἵτις* Tr., inde *εἴτις* Gesn.[1] f. 416[v]

ὡς ἂν ὑπάρχῃ τοιοῦτον εὐθὺς καὶ τοῦ πράττοντος αὐτὸ πειθομένου τοῖς γονεῦσιν. μὴ τοίνυν σύ γε δείσῃς, ὦ νεανίσκε, ὡς ἀπειθήσεις τῷ πατρί, ἂν ἢ ἃ ⟨μὴ⟩ προσήκει δρᾶν κελεύοντος τοῦ πατρὸς ἀπέχῃ τοῦ ταῦτα δρᾶν ἢ ἃ προσήκει ἀπαγορεύοντος ⟨τοῦ⟩ ταῦτα μὴ δρᾶν. μηδέ σοι πρόφασις ἔστω τοῦ ἁμαρτάνειν ὁ πατὴρ ἢ κελεύων τι τῶν πράττεσθαι μὴ καλῶν ἢ ἀπαγορεύων τι τῶν καλῶν. οὐδεμία γὰρ ἀνάγκη σοι τὰ μὴ εὖ προσταττόμενα ὑπουργεῖν· καὶ τοῦτό μοι δοκεῖς οὐδ' αὐτὸς ἀγνοεῖν. οὔκουν ἀνέξῃ τοῦ πατρὸς ἐν μουσικοῖς, ἐὰν ἐκεῖνος οὐκ ἐπαΐων μουσικῆς προστάττῃ κρούειν ἀμούσως τὴν λύραν, ἢ ἐπιστάμενον γράμματα οὐκ ἐπιστάμενος κελεύῃ σε γράφειν καὶ ἀναγινώσκειν μὴ ὡς ἔμαθες, ἀλλ' ἑτέρως· οὐδέ γε ἂν ἐπιστάμενον κυβερνᾶν οὐκ ὢν κυβερνητικὸς κελεύῃ σε κινεῖν τὸ πηδάλιον ὡς οὐ προσήκει, οὐ προσέξεις αὐτῷ. τί οὖν; ταῦτα μὲν ταύτῃ ἔχει· ἂν δέ σε κωλύῃ φιλοσοφεῖν ὁ πατὴρ εἰδότα καὶ ἀκηκοότα ὁποῖόν τι φιλοσοφία ἐστίν, αὐτὸς ἀγνοῶν, ἆρά γε προσεκτέον αὐτῷ, ἢ μεταδιδακτέον μᾶλλον αὐτὸν ὡς οὐκ εὖ σοι παραινεῖ; ἐμοὶ μὲν οὕτω δοκεῖ. τάχα μὲν οὖν τις καὶ λόγῳ χρώμενος μόνῳ πείσειεν ἂν τὸν αὐτὸς αὑτοῦ πατέρα διανοεῖσθαι ᾗ προσήκει περὶ φιλοσοφίας, ἄν γε μὴ τέλεον ᾖ σκληρὸς τὴν φύσιν ὁ πατήρ. εἰ δ' οὖν μὴ πείθοιτο

1 *ὑπάρχοι* A¹ corr. A² | *αὐτὸ* ex *αὐτῷ* corr. S¹ ‖ 3 *ἄν ἢ ἃ μὴ* Tr. p. 436: *ἀν' ἢ ἃ* S *ἀνῆα* M *ἂν μὴ ἃ* A ‖ 4 *ἀπέχει* Tr. ‖ 5 *τοῦ* addidi | *δρᾶν* A Tr.: *δρᾶ* S M ‖ 6 *ἢ* ante *κελ.* om. A ‖ 8 *προσταττόμενα* S M *πραττόμενα* A ‖ 10 *ἐν μουσικοῖς* S M *ὢν μουσικὸς* A²; *εἰ μουσικὸς σύ* prop. Th. Gomperz *Wien. sitz.* CLIV 4 p. 7, *ὢν μουσικός* probat A. I. Kronenberg *The classical rev.* vol. XX (1906) p. 394 ‖ 11 *προστάττῃ* libri, sed A ex corr. manus sec.; *προστάττῃ ⟨σοι⟩* A. I. Kronenberg | *κρούων* A¹ | *ἀμούσωσ* ex *ἀμοῦσοσ* corr. M¹ ‖ 12 *κελεύει* A ‖ 14 *γε* libri, nisi quod *γὰρ* A¹ ‖ 15 *κινεῖν* S M A sed litt. *κ* et *ν* suppunxit S | *οὐ* (ante *προσέξεις*) om. A² ‖ 16 *κωλύει* A¹ ‖ 18 *αὐτω* sine acc. S ‖ 21 *τὸν αὐτὸς* S M *αὐτὸς τὸν* A | *αὑτοῦ* S A² *αὐτοῦ* M ‖ 22 *ἢ* (*ᾗ* scr. Gesn.[1]) *προσήκει περὶ φιλοσοφίας. ἄν* S M: *περὶ φιλοσοφίας ὅσα δὴ προσήκει ἂν* A cui frustra obsecutus est Meineke | *γε μὴ* S M: *μή γε* A ‖ 23 *εἰ δ'* A *εἰ δ* M *ἢν* S | *πείθοιτο τῷ λόγῳ* Halm lect. Stob. p. 7: *πείθοι τῷ* (*τῶ* M) *λόγῳ* (vel *-ω*) S M *πείθοιτο λόγῳ* A

τῷ λόγῳ μηδὲ ἕποιτο, ἀλλὰ τά γε ἔργα πάντως τὰ τοῦ παιδὸς ὑπάξεται αὐτόν, εἰ φιλοσοφεῖ τῇ ἀληθείᾳ ὁ παῖς. ἔσται γὰρ δὴ φιλοσοφῶν προθυμότατος μὲν θεραπεύειν τὸν πατέρα θεραπείαν ἅπασαν, κοσμιώτατος δὲ καὶ πραότατος, ἐν τῇ συνουσίᾳ ἥκιστα φίλερις ὢν ἢ φίλαυτος καὶ οὔτε προπετὴς οὔτε ταραχώδης οὔτ᾽ ὀργίλος· ἔτι δὲ ἐγκρατὴς μὲν εἴη ἂν γλώσσης, γαστρός, ἀφροδισίων, καρτερικὸς δὲ πρὸς τὰ δεινὰ καὶ τοὺς πόνους· καὶ νοῆσαι μὲν ὅ τι καλὸν ἱκανώτατος, οὐχ ὑπερβαίνων δὲ τὸ φαινόμενον καλόν. ὅθεν καὶ τῶν μὲν ἡδέων ὑφήσεται τῷ πατρὶ πάντων ἑκών· τὰ δὲ ἐπίπονα πρὸ ἐκείνου δέξεται αὐτός. τοιοῦτον οὖν υἱὸν τίς μὲν οὐκ ἂν ἔχειν εὔξαιτο τοῖς θεοῖς; τίς δὲ ἔχων οὐκ ⟨ἂν⟩ ἀγαπήσειεν, δι᾽ ὃν ὑπάρξειεν αὐτῷ ζηλωτὸν εἶναι καὶ μακαριστὸν πατέρα παρὰ τοῖς εὖ φρονοῦσι πᾶσιν; εἰ δ᾽ οὖν, ὦ νεανίσκε, καὶ τοιοῦτος ὤν, ὁποῖος ἔσῃ πάντως, ἄν γε ἀληθῶς φιλοσοφῇς, οὐχ ὑπάξῃ τὸν πατέρα τὸν σὸν οὐδὲ πείσεις ἐπιτρέπειν σοι καὶ συγχωρεῖν ταῦτα πράττειν, ἐκεῖνο λόγισαι· ὁ πατὴρ ὁ σὸς κωλύει σε φιλοσοφεῖν· ὁ δέ γε κοινὸς ἁπάντων πατὴρ ἀνθρώπων τε καὶ θεῶν Ζεὺς κελεύει σε καὶ προτρέπει. πρόσταγμά τε γὰρ ἐκείνου καὶ νόμος

1 *ἕποιτο* S: *ἕσοιτο* M A[1] ‖ 4 *καὶ*] videtur A[1] *δὲ* habuisse nec patet quid voluerit A[2] ‖ 5 ante *ἥκιστα* distinguit A ‖ 7 *ἀφροδισίων* sed *-ων* ex *-ον* vel *-ου* corr. M[1] ‖ 8 *δὲ* in A addidit secunda demum manus ‖ 9 *δὲ* S M A[2] *μὲν* A[1] ‖ 11 *δέξαιτ᾽ αὐτός* A[1] *ἂν* add. A[2] ‖ 12 *οὖν* S M *μὲν* A[1] delevit A[2] et addidit post *τις* | *ἔχειν εὔξαιτο τοῖς θεοῖς* S *ἔχειν εὔξαι τό τω τοῖς θεοῖς* M *εὔξαιτο τοῖς θεοῖς ἔχειν* (sic) A ‖ 13 *δὲ* A *δαὶ* SM | *ἂν ἀγαπήσειεν, δι᾽ ὃν* scripsi: *ἀγαπήσει εἰ δεῖ* (*δὴ* A) *οὖν* S M A[1] *ἢ* ex *εἰ* fecit A[2] *ἀγαπήσει. εἰ δι᾽ ὃν* Tr.; *ἀγαπήσει; εἰ δι᾽ αὐτὸν* Gesn.[1]. ceterum *οὐκ ἂν ἀγαπήσειεν* scripseram anaphoram respiciens (*οὐκ ἂν ἔχειν εὔξαιτο*) nec praefero *οὐκ ἀγαπήσειεν ⟨ἄν⟩* quod interim melius videtur Wendlando *Berl. philol. wochenschr.* a. 1906 p. 201. cf. supra p. 606, 5 ‖ 14 *ὑπάρξειεν* S: *ὑπάξειεν* M *ὑπάρξει ἐν ἑ* A sed *ὑπάξει* A[1] litteras *ἐν ἑ* delet A[2]. de syntaxi vide Kuehner-Gerth *Ausf. gr.*[3] II 2 p. 428 s. ‖ 15 *εἰ δ᾽ οὖν* etiam A, aberravit Gaisford ‖ 16 *ὁποῖος* ex *ὅσον*, ni fallor, S[1] | *ἔσῃ* S ‖ 17 *ὑπάξῃ* ex *-ξει* corr. S[1] M[1] *ὑπάρξῃ* A[1] ‖ 20 Il. I 544 *πατὴρ ἀνδρῶν τε θεῶν τε* | *τε* etiam A, fallitur Gaisford ‖ 21 *τε* om. A

ἐστὶ τὸν ἄνθρωπον εἶναι δίκαιον, χρηστόν, εὐεργετικόν, σώφρονα, μεγαλόφρονα, κρείττω πόνων, κρείττω ἡδονῶν, φθόνου παντὸς καὶ ἐπιβουλῆς ἁπάσης καθαρόν· ἵνα δὲ συντεμὼν εἴπω, ἀγαθὸν εἶναι κελεύει τὸν ἄνθρωπον ὁ νόμος ὁ τοῦ Διός. τὸ δέ γε εἶναι ἀγαθὸν τῷ φιλόσοφον εἶναι ταὐτόν ἐστιν. εἰ δὴ τῷ πείθεσθαι [θεῷ] τῷ ⟨πατρὶ τῷ σῷ⟩ ἀνθρώπῳ ἕπεσθαι μέλλεις, εἰ δὲ φιλοσοφοίης, τῷ Διΐ, δῆλον ὡς φιλοσοφητέον σοι μᾶλλον, ἢ οὔ. ἀλλὰ νὴ Δία εἴρξει σε ὁ πατὴρ καὶ κατακλείσας ἕξει, ἵνα δὴ μὴ φιλοσοφῇς. ταῦτα μὲν ποιήσει ἴσως, τοῦ δέ γε φιλοσοφεῖν οὐκ ἀπείρξει σε μὴ βουλόμενον· οὐ γὰρ χειρὶ ἢ ποδὶ φιλοσοφοῦμεν οὐδὲ τῷ ἄλλῳ σώματι, ψυχῇ δὲ καὶ ταύτης ὀλίγῳ μέρει, ὃ δὴ διάνοιαν καλοῦμεν. ταύτην γε μὴν ἐν ὀχυρωτάτῳ ἵδρυσεν ὁ θεὸς ὥστε ἀόρατον εἶναι καὶ ἄληπτον, καὶ ἀνάγκης πάσης ἐκτὸς ἐλευθέραν καὶ αὐτεξούσιον. ἄλλως τε ἐὰν τύχῃ οὖσα χρηστή, οὐ δυνήσεταί σε κωλύειν ὁ πατὴρ οὔτε χρῆσθαι τῇ διανοίᾳ οὔτε ἃ χρὴ διανοεῖσθαι οὔτε ἀρέσκεσθαι μὲν τοῖς καλοῖς, μὴ ἀρέσκεσθαι δὲ τοῖς αἰσχροῖς· οὐδ' αὖ τὰ μὲν αἱρεῖσθαι, τὰ δὲ ἐκκλίνειν. ταῦτα μὲν ποιῶν εὐθὺς φιλοσοφοίης ἄν, καὶ οὔτε τρίβωνα πάντως ἀμπέχεσθαι δεήσει σε οὔτε ἀχίτωνα διατελεῖν, οὐδὲ κομᾶν, οὐδ' ἐκβαίνειν τὸ κοινὸν τῶν πολλῶν. πρέπει μὲν γὰρ καὶ ταῦτα τοῖς φιλοσό-

---

1 *δίκαιον καὶ χρηστὸν* M ‖ 2 *κρείττω ἡδ.* S *κρείττονα ἡδ.* MA ‖ 5 *διός* MA: *θεοῦ* S | *τὸ* SMA[1] *τῷ* A[2] | *γε* om. A | *τὸ φιλόσοφον* A ‖ 6 *τῷ* vel *τῶ* MA: *τὸ* S | *θεῷ* (*θεῶ* M *πατρὶ* Tr.) seclusi | *πατρὶ τῶ σῷ* addidi ‖ 7 *φιλοσοφοίης* SM *φιλοτοφητέον* A ‖ 8 *ἢ οὔ* ex parte in ras. M ‖ 9 *δῖα* M | *εἴρξει* MA (sic) *εἵρξει* ut alibi S | post *ὁ πατὴρ* add. *καὶ κωλύσει* A[1] sed delevit ipse | *ἕξει* SM *ἔρξει* A[1] *εἴρξει* A[2] ‖ 10 *φιλοσοφεῖς* S ‖ 11 *οὐ γὰρ* SM: *οὐδὲ* A quod immerito receperunt Gaisford et Meineke ‖ 13 *δὴ διάνοιαν* M: *διάνοιαν* A *δὴ ἄνοιαν* S sed correctione *οἶμαι διάνοιαν* in margine adscripta item ab S[1], inde *δὴ οἶμαι διάνοιαν* inepte Tr. ‖ 16 *αὐτεξούσιον* SMA; *αὐτεξουσίαν* Tr. | v. *ἄλλως τε — χρηστή* cum prioribus iungi vult Blass *Lit. zentralbl.* 1906 n. 46 | potest *οὐ ⟨δὴ⟩ δυνήσεται* ‖ 19 *οὐδ'* MA *αὐδ'* S | *αὖ τὰ* SA *αὐτὰ* M | *αἰρεῖσθαι* M ‖ 20 *δ' ἐκκλίνειν* A | *μὲν* SM *δὲ* A[2]

φοις· ἀλλ' οὐκ ἐν τούτοις τὸ φιλοσοφεῖν ἐστιν, ἀλλ' ἐν τῷ φρονεῖν ἃ χρὴ καὶ διανοεῖσθαι.

52 *Πεμπέλου Θουρίου Πυθαγορείου ἐκ τοῦ Περὶ γονέων.*

Γονέων ἀμελὲν οὔτε δαίμων οὔτε ἄνθρωπος σύμβωλος ἄμποκα γένοιτό τινι σύμμετρον ψυχᾶς κεκταμένος ἐπιστάμαν.

Διόπερ οὐθὲν ἂν ⟨ποτὶ⟩ θεῷ ξόανον τιμιώτερον ἔχοιμεν ἐν χρημάτων κτήσει πατέρος ἢ καὶ προπάτορος γήρᾳ παρειμένων ἢ καὶ ματέρων τὰν ἰδίαν δύναμιν ἐχοισᾶν. ὁκόταν γὰρ ἀγάλλῃ τις γέρασι καὶ τιμαῖς τὼς γενέτορας, ἀγαθὰ τίθητι θεός· καὶ γὰρ οὐδ' ἂν ἐπάκοος ἔπελεν αὐτῶν. σεμνὸν γάρ καί τι θείας φύσιος πεπαμένον ἁμῖν τὸ τῶν φιτυσάντων ἵδρυμά ἐστι καὶ ζωόντων πολὺ μαλλότερον ἢ τῶν ἀνεφίκτων ἱδρυμάτων. τὰ μὲν

1 *τούτῳ* Tr. ‖ 3 ecl. cum lemm. hab. M A, om. S. *πυθαγορίου* M A. cf. Platonis verba supra exscripta ecl. 34 init. et ecl. 46 ‖ 4 *δαίμων* tacite Gesn.[2]: *αλιμον* in *αλιμων* corr. M[1] *ἠλϊ* A | *σύμβωλος* ex *σύμβολος* corr. M[1] ‖ 5 *ἄνποκα* A | *κεκταμένος* A *καὶ κταμένοσ* M ‖ 7 expressit Platonis de leg. XI p. 931 D e. q. s. sed liberius. *οὐδὲν πρὸς θεῶν τιμιώτερον ἄγαλμ' ἂν κτησαίμεθα πατρὸς καὶ προπάτορος παρειμένων γήρᾳ καὶ μητέρων τὴν αὐτὴν δύναμιν ἐχουσῶν* Plat. | *ποτὶ* suppl. Meineke | *τιμιώτερον* scripsi cum Meinekio subdubitans: *ἢ ἱερὸν* M A. si verum sit *ἢ ἱερὸν*, nescio an reponendum sit *οὐθὲν ἂν ⟨τιμιώτερον ποτὶ⟩ θεῷ ξόανον ἢ ἱερὸν* ‖ 8 *ἔχοιμεν ἐν* M *ἐχέσσεν* A | *χρημάτων* M *χρήματϊ* (*ϊ* idem quod *ï*) A | *πατέρος* M *πρς* A ‖ 9 *τὰν* A *τὴν* M | *ἰδίαν* M A: *αὐτὰν* Platonem secutus scr. Meineke. *ἰδίαν* recte defenderat Orelli Opusc. sent. II p. 715: potuit Pemp. dicere matres non eodem plane, quo patres et avos, sed suo tamen nec multum minore honore dignas | *ἐχοισᾶν* Meineke: *ἐχούσασ* M *ἐχοίσας* A; *ἐχουσῶν* Gesn.[2] ‖ 10 *ὁκόταν* — (12) *αὐτῶν*] *οὓς ὅταν ἀγάλλῃ τις τιμαῖς, γέγηθεν ὁ θεός· οὐ γὰρ ἂν ἐπήκοος ἦν αὐτῶν* Plat. | *ἀγάλλῃ* M *ἄλλῃ* A ‖ 11 *γενετορας* sine acc. A *γενέτοροσ* M | *τίθητι* M *τίθησι* A ‖ 12 *σεμνὸν γάρ τι* — (14) *ἱδρυμάτων*] *θαυμαστὸν γὰρ δήπου τὸ προγόνων ἵδρυμα ἡμῖν ἐστιν, διαφερόντως τῶν ἀψύχων* Plat. | *καί τι* scripsi: *τι καὶ* M *καὶ* A. *τι θείας φύσιος* pendet a v. *πεπ.*; vix recte *σ. γάρ τι καὶ θείας φ. ἐπαμμένον* Cobet mnemos. IX p. 138 ‖ 13 *φυσάντων* A ‖ 14 *ἀνεφίκτων* A *ἀμεμφίκτων* M; *ἀνεμψύχων* Iacobs epist. ad Schow. p. 279 | *τὰ μὲν γὰρ θεραπευόμενα ὑφ' ἡμῶν, ὅσα ἔμψυχα, συνεύχεται ἑκάστοτε, καὶ ἀτιμαζόμενα τἀναντία, τὰ δ' οὐδέτερα* Plat. p. 931 E

γὰρ καλλυνόμενα καὶ λαμπριζόμενα ὑφ' ἁμέων ἑκάστοτε συνεύχεται ἁμῖν δωτίνας ἀγαθάς, σκυβαλιζόμενα δὲ τοὐναντίον· τὰ δ' οὐδ' ὁκότερα τῶνδε ἔρδει· ὥστε αἴκα δεόντως τις χρῆται πατέρι καὶ ματέρι καὶ προπάτορι καὶ οὔλως τοῖς ὁμοιορύσμοις, πάντων ποτὶ θεοφιλῆ μοῖραν πεπάσεται ἀγαλμάτων κυριώτατα. πᾶς δὴ νόον ἔχων τιμάτω καὶ σεβέτω καὶ δεδίτω γονέων εὐχὰς ἢ κατάρας, εἰδὼς πλεύνεσσι πολλάκις ἐπιτελέας συμβεβακυίας. τούτων ὦν οὕτως φύσει διακεκοσμαμένων, τοῖς μὲν ἔμφροσι καὶ κοσμίοις τῶν βροτῶν ἕρμαιον προγενέτορες γηραλέοι ζῶντες μέχρι τᾶς ἐσχάτας βιοτᾶς, καὶ ἀφέρποντες αἰζηοῖς [νέοις] σφόδρα ποθεινοί, ῥωμαλέοι ψυχᾷ [ποθεινῶ] ἐόντες διὰ τὸ πολλὰ εἰδέμεν, τοῖς δὲ φλαύροις καὶ ἀσυνέτοις εὖ μάλα φοβοειδέες καὶ ζοφεροί. εἰ δέ τινα φάμα

---

1 *καλυνόμενα* M | *λαμπυριζόμενα* M ‖ 2 *αμῖν* sine sp. M ‖ 3 *τὰ δὲ δ'* M *τὰ δὲ* A | *ὀκότερα* M | *ἕρδει* M *ἔρδει* A | *ὥστε αἴκα* — (6) *κυριώτατα*] *ὥστε ἂν ὀρθῶς τις χρῆται πατρὶ καὶ προπάτορι καὶ πᾶσι τοῖς τοιούτοις, πάντων πρὸς θεοφιλῆ μοῖραν κυριώτατα ἀγαλμάτων ἂν κεκτῇτο* Plat. ‖ 5 *ὁμοιουρύσμοις* A | post *πάντων* distinguitur in A | *ποτι* sine acc. M ‖ 6 *κυριωτάταν* A | *πᾶς δὴ* — (8) *συμβεβακυίας*] *πᾶς δὴ νοῦν ἔχων φοβεῖται καὶ τιμᾷ γονέων εὐχάς, εἰδὼς πολλοῖς καὶ πολλάκις ἐπιτελεῖς γενομένας* Plat. cf. supra ecl. 47 ‖ 7 *δεδιέτω* libri: corr. Cobet N. l. p. 467 ‖ 8 *πλεύνεσσι* A *πλεύνεσι* M | *πολλάκις* A, Plat.: *πλεονάκισ* M | *τούτων ὦν* — (13) *πολλὰ εἰδέμεν*] *τούτων οὖν οὕτω φύσει διατεταγμένων, τοῖς μὲν ἀγαθοῖς ἕρμαιον πρόγονοι γηραιοί, ζῶντες μέχρι τῶν ἐσχάτων τοῦ βίου, καὶ ἀπιόντες νέοι σφόδρα ποθεινοί* Plat. p. 932 A | *ὦν* Meineke: *οὖν* MA ‖ 10 *ἕρμαιον* A *ερμαι* (sic) M ‖ 11 *βιοτᾶσ* an *βιωτᾶσ* voluerit M aegre dispicias | fort. *αἰζαοῖς*, certe *αἰζαόν* testatur Hesych. ‖ 12 *νέοις* (*νεώς* A) secl. Koen. est ex glossemate natum (cf. Hesych. *αἰζηοί· νεανίσκοι*) vel adscriptum ex ecloga 48 ubi videsis | *σφόδρα* huc revocavit Iacobs (lect. Stob. p. 122) ex proximo versu ubi legitur in MA *σφόδρα ποθεινῶ* (-*νῶ* A, lege -*νοί*). fuerat omissum *σφόδρα*, dein in margine suppletum est una cum *ποθεινοί* vocabulo ut clarum fieret ubi *σφόδρα* inserendum esset, denique textui illatum *σφόδρα ποθεινοὶ* sed loco falso. idem error supra observatur p. 506, 6 adn. | *ποθεινὼ* (-*νῶ* A) i. e. *ποθεινοὶ* secl. Koen ‖ 13 *τοῖς δὲ* — (14) *ζοφεροί*] *τοῖς δὲ κακοῖς εὖ μάλα φοβεροί* Plat. ‖ 14 *εἰ δέ τινα κτέ.*] *εἰ δ' οὖν τινα κατέχοι φήμη κωφὴ τῶν τοιούτων προοιμίων, νόμος ὅδε ἐπὶ τούτοις ὀρθῶς κείμενος ἂν εἴη* Plat.

ἀμύητος ὤτων ποτὶ κώφωσιν κατίσχει τοιῶνδε λόγων, εἰδυλλέτω ὡς καὶ δαίμοσιν ἐχθρὸς πέλει καὶ ἀνδράσι τοῖς ποτὶ συνέσιος ἑρπύξασιν ἀτραπόν.

53 *Ἱεροκλέους ἐκ τοῦ Πῶς χρηστέον τοῖς γονεῦσιν* (p. 56 de Arn.).

Μετὰ τὸν περὶ θεῶν καὶ πατρίδος λόγον τίνος μᾶλλον ἂν προσώπου μνησθείη τις πρῶτον ἢ γονέων; ὅθεν λεκτέον περὶ τούτων, οὓς δευτέρους καὶ ἐπιγείους τινὰς θεοὺς εἰπὼν οὐκ ⟨ἂν⟩ ἁμάρτοι τις ἕνεκά γε τῆς ἐγγύτητος, εἰ θέμις εἰπεῖν, καὶ θεῶν ἡμῖν τιμιωτέρους. προλαβεῖν δὲ ἀναγκαῖόν ἐστιν, ὡς μόνον μέτρον τῆς πρὸς αὐτοὺς εὐχαριστίας ἡ διηνεκὴς καὶ ἀνένδοτος προθυμία πρὸς τὸ ἀμείβεσθαι τὰς εὐεργεσίας αὐτῶν· ἐπεί τοί γε πολὺ καταδεέστερα, κἂν πάνυ πολλὰ πράξωμεν ὑπὲρ αὐτῶν. ἀλλ' ὅμως κινδυνεύει καὶ ταῦτ' ἐκείνων ἔργα τυγχάνειν, ὅτι καὶ ἡμᾶς τοὺς ταῦτα πράττοντας ἐκεῖνοι πεποιήκασιν. ὥσπερ οὖν τὰ ὑπὸ Φειδίου καὶ τῶν ἄλλων τεχνιτῶν ἀπεργασθέντα, εἴπερ καὶ αὐτὰ ἕτερά τινα κατεσκεύαζεν, οὐκ ἂν ὀκνήσαιμεν καὶ ταῦτα τῶν τεχνιτῶν ἔργα φάσκειν· οὕτως εἰκότως καὶ τὰ ὑφ' ἡμῶν δρώμενα λέγοιμεν ἂν εἶναι τῶν γονέων ἡμῶν ἔργα, δι' οὓς καὶ

---

1 *ποτικώφωσιν* (sine acc. M) M A: corr. Orelli ‖ 2 *εἰδυλλέτω* Abreschius et Orelli: *εἰδύλλεται* M ut videtur, sed -*αι* non satis clarum (fuerit *ω*), *εἰδυλλέτο* A; *εἰδύλλεται* Gesn.² | *κακαιδαίμοσιν* M *κακεδαίμοσιν* A: tacite corr. Gesn.² ‖ 3 *ποτι* sine acc. M | *ἀτραπόν* M *ἀταρτ* fere A unde *ἀταρπόν* Iacobs, *ἀταρπιτόν* L. Dindorf ‖ 4 ecl. cum lemm. hab. S M A; *ἡρακλέουσ* M. *γονεῦσι* pro *τοῖς γονεῦσιν* S ‖ 6 *μᾶλλον* SM, om. A. huic frustra obsecutus est Meineke in proximis *πρότερον* e coniectura scribens pro *πρῶτον* ‖ 7 *πρόσω* A ‖ 8 *οὓς* A: *τοὺς* SM | *δεύ τέρους* sic S ‖ 9 *οὐκ ἂν ἁμάρτοι* Meineke: *οὐχ ἁμάρτοι* SMA. cf. p. 503, 12 ‖ 11 *δὲ* om. A, fuerat igitur *δ' ἀναγκαῖον* | *ὡς μόνον — διηνεκὴς* om. S ‖ 13 *ἐπεί τοί γε* Bentley: *ἔπεί τε γὰρ* S *ἔπει τε γὰρ* M *ἔπειτα γὰρ* A. cf. Stob. II p. 181, 22 W. ‖ 14 *κἂν* SM *καὶ* A ‖ 18 *κατεσκεύαζεν* S ex *κατασκ-* corr. M¹ *κατασκ-* A | *ὀκνήσαιμεν* tacite Gaisford: *ὠκνήσαμεν* S *ὤκνησαν μὲν* M *ὀκνήσωμεν* A ‖ 21 *λέγοιμεν* tacite Gaisford: *λέγομεν* SM *λέγωμεν* A | v. *δι' οὓς καὶ ἡμεῖς γεγ.* suspecta sunt Gaisfordo

ἡμεῖς γεγόναμεν, καὶ οὐχὶ τἄλλα μέν, οὐχὶ δὲ καὶ τὰ ὑπὲρ αὐτῶν πραττόμενα τῶν γονέων [ἡμῶν ἔργα δι᾽ οὓς καὶ ἡμεῖς γεγόναμεν]. πρὸς οὖν τὴν εὐμαρῆ τῶν ἐπ᾽ αὐτοὺς καθηκόντων αἵρεσιν κεφαλαιώδη τινὰ χρὴ προβαλλομένους λόγον, τοῦτον ἐν προχείρῳ διηνεκὲς ἔχειν, ὡς οἱ γονεῖς ἡμῶν θεῶν εἰκόνες καὶ νὴ Δία θεοὶ ἐφέστιοι καὶ εὐεργέται καὶ συγγενεῖς δανεισταί τε καὶ κύριοι καὶ φίλοι βεβαιότατοι. θεῶν τε γὰρ εἰκόνες ὁμοιόταται καὶ ὑπὲρ τὰς τῶν τεχνῶν δυνάμεις καθιγμέναι τῆς ἐμφερείας. θεοί τε γὰρ ἑστιοῦχοι καὶ συνδίαιτοι ἡμῖν, ἔτι δ᾽ εὐεργέται μέγιστοι καὶ παρεσχημένοι τὰ μέγιστα καὶ μὰ Δί᾽ οὐχὶ μόνον ἃ ἔχομεν, ἀλλὰ καὶ ὁπόσα παρέχειν ἐβουλήθησαν ἅ τε καὶ εὔξαντο. πρὸς δὲ τούτοις συγγενεῖς ἔγγιστα καὶ τῆς πρὸς ἑτέρους αἴτιοι συγγενείας. δανεισταὶ δὲ τῶν τιμιωτάτων, μόνα ἀπαιτοῦντες ὧν καὶ ἡ ἀπόδοσις πάλιν ἐστὶν ἡμῶν εὐεργεσία. τί γὰρ τηλικοῦτον παιδὶ κέρδος, ἡλίκον ἐστὶ τὸ πρὸς τοὺς γειναμένους εὐσεβὲς καὶ εὐχάριστον; κύριοί γε μὴν δικαιότατα. τίνος γὰρ κτῆμα μᾶλλον εἴημεν ⟨ἂν ἢ⟩ ἐκείνων, δι᾽ οὓς ἐσμέν; οὐ μὴν ἀλλὰ καὶ φίλοι καὶ παραστάται διηνεκεῖς καὶ αὐτόκλητοι παντὸς καιροῦ καὶ πάσης περιστάσεως ἐπίκουροι. ἐπεὶ δὲ τῶν προκατηριθμημένων ἁπάντων τὸ ἐξοχώτατον ἦν ὄνομα γονεῦσι, καθὸ

---

1 *καὶ οὐχὶ* — **3** *γεγόναμεν* om. S ‖ **2** v. *ἡμῶν ἔργα* — *γεγόναμεν* seclusit de Arnim ut ex p. 640, 21 s. iterata ‖ **5** *ἡμῶν θεῶν* A: *θεῶν ημῶν* SM. *θεῶν ἡμῖν* tacite Gesner[1] f. 417[v] ‖ **6** *θεοὶ* (post *Δία*) S: *θεὸν* M *θεῶν* A | *ὑφέστιοι* A ‖ **7** *φ. βεβ.*] cf. p. 625, 2 ‖ **8** *ὁμοιόταται* SMA *βεβαιόταται* Tr. | *ὑπὲρ τῶν θεῶν δυνάμεις* A ‖ **9** *καθειργμέναι* SMA: corr. Bentley | *γὰρ* (post *θεοί τε*) inserunt ex Tr. p. 438, om. SMA ‖ **11** *μὰ δῖ* M ‖ **13** *εὔξαντο* SMA. *εὔξαιντο* Gesn.[2] p. 461 unde frustra *ἅ τε κἂν εὔξαιντο* Meineke | *τῆσ* M: *τῇ* SA ‖ **14** *συγγενείας* Needham: *συγγενεῖσ* M, primo S idque in *συγγονεῖς* corr. S[1], *συγγονῆς* A *συγγενείᾳ* Tr. ‖ **16** *πηλίκον* libri: corr. Meineke ‖ **17** *γειναμένους* (sicut tacite scr. Gesn.[1]) A: *γινομένους* SM ‖ **18** *ἂν ἢ* (*ἢ* iam Gesn.[1]) addidi: om. SMA ‖ **19** post *ἐσμὲν* iteravit *ἐκείνων*, dein delevit A ‖ **20** *παραστάται καὶ συγγενεῖς καὶ αὐτόκλητοι* sed expunxit *καὶ συγγενεῖς* et supra scr. *διηνεκεῖς* A[1] ‖ **21** *ἐπὶ* SMA corr. Gesn.[1] marg. ‖ **22** *γονεῦσι* quod et ipse conieceram occupavit C. Praechter: *γονεὺς* libri

θεοὺς αὐτοὺς ἀπεκαλοῦμεν, τῇ τοιᾷδε ἐπινοίᾳ προσθετέον ἕτερον καὶ νομιστέον ἑαυτοὺς καθάπερ ἐν ἱερῷ τῇ οἰκίᾳ ζακόρους τινὰς καὶ ἱερέας, ὑπ' αὐτῆς κεχειροτονημένους καὶ καθιερωμένους τῆς φύσεως, ἐγκεχειρίσθαι τὴν τῶν γονέων θεραπείαν. ὅθεν καὶ διελόντες τῆς ἐπιμελείας τὸ μὲν εἰς σῶμα, τὸ δ' εἰς ψυχήν, καθ' ἑκάτερον αὐτῶν μεθ' ἑκάστης προθυμίας, πείθεσθαί τε τῷ λόγῳ τι βουλόμενοι, τὸ καθῆκον ἐκπληρώσομεν. τοῦ μὲν οὖν σώματος εἵνεκα βραχὺς ὁ λόγος, εἰ καὶ ἀναγκαῖος· προνοήσομεν γὰρ τροφῆς αὐτῶν ἐλευθερίου καὶ πρὸς τὴν ἀσθένειαν τοῦ γήρως ἡρμοσμένης· ἔτι δὲ κοίτης καὶ ὕπνου ἀλείμματός τε καὶ λουτροῦ καὶ ἐσθῆτος καὶ ἁπαξαπλῶς τῶν ἕνεκα τοῦ σώματος ἀναγκαίων, ὡς κατὰ μηδὲν τούτων ἐνδείας ποτὲ πειραθεῖεν, μιμούμενοι τὴν αὐτῶν ἐκείνων περὶ τὴν ἡμετέραν ἀνατροφήν, ὅτ' ἦμεν νεογνοί, κηδεμονίαν· ὥστε προσαναγκάζειν ἑαυτοὺς καὶ μαντικόν τι ⟨πρὸς τὴν ἐκείνων⟩ προσφέρεσθαι θεραπείαν, κἀξευρίσκειν, εἴπερ αὐτοὶ μὴ λέγοιεν, πρὸς τίνα μάλιστα ῥέπουσιν αὐτοῖς αἱ προθυμίαι τῶν τῷ σώματι προσαγομένων. πολλὰ γὰρ αὖ κἀκεῖνοι περὶ ἡμῶν ἐμαντεύσαντο, πολλάκις ἀνάρθροις ἔτι καὶ κλαυθμώδεσι φωναῖς ὅτι μὲν δεόμεθα τινῶν σημηνάντων, τίνα δ' ἐστὶν ὧν δεόμεθα διασαφῆσαι μὴ δυνηθέντων. κἂν εἰ ἡμῖν καὶ αὐτῶν τού-

---

1 *ἀποκαλοῦμεν* A | *τοιάδε* sed *ε* in corr. M ‖ 3 *ὑπ'* SM *ἐπ'* A | *καὶ χειροτονημένους* M ‖ 4 *ἐγχειρίσθαι* SM *ἐγχειρίσεσθαι* A: tacite corr. Gesn.³ p. 462 ‖ 7 *πείθεσθαί γε* scr. de Arnim. fortasse *πείθεσθαί τε ⟨καὶ ὑπακούειν⟩ τῷ λόγῳ τι* ‖ 9 *εἵνεκα* SMA. *ἕνεκα* Meineke coll. 13. cf. pap. Berol. 9780 col. 3, 12 Arn. | *προνήσομεν* (o supra scr.) S corr. S¹ *προνοήσωμεν* MA ‖ 12 *ἀλίμματοσ* M ‖ 15 *ὅτ' ἦμεν κτέ.* om. S | *ὅτ' ἦμεν* tacite Gesn.²: *ὁ* (*ὃ* A) *τὴν μὲν* MA ‖ 16 *κηδεμονίαν* ex *κηδαιμ-* corr. A¹ | *ὡς τε* vel *ὡς το* M | *μαντικόν τι*] cf. Aesch. Choeph. 758 Weil ‖ 17 *πρὸς τὴν ἐκείνων* addidi. *προσφέρεσθαι ⟨πρὸς τὴν⟩ θεραπείαν* scr. de Arnim ‖ 18 *εἴπερ*] *ὅπερ* A ‖ 19 *τῷ* om. A ‖ 22 *τίνα* tacite Gaisford: *τινὰ* MA ‖ 23 *κἂν εἰ ἡμῖν κτέ.* verba nondum expedita. vix sufficit *κἀκείνοις ἡμῖν* quod proposuit de Arnim, vel *κἀκεῖνοι ἡμῖν* quod placuit Praechtero | *ἡμῖν καὶ ⟨δι'⟩ αὐτῶν*? conieceram, *ἡμῖν δι' αὐτῶν* mavult Elter

των τῶν καθ' ἡμᾶς γεγονότων διδάσκαλοι γεγόνασιν, ὧν ἄξιοι τυγχάνειν εἰσὶ παρ' ἡμῶν, ταῦθ' ἡμᾶς διὰ τοῦ προπαρασχεῖν ἡμῖν διδάξαντες. ταῖς δὲ ψυχαῖς αὐτῶν παρασχετέον πρῶτον μὲν τὴν εὐθυμίαν, ἣ μάλιστα γένοιτ' ἂν ἐκ τοῦ συναναστρέφεσθαι νύκτωρ τε καὶ μεθ' ἡμέραν αὐτοῖς, εἰ μή τι κωλύοι, συμπεριπατοῦντας συναλειφομένους συνδιαιτωμένους. καθάπερ γὰρ τοῖς μακρὰν στελλομένοις ἀποδημίαν πρὸς εὐθυμίαν εἰσὶν ἐν τρόπῳ γινόμεναι προπομπίας τῶν οἰκειοτάτων τε καὶ φιλτάτων συναναστροφαί, τὸν αὐτὸν τρόπον καὶ τοῖς γονεῦσιν νενευκόσιν ἤδη πρὸς τὴν ἄφοδον ἐν τοῖς μάλιστα κεχαρισμέναι καὶ προσφιλεῖς εἰσιν αἱ τῶν τέκνων προσεδρίαι. καὶ μέντοι κἂν εἴ τί που γένοιντο παραμαρτάνοντες (ὁποῖα δὴ πολλὰ φιλεῖ γενέσθαι περὶ τοὺς πλείονας καὶ ἰδιωτικώτερον ἠγμένους), ἐπανορθωτέον μέν, ἀλλ' οὐ μετ' ἐπιπλήξεως μὰ Δία, καθάπερ ἔθος πρὸς τοὺς ἐλάττονας ἢ ἴσους ποιεῖν, ἀλλ' ὡς μετὰ παρακλήσεως, καὶ οὐχ ὡς δι' ἀμαθίαν ἁμαρτάνοντας, ἀλλ' ὡς παρορῶντας τῷ μὴ ἐφεστακέναι, πάντως δ' ἂν ἰδόντας εἴπερ ἐπέστησαν. ἀνιαραὶ γὰρ τοῖς τηλίκοις καὶ μάλιστα αἱ ἐκτενῶς νουθετήσεις, ἀναγκαία δὲ μετὰ παρακλήσεως καί τινος φιλοτεχνίας ἴασις τῶν παρορωμένων. φέρει δὲ ἐπὶ τὴν εὐθυμίαν αὐτοῖς καὶ τὸ τῶν θητικωτέρων εἶναι δοκούντων ὑπηρετημάτων ἅπτεσθαί

1 καθ' ἡμᾶς γεγονότων A καθηγεγονότων M ‖ 3 ἡμῖν tacite Gesn.[2] p. 462: ἡμᾶς M A | δὲ om. A ‖ 8 ἀποδημίαν πρὸς εὐθυμίαν tacite Gesn.[2]: ἀποδημίαν προσ εὐθυμίασ M ἀποθυμίαν εἰς εὐθυμίαν A ‖ 10 καὶ τοῖς γονεῦσιν νενευκόσιν tacite Gesn.[2]: καὶ τοῖς γονεῦσιν ἠενευχοσιν M ἢ ἐν (supra scr. aliquid quod μ̀ potest esse i. e. μὲν A[1]) τοῖς γονεῦσιν ἢ ἐν εὐχαῖσιν A ‖ 11 ταῖς μάλιστα M A: corr. Meineke | κεχαρισμέναις M A: tacite corr. Gesn.[2] ‖ 13 γένοιντο sic M A, moneo propter Gaisfordum ‖ 14 ἰδιωτικωτέρους A ‖ 17 διαμαθείαν M ‖ 19 ἐφέστησαν M A sed φ in corr. A: corr. Schaefer | τοῖς τηλικοῖσδε Cobet. fort. τοῖς τηλικ⟨ούτ⟩οις ‖ 20 ἐκτενῶς αἱ M A: traiecit Bentley; αἱ ἐκ τέκνων νουθ. ci. Cobet mnemos.[2] II p. 432 ‖ 21 φιλοτεχνίας (sic ut coniecerant Bentley et Needham) A: φιλοτεκνίας M ‖ 22 ἐπὶ τὴν secludi vult Cobet, non recte. cf. *Hierokl.* col. I 36 Arn. | εὐθυμίαν Bentley: ἐπιθυμίαν M A ‖ 23 νοητικωτέρων M A: corr. Koen | ὑπὲρ αἰτημάτων M A: corr. Gesn.[2] mrg.

ποτε τοὺς παῖδας, ὥστε καὶ πόδας ὑπονίψαι καὶ κλίνην στορέσαι καὶ παραστῆναι διακονουμένους. εὐφραίνονται γὰρ οὐκ ὀλίγως παρὰ τῶν φιλτάτων χειρῶν τὰς ἀναγκαίας ὑπηρεσίας λαμβάνοντες καὶ διακόνοις χρώμενοι τοῖς σφετέροις ἐκγόνοις. μάλιστα δ' ἂν εἴη γονεῦσι κεχαρισμένον καὶ τὸ φαίνεσθαι τιμῶντας τοὺς παῖδας, οὓς ἂν ἐκεῖνοι στέργωσιν καὶ περὶ πολλοῦ ποιῶνται. διὸ συγγενεῖς αὐτῶν στερκτέον καὶ ἐπιμελείας ἀξιωτέον, φίλους θ' ὡσαύτως καὶ δῆτα καὶ ἑκάστους τοὺς ἐκείνοις κεχαρισμένους. ἀφ' ἧς ἀφορμῆς εὕρεσις ἡμῖν ὑπογράφεται καὶ ἑτέρων πλειόνων καθηκόντων οὐ σμικρῶν οὐδὲ τῶν τυχόντων. ἐπεὶ γὰρ χάρις ἐστὶ γονεῦσι τῶν στεργομένων ὑπ' αὐτῶν κηδεμονία, μάλιστα δ' ἔχουσι πρὸς ἡμᾶς οὕτως, δῆλον ὡς οὐ τοῦ τυχόντος ἂν αὐτοῖς χαριζοίμεθα προνοοῦντες αὐτῶν.

54 *Ξενοφῶντος ἐν τῷ β' Ἀπομνημονευμάτων* (II 2).

Αἰσθόμενός δέ ποτε Λαμπροκλέα τὸν πρεσβύτατον υἱὸν αὑτοῦ πρὸς τὴν μητέρα χαλεπαίνοντα, Εἰπέ μοι, ἔφη, ὦ παῖ, οἶσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους; Καὶ μάλα, ἔφη ὁ νεανίσκος. Καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; Ἔγωγε, ἔφη· τοὺς γὰρ εὖ παθόντας ὅταν δυνάμενοι χάριν ἀποδοῦναι μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. Οὐκοῦν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; Ἔμοιγε,

1 *καὶ* et ante *πόδας* et ante *κλίνην* om. A | *ἀπονίψαι* coni. Meineke ‖ 2 *εὐφραίνονται* scripsi: *εὐφραίνοιτο* M A *ν* supra *ι* alterum addidit A[1]. *εὐφραίνοιντο γὰρ ⟨ἂν⟩* coni. Meineke ‖ 3 *χερῶν* A ‖ 4 *τοῖς ἐφ' ἑτέροις* M A: tacite corr. Gesn.[2] ‖ 5 *ἔργοις* libri: correxi; *τέκνοις* Cobet ‖ 6 *και* (accentu non satis claro) *χαρισμένον* M ‖ 7 *ποιῶνται* M A sed *ῶν* in ras. corr. M[2] ‖ 8 *φίλους τε* (*τὲ* M) *ὡσαύτως* M A ‖ 11 *σμικρῶν* sed *σ* supra versum add. A[1] ‖ 12 *τῶν στεργομένων* M A; *ἡ εἰς τοὺς στεργομένους* temere Gesn.[2] ‖ 14 *τὰ τυχόντα* coni. Gesn.[2] '*χαρίζεσθαι* quasi *μεταδιδόναι τινί τινος.* ut est in Homerico illo *χαριζομένη παρεόντων*' Halm lect. Stob. p. 20 | *χαριζώμεθα* M A: corr. Halm ‖ 15 *αὐτῶν* M A: tacite corr. Gesn.[2] ‖ 16 ecl. cum lemm. hab. S M A; *ἐν* ex *ἐκ* corr. M rubr. ‖ 18 inter *αὐτοῦ* et *ἑαυτοῦ* fluctantur libri Xen. ‖ 20 *τουσ τι* M ‖ 24 *καταλογίζεσθαι* S M, Xen.: *λογίζεσθαι* A

ἔφη. Ἤδη δέ ποτε ἐσκέψω εἰ ἄρα, ὥσπερ τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους δίκαιον, οὕτω καὶ τὸ ἀχαριστεῖν πρὸς μὲν τοὺς φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους δίκαιον; Καὶ μάλα, ἔφη· καὶ δοκεῖ μοι, ὑφ᾽ οὗ ἄν τις εὖ παθὼν εἴτε φίλου εἴτε πολεμίου μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι. Οὐκοῦν, εἰ οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία; Συνωμολόγει. Οὐκοῦν ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη; Συνέφη καὶ τοῦτο. Τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐηργετημένους ἢ παῖδας ὑπὸ γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν καὶ τοσούτων ἀγαθῶν μετασχεῖν ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις· ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν· καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσοντες. καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποιεῖσθαι τοὺς ἀνθρώπους ὑπολαμβάνεις, ἐπεὶ τούτου γε τῶν ἀπολυσόντων μεσταὶ μὲν αἱ ὁδοί, μεστὰ δὲ τὰ οἰκήματα. φανεροὶ δ᾽ ἐσμὲν καὶ σκοπούμεν⟨οι⟩, ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα. καὶ ὁ μέν γε ἀνὴρ τήν τε συντεκνοποιοῦσαν ἑαυτῷ τρέφει καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα· ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει

3 οὕτω SMA: εἶναι libri Xen. ‖ 4 ἄδικόν ἐστι in textu omisit, in marg. suppl. A ‖ 7 εἴ γ᾽ (vel γε) Xen. ‖ 8 ἢ ἀχαρ. M | συνομολόγει A ‖ 10 συνέφην A ‖ 11 ἂν (vel ἂν om.) εὕροιμεν nonnulli Xen. | μείζω Xen. | εὐηργετημένους A (sic): εὐεργετημένους SM, libri Xen. ‖ 15 οὕτως (compend.) ex αὐτ^{ο} (i. e. οὗτος) corr. M^1 | παντὸς Xen. πάντως SMA ‖ 16 πάντων supra lin. S^1 ‖ 17 μεγίστοισ sed εγι in ras. M^2 accentum dedit M^1 | θανάτου A ‖ 18 παύσαντες Coraes ‖ 22 σκοπούμενοι Xen.: σκοποῦμεν SMA ‖ 24 συντεκνοποιήσουσαν Xen. ‖ 25 ἅπαντα A

τὸ φορτίον τοῦτο βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου καὶ μεταδιδοῦσα τῆς τροφῆς, ᾗ καὶ αὐτὴ τρέφεται, καὶ σὺν πολλῷ πόνῳ διενεγκοῦσα καὶ τεκοῦσα τρέφει τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν οὔτε γιγνῶσκον τὸ βρέφος, ὑφ' ὅτου εὖ πάσχει, οὐδὲ σημαίνειν δυνάμενον, ὅτου δεῖται, ἀλλ' αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ τὰ κεχαρισμένα πειρᾶται ἐκπληροῦν καὶ τρέφει πολὺν χρόνον ἡμέρας καὶ νυκτὸς ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα, εἴ τινα τούτων χάριν ἀπολήψεται. καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι ⟨οἱ⟩ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς ⟨τὸν⟩ βίον διδάσκουσιν, ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι. Πρὸς ταῦτα ὁ νεανίσκος εἶπεν· Ἀλλά τοι εἰ πάντα ⟨ταῦτα⟩ πεποίηκε καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν αὐτῆς δύναιτο ἀνασχέσθαι τὴν χαλεπότητα. Καὶ ὁ Σωκράτης, Πότερα δέ, ἔφη, οἴει θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι ἢ μητρός; Ἐγὼ μὲν οἶμαι, ἔφη, μητρὸς τῆς γε τοιαύτης. Ἤδη πώποτε οὖν ἢ δακοῦσα κακόν τί σοι ἔδωκεν ἢ λακτίσασα, οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον; Ἀλλὰ νὴ Δία, ἔφη, λέγει ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ βούλοιτο ἀκοῦσαι. Σὺ δὲ πόσα, ἔφη ὁ Σωκράτης,

2 ᾗ] ἧς Xenophontis multi ‖ 5 *ὑφ'* e corr. S[1] ut videtur | *γιγνώσκον* ex *γιγνώσκων* corr. M[1] | *πάσχει* sed *ει* ex *ο* corr. M[1] ‖ 6 *αὐτὴ* (-ῆ M) SMA *αὐτὸ* Tr. ‖ 7 *καὶ κεχαρισμένα* Xen. libri ‖ 8 *ἡμέρας* SMA: *καὶ ἡμέρας* Xen. ‖ 9 *εἴ τινα* SMA: *τίνα* Xen. libri ‖ 10 *ἀλλ'* (*ἀλλὰ* MA) *ἐπειδὰν* SMA: *ἀλλὰ καὶ ἐπειδὰν* libri Xen. ‖ 11 *οἱ* Xen., om. SMA ‖ 12 *οἱ γονεῖς ἀγαθὰ* SM, Xen.: *ἀγαθὰ οἱ γονεῖς* A | *τὸν βίον* Xen.: *βίον* SMA ‖ 13 *ἱκανώτερον εἶναι διδάξαι* Xen. ‖ 15 *αὐτοῖσ* sed *οι* in ras. M ‖ 16 *εἶπεν* Tr. p. 439, Xen.: *εἰπεῖν* SMA | *εἰ καὶ πάντα* Xen. cod. Voss. | *πάντα ταῦτα* Xen.: *πάντα* SMA; *ταῦτα πάντα* tacite scr. Gesn.[1] f. 418[v] ‖ 18 *δύναιτο αὐτῆς* Xen. ‖ 19 *οἴει ἔφη* Xenophontis plerique | *οἴῃ* Tr. ‖ 20 *ἔφη τῆς μητρός* libri Xen. ‖ 21 *πωποτε* sine acc. S | *ἢ δακοῦσα* S, Xen. *ἡ δακουσα* (sine acc.) M *ἥ δ' ἄκουσα* A ‖ 22 *οἷα* sed *ο* ex *η* fecit S[1] | *ἤδι πολλοι* (sine acc.) M

οἴει ταύτῃ δυσάνεκτα καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων καὶ ἡμέρας καὶ νυκτὸς πράγματα παρασχεῖν, πόσα δὲ λυπῆσαι κάμνων; Ἀλλὰ οὐδεπώποτε αὐτήν, ἔφη, οὔτε εἶπα οὔτε ἐποίησα οὐδὲν ἐφ' ᾧ ᾐσχύνθη. Τί δέ; οἴει, ἔφη, χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὕτη λέγει ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς τραγῳδίαις ἀλλήλοις τὰ ἔσχατα λέγωσιν; Ἀλλά, οἶμαι, ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν, ἵνα ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. Σὺ δ' εὖ εἰδώς, ὅτι ἃ λέγει σοι ἡ μήτηρ [ὅτι] οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι οἷα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις; ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι; Οὐ δῆτα, τοῦτό γε, ἔφη, οὐκ οἶμαι. Καὶ ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, σὺ ταύτην εὔνουν τέ σοι οὖσαν καὶ ἐπιμελουμένην ὡς μάλιστα δύναται καὶ κάμνοντος, ὅπως ὑγιανεῖς τε καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴν εἶναι φῄς; ἐγὼ μὲν οἶμαι εἰ τοιαύτην μὴ δύνασαι φέρειν, τἀγαθά σε οὐ δύνασθαι φέρειν. εἰπὲ δή μοι, ἔφη, πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν; ἢ

---

1 *ταυτη* (sine acc.) M | *δυσάνεκτα* Xen. libri: *δυσανεκτὰ* S M A. delevit vocabulum L. Dindorf ‖ 4 *οὔτ' ἐποίησα* M | *ᾐσχύνθη* M A, Xen.: *ᾐσχύνθην* S ‖ 5 *δέ* A *δὲ* vel *δ'* Xen.: *δαὶ* S M | *αὕτη* Matthiae: *αὐτὴ* S M A, libri Xen. ‖ 6 *τῶν ὑποκριταῖς* (sic) A | *ἀλλήλους* libri Xen. ‖ 7 *οὐκ οἴονται* M A, Xen. *οὐκοῖόντε* S | *ζημιώσῃ* S, Xen.: *ζημιῶσιν* M A ‖ 10 *ἃ* om. libri Xen. ‖ 11 *οὐ* Xen. libri: *ὅτι οὐ* S M A ‖ 12 *ὅσα οὐδενὶ* Xen. ‖ 13 *κακονοῦν* S M | *οὐ δῆτα, τοῦτό γε, ἔφη, οὐκ οἶμαι* scripsi: *οὐ δῆτα γε τοῦτο ἔφη οὐκ οἶμαι* (*οἶμαι γε* sed ultima vocula fere evanida S) S M A. *οὐ δῆτα, ἔφη, τουτί γε οὐκ οἶμαι* (*οἴομαι* libri) Xen. ‖ 15 *ἐπιμελομένην* Xen. ‖ 16 *καὶ κάμνοντος* S M *καὶ κάματος* A: *κάμνοντος* Xen. | *ὑγιανῇς* S *ὑγιαίνησ* M *ὑγιαίνοις* A. inter *ὑγιάνῃς* et *ὑγιαίνῃς* fluctuantur libri Xen. nisi quod *ὑγιανεῖς* cod. Paris. 1740 e corr. ‖ 17 *μηδενὸς* S M, Xen.: *μὴ* A ‖ 18 *ἀγαθὰ* del. Ernesti ‖ 19 *χαλεπὴν* ex *χαλεπὰς* corr. S[1] | *οἶμαι εἰ* Xen.: *οὖν αἰεὶ* S M A ‖ 20 *δύνασθαι* Tr. | *φέρειν μητέρα* priore loco (*μητέρα φέρειν* Xen. cod. Paris. n. 1302) Xenophontis libri, Stobaeo duce *μητέρα* in Xen. suspectat L. Dindorf ‖ 21 *δέ μοι* Xen.

παρεσκεύασαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν μηδὲ πείθεσθαι μήτε στρατηγῷ μήτε ἄλλῳ ἄρχοντι; Ναὶ μὰ Δία ἔγωγε, ἔφη. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῷ γείτονι βουλήσῃ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ, καὶ ἀγαθοῦ τέ σοι γίγνηται συλλήπτωρ καί, ἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοη⟨θῇ⟩ σοι; Ἔγωγε, ἔφη. Τί δέ; συνοδοιπόρον ἢ σύμπλουν, ἢ εἴ τῳ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἄν σοι διαφέροι φίλον ἢ ἐχθρὸν γίγνεσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι; Ἔγωγε, ἔφη. Εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκεύασαι, τὴν δὲ μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας, ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον, ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως τούτου θύοντος οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξοντος; καὶ νὴ Δία ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει

---

1 *παρεσκεύασαι* Xen.: *παρασκευάσαι* (-*ᾶσαι* M) S M A. cf. 11 | *μηδὲ* Xen.: *μήτε* libri Stob. ‖ 2 *ναὶ μὰ Δ. — γείτονι* om. S ‖ 3 *οὐκοῦν* (vel *οὐκ οὖν*) *ἔφη ὁ σωκράτης καὶ* S M, Xen.: *ὁ σωκράτης οὐκοῦν ἔφη καὶ* A ‖ 4 *βουλήσῃ* S M A sicut Xenophontis haud pauci: *βούλει σὺ* (vel *σὺ* depravatum in *σοι*) recte Xenophontis alii | *ἵνα* Xen.: *εἶναι* (*εἶναί* M) S M A | *καὶ* S, Xen.: *κἂν* M A | *ὅταν τούτου δέῃ* S M, Xen.: *ὅτε τούτου δέοι* A ‖ 5 *γίγνηται* Xen.: *γίνεται* S M A; *γίνηται* fort. Stobaeus ‖ 6 *εὐνοϊκῶς* post *βοή* $\overset{οι}{σ}$ collocat A | *βοηθῇ σοι* Xen.: *βοή σοι* S M A ‖ 7 *δὲ* A, Xen.: *δαὶ* S M ‖ 8 *ἐντυγχάνεις* A | *διαφέροι* M, Xen.: *διαφέρει* S *διαφέρῃ* sed *η* in ras. A ‖ 9 *γίνεσθαι* (*γίγν*- ut videtur A) S M A *γενέσθαι* Xen. nec multum adversabor si quis putet idem dedisse etiam Stobaeum | *εὐνοίας οἴει δεῖν* Tr., Xen.: *εὐνοίασ σοι εἰδεῖν* S A *εὔνοιασοι εἰδεῖν* M ‖ 11 *παρασκευάσαι* Tr. ‖ 13 *οὐδὲ μιᾶς* M ‖ 15 *ἐὰν μέν τις* Tr. ‖ 16 *τοῦτον* e corr. M² quid prima m. dederit non dispicio ‖ 18 *καλλῶσ* M ‖ 20 *κοσμεῖ* A | *καὶ* om. typothetae indiligentia in Gaisfordi editione Lips. et Meinekii, inde error Xenoph. editorum

ἡ πόλις ἐν ταῖς τῶν ἀρχόντων δοκιμασίαις. σὺ οὖν, ὦ παῖ, ἐὰν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσει συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέληκας τῆς μητρός, μή σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι οὐκ ἐθέλωσιν εὖ ποιεῖν, τοὺς δὲ ἀνθρώπους φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντῃ ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ ποιήσας χάριν ἀπολήψεσθαι [σοφίας].

---

1 σὺ οὖν] σὺ μὲν οὖν Priscianus XVIII 25, 264 (v. II p. 344, 3 H.) qui citat σὺ μὲν οὖν — τῆς μητρός ‖ 2 ἂν σωφρονήσῃς Prisc. | παραστήσεις SMA παραιτήσῃ (vel -ῃ) Xenophontis libri, Prisc., Zonaras p. 1520 ‖ 4 ἐθελήσωσιν Xenophontis cod. Paris. n. 1302 ‖ 5 αἰσθόμενον S (-νοι Tr.) ‖ 6 ἀμελοῦντα πάντῃ SM πάντῃ ἀμελοῦντα A ἀμελοῦντα πάντες Xen. vide tamen ne πάντῃ vel ΠΑΝΤΗΙ ortum sit ex ΠΑΝΤΗΣ, hoc autem ex ΠΑΝΤΕΣ ‖ 8 εὖ ποιήσας Tr.: εὐποιήσας SMA. εὖ σε ποιήσας Xen. ‖ 9 ἀπολήψεσθαι Xen.: ἀπολήψεσθαι σοφίας SMA. σοφίας ab hoc loco alienum esse vidit Gesn.[2] quae autem sequuntur in SMA cum prioribus coniuncta τῶν δὲ φιλοσοφησάντων ἔνιοι κτἑ., ea duobus foliis in archetypo traiectis huc ex Stobaei libri II capite primo translata esse perspexit Wachsmuth *Stud. zu den gr. flor.* p. 45 ss. Stob. I p. XXIX Stob. II 1, 17 p. 6, 20 adn., ubi vide

---

CAPVT XXVI.

ΟΠΟΙΟΥΣ ΤΙΝΑΣ ΧΡΗ ΕΙΝΑΙ ΤΟΥΣ ΠΑΤΕΡΑΣ ΠΕΡΙ ΤΑ ΤΕΚΝΑ, ΚΑΙ ΟΤΙ ΦΥΣΙΚΗ ΤΙΣ ΑΝΑΓΚΗ ΑΜΦΟΤΕΡΟΥΣ ΕΙΣ ΔΙΑΘΕΣΙΝ ΑΓΕΙ.

1 *Μενάνδρου* (fr. 660 K.).

Οὐκ ἔστ᾽ ἄκουσμ᾽ ἥδιον ἢ ῥηθεὶς λόγος
πατρὸς πρὸς υἱὸν περιέχων ἐγκώμιον.

2 *Τοῦ αὐτοῦ* (fr. 661 K.).

Οὐδέποτ᾽ ἀληθὲς οὐδὲν οὔθ᾽ υἱῷ πατὴρ
εἴωθ᾽ ἀπειλεῖν οὔτ᾽ ἐρῶν ἐρωμένῃ.

3 *Εὐριπίδου Μελανίππῃ* (fr. 500 N.[2]).

Ὅστις δ᾽ ἄμεικτον πατέρ᾽ ἔχει νεανίας
στυγνόν τ᾽ ἐν οἴκοις, μεγάλα κέκτηται κακά.

4 *Μενάνδρου* (fr. 662 K.).

Ὁ σκληρότερος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν
τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ᾽ ἔργοις πατήρ.

5 *Μενάνδρου* (fr. 663 K.).

Υἱῷ προθύμως τἀξιούμενον ποῶν
κηδεμόν᾽ ἀληθῶς, οὐκ ἔφεδρον ἕξεις [τοῦ] βίου.

---

2 incriptionem offerunt SMA. ni nisi *Ὁποίους χρὴ εἶναι τοὺς πατέρας περὶ τὰ τέκνα* Photius et Mac. genuinum capitis numerum ad cunctos quattuor libros pertinentem *ροδ* servavit codicis S margo superior fol. 140 v, cf. quae disserui Stob. III proleg. p. IX. praefigunt numerum *οζ'* SA, *οη'* M Mac. || 4 ecl. cum lemm. hab. SMA || 7 ecl. cum lemm. hab. SMA || 9 *εἴωθεν* SMA: corr. Bentley | *ἐρωμένη* A Tr.: *ἐρωμένην* SM || 10 ecl. cum lemm. hab. SMA, *μελανίππη* om. S || 11 *ἄμικτον* (*ἄμεικτον* Nauck) Heath: *ἀμείλικτον* SMA | *πατέρα* SM || 13 ecl. cum lemm. hab. SMA || 14 *σκληρότατος* SMA: corr. Nauck *Mél. Gr.-Rom.* VI p. 122 || 16 ecl. cum lemm. hab. SMA; *μ*ε S *τοῦ αὐτοῦ* MA || 17 *Ὑῷ* Tr. | *τὸ ἀξιούμενον* SM | *ποῶν* M: *ποιῶν* SA || 18 *βίον* tacite Gesn.[1] f. 424 v: *τοῦ βίου* SMA

6 *Εὐριπίδου Ἀλκμήνῃ* (fr. 103 N.[2]).

Δεινόν τι τέκνων φίλτρον ἔθηκεν θεὸς ἀνθρώποις.

7 *Μενάνδρου Συναριστώσαις* (fr. 445 K.).

Πατὴρ δ' ἀπειλῶν οὐκ ἔχει μέγαν φόβον.

8 *Θεοδέκτου* (fr. 14 p. 806 N.[2]).

Γονέων τὰ τέκνα σῴζουσιν αἱ συμβουλίαι.

9 *Φιλήμονος* (fr. 200 K.).

Ἡδύ γε πατὴρ τέκνοις† εἰ στοργὴν ἔχοι.

10 *Μενάνδρου* (fr. 807 K.).

Ἡδὺς πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.

11 *Μενάνδρου* (fr. 808 K.).

Υἱὸς δ' ἀμείνων ἐστὶν εὐνοίᾳ πατρός.

12 (13 Mein.) *Μενάνδρου* (fr. 749 K.).

Ὡς ἡδὺ πρᾶος καὶ νεάζων τῷ τρόπῳ πατήρ.

13 (12 Mein.) *Μενάνδρου* (fr. 730 K.).

Οὐ λυποῦντα δεῖ

---

1 ecl. cum lemm. hab. S M A; *ἀλκμήνῃ* (-*νῃ* A) M A, om. S ‖ 2 *τέκνον* S, ubi singulae dipodiae post *τέκνον* et *ἔθηκεν* spatiolis interiectis distinguuntur | *ἔθηκε* A. *ἐνῆκεν* Cobet mnemos. XI p. 445 ‖ 4 ecl. sine lemm. hab. S, addito lemmate M A. *τοῦ αὐτοῦ* (praecedit ecl. 4) Mac. ‖ 5 *μέγα* M ‖ 6 ecl. cum lemm. hab. M A Mac.: om. S ‖ 7 *τὰ τέκνα σῴζουσιν* M A Mac. *τὰ τέκν' ἔσωσαν* prop. Mekler Lect. gr. spec. p. 15 ‖ 8 ecl. cum lemm. hab. M A, om. S. eclogam 8 et 9 ex M edere neglexit Gesnerus, ex A addidit Grotius Dict. poet. p. 347 ‖ 9 *τέκνοις* M A (sic). *τέκνοισιν* scribi solet auctore Grotio | *εἰ στοργὴν ἔχοι* M A: *ἂν στ. ἔχῃ* ci. Kock et Blaydes, *εἰ στ. ἔχει* Herwerden Coll. crit. (L. B. a. 1903) p. 148 ‖ 10 ecl. sine lemm. hab. S, addito lemmate M A. recurrit monost. 669 ‖ 11 *ἡδύ γε* (pro *ἡδὺς*) monost. idque merito commendat Cobet mnemos. IX p. 138. cf. Philem. fr. 200 Men. fr. 749. 809. 814 K. ‖ 12 ecl. sine lemm. hab. S, addito lemmate M A; *μενάνδρου* M *τοῦ αὐτοῦ* A ‖ 14 ecl. cum lemm. hab. M A (post ecl. 11), om. S. temere post ecl. 12 Mein. traiecit qui primus edidit eclogam Gesn.[2] p. 474 ‖ 17 ecl. cum lemm. hab. S M A (post ecl. 13 Mein.); *μ^ε* S *μενάνδρου* M *τοῦ αὐτοῦ* A. Terenti Ad. I 1, 32 s. comparavit Meineke ‖ 18 *δεῖ* S M *μάλα δεῖ* A

παιδάριον ὀρθοῦν, ἀλλὰ καὶ πείθοντά τι.

14 *Χαιρήμονος* (fr. 35 p. 790 N.[2]).

Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.

15 *Ἱπποθόου* (Hippothoontis fr. 4 p. 828 N.[2]).

Παίδων κρατεῖν δεῖ τῶν νεωτέρων σοφούς.

16 *Εὐριπίδου Δίκτυϊ* (fr. 339 N.[2]).

Πατέρα τε παισὶν ἡδέως συνεκφέρειν
φίλους ἔρωτας ἐκβαλόντ' αὐθαδίαν,
παῖδάς τε πατρί· καὶ γὰρ οὐκ αὐθαίρετοι
βροτοῖς ἔρωτες οὐδ' ἑκουσία νόσος.
σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ,
θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει.

17 *Ἐν ταὐτῷ* (fr. 346 N.[2]).

Εἷς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος
καὶ θεοῖσι τοῦτο δόξαν, ὡς σαφῶς λέγω,
θηρσίν τε πᾶσι, τέκνα τίκτουσιν φιλεῖν.
τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις.

18 *Ἐν ταὐτῷ* (fr. 345 N.[2]).

Ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνα
παισίν τε τοὺς τεκόντας, οὐδὲ συμμάχους
ἄλλους γενέσθαι φήμ' ἂν ἐνδικωτέρους.

19 *Ἀντιφάνους* (fr. 260 K.).

Υἱῷ γὰρ ἀγαπητῷ τι πράττων πρὸς χάριν
ἔρανον ἐμαυτῷ τοῦτον οἴομαι φέρειν.

---

2 ecl. cum lemm. hab. SMA. recurrit versus in Men. monost. 451 et 701 ‖ 4 ecl. cum lemm. hab. SMA; *ἱπποθόου* etiam S idque sine compendio. vide quae monui ad Stob. III 22, 25 p. 589, 13 ‖ 6 ecl. cum lemm. hab. SMA ‖ 7 *ἠπίως* ci. Stadtmueller ‖ 8 *φίλους* SM *φίλος* A; *δεῖ τοὺς* dubitans ci. Meineke | *ἔρω τας* spatiolo interposito S | *ἐκβάλλοντ'* SMA: corr. Gesn.[1] f. 424 marg. | *αὐθάδειαν* SMA: corr. Grotius Dict. poet. p. 546 | 11 *δὴ* ex *δεῖ* corr. S[1]. *δῆτα χρῆμα* Krueger *Gr. spr.* 51, 13 adn. 11 ‖ 13 ecl. cum lemm. hab. SMA; *ἐν ταυτῶ* SM *ἐν τῷ αὐτῷ* A ‖ 15 *τοῦτο*] *ταὐτὸ* Heath | *ὡς* Grotius Dict. poet. l. c.: *ὁ* S *ὅ* MA ‖ 16 *πᾶσιν τέκνα τίκτουσι* M ‖ 18 ecl. cum lemm. hab. SMA; *ἐν ταυτῶ* SM *ἐν τῷ αὐτῷ* A ‖ 19 *τέκνον* SMA: corr. Pflugk ‖ 22 ecl. cum lemm. hab. MA, om. S

20 *Ἀναχάρσιδος.*

Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς διὰ τίνα αἰτίαν οὐ παιδοποιεῖ, ἔφη ʽδιὰ φιλοτεκνίανʼ.

21 *Εὐριπίδου ἐν Δίκτυϊ* (fr. 338 N.²).

Ὄντων δὲ παίδων καὶ πεφυκότος γένους
καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις,
ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις.

22 *Σωκράτους.*

Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον· ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ ἐπιδάκνοντος.

23 *Διογένους.*

Διογένης ἐρωτηθεὶς τὸ πῶς δεῖ πατέρας καὶ υἱοὺς ἀλλήλοις προσφέρεσθαι, φησὶν εἰ μὴ περιμένοιεν αἰτηθῆναι ὑπʼ ἀλλήλων, ἀλλὰ διδόντες φθάνοιεν. ἐπιεικῶς δʼ ὁ πατὴρ διὰ τὸ προευεργετηκέναι, εἰ μὴ εὖ πάσχοι, ταχέως ἄχθεται· ὁ δὲ υἱὸς ἐντρυφᾷ καὶ οὐκ ἀξιοῖ αἰτεῖν.

24 *Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς* (p. 363 C Dind.).

Εὖ ἴστε, ὦ ἄνδρες, ὅτι ὁ φιλότεκνος ἀξιέπαινον πάθος ἐστὶ καὶ οὐκ ἔοικε τῷ φιλοχρηματῳ ἢ τῷ φιλαργύρῳ. ἐκεῖνα μὲν γὰρ τὰ ὀνόματα εἰκότως παρὰ τοῖς ἀνθρώποις ὀνείδη λέγεται καὶ ἔστιν· οὐ γὰρ ποιεῖ αὐτὰ

---

1 ecl. sine lemm. hab. S, addito lemmate MA. num eclogae sua sedes servata sit potest dubitari. dirimuntur enim eclogae metricae una hac interposita prosaria. Soloni apophthegma datur gnomol. Vat. 509 Sternb. *Ὁ αὐτὸς* (sc. *Σόλων*) *ἐρωτηθεὶς κτἑ.*, Thaleti a Diogene Laertio I 1, 26 ‖ **3** *παιδοποιεῖ* S M, in A prior pars vocabuli interiit; *τεκνο* ab alia ut videtur m. suppleta, sed m. primam *παιδο* habuisse produnt vestigia quaedam litterarum: *τεκνοποιεῖ* gnomol. Vat., etiam Diog. Laert. ‖ **4** ecl. cum lemm. hab. S M A; *ἐν δικτύϊ* M ‖ **6** *καὶ νοὺσ* M ‖ **7** *σοῖσι συμβαλῶν* Bergk, *σοῖσιν ἐμβαλῶν* Mähly ‖ **8** ecl. cum lemm. hab. S M A. recurrit sententia gnom. homoeom. 68ᶜ ubi vide quae collegit Elter ‖ **9** *ἔχει γὰρ πλέον* S M A, homoeom. testes aliquot *πλεῖον γὰρ ἔχει* homoeom. testes alii ‖ **10** *τοῦ ὠφελοῦντος ἢ τοῦ δάκνοντος* Meibom | *τοῦ ἐπιδάκνοντος* S M A: *τοῦ δάκνοντος* Tr., homoeom. idque concinnius. videtur *ἐπι-* ex versu superiore iteratum per errorem ‖ **11** ecl. cum lemm. hab. M A, om. S ‖ **12** *τὸ πῶς* S M A (sic). errat Gaisford ‖ **13** *φησὶν*] litterae mediae verbi perierunt chartae detrimento A. *ἔφησεν* ci. Meineke ‖ **17** ecl. cum lemm. hab. S M A

ἡ φύσις, ἀλλ' ἡ μοχθηρία ἡ ἡμετέρα. τοῦτο δὲ ἄνωθεν αὐτῇ ἐνδέδεται ἐκ τοῦ οὐρανοῦ καὶ ἐξῆπται ἐκείνης ἀτεχνῶς τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς, ἣν ξυρράπτουσα ἀεὶ καὶ ξυγκολλῶσα τῷ φθίνοντι τὸ φυόμενον οὐκ ἀπολισθάνει εἰς τὸ μὴ εἶναι. ὥστε οὐκ αἰσχύνεται ὁ φιλόσοφος τῇ φιλοτεκνίᾳ, ὥσπερ οὐδὲ τῇ φιλοσοφίᾳ τε καὶ φιλολογίᾳ.

25 *Δημοκρίτου* (fr. 279 Diels²).

Τοῖς παισὶ μάλιστα χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χρήματα, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν ποιέωσι διὰ χειρὸς ἔχοντες· ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γίγνονται ἐς τὰ χρήματα καὶ προθυμότεροι κτᾶσθαι καὶ ἀγωνίζονται ἀλλήλοισιν. ἐν γὰρ τῷ ξυνῷ τὰ τελεύμενα οὐκ ἀνιᾷ ὥσπερ ἰδίῃ οὐδ' εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ πολλῷ ἧσσον.

26 *Τοῦ αὐτοῦ* (fr. 280 Diels²).

Ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.

27 *Πλάτωνος ἐκ τοῦ Λάχητος* (p. 185 A).

Ἦ περὶ σμικροῦ οἴεσθε νυνὶ κινδυνεύειν καὶ σὺ καὶ Λυσίμαχος, ἀλλ' οὐ περὶ τούτου τοῦ κτήματος, ὃ τῶν ὑμετέρων μέγιστον ὂν τυγχάνει; υἱέων γάρ που ἢ χρηστῶν ἢ τἀναντία γενομένων καὶ πᾶς ὁ οἶκος ⟨ὁ⟩ τοῦ πατρὸς οὕτως οἰκήσεται, ὁποῖοι ἂν τινες οἱ παῖδες γένωνται. — Ἀληθῆ λέγεις. — Πολλὴν ἄρα δεῖ προμήθειαν αὐτοῦ ἔχειν.

28 *Γαΐου ἐκ τοῦ κατὰ Ἀρτεμισίου.*

---

2 *ἐνδέδοται* Themist. ‖ 3 *ἣν* S M A *δι' ἧς* Themist. *ᾗ* prop. Gaisford ‖ 5 *ἀπολισθάνει* (sine acc. S) S M A: *ἀπολισθαίνειν ἐᾷ* Themist. ‖ 8 ecl. cu ·hlemm mab. S, om. M A ‖ 9 *ἀνύστων* S: corr. Orelli Opusc. sent. I p. 516 ‖ 10 *ποιέωσι* Wakefield: *τοι* (*τι* Tr.) *ἔωσι* S ‖ 11 *πολλῶν* S: corr. Wakefield. *πολλῷ* Orelli | *φειδότεροι*] cf. Lobeck *Rhem.* p. 280 ‖ 14 *οὐδ'* S: *οὐκ* Tr. ‖ 16 ecl. cum lemm. hab. S, om. M A ‖ 17 *σφέτερον* Tr. ‖ 19 *χρήμ.*] cf. Natorp *Eth. des Dem.* p. V ‖ 20 ecl. cum lemm. hab. S, om. M A ‖ 21 *οἴεσθε* S: *οἴεσθαι* libri Plat. ‖ 24 *ὁ τοῦ* Platonis T W: *τοῦ* S (sic), Platonis B ‖ 26 *προμηθίαν* Plat. ‖ 27 ecl. cum lemm. hab. S M A, *γαΐου ἐκ^{τ} κ^{τ} ἀρτεμισίου* etiam S

Ἀλλ᾽ ὅταν ἡ σωφροσύνη τὸ κρινόμενον, πάντες μὲν οἱ πρεσβύτεροι πατέρες, πάντες δὲ οἱ νεώτεροι συγγενεῖς, πᾶσαι δὲ αἱ κυήσασαι πώποτε μητέρες. τὸ γὰρ κοσμίους εἶναι τοὺς παῖδας καὶ σώφρονας μίαν καὶ κοινὴν ἁπάντων ἔχει συγγένειαν.

29 *Ξενοφῶντος ἐκ τῆς πρὸς Κρίτωνα ἐπιστολῆς* (p. 788 Hercher).

Εὖ γὰρ ἴσθι Σωκράτην πρὸς ἡμᾶς πολλάκις εἰπόντα, ὅτι οἱ τῶν υἱέων ἵνα πολλὴν μὲν ἔχωσιν οὐσίαν φροντίζοντες, ἵνα δὲ καλοὶ κἀγαθοὶ γένωνται ἀμελοῦντες ἴσον πεπόνθασι τοῖς ἱπποτροφοῦσι καὶ τὰ μὲν πολεμικὰ οὐ διδάσκουσι, τροφὴν δὲ παμπόλλην παρεχομένοις. οὗτοι γὰρ πιοτέροις μὲν τοῖς ἵπποις χρήσονται, ἀπείροις δὲ ὧν χρή· εἶναι γὰρ ἵππου ἀρετὴν οὐ τὴν εὐσαρκίαν, τὴν δὲ κατὰ πόλεμον εὐτολμίαν καὶ ἐμπειρίαν. τὰ αὐτὰ δ᾽ οὖν ἐξαμαρτάνειν καὶ τοὺς γῆν πολλὴν κτωμένους τοῖς υἱέσιν, αὐτῶν δὲ μὴ ἐπιμελομένους. ἃ γὰρ κεκτήσονται, πολλοῦ ἄξια νομισθήσεται, αὐτοὶ δὲ ὀλίγου. προσήκει δὲ τὸ φυλάττον τοῦ κτηθέντος ἀξιοτιμότερον εἶναι. καὶ τοίνυν ὁ τὸν ἑαυτοῦ παῖδα πολλοῦ ἄξιον ἀποδείξας, κἂν ὀλίγα καταλίπῃ, πολλὰ ἔδωκε· γνώμῃ γὰρ ἢ πλείω ἢ ἐλάττω γίνεται, ἀγαθῇ μὲν ἔμμετρα, ἐκμελεῖ δὲ καὶ ἀπαιδεύτῳ ὀλίγα. σὺ δὲ οὐδὲν πλείω τῶν ἀναγκαίων παρέχεις, ἃ τοῖς μὲν διὰ παιδεύσεως ἰοῦσιν ἀναγκαῖά τε καὶ πλούσια νομίζεται, τοῖς δ᾽ ἀμαθέσι τὸ μὲν ἀλγεινὸν τῆς σαρκὸς ἐκλύει, τὴν δὲ περὶ τοῦ μέλλοντος δυσελπιστίαν οὐ μειοῖ.

---

1 *ὅταν ἡ* A ‖ 2 *οἱ νεώτεροι συγγενεῖς* Meineke: *συγγενεῖς οἱ νεώτεροι* S M A ‖ 3 *πώποτε* sed *ω* ex *ρ* corr. S ‖ 6 ecl. cum lemm. hab. S M A ‖ 11 *μὲν* om. A. aberravit Gaisford ‖ 12 *παμπόλλην*] alt. *λ* superscr. M[1] | *παρεχομένους* Tr. | *οὗτοι* S M A *οὕτω* Tr. ‖ 13 *προτέροις* Tr. ‖ 17 *γὰρ καὶ κτήσονται* M ‖ 18 *νομισθήσεται* M A *νομισθήσονται* S ‖ 19 *ἀξιοτιμώτερον* Tr. ‖ 21 *ἢ* post *γὰρ* omissum inseruit S[1] | *πλείω*] *πλει* ex *ελα* corr. S ‖ 22 *γίνεται* S M *γίγνεται* A | *γίνεται, ἀγαθῇ μὲν* bis scripsit, prius expunxit S | *ἀγαθῇ* S *ἀγαθὴ* M *ἀγαοῆι* ut videtur A | *ἐκμελεῖ* S M sed *ει* ex *η* corr. S[1] *ἐμμελεῖ* A ‖ 23 *ἃ τοῖς* M A *αὐτοῖς* S ‖ 24 *ἀναγκαῖα* suspectum ‖ 25 *τοῖς δὲ* S M

CAPVT XXVII.

ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Η ΦΙΛΑΔΕΛΦΙΑ ΚΑΙ Η ΠΕΡΙ ΤΟΥΣ ΣΥΓΓΕΝΕΙΣ ΔΙΑΘΕΣΙΣ, ΚΑΙ ΟΤΙ ΑΝΑΓΚΑΙΟΙ.

1 *Μενάνδρου* (fr. 809 K.).

Ὡς ἡδύ γ᾽ ἐν ἀδελφοῖσιν ὁμονοίας ἔρως.

2 (Eiusdem: fr. 742 K.)·

Τὸν τῇ φύσει
οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποεῖ.

3 *Εὐριπίδου Ἰφιγενείᾳ* (Aul. 376 s.).

Δεινὸν κασιγνήτοισι γίγνεσθαι λόγους
μάχας θ᾽, ὅταν ποτ᾽ ἐμπέσωσιν εἰς ἔριν.

4 *Διφίλου* (fr. 102 K.).

Ἀνδρὸς φίλου γὰρ οἰκίαν καὶ συγγενοῦς
αὑτοῦ νομίζειν δεῖ τὸν ὀρθῶς συγγενῆ.

---

2 Titulum offerunt Phot. S M A, *καὶ ὅτι ἀναγκαῖοι* om. Phot. nil nisi *ὅτι κάλλιστον ἡ φιλαδελφία* praebet Mac. numerum *οη′* (ex *ογ* ut videtur corr. S) praef. S A *οθ′* M Mac. ipsum caput servatum est etiam in L, ubi inscribitur *Περὶ ἀδελφῶν καὶ φιλαδελφίας* ‖ 4 ecl. cum lemm. hab. S M A L ‖ 5 *ἐν ἀδελφοῖσιν* (ut scripserat Grotius Dict. poet. p. 547) A: *ἐν ἀδελφοῖς ἐστιν* S M L. *ἡδύ γ᾽ ἐν ἀδελφοῖς ἐστιν* (deleto *ὡς*) Porson quod commendari videtur et S M L librorum consensu et *ἡδύ γε* exordii frequentia, cf. quae adnotavimus ad IV 26, 10. *ὡς* illabi poterat ex prioris capitis ecloga 12 *ὡς ἡδὺ πρᾶος κτἑ.* ‖ 6 ecl. hab. S Tr., om. M A L. in S ubi una linea scriptae sunt ecl. 1 et 2, iuxta hanc lemma μ^{ε} adpositum est pertinens ad utramque, *Εὐριπίδου* quod legitur in Tr. falso huc retractum est ex ecl. 3 ‖ 8 *ποεῖ* Tr.: *ποιεῖ* S (?) ‖ 9 ecl. cum lemm. hab. S M A L; *ὑφιγενείᾳ* A ‖ 10 *γήγνεσθαι* M ‖ 11 *μάχεσθ᾽* Tr. ‖ 12 ecl. cum lemm. hab. S Tr., om. M A L ‖ 13 *καὶ συγγενοῦς οἰκίαν* S: traiecit Grotius Dict. poet. p. 547 ‖ 14 *αὐτοῦ* S: tacite corr. Gesn.[2] p. 476 | *εὐγενῆ* Bothe

5 (Hom. Od. XVI 97 s.)

Ἦ τι κασιγνήτοις ἐπιμέμφεαι, οἷσί περ ἀνὴρ μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.

6 (7 Mein.) Σωτίωνος.

Ἀθήνησι νεμόμενοι κοινὴν οὐσίαν Ἀχαιὸς καὶ Δῖος ἀδελφοὶ οὕτως εὐγνώμονες ἦσαν, ὥσθ' ὁ μὲν Ἀχαιὸς γεγυμνασιαρχηκὼς ἠξίου τῆς ὑπολοίπου οὐσίας τὸ ἀνάλωμα τὸ εἰς τὴν γυμνασιαρχίαν προστίθεσθαι τῷ Δίου μέρει· ὁ δὲ ἀντέλεγεν ὡς καὶ αὐτὸς ἄλλα τινὰ ἀνηλωκώς.

7 (8 Mein.) Τοῦ αὐτοῦ.

Καλλίας χειροτονηθεὶς ἵππαρχος νέος ὢν ἠξίωσεν ἐπιτραπῆναι αὐτῷ παραχωρῆσαι τῷ ἀδελφῷ Θεοφίλῳ· αὐτῷ γὰρ ἐπεῖναι ἡλικίαν. ὥστε καὶ εὐδοκίμησε καὶ ἐν τῷ ὑστέρῳ ἔτει πρῶτος ἐχειροτονήθη.

8 (6 Mein.) Τοῦ αὐτοῦ.

Οἱ ἀδελφοὺς παρέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν.

---

1 ecl. sine lemm. hab. S Tr., om. M A L ‖ 2 ἐπιμέμφεται S Tr. videtur tamen -εαι fuisse in S, ἐπιμέμφεαι Hom. ‖ 3 ὄρηται Hom.: ὀρῆται S ‖ 4 ecl. cum lemm. Σωτίωνος (sic) hab. M A L (post ecl. 3), om. S. τοῦ αὐτοῦ quasi ex A temere scr. Gaisford deceptus errore Gesneri qui eclogas 7 et 8 (Mein.) libris invitis transposuerat post ecl. 6 (Mein.) in edit. sec. p. 476. Sotionem hunc non diversum esse ab eo qui Περὶ ὀργῆς libros composuit (vid. Stob. III 20, 53 H.) probabiliter statuit Zeller *Philos.*[3] III 1 p. 682 n. 1 ‖ 5 Ἀχαιὸς] αι ex ει corr. M[1] ‖ 7 γεγυμνασιαρχϊκῶς (-ικὼς A) M A γεγυμνασμένος ἀρχικῶς L: tacite corr. Gesn.[2] ‖ 8 Δίου scripsi: αὐτοῦ M A L; ἐκείνου ci. Meineke, potest τἀδελφοῦ | μέρει M A ἀν^{ερι} L ‖ 9 ἄλλα κτέ.] nimiam quandam brevitatem notavit Elter. contraxerit verba eclogarius ‖ 10 ecl. cum lemm. hab. M A L, om. S ‖ 11 Ὁ ante Καλλ. add. A | χειροτονηθεὶς] οτονηθεὶς suppl. A rec. | ἵππαρχος ex ὕπαρχος corr. L ‖ 15 ecl. cum lemm. hab. S (post ecl. 5 sed om. ecl. 7. 8 Mein.) M A L (post ecl. 8 Mein.). Gesneri errorem correxi adn. 4. σωτίωνος S τοῦ αὐτοῦ M A Σωστράτου L. recurrit sententia corp. Par. 487 Elt. (γνῶμαι Σωστράτου). Sotionis igitur sit an Sostrati potest dubitari: neutri obstat pinacographus Photi p. 66 Elt. ‖ 17 ἐῶσι sed σι ex corr. L ‖ 18 γεωργοῦσιν ex -γῶσιν corr. S[1]. post γεωργοῦσιν addit A marg. alio atramento aliaque ut

9 *Πλουτάρχου ἐκ τοῦ Περὶ φιλαδελφίας* (p. 479 A).

Ὅτι χωρὶς ἀδελφῶν οὔτε ʽπλούτουʼ φασὶν οὔτε ʽτᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληίδος ἀρχᾶςʼ ἐστί τις χάρις καὶ ὄνησις.

10 *Τοῦ αὐτοῦ* (cf. p. 480 D).

Ὁ † δισάδελφον μὴ φιλῶν οὐδὲ γονέας, οἳ εἰς ἀμφοῖν συνεβάλλοντο ⟨γένεσιν⟩.

11 *Τοῦ αὐτοῦ* (p. 480 E).

Οἱ χρηστοὶ παῖδες οὐ μόνον διὰ τοὺς γονεῖς ἑαυτοὺς ἀγαπήσουσιν, ἀλλὰ καὶ τοὺς γονεῖς δι᾽ ἑαυτούς. ὀφείλοντες γὰρ τοῖς γονεῦσι διὰ πολλὰ χάριν, μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσιν.

12 *Τοῦ αὐτοῦ* (p. 480 F).

---

videtur manu has lectoris nescio cuius nugas *εἰ δὲ ἣν ἔλαχέ τις λυπρὰν ἢ καὶ ἄλλως φαύλην εἰς φορὰν ἀναγκάζοιτο σπείρειν, οὐκ ἂν ἄμεινον βουλεύσαιτο περὶ αὐτοῦ* (sic), *εἰς ἀλλοτρίαν καταβάλλων; μυρίους γοῦν ἴσμεν τοὺς καρποὺς ὧδε ποριζομένους*

1 ecl. cum lemm. hab. SMAL (post ecl. 6 Mein.); *ἐκ τοῦ* om. L. cf. Ariphronis in *Ὑγίειαν* paeana et testimonia quae collegit Bergk P. l. III[4] p. 595 ‖ 2 *ἧς* (sc. *ἁρμονίας*) *χωρὶς — ἀρχᾶς εἶναί τινα χάριν καὶ ὄνησιν* Plut. | *τᾶς* A, Plut. *τὰς* SM *τῆς* L ‖ 3 *ἀρχῆς* L | *ἐστίν τισ* M ‖ 5 ecl. cum lemm. hab. SMA, lemmate non iterato L. cf. Plut. De frat. am. p. 480 D *ὁ γὰρ μισῶν τὸν ἀδελφὸν αὐτοῦ καὶ βαρυνόμενος οὐ δύναται μὴ τὸν γεννήσαντα μέμφεσθαι καὶ τὴν τεκοῦσαν* ‖ 6 *ὁ δισάδελφον* (*δϊσ-* sed ϊ ex ει corr. M[1] *δισσ-* A) SMA *ὁ δὲ ἀδελφὸν* (ut prop. Meineke) L dein *μὴ φιλῶν* omnes. verba nostris quidem subsidiis certo restitui vix possunt. priora *ὁ δ' εἰς ἀδελφὸν μὴ φίλος ὢν* scribi voluit Gaisford. *ὁ δὲ ἀδελφὸν μὴ φιλῶν ⟨φιλεῖ⟩ οὐδὲ γονέας* ci. Meineke, *ὁ μισάδελφος* [*μὴ φιλῶν*] *οὐδὲ γονέας ⟨φιλεῖ⟩, οἳ* Elter | *εἰς* SMA *ἐν* L ‖ 7 *συνεβάλλοντο* SMA *συνεβάλοντο* L | *γένεσιν* addi voluit Gesn.[1] mrg. ‖ 8 ecl. cum lemm. hab. SMA, lemmate non iterato L. cf. Plut. l. c. *χρηστοὶ δὲ καὶ δίκαιοι παῖδες οὐ μόνον διὰ τοὺς γονεῖς ἀγαπήσουσι μᾶλλον ἀλλήλους, ἀλλὰ καὶ τοὺς γονεῖς δι᾽ ἀλλήλους· οὕτως ἀεὶ καὶ φρονοῦντες καὶ λέγοντες, ὅτι τοῖς γονεῦσιν ἀντὶ πολλῶν χάριν ὀφείλοντες μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσιν* ‖ 10 *ἀγαπήσουσιν* SAL *ἀγαπῶσιν* M *ἀγαπήσωσιν* Tr. ‖ 13 ecl. cum lemm. hab. MA, lemmate non iterato L, om. S. Plut. l. c.: *ἃς* (sc. *τὰς Μούσας*) *ὁμοῦ δι εὔνοιαν ἀεὶ καὶ φιλαδελφίαν οὔσας οὕτως ὠνόμαζον*

Ὅτι τὰς Μούσας ὠνομάσθαι λέγουσι διὰ φιλαδελφίαν ὁμοῦ οὔσας.

13 *Τοῦ αὐτοῦ* (p. 483 C).

Πολυδεύκης τὸν καταψιθυρίζοντα τοῦ ἀδελφοῦ πρὸς αὐτὸν κονδύλῳ παίσας ἀπέκτεινε· καὶ οὐδὲ θεὸς ἠθέλησε μόνος, ἀλλ' ἡμίθεος μᾶλλον σὺν τῷ ἀδελφῷ γενέσθαι.

14 *Θεοφράστου* (Plut. l. c. p. 482 B).

Θεόφραστός φησιν, ὅτι τοὺς μὲν ἀλλοτρίους οὐ φιλοῦντα δεῖ κρίνειν, ἀλλὰ κρίναντα φιλεῖν, τοὺς δὲ ἀδελφοὺς ἔμπαλιν.

15 *Εὐκλείδου* (Plut. p. 489 D).

Εὐκλείδης ὁ Σωκρατικὸς ἀκούσας τοῦ ἀδελφοῦ λέγοντος 'ἀπολοίμην εἰ μή σε τιμωρησαίμην'· 'ἐγὼ δέ' εἶπεν 'εἰ μή σε ⟨πείσαι⟩μι φιλεῖν ἡμᾶς'.

16 *Σκιλούρου* (Plut. Apophth. reg. et imp. p. 174 F).

Σκίλουρος ὀγδοήκοντα παῖδας ἄρρενας ἀπολιπών,

---

1 *λέγουσιν* M || 3 ecl. sine lemm. hab. S, cum lemm. MAL. verba *καὶ οὐδὲ — γενέσθαι* desunt ap. Plut. *Πλουτάρχου*: *'Ο Πολυδεύκης οὐδὲ θεὸς — σὺν τῷ ἀδελφῷ γενέσθαι* offert Mac. f. 136v || 4 *ὁ Πολ.* Plut. | *καταψιθυρίζοντα* SMA, Plut. *καταψιθυρίσαντα* L || 5 *πάσας* A[1] *ι* pallido atram. additum | *κονδύλῳ* om. L || 6 *ἡμίονος* L || 7 ecl. sine lemm. hab. SL, addito lemmate MA. discrepat Plut. dictum saepe citatur verbisque variatur. testimonia collegerunt Heylbut de Theophr. libris *Περὶ φιλίας* p. 23 Sternbach in gnomol. Vat. n. 326 || 8 *Θεόφραστος ἔλεγεν ὅτι* L | *οὐ* ex *μὴ* corr. L || 9 *κρίνοντα* L || 11 ecl. cum lemm. hab. MA, sine lemm. L Mac., om. S. suspectum igitur lemma *Εὐκλείδου* ut modo *Θεοφρ.* nam Plutarchum exscribere pergit Stobaeus modo demptis aliquot verbis modo additis vel mutatis lemmate *Πλουτ.* fortasse non iterato. cf. Plut. l. c. *ὁ μὲν οὖν Σωκρατικὸς Εὐκλείδης . . . τἀδελφοῦ πρὸς αὐτὸν εἰπόντος 'ἀπολοίμην, εἰ μή σε τιμωρησαίμην' 'ἐγὼ δ'' εἶπεν 'εἰ μή σε πείσαιμι . . . φιλεῖν ἡμᾶς ὡς πρότερον ἐφίλεις'*. dictum similiter narratur a multis, ab ipso Plutarcho de cohib. ira p. 462 D. testimonia collegit Sternbach in gnomol. Vat. n. 278 || 13 *εἰ μή σε ⟨πείσαι⟩μι* scripsi: *εἰ μή σε μὴ* MA *εἰ μή σε παρασκάσω* (leg. *παρασκευάσω*) L. *εἰ μή σε φιλεῖν ἡμᾶς παίσαιμι* Gesn.[2] et sic Macarius ex coniectura sine dubio et ipse: vide Plutarchum || 15 ecl. sine lemmate hab. SL, addito lemm. MA. hoc ipso loco *Σκίλλουρος* contestatur index Photi p. 63 Elt. 'sed' quaerit Elter 'unde pinacographus comperit Scilurum fuisse regem ?' aut

ἐπειδὴ τελευτᾶν ἤμελλε, δέσμην ἀκοντίων ἑκάστῳ προτείνων ἐκέλευε καταθραῦσαι. πάντων δὲ ἐπαγορευσάντων, καθ' ἓν αὐτὸς ἕλκων ἀκόντιον πάντα ῥᾳδίως ἔκλασε, διδάσκων ἐκείνους, ὅτι συνεστῶτες καὶ ὁμονοοῦντες ἰσχυροὶ διαμενοῦσιν, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες.

17 Σωτίωνος.

Φιλάδελφον καὶ πένητα λέγεσθαι κρεῖσσον, ἢ μισάδελφον καὶ πλούσιον.

18 Τοῦ αὐτοῦ.

Κύνα μὲν χαλεπὸν ὄντα ἐπιχειρεῖς πραΰνειν, ὅπως σοι πρᾶος ᾖ, τὸν ἀδελφὸν δὲ οὔ;

19 Ἀριστίππου.

Ἀρίστιππος ἔφησε πρὸς τὸν ἀδελφόν 'μέμνησο ὅτι τῆς μὲν διαστάσεως σὺ ἦρξω, τῆς δὲ διαλύσεως ἐγώ'.

20 Ἱεροκλέους ἐκ τοῦ Περὶ φιλαδελφίας (p. 59 de Arn.).

Πρώτη μὲν οὖν ὑποθήκη μάλα σαφὴς ἐπιεικῶς τε εὔπορος, πρὸς δὲ καὶ κοινή. κατὰ παντὸς μὲν γὰρ εἰπεῖν προσώπου ὑγιὴς ὁ λόγος, ὡς σαφὴς ἡ ὁτουοῦν χρῆσις ἐκ

fallor ego aut pinacographus hoc inde conclusit quod admonitio ὅτι συνεστῶτες μὲν καὶ ὁμον. ἰσχυροὶ διαμένουσιν κτέ. egregie convenit regulis. eclogam non adsumptam esse ex libro de garrul. p. 511 C ubi aliis verbis narratur chria vidit Elter. cf. etiam Babr. 47

1 ἤμελλε S M A sed ἤ ex ἔ corr. M[1] ἔμελλε L | δεσμὴν libri. cf. Lobeck Paralip. p. 396 Croenert Mem. gr. Herc. p. 175 ‖ 3 ἕλκων S M A L: ἐξελὼν Plut. sed ἕλκων legitur etiam Plut. de garrul. p. 511 C | ἅπαντα ῥᾳδίως συνέκλασε Plut. apophth. πάντα ῥᾳδίως διέκλασε Plut. de garrul. ‖ 4 συνεστῶτες καὶ S M A[1] L μὲν ante καὶ inseruit A[2] idque immerito receperunt Gaisford et Meineke | συνεστῶτες ἰσχυροὶ διαμενοῦσιν Plut. ‖ 5 διαμένουσι S M A L ‖ 6 ecl. hab. S M A L; σωτίωνος S A L σωσίωνοσ M. de Sotione vide quae dixi ad ecl. 6 ‖ 7 κρεῖσσον chartae detrimento periit A ‖ 9 ecl. hab. lemmate non iterato S L, τοῦ αὐτοῦ addito M A ‖ 11 post τὸν ἀδελφὸν δὲ οὔ interrogandi signum posui ‖ 12 ecl. sine lemm. hab. S, addito lemmate M A, om. L. cf. Diog. Laert. II 83 ‖ 13 ἔφησε S A ἔφησεν M ἔφη Tr. ‖ 14 τῆσ μὲν τῆσ M | σὺ S M τῆς σὺ A | ἦρξω S ἦρξας M A ‖ 15 ecl. cum lemm. hab. S M A L; prima litt. lemmatis deest rubro addenda L ‖ 17 καὶ om. Tr. | μὲν om. L ‖ 18 ἡ ὁτουοῦν Gaisford: ποτω οὖν M ποτωοῦν A πότου οὖν L. v. πότου οὖν — ὑποθέσθαι om. S

[τε] τοῦ ἑαυτὸν μὲν ἐκεῖνον, ἐκεῖνον δὲ ἑαυτὸν ὑποθέσθαι. καὶ γὰρ οἰκέτῃ χρῷτ' ἄν τις καλῶς, ἐνθυμηθεὶς πῶς ἂν ἠξίωσεν ἐκεῖνον αὐτῷ προσφέρεσθαι, εἴπερ ἐκεῖνος μὲν ἦν δεσπότης, αὐτὸς δὲ δοῦλος· ὁ δ' ὅμοιος λόγος καὶ γονεῦσι περὶ τέκνων καὶ παισὶ περὶ τῶν γειναμένων καὶ συνόλως πᾶσι περὶ πάντων. ἐξαιρέτως δ' ἐστὶν εὔπορος ἡ παραίνεσις κατὰ τὸν τῶν ἀδελφῶν τόπον· ἐπειδήπερ οὐδὲν δεῖ προϋποθέσθαι τὸν σκεπτόμενον, πῶς ἀδελφῷ χρηστέον, λαβεῖν δ' ἐξ ἑτοίμου παρὰ τῆς φύσεως ⟨τὴν⟩ τοῦ προσώπου ταυτότητα. καὶ δῆτα καὶ πρῶτος οὗτος εἰρήσθω λόγος, ὡς τοῦτον χρὴ προσφέρεσθαι τὸν τρόπον ἀδελφῷ, ὅνπερ ἄν τις ἐκεῖνον ἀξιώσειεν ἑαυτῷ. 'νὴ Δία' φήσει τις 'ἀλλ' ἐγὼ μέν εἰμι μέτριος καὶ ἐπιεικής, ὁ δ' ἀδελφὸς σκαιὸς καὶ δυσομίλητος'. οὐκ ὀρθῶς δὲ ἐρεῖ. πρῶτον μὲν ἴσως οὐδ' ἀληθεύσει· ἱκανὴ γὰρ ἡ φιλαυτία τὰ μὲν ἴδια μεγαλοποιῆσαι καὶ ἀποκυδᾶναι, τὰ δὲ τῶν ἄλλων κατασμικρῦναι καὶ διαφαυλίσαι· πολλάκις γοῦν διὰ τοιαύτην οἱ κακίους σφᾶς αὐτοὺς προκρίνουσι τῶν κατὰ πολὺ βελτιόνων. ἔπειτα, κἂν ὄντως τοιοῦτος ᾖ ἁδελφός, ἀλλὰ σύ γε, φαίην ἄν, ἀμείνων εὑρέθητι καὶ νίκησον αὐτοῦ τὴν ἀγριότητα ταῖς εὐποιίαις. ἐπεί τοί γε οὐδὲ πολλὴ χάρις τοῖς

---

1 τε seclusit de Arnim | ἑαυτὸν libri | μὲν ἐκεῖνον M A μὲν ἐκείνῳ L | ἑαυτὸν in A fere evanidum αὐτὸν M ἑαυτῷ L ‖ 3 ἐκεῖνον L ἐχῖνον (sine acc. S sine spir. et acc. M) S M A κεῖ superscr. m. rec. in A | αὐτὸν M ‖ 7 κατὰ τὸν τῶν fuerit an κατὰ τὸν in A propter chartae detrimentum discerni nequit | ἀδελφὸν A | τόπον S A: τρόπον M L | οὐδὲ L ‖ 9 ἐξετοίμου M | τὴν addidit de Arnim ‖ 10 ταυτότη^{τα} sed supra τό aliquid additum, fort. το L | πρῶτο S ‖ 11 v. τοῦτον χρὴ laesa in A | ἀδελφόν L ‖ 12 ἀξιώσειεν (ut scripserat Meineke) L: ἀξιώσειεν ἂν S M A | φήσει τις (vel τὶς) S M A φησί τις L. cf. 14 et 15 ‖ 14 οὐκ] οὐχὶ A ‖ 15 φιλαυτία S M A φιλαυ^{τ'} L ‖ 16 ἀποκυδᾶναι L. legitur verbum etiam Epigr. gr. 164, 1 Kaib. ‖ 17 διαφαυλίσαι S L -ῆσαι M A | πολλὰ libri: corr. Meineke scriptum erat olim πολλ^{ά}, id est πολλάκις' Cobet mnemos. IX p. 103 πολλαχοῦ Bentley | τοιαύτην S M A L ταύτην Tr. ‖ 18 προσκινοῦσι S M A προκινοῦσι L: tacite corr. Gesn.[1] f. 426ᵛ ‖ 19 ὄντως S M A οὗτος L | ἀδελφὸς libri: corr. Cobet

εὐγνώμοσι προσενεχθῆναι μετρίως· ἀλλ' ἀνδρὸς ἔργον καὶ πολλῆς ἄξιον ἀποδοχῆς, τὸν ἀβέλτερον καὶ σκαιὸν πραῦναι τοῖς ἐς αὐτὸν πραττομένοις. καὶ γὰρ οὐδὲν πάμπαν ἐπ' ἀδύνατον ἡ παράκλησις· ἀλλ' ἔνεστι γὰρ κἀν τοῖς ἀτοπώτατα διακειμένοις σπέρματα μεταβολῆς τῆς ἐπὶ τὸ κρεῖττον τιμῆς τε καὶ ἀγαπήσεως τῶν εὐεργετησάντων. οὐ γὰρ δὴ ζῷα μὲν ἄγρια καὶ φύσει πρὸς τὸ γένος ἡμῶν ἐκπεπολεμωμένα, πρὸς βίαν ἀχθέντα καὶ τὴν πρώτην κατασχεθέντα δεσμοῖς ἢ γαλεάγραις, χρόνοις ὕστερον τιθασὰ γίγνεται καθημερούμενα ποιαῖς τημελείαις καὶ τῇ καθ' ἡμέραν τροφῇ· ἄνθρωπος δὲ οὐχ ὅπως ἀδελφός, ἀλλὰ κἂν μηδὲν προσήκων τύχῃ, οὐ τῷ παντὶ μᾶλλον ἐπιμελείας ἀξιούμενος μεταβαλεῖ πρὸς τὸ ἡμερώτερον, κἂν ὑπερβολὴν μὴ ἀπολίπῃ σκαιότητος; μιμητέον οὖν ἐπὶ παντὸς μὲν ἀνθρώπου, πολὺ δὲ διαφερόντως ἐπ' ἀδελφοῦ τὸ τοῦ Σωκράτους· ἐκεῖνος γὰρ πρὸς τὸν εἰπόντα 'ἀποθανοῦμαι, εἰ μή σε τιμωρησαίμην' ἔφη 'ἀποθανοῦμαι, εἰ μή σε φίλον ποιήσω'.

---

1 *ἀλλὰ* ML ‖ **2** *τὸ τὸν* L ‖ **3** *ἐς αὐτὸν* Tr.: *εἰσαυτὸν* L *ἑαυτὸν* S *ἑαυτῶν* MA | *οὐδὲν* SML *οὐδὲ* A ‖ **4** *κἀν* vel *κἂν* SMA *καὶ* L ‖ **7** *ἐκπεπολεμωμένα* (-*ώμενα* M) SMA, compendiose ut in exitu versus etiam L, errat Gaisford ‖ **9** *τιθασσὰ* L ‖ **10** *γίνεται* MTr. | *τημελείαις* SMAL sed radendo *ει* in *ι* mutavit S ‖ **11** *ἄνθρωπος δὲ οὐχ ὅπως* Cobet mnemos. IX p. 102: *οὐχ ὅπως δὲ ἄνθρωπος* SMAL ‖ **12** *προσήκων* LTr.: *προσῆκον* (sine acc. S) SMA | *τύχοι* S | *οὐ τῷ* Cobet l. c.: *οὕτω* SMAL ‖ **13** *μεταβαλεῖ* Cobet l. c.: *μεταβάλλει* libri | *ἡμερότερον* L | *κἂν* (*κὰν* M) SML *καὶ* A ‖ **14** *ἀπολίπῃ* SM *ἀπολείπῃ* LA | *οὖν* SMA *μὲν οὖν* L ‖ **16** *τὸ τοῦ Σωκράτους*] Euclidi Socratico datur dictum supra ecl. 15. unde *τὸ ⟨Εὐκλείδου⟩ τοῦ Σωκρατικοῦ* hoc loco scribi vult Meineke flor. vol. IV p. LXXVI futili coniectura. ad ipsum enim Socratem refertur etiam a Themistio or. VII p. 113, 18 Dind. alibi non solum Euclidi adsignatur sed etiam Platoni aut Zenoni, vide quae collegit Sternbach ad gnomol. Vat. 278 | *ἐκεῖνος γὰρ κτἑ.*] ad ecl. 15 relegat legentem verbis *ζήτει ἄνω* in marg. scriptis L ‖ **17** *εἰ μή* SAL: *ἐαν μη* M | *σε τιμωρησαίμην ἔφη ἀποθανοῦμαι εἰ μή* S, om. MA, verba omissa alia m. signo Λ supplenda notavit nec tamen supplevit in A, *σε τιμωρησαίμην ἐγὼ, εἶπεν· ἐγὼ δὲ ἀπολλοίμην εἰ μή* L ‖ **18** *σε φίλον ποιήσω* SMA *σε παρασκευάσω φιλεῖν ἡμᾶς* manifesta interpolatione L collata ecloga 15.

Ἀλλὰ γὰρ ταῦτα μὲν ταύτῃ. μετὰ ταῦτα δ᾽ ἐνθυμητέον, ὅτι τρόπον τινὰ οἱ ἀδελφοὶ ταὐτοῦ μέρη τυγχάνουσιν, ὥσπερ οἱ ἐμοὶ ὀφθαλμοὶ ἐμοῦ καὶ ὡσαύτως σκέλη τε καὶ χεῖρες καὶ τὰ λοιπά. καὶ γὰρ οὗτοι τοῦτον ἔχουσιν τὸν τρόπον † εἴτε πρὸς τὸν οἶκον ἐξετάζοντες. ὥσπερ οὖν οἱ ὀφθαλμοὶ καὶ αἱ χεῖρες, εἴπερ ἕκαστον ἰδίαν ψυχὴν καὶ νοῦν λάβοι, περιέποι ἂν τὰ λοιπὰ πάσῃ μηχανῇ διὰ τὴν εἰρημένην κοινωνίαν, τῷ μηδ᾽ αὐτὰ τὸ ἴδιον ἔργον οἷά τε εἶναι παρέχειν καλῶς δίχα τῆς τῶν ἑτέρων παρουσίας· οὕτως δεῖ καὶ ἡμᾶς ἀνθρώπους γε ὄντας καὶ ψυχὴν ὁμολογοῦντας ἔχειν, μηδὲν παριέναι σπουδῆς ὑπὲρ τοῦ δεόντως προσφέρεσθαι τοῖς ἀδελφοῖς. καὶ γὰρ αὖ καὶ πλεῖόν τι παρὰ τὰ μέρη συλλαμβάνειν ἀλλήλοις ἀδελφοὶ πεφύκασιν, εἴ γε ὀφθαλμοὶ μὲν ⟨συν⟩ορῶσιν ἀλλήλοις παρὼν παρόντι, καὶ χεὶρ συνεργάζεται παροῦσα χειρὶ παρούσῃ· ἡ δ᾽ ἀδελφῶν σύμπραξις ἀλλήλοις πολυχουστέρα πώς ἐστι. πράττουσι γὰρ τὰ κοινῇ διαφέροντα καὶ διεστηκότες τοῖς τόποις πάμπαν· μέγα θ᾽ ὑπάρχουσιν ἀλλήλων ὄφελος, κἂν μυρίον ᾖ τὸ διάστημα. ὅλως δὲ ἐνθυμητέον, ὡς ὁ βίος ἡμῖν κινδυνεύει μακρός τις εἶναι καὶ πολυετὴς πόλεμος· τοῦτο μὲν διὰ τὴν αὐτῶν τῶν πραγ-

---

ceterum erunt fort. qui scribendum putent *εἰ μή σε τιμωρήσομαι*, praeterea bis *ἀποθάνοιμι*, hoc praecepit Cobet l. c. p. 103

1 v. *ἀλλὰ γὰρ ταῦτα μὲν ταύτῃ* om. S ‖ **2** *ταὐτοῦ* Meineke: *τὰ αὐτοῦ* SMA *τὰ αὐτῶν* L ‖ **3** *ἐμοὶ ὀφθαλμοὶ* Bentley: *ὁμοιόφθαλμοι* SMAL | *σκέλη* (*ε* corr. S[1] videtur *λ* fuisse S) SMAL *μέλη* Tr. ‖ **5** *εἴτε — ἐξετάζοντες* verba mutila visa sunt Gesnero. *εἴ γε πρὸς τὸν οἶκον ἐξετάζοιντο* scr. de Arnim ‖ **7** *λάβοι* ex *λάβηι* corr. S[1] ‖ **8** *τῷ μὴ δ᾽* (*μηδ᾽* L) ML *τὸ μὴ δ᾽* S *δ᾽* (v. *τῷ μὴ* abreptis) A | *αυτα* sine acc. S ‖ **10** *οὕτωσ* MA *οὕτω* SL | *δεῖ* ML *δὴ* S *δὲ* A | *ἡμᾶς ἀνθρώπους* abrepta in A ‖ **12** *τοῖς ἀδελφοῖς* sed *τοῖς ἀδ* abrepta A ‖ **14** *εἴ γε* Gaisford: *εἴ τε* SMAL sed *τε ὀφ* abscissa in A | *συνορῶσιν* Meineke: *ὁρῶσιν* libri ‖ **16** *ἡ δ᾽* SM *ἡ* L *ἡ δ᾽ ἀδ* abscissa in A ‖ **18** *διεστηκ* syllabae abscissae in A item mox (19) *ὅλως δὲ* ‖ **20** *ὁ βίος — πόλεμος*] cf. quae adnotavimus in Teletis rel.[2] p. 54, 2 | *ὁ βίος* A: *βίος* SML | *κινδυνεύει μακρός* S: *κρός* M *μικρός* AL ‖ **21** *πολυετὴς* AL *πολυέτης* (*-τες* Tr.) S *πολυετησ* sine acc. M | *μὲν* SML *μὴ* A | *ἑαυτῶν* SMAL: corr. Gesn.[1] f. 428[v]

μάτων φύσιν ἐχόντων τι ἀντίτακτον, τοῦτο δὲ διὰ τὰς ἐξαιφνιδίους καὶ ἀπροσδοκήτους ἐπιδρομὰς τῆς τύχης. πολὺ δὲ μάλιστα δι' αὐτὴν τὴν κακίαν οὔτε βίας τινὸς ἀπεχομένην οὔτε δόλου καὶ κακῶν στρατηγημάτων. ὅθεν καλῶς ἡ φύσις, ὡς ἂν ἐφ' ἃ γεννᾷ μὴ ἀγνοοῦσα, παρήγαγεν ἡμῶν ἕκαστον τρόπον τινὰ μετὰ συμμαχίας. οὐδεὶς οὖν ἔστι μόνος οὐδ' 'ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης', ἀλλ' ἐκ γονέων καὶ μετ' ἀδελφῶν καὶ συγγενῶν καὶ ἄλλων οἰκείων. μέγας δὲ βοηθὸς ὁ λόγος, καὶ τοὺς ὀθνείους καὶ μηδὲν καθ' αἷμα προσήκοντας ἐξιδιούμενος, ἀφθονίαν τε παρέχων συμμάχων. διὰ τοῦτο κατὰ φύσιν ἡμῖν σπουδὴ καὶ ὁντινοῦν προσαγαγέσθαι καὶ φιλοποιήσασθαι. γίνεται γοῦν ἤδη τὸ πρᾶγμα τελεωτάτη μανιῶν τοῖς μὲν οὐδὲν ἐκ φύσεως ἔχουσι φίλτρον πρὸς ἡμᾶς ἐθέλειν συγκραθῆναι καὶ τῇ γνώμῃ εἰς ἐφ' ὅσον ἐνδέχεται πλεῖστον χέαι τὴν οἰκειότητα, τῶν δὲ ἐξ ἑτοίμου καὶ παρ' αὐτῆς χορηγουμένων τῆς φύσεως κατημεληκέναι βοηθῶν κἀπικούρων, οἵους δὴ συμβέβηκεν εἶναι τοὺς ἀδελφούς.

21 *Μουσωνίου ἐκ τοῦ Εἰ πάντα τὰ γιγνόμενα τέκνα θρεπτέον* (Muson. rel. XV^B p. 80 H.).

---

1 *ἀντίτακτον* sine acc. M ‖ 2 *ἐξαιφνηδίους* A | *τύχης* Casaubonus: *ψυχῆς* libri sed dubito de M ‖ 3 *δι' αὐτὴν τὴν* S M A *διὰ τὴν* L ‖ 4 *ἀπεχομένην* ci. Gesn.[1] marg.: *ἀπεχομένης* SMAL *ἀπεχόμενον* Tr. | *καὶ* om. Tr. | *ὅθεν καλῶς* — (6) *μετὰ συμμαχίας* om. S ‖ 5 *καλῶν* (si quid hoc loco ex Vitellii silentio licet concludere) L | *ὡς ἂν* — *ἀγνοοῦσα* om. in lacuna 30—35 litterarum L | *ἔφαγεννα μη γνοῦσα* M *ἔφαγεν ἃ μὴ ἀγνοοῦσα* A: emendavit Bentley ‖ 7 utitur Homericis Hierocles Od. XIX 163 ut supra Stob. III 39, 36 p. 734, 4 ‖ 8 *γονέων* S L *γυναίων* M A | *μετὰ* M L | *ἄλλων οἰκείων* S M A *ἀλλοίων* L ‖ 10 *τε* Meineke: *γε* libri ‖ 11 *σπουδὴ* ut videtur S ut Tr.: *σπουδῇ* (-*ῇ* A) MAL ‖ 12 *προσάγεσθαι* L | *γίνετ'* (*γίνεται* A) *οὖν* MAL *γίνεται γοῦν* S ‖ 13 *τελεωτάτη* (*τελειο*- L) libri | *τοῖς* (ut coniecit Needham) L: *τῶν* SMA ‖ 14 *ἐθέλει* libri: tacite corr. Gesn.[1] ‖ 15 *ἐνδέχεται* Tr.: *ἐν δέεται* SMAL ‖ 16 *χέαι* S A *χαίαι* M *ἐκχέαι* L ‖ 18 *τοὺς ἀδελφούς*] est haec sermonis de amore fraterno clausula integra. eadem enim sententia finitur supra de matrimonio commentarius p. 506, 26 ss. ‖ 19 ecl. cum lemm. hab. SMAL; *γιγνόμενα* (*γιγόμενα* corr. ν L) om. S *κδ* rubr. in marg. L. de eclogae initio vide p. 607, 11 adn.

Ὃ δέ μοι δοκεῖ δεινότατον, οὐδὲ πενίαν ἔνιοι προφασίζεσθαι ἔχοντες, ἀλλ' εὔποροι χρημάτων ὄντες, τινὲς δὲ καὶ πλούσιοι, τολμῶσιν ὅμως τὰ ἐπιγινόμενα τέκνα μὴ τρέφειν, ἵνα τὰ προγενόμενα εὐπορῇ μᾶλλον, ἐξ ἀνοσίου μηχανώμενοι τὴν εὐπορίαν τοῖς παισὶν [ἐξ ἀδελφῶν φόνου]· οἵ γε ἀναιροῦσιν αὐτῶν τοὺς ἀδελφούς, ἵν' ἐκεῖνοι μερίδα μείζω τῶν πατρῴων ἔχωσι· κακῶς εἰδότες, ὅσῳ κρεῖττον ⟨τὸ⟩ πολλοὺς ἔχειν ἀδελφοὺς τοῦ πολλὰ ἔχειν χρήματα. χρήματα μὲν γὰρ ἐπιβουλὰς ἐγείρει παρὰ τῶν πλησίον· οἱ δ' ἀδελφοὶ τοὺς ἐπιβούλους ἀνείργουσι. καὶ τὰ μὲν αὐτὰ δεῖται βοηθείας· οἱ δ' ἀδελφοὶ βοηθοί εἰσι κράτιστοι. καὶ οὔτε φίλον ἀγαθὸν ἀδελφῷ παρὰ τὸν ἀπὸ ἀνθρώπων ἑτέρων ὁμοίων τε καὶ ἴσων, τῇ ἀπ' ἀδελφῶν. τί δ' ἄν τις παραβάλοι καλὸν εὐνοίᾳ τῇ ἐξ ἀδελφοῦ εἰς ἀσφαλείας λόγον; τίνα δὲ κοινωνὸν ἀγαθῶν εὐμενέστερον σχοίη τις ἄν, ἢ ἀδελφὸν ἐπιεικῆ; τίνος δὲ παρουσίαν ἐν συμφοραῖς μᾶλλον ποθήσειεν ἄν, ἢ τοιούτου ἀδελφοῦ; ἐγὼ μὲν ἀξιοζηλότατον ἡγοῦμαι τὸν ἐπὶ πλήθει ἀδελφῶν ὁμονοούντων βιοῦντα· καὶ θεοφιλέστατον εἶναι

---

3 δὲ καὶ SML; δὲ πάλιν καὶ A; πάνυ pro πάλιν ci. Meineke. vix subest τινὲς δὲ καὶ πάνυ πλούσιοι vel τ. δὲ καὶ παμπλούσιοι | ὅμως τολμῶσι S | τὰ om. L | ἐπιγιγνόμενα L ‖ **4** εὐπορῶσι A ‖ **5** v. ἐξ ἀδελφῶν φόνου seclusit Meineke, genuina existimat P. Wendland *Berl. philol. wochenschr.* a. 1906 p. 201 ‖ **6** ἵνα L ‖ **7** 'κακῶς εἰδ. eleganter pro ἀγνοοῦντες' Cobet ‖ **8** κρεῖττον τὸ Cobet mnemos.[2] II p. 434: κρεῖττον LM κρείττω S, ex em. A | ἔχειν[β] πολλοὺς[α] A ‖ **9** γὰρ SA: γε ML | τῶν SML τῶν ὄντων A ‖ **11** βοηθείας SML παιδείας A ‖ **12** καὶ οὔτε — **14** τῇ ἀπ' ἀδελφῶν in integrum restituere nemini adhuc contigit. temptaverim καὶ οὔτε φίλον ἀγαθὸν ἀδελφῷ παρα⟨βάλλων κρίνοι τις ἂν ὀρθῶς οὔτε βοήθειαν⟩ τὴν ἀπ' ἀνθρώπων ἑτέρων ὁμοιῶν τε καὶ ἰσῶν τῇ ἀπ' ἀδελφῶν, in quibus v. βοήθειαν τὴν debeo Th. Gomperzio, qui locum supplere studuit *Wien. sitz. ber.* CLIV (*beiträge* IX) 1906 p. 6 | παρὰ τὸν (τὸ sed in ras. L) libri, quamquam eo compendio exaratum in S ut etiam παρὰ τῶν esse possit, τὸν omisit sed signata lacuna Tr. ‖ **13** ἑτέρων SA ἕτερον M ἑταῖρον L ‖ **14** παραβάλλοι A | καλὸν SMA καὶ L. καλὸν suspectum Cobeto mnemos.[2] II p. 435 | τῇ ἐξ ἀδελφοῦ (-φῶν L) SML τῇ γ' ἐξ ἀδελφοῦ fuit in A ‖ **15** δὲ] δαὶ M | ἀγαθὸν S ‖ **16** δὲ] δαὶ M

νομίζω τὸν ἄνδρα τοῦτον, οἴκοθεν ἔχοντα τἀγαθά. διὸ καὶ νομίζω δεῖν ἕκαστον ἡμῶν τοῖς αὑτοῦ παισὶ πειρᾶσθαι χρημάτων μᾶλλον ἀπολείπειν ἀδελφούς, ὡς ἀφορμὰς ἀγαθῶν ἀπολείψοντα μείζονας.

22 *Ξενοφῶντος ἐν δευτέρῳ Ἀπομνημονευμάτων* (II 3).

Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην, ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω, ἰδὼν τὸν Χαιρεκράτην, Εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες, οὐ δήπου καὶ σὺ εἶ τῶν τοιούτων ἀνθρώπων, οἳ χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφούς; καὶ ταῦτα τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου, καὶ τῶν μὲν βοηθείας δεομένων, τοῦ δὲ βοηθεῖν δυναμένου, καὶ πρὸς τούτοις τῶν μὲν πλειόνων ὑπαρχόντων, τοῦ δὲ ἑνός. θαυμαστὸν δὲ καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται, τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει· ἀλλ' ἐνταῦθα μὲν δύνανται λογίζεσθαι, ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα ἀσφαλῶς τἀρκοῦντα ἔχειν ἢ μόνον διαιτώμενον τὰ τῶν πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι, ἐπὶ δὲ τῶν ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι. καὶ οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι, τῶν δὲ ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. καὶ μὴν πρὸς φιλίαν μέγα

2 *αὑτοῦ* S *αὐτοῦ* MAL ‖ 4 *ἀγαθῶν* ex *-θὰς* corr. S[1] | *ἀπολείψαντα* L ‖ 5 ecl. cum lemm. hab. SMA, om. L; *ἐν β̄* SM *τῶν* ante *ἀπομν.* inseruit A[2] ‖ 6 *Χαιρεκράτην* (*ποδοκράτην* A m. rec.) bis etiam Xen. libri et Priscianus XVII 125 (v. II p. 172, 3 H.) qui citat v. *Χαιρεφῶντα — διαφερομένω* ‖ 7 *γνωρίμω* Xen., Prisc., A[2]: *γνωρίμων* SMA[1] ‖ 8 *Χαιρεκράτην* vide adn. 6 ‖ 9 *οὐδέν που* Tr. ‖ 10 *χράματα* si quid video M | *ἀδελφὸν* Xen. ed. Par. ‖ 11 *καὶ τοῦ μὲν βοηθείας δεομένου* Tr. ‖ 12 *τοῦ* Xen.: *τῶν* SMA | *βοηθείας* A[2] | *δυναμένου* Xen.: *δυναμένων* SMA ‖ 13 *θαυμαστῶν* A[1] corr. A[2] ‖ 14 *καὶ τοῦτο* Xen., A[2]: *καὶ τὸ* SMA[1] | *εἴ τι* M[1]A[1] ‖ 17 *δύνανται* SMA, Xen. cod. Paris. 1302 et Paris. 1740: *δύναται* Xen. ceteri ‖ 18 *τἀρκοῦντα* S *τ' ἀρκοῦντα* MTr. *τε ἀρκοῦντα* A sed *ε* delevit A[2]: *ἀρκοῦντα* libri Xen. ‖ 19 *καὶ κτῆσθαι* M ‖ 21 *ἔχουσιν* in *ἔχωσιν* corr. M[1] ‖ 24 *καὶ μὴν καὶ πρὸς* M

μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι, ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. πρὸς δὲ τούτοις καὶ οἱ ἄλλοι ἄνθρωποι τιμῶσί τε μᾶλλον τοὺς συναδέλφους ὄντας τῶν ἀναδέλφων καὶ ἧττον τούτοις ἐπιτίθενται. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἀλλ᾽ εἰ μέν, ὦ Σώκρατες, μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφὸν καὶ μὴ μικρῶν ἕνεκα φεύγειν· ἀγαθὸν γάρ, ὥσπερ καὶ σὺ λέγεις, ἀδελφὸς ὢν οἷον δεῖ· ὁπότε μέντοι παντὸς ἐνδέοι καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, τί ἂν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις; Καὶ ὁ Σωκράτης ἔφη· Πότερα δέ, ὦ Χαιρέκρατες, οὐδενὶ ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ οὐδὲ σοί, ἢ ἔστιν οἷς καὶ πάνυ ἀρέσκει; Διὰ τοῦτο γάρ τοι, ἔφη, ὦ Σώκρατες, ἄξιόν ἐστιν ἐμοὶ μισεῖν αὐτόν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύναται, ἐμοὶ δὲ ὅπου ἂν παρῇ πανταχοῦ καὶ λόγῳ καὶ ἔργῳ ζημία μᾶλλον ἢ ὠφέλειά ἐστιν. Ἆρ᾽ οὖν, ἔφη ὁ Σωκράτης, ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μέν, ἐγχειροῦντι δὲ χρῆσθαι ζημία ἐστίν, οὕτω καὶ ἀδελφός, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστίν; Πῶς δ᾽ ἂν ἐγώ, ἔφη ὁ Χαιρεκράτης, ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέγειν τὸν εὖ λέγοντα καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα; τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν οὐκ ἂν δυναίμην οὔτ᾽ εὖ λέγειν οὔτ᾽ εὖ ποιεῖν, ἀλλ᾽ οὐδὲ πειράσομαι. Καὶ ὁ Σωκράτης ἔφη· Θαυμαστὰ λέγεις, Χαιρέκρατες, εἰ κύνα μέν, εἴ σοι ἦν ἐπὶ προβάτοις ἐπιτήδειος ὢν καὶ τοὺς μὲν ποιμένας ἠσπάζετο, σοὶ δὲ προσ-

2 *ἐγγίγνεται* SM *ἐγγίνεται* A Tr. ‖ 4 *συναδέλφουσ* M *συναδελφοὺς* S A *ἐναδέλφους* A[2] ‖ 9 *τοῦ* ante *παντὸς* addit Coraës ‖ 10 *τί* om. Xenophontis non nulli ‖ 11 *δὲ*] *δαὶ* M ‖ 12 *σοί* M A (sic), Xen.: *σὺ* S | *καὶ πάνυ* S, Xen.: *κε πᾶν* M *καὶ πᾶν* ut videtur A[1] *καὶ πάντα* A m. rec. ‖ 20 *γε καὶ*] *σε καὶ* Tr. ‖ 21 *εὖ* ante *λέγοντα* sup. lin. S[1] | *ευποιεῖν* M ‖ 22 *καὶ ἔργῳ καὶ λόγῳ* libri Xen. ‖ 24 *θαυμαστά γε* Xenophontis plerique ‖ 25 *ὦ* ante *Χαιρέκρατες* tacite e Xen. Gesn.[1] f. 428[v] idque recte, opinor. cf. p. 666, 8. 667, 6. 11. 13. 668, 6. 669, 12. 19 | *κύν* (α sup.) A[1] corr. A[2], haec vel alia manus in marg. adscr. *εἰ κύων* | *εἴ σοι,* SM, Xen. *εἴ σ* (οι sup.) A *εἴσο* Tr. ‖ 26 *ὢν* del. A[2]

ἰόντι ἐχαλέπαινεν, ἀμελήσας ἂν τοῦ ὀργίζεσθαι ἐπειρῶ εὖ ποιήσας πραΰνειν αὐτόν, τὸν ⟨δ'⟩ ἀδελφὸν [ὃν] φῂς μὲν μέγα ἀγαθὸν ἂν εἶναι ὄντα πρὸς σὲ οἷον δεῖ, ἐπίστασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν οὐκ ἐπιχειρεῖς μηχανᾶσθαι ὅπως σοι ὡς βέλτιστος ᾖ. Καὶ ὁ Χαιρεκράτης, Δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ τοσαύτην σοφίαν ὥστε Χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ οἷον δεῖ. Καὶ μὴν οὐδέν γε ποικίλον, ἔφη ὁ Σωκράτης, οὐδὲ καινὸν δεῖ ἐπ' αὐτόν, ὡς ἐμοὶ δοκεῖ, μηχανᾶσθαι, οἷς δὲ καὶ σὺ ἐπίστασαι αὐτὸς οἴομαι ἂν αὐτὸν ἁλόντα περὶ πολλοῦ ποιεῖσθαί σε. Οὐκ ἂν φθάνοις, ἔφη, λέγων, εἴ τι ᾔσθησαί με φίλτρον ἐπιστάμενον ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν; Λέγε δή μοι, ἔφη, εἴ τινα τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπότε θύοι, καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν ποι⟨οί⟩ης; Δῆλον ὅτι κατάρχοιμι ἂν τοῦ αὐτός, ὅτε θύοιμι, καλεῖν ἐκεῖνον. Εἰ δὲ βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε ἀποδημοίης, ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης; Δῆλον ὅτι πρότερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη. Εἰ δὲ βούλοιο ξένον ποιῆσαι ὑποδέχεσθαι σεαυτόν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης; Δῆλον ὅτι καὶ τοῦτον πρότερος ὑποδεχοίμην ἄν, ὁπότε ἔλθοι Ἀθήναζε· καὶ εἴ γε βουλοί-

---

1 *ἐχαλέπηνεν* A | *ἀμελήσασ* M, Xen.: *ἀμέλησας* S *ἠμέλησας* A Tr. | *ἐπειρῶ* Xen.: *ἐπείπερ ὁ* (*ὁ* postmodo deletum in A) SMA ‖ 2 *ποιήσαντι* A² | *ποιήσας ἦν πραΰνειν* A | *πραΰνει* Tr. | *τὸν δὲ* ⟨scripsi *δ'*⟩ libri Xen.: *τὸν* SMA | *ὃν* quod omittunt libri Xen., ut dittographiam delevi | *μέγα ἂν* non nulli Xen. ‖ 3 *ἂν εἶναι* S *ἀνεῖναι* M, fuisse etiam in A *ἀγαθὸν ἂν εἶναι* apparet ex accentibus servatis etsi litt. *ναν* nunc non iam exstant: *εἶναι* Tr., Xen. ‖ 4 *ὁμολογεῖν* A² ‖ 5 inter *ᾖ* et *εἴη* et *ἔσται* fluctuatur memoria Xenophontis ‖ 9 *μηχανᾶσθαι* A, Xen.: *μηχανήσασθαι* SM ‖ 10 *οἴομαι* hoc loco etiam Xen. plerique, infra p. 670, 5 *οἶμαι* tam Xenophontis libri quam Stobaei | *ἁλῶντα* A ‖ 15 *ποιοίης* Xen.: *ποιῇς* ex *ποιεῖς* S¹ *ποιῇσ* M *ποιοῖς* A *ποιῇς* Tr. | *ἂν τοῦ* SM, Xen.: *ἂν* $\overset{\tau o v}{\tau o v}$ A ‖ 17 *ἀπό δημοίησ* M ‖ 18 *ποιοίης* S, Xen.: *ποιῇσ* M *ποιοῖς* A ‖ 20 *ὑποδέχεσθαι* MA, Xen.: *ὑποδέχεσθαι* sed *υ* postquam *α* scribi coeptum est S *ἀπο-* Tr.

μην ἂν αὐτὸν προθυμεῖσθαι διαπράττειν μοι ἐφ' ἃ ἥκοιμι, δῆλον ὅτι καὶ τοῦτο δέοι ἂν πρότερον αὐτὸν ἐκείνῳ ποιεῖν. Πάντ' ἄρα σύ γε τὰ ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος πάλαι ἀπεκρύπτου· ἢ ὀκνεῖς, ἔφη, ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; καὶ μὴν πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. εἰ μὲν οὖν ἐδόκει μοι Χαιρεφῶν ἡγεμονικώτερος εἶναι σοῦ πρὸς τὴν φιλίαν ταύτην, ἐκεῖνον ἂν ἐπειρώμην πείθειν πρότερον ἐγχειρεῖν τῷ σὲ φίλον ποιεῖσθαι· νῦν δέ μοι σὺ δοκεῖς ἡγούμενος μᾶλλον ἂν ἐξεργάσασθαι τοῦτο. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἄτοπα λέγεις, ὦ Σώκρατες, καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς γε κελεύεις ἐμὲ νεώτερον ὄντα καθηγεῖσθαι· καίτοι τούτου γε παρὰ πᾶσιν ἀνθρώποις τἀναντία νομίζεται, τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ λόγου καὶ ἔργου. Πῶς; ἔφη ὁ Σωκράτης· οὐ γὰρ καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον τῷ πρεσβυτέρῳ συντυγχάνοντι πανταχοῦ νομίζεται καὶ καθήμενον ὑπαναστῆναι καὶ κοίτῃ μαλακῇ τιμῆσαι καὶ λόγῳ ὑποδεῖξαι; Ὦ ἀγαθέ, μὴ ὄκνει, ἔφη, ἀλλ' ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν, καὶ πανταχοῦ σοι ὑπακούσεται. οὐχ ὁρᾷς ὡς φιλότιμός ἐστι καὶ ἐλευθέριος; τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις ἢ εἰ δοίης τι, τοὺς δὲ καλοὺς κἀγαθοὺς ἀνθρώπους προσφιλῶς χρώμενος μάλιστ' ἂν κατερ-

---

1 *ἂν* deleverim, om. Xen. | *ἥκοιμι* corr. ex *ἥκει μο(ι)* S[1] ‖ **4** *ὀκνεῖς* (*ὀ-* M) M A, Xen.: *ὤκνεῖς* (videtur *ο* ex *ω* correctum) S *ὤκνεις* Tr. ‖ **6** *ἐπαίνου ἄξιος εἶναι* reposui ex M A, Xen.: *ἄξιος εἶναι ἐπαίνου* S | *φθάνοι* Tr. ‖ **9** *ἐπειρώμην* ex *ἐπειθόμην* corr. S[1] ‖ **10** *τῷ* A[1], Xen.: *τὸ* S M A[2] ‖ **13** *ὅς γε κελεύεις ἐμὲ νεώτερον* M A, Xen.: *ὅς με κελεύεις νεώτερον* S | *καθηγεῖσθαι* M A, Xen.: *ἡγεῖσθαι* S ‖ **14** *τούτου γε* S, Xen.: *τούτου* M A ‖ **17** *τῷ* om. Xenophontis codd. ‖ **18** *καὶ οὐ καθήμενον* libri Xenophontis; *οὐ καὶ καθ.* Edwards ‖ **19** *λόγῳ* S M A, nonnulli Xen. ubi *λόγοις* alii: *λόγων* Valckenaer | *ὑπεῖξαι* Xen. idque dari velim etiam Stobaeo: *ὑποδεῖξαι* (*ι* fin. e corr. M[1]) S M A ‖ **21** *πανταχοῦ* S M A: *πάνυ ταχὺ* Xen. ‖ **22** *ἀνθρώπια* A ex corr., Xen.: *ἀνθρώπεια* S M ‖ **23** *καλοὺσ ἢ ἀγαθοὺσ* M

γάσαιο. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἐὰν οὖν ἐμοῦ ταῦτα ποιοῦντος ἐκεῖνος μηδὲν βελτίων γίγνηται; Τί γὰρ ἄλλο, ὁ Σωκράτης ἔφη, ἢ κινδυνεύεις ἐπιδεῖξαι σὺ μὲν χρηστός τε καὶ φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ ἄξιος εὐεργεσίας; ἀλλ' οὐδὲν οἶμαι τούτων ἔσεσθαι· νομίζω γὰρ αὐτόν, ἐπειδὰν αἴσθηταί σε προκαλούμενον εἰς τὸν ἀγῶνα τοῦτον, πάνυ φιλονεικήσειν, ὅπως περιγένηταί σου καὶ λόγῳ καὶ ἔργῳ εὖ ποιῶν. νῦν μὲν γὰρ οὕτως, ἔφη, διάκεισθον, ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τῷ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν, ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω, ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν ἀλλήλοιν, ἀμελήσαντε τούτου ἐμποδίζοιεν ἀλλήλω. οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία τοῖς ἐπ' ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι; καὶ μὴν ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖ, ὁ θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμὼ καὶ τἄλλα ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις. χεῖρες μὲν γάρ, εἰ δέοι αὐτὰς πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο· πόδες δὲ οὐδ' ἂν ἐπὶ τὰ ὀργυιὰν ἔλθοιεν ἅμα· ὀφθαλμοὶ δὲ οἱ δοκοῦντες ἐπὶ πλεῖστον ἐξικνεῖσθαι, οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο·

---

2 *βελτίον* M ‖ **3** *ἔφη ὁ Σωκρ.* Xen. | *ἢ* om. S | *κινδυνεύσεις* Xen. | *ἐπιδεῖξαι* etiam Xen. libri, ut emblema expulit Cobet N. l. p. 634 | *σὺ*] *ἢ σὺ* A[2] | *χρηστούς τε* M A[1] ‖ **4** *ἐκεῖνον — φαῦλον — ἄξιον* e corr. A[2] ‖ **6** ante *εἰς τὸν* suppl. *ἑαυτὸν* e Xen. Gesn.[1] f. 429[v], merito, opinor ‖ **7** *φιλονικήσειν* Tr., Xenophontis cod. Paris. 1654 ‖ **9** *διάκεισθον* (sine acc. S) S M A *διακεῖσθον* Tr. ‖ **10** *certum est ἀλλήλοιν rescribi oportere* Cobet l. c. p. 695. *ἀλλήλαις* G. Sauppe | *τούτου* A[2] ut videtur corr., Xen.: *τοῦτον* S M ‖ **11** *ἀλλήλων* A[1] *ἀλλήλω* A[2] eadem discrepantia in A post *ἐμποδίζοιεν* (13) ‖ **13** *οὐκ* S M, Xen.: *καὶ οὐκ* A utra manu incertum ‖ **14** *πεποιημένοις* — (16) *ὠφελείᾳ* om. libri Xenophontis ‖ **15** *δοκεῖ* M A, Xen.: *δοκεῖν* S ‖ **17** *τἄλλά τε ὅσα* libri Xenophontis ‖ **18** *αὐτὰς τὰ πλέον* Xenophontis libri paene omnes | *ὀργυίας* S *οὐγυίασ* in ras. corr. M[2] ut videtur ‖ **20** *ἐπὶ τὰ* Xen.: *ἔπειτα* S M A | *ὀργυίαν* M, sine acc. S | *ὀργυιὰν διέχοντα* Xen., sed nescio an subaudiri possit *διέχοντα* ex 19 | *οἱ καὶ δοκ.* Sauppe ‖ **21** *οὐδὲ ἐὰν* A[1]

ἀδελφὼ δὲ φίλω ὄντε καὶ πολὺ διεστῶτε πράττετον ἅμα ἐπ' ὠφελείᾳ ἀλλήλοιν.

23 Ἱεροκλέους ἐκ τοῦ Πῶς συγγενέσι χρηστέον (p. 61 Arn.).

Τοῖς εἰρημένοις περὶ γονέων χρήσεως καὶ ἀδελφῶν γυναικός τε καὶ τέκνων ἀκόλουθόν ἐστι προσθεῖναι καὶ τὸν περὶ συγγενῶν λόγον, συμπεπονθότα μέν πως ἐκείνοις, δι' αὐτὸ δὲ τοῦτο συντόμως ἀποδοθῆναι δυνάμενον. ὅλως γὰρ ἕκαστος ἡμῶν οἷον κύκλοις πολλοῖς περιγέγραπται, τοῖς μὲν σμικροτέροις, τοῖς δὲ μείζοσι, καὶ τοῖς μὲν περιέχουσι, τοῖς δὲ περιεχομένοις, κατὰ τὰς διαφόρους καὶ ἀνίσους πρὸς ἀλλήλους σχέσεις. πρῶτος μὲν γάρ ἐστι κύκλος καὶ προσεχέστατος, ὃν αὐτός τις καθάπερ περὶ κέντρον τὴν ἑαυτοῦ γέγραπται διάνοιαν· ἐν ᾧ κύκλῳ τό τε σῶμα περιέχεται καὶ τὰ τοῦ σώματος ἕνεκα παρειλημμένα. σχεδὸν γὰρ ὁ βραχύτατος καὶ μικροῦ δεῖν αὐτοῦ προσαπτόμενος τοῦ κέντρου κύκλος οὗτος. δεύτερος δ' ἀπὸ τούτου καὶ πλέον μὲν ἀφεστὼς τοῦ κέντρου, περιέχων δὲ τὸν πρῶτον, ἐν ᾧ τετάχαται γονεῖς ἀδελφοὶ γυνὴ παῖδες. ὁ δ' ἀπὸ τούτων τρίτος, ἐν ᾧ θεῖοι καὶ τηθίδες, πάπποι τε καὶ τῆθαι, καὶ ἀδελφῶν παῖδες, ἔτι δ' ἀνεψιοί. μεθ' ὃν ὁ τοὺς ἄλλους περιέχων συγγενεῖς. τούτῳ δ' ἐφεξῆς ὁ τῶν δημοτῶν καὶ μετ' αὐτὸν ὁ τῶν φυλετῶν, εἶθ' ὁ πολιτῶν, καὶ λοιπὸν οὕτως ὁ μὲν ἀστυγειτόνων, ὁ δὲ ὁμοεθνῶν. ὁ δ' ἐξωτάτω καὶ μέγιστος

1 ἅμα καὶ ἐπ' Xenophontis omnes ‖ 3 ecl. cum lemm. hab SMA, om. L. πῶς συγγενέσι (ut Tr. p. 458) S ἐπισυγγενέσι M εἰ. συγγενέσι A sed εἰ add. manus diversa ab illa quae alios huius tmematis locos correxit ‖ 4 χρήσεως Bentley: χρησίμως libri ‖ 6 συγγενῶν A[2]: συγγενέων SM ‖ 7 ὅλως MA: ὅλος S ‖ 8 ἕκαστον A[1] ‖ 1 ἀλλήλους Tr.: ανους S ἀνθρώπους sine compendio MA ‖ 17 τούτου Tr.: τούτων SMA ‖ 18 περιέχον M ‖ 20 τηθίδες Meineke: τιθίδες SM τι(τ)θίδες A | τῆθαι Meineke: τιτθαὶ S τίθαι M τίτθαι A Tr. ‖ 21 μεθ' ὃν A ex μεθ' ὧν corr. M[1] μεθ' ὧν S | ἄλλους SM ἀλλήλους A ‖ 22 μετ' αὐτὸν MA μεταυτῶν S μετ' αὐτῶν Tr. ‖ 23 ὁ(ο)πλιτῶν A corr. eadem manus quae εἰ in titulo addidit, certe idem est atramenti color: ὁπλιτῶν SM

περιέχων τε πάντας τοὺς κύκλους ὁ τοῦ παντὸς ἀνθρώπων γένους. τούτων οὖν τεθεωρημένων, κατὰ τὸν ἐντεταμένον ἐστὶ περὶ τὴν δέουσαν ἑκάστων χρῆσιν τὸ ἐπισυνάγειν πως τοὺς κύκλους ὡς ἐπὶ τὸ κέντρον καὶ τῇ σπουδῇ μεταφέρειν ἀεὶ τοὺς ἐκ τῶν περιεχόντων εἰς τοὺς περιεχομένους. κατὰ τὸν φιλοίκειον γοῦν ἐστι γονέας μὲν καὶ ἀδελφοὺς .... οὐκοῦν κατὰ τὴν αὐτὴν ἀναλογίαν καὶ τῶν συγγενῶν τοὺς μὲν πρεσβυτέρους καὶ ⟨τὰς⟩ πρεσβυτέρας ὡς πάππους ⟨ἢ τήθας⟩, θείους ἢ τηθίδας, τοὺς δ' ὁμήλικας ὡς ἀνεψιούς, τοὺς δὲ νεωτέρους ὡς παῖδας ἀνεψιῶν. ὥστ' εἴρηται διὰ συντόμων ὑποθήκη σαφής, πῶς χρὴ προσφέρεσθαι συγγενέσιν, ἐπειδὴ προεδιδάχθημεν, πῶς τε χρηστέον ἑαυτοῖς καὶ πῶς γονεῦσι καὶ ἀδελφοῖς, ἔτι δὲ γυναικὶ καὶ τέκνοις· πρόσκειται δ' ὅτι καὶ τούτοις μὲν ὁμοίως τιμητέον τοὺς ἐκ τοῦ τρίτου κύκλου, τούτοις δ' αὖ πάλιν τοὺς συγγενεῖς. ἀφαιρήσεται μὲν γάρ τι τῆς εὐνοίας τὸ καθ' αἷμα διάστημα πλέον ὄν· ἡμῖν δ' ὅμως σπουδαστέα περὶ τὴν ἐξομοίωσίν ἐστιν. ἥκοι μὲν γὰρ ἂν εἰς τὸ μέτριον, εἰ διὰ τῆς ἡμετέρας αὐτῶν ἐνστάσεως ἐπιτεμνόμεθα τὸ μῆκος τῆς πρὸς ἕκαστον τὸ πρόσωπον

---

2 *τὸν ἐντεταμένον* S: *τὸ ἐντεταγμένον* M A sed *ταγ* in *τα* mutavit nescio quae manus in A ‖ 3 *περὶ*] *παρὰ* Tr. ‖ 4 *τὸ μὲν κέντρον* Tr. | *τῇ* (vel *τῆ*) libri: *πάσῃ* Nauck, *πλείστῃ* Meineke ‖ 6 *φιλοίκειον* A Tr., sine acc. S *φιλοικεῖον* M | *γοῦν* libri (etiam Tr.) sed corr. ex *οὖν* vel vice versa S. *οὖν* prop. Meineke ‖ 7 indicavit lacunam Gesn.[1] hanc sic fere expleri vult de Arnim *γονέας μὲν καὶ ἀδελφοὺς ⟨καὶ γυναῖκα καὶ παῖδας ὡς ἑαυτὸν ἀγαπᾶν, πάππους δὲ καὶ τήθας καὶ θείους καὶ τηθίδας ὡς γονέας, ἀδελφῶν δὲ παῖδας ὡς τοὺς ἰδίους, ἀνεψιοὺς δὲ ὡς ἀδελφοὺς⟩* collatis eis quae disseruit Praechter *Hierokl.* p. 9 | *κατὰ* S M A: *καὶ κατὰ* Tr. ‖ 8 *καὶ πρεσβ.*] *ἢ πρεσβ.* prop. Meineke | *τὰς* inseruit de Arnim ‖ 9 *ἢ τήθας* addidi | *τιθίδας* (*τιτθ-* M) S M A ‖ 11 *ὑποθήκη σαφής* Madvig Adv. cr. I p. 721: *ὑποθήκης ἀφ' ἧς* S M A. *ὑποθήκη* tacite iam Gesn.[1] ‖ 12 *προεδιδάχθη μὲν* (*μὲν* compend.) A ‖ 13 *ἑαυτοῖς* S (ut Tr.) M: *αὐτοῖς* A ‖ 15 *τοῦ* om. Tr. ‖ 16 *πάλιν* om. Tr. | *ἀφωρήσεται* M ‖ 17 *πλέον ἂν* S M A: corr. Gesn.[1] f. 429ᵛ ‖ 18 *περὶ τὴν ἐξομοίωσιν* S (sic) M A *περὶ τοῦ ἐξομοίως* Tr. | *ἐξομοίωσίν ἐστιν* M

σχέσεως. τὸ μὲν οὖν συνέχον καὶ πραγματικώτερον εἴρηται· χρὴ δ᾽ ἐπιμετρεῖν καὶ κατὰ τὴν τῶν προσηγοριῶν χρῆσιν, τοὺς μὲν ἀνεψιοὺς καὶ θείους καὶ τηθίδας ἀδελφοὺς ἀποκαλοῦντας πατέρας τε καὶ μητέρας, τῶν δὲ συγγενῶν τοὺς μὲν θείους, τοὺς δὲ ἀδελφιδοῦς, τοὺς δὲ ἀνεψιούς, ὡς ἂν καὶ τὰ τῆς ἡλικίας παρείκῃ ἕνεκα τῆς ἐν τοῖς ὀνόμασιν ἐκτενείας. οὗτος γὰρ τῆς προσρήσεως ὁ τρόπος ἅμα μὲν ἂν σημεῖον οὐκ ἀμαυρὸν εἴη τῆς οὔσης ἡμῖν σπουδῆς περὶ ἑκάστους, ἅμα δ᾽ ἂν ἐποτρύνοι καὶ προσεντείνοι πρὸς τὴν ὑποδεδειγμένην οἷον συνολκὴν τῶν κύκλων. ἐνταῦθα μέντοι γενομένοις οὐκ ἄκαιρος τοῦ ῥηθέντος ἐπὶ γονέων διορισμοῦ φαντάζεται μνήμη. ἐλέγομεν γὰρ αὖ κατ᾽ ἐκεῖνον ἡνίκα τὸν τόπον ἦμεν, ἔνθα μητέρα πατρὶ συνεκρίναμεν, ὡς χρὴ τῇ μὲν μητρὶ τῆς στοργῆς, τῆς δὲ τιμῆς τῷ πατρὶ πλέον ἀπονέμειν· οἷς ἑπομένως καὶ δεῦρο τιθεῖμεν ἄν, ὡς τοὺς μὲν μητρόθεν προσήκοντας στέργειν πλέον πρέπει, τοὺς δ᾽ αὖ κατὰ πατέρα συγγενεῖς διὰ μείζονος ἄγειν τιμῆς.

24 Ξενοφῶντος ἐν τῷ η' Περὶ τῆς Κύρου παιδείας (c. 7, 13—16).

Οἶσθα μὲν οὖν καὶ σύ, ὦ Καμβύση, ὅτι οὐ τὸ χρυσοῦν σκῆπτρόν ἐστι τὸ τὴν βασιλείαν διασῷζον, ἀλλ᾽ οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον. πιστοὺς

---

2 ἐπιμετρεῖν Bentley: ἐπὶ μετρίαν SM ἐπὶ μετρίαιν A ‖ 3 τιθίδας SMA ‖ 5 ἀδελφιδούσ ex ἀδελφούσ corr. M[1] ‖ 6 παρείκῃ Abreschius (ante Cobetum mnemos.[2] II p. 435): παρήκῃ libri | τῆς ἐν sed ῃ ex corr. M[1] ‖ 7 προσρήσεωσ Gesn.[1] mrg.: προσρρήσεωσ e corr. ut videtur M[1] προρρήσεως SA ‖ 13 αὖ κατ᾽ SMA ἂν μετ᾽ Tr. ‖ 16 ἑπομένως Needham: ἑπομένοις SMA | τιθῆμεν in τιθεῖμεν corr. M[1] ‖ 19 ecl. cum lemm. hab. SMAL; περὶ om. S. τῆς τοῦ Κύρου L. cf. Stob. flor. 123, 15 Mein. ‖ 21 οὐ τόδε τὸ libri Xen. excepto Erlangensi ‖ 22 ἐστιν post διασῷζον (non post σκ.) Xen. libri praeter Erlang. ‖ 23 ἀληθέστατον καὶ ἀσφαλέστατον· πιστοὺς δὲ μὴ νόμιζε Xen. subit igitur suspicio in Stobaei librorum archetypo fuisse ἀληθέστατον. $\overset{\text{καὶ ἀσφαλέστατον}}{\text{πιστοὺς δὲ κτέ.}}$, mutatum autem esse ἀσφαλέστατον in ἀσφαλεστάτους postquam inserta sunt verba καὶ ἀσφ. per errorem post πιστοὺς

καὶ ἀσφαλεστάτους δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τὰ ἄλλα τὰ πεφυκότα πᾶσι ταὐτὰ φαίνεται· ἀλλὰ τοὺς μὲν πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἔστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ τῆς βασιλείας συμφύλακας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι καὶ σύσσιτοι αὐτοσκήνων. οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς μάταιά ποτε ποιήσητε, ἀλλ' ἐπὶ ταῦτ' εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως δὴ ἀνυπέρβλητος ἔσται ἡ ὑμετέρα φιλία. ἑαυτοῦ τε κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν οὕτω καλὸν ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δι' ἄνδρα μέγα δυνάμενον οὕτως ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν ἀδελφοῦ μεγάλου ὄντος οὕτως ὡς τὸν ἀδελφόν; μήτε οὖν θᾶττον μηδεὶς σοῦ τούτῳ ὑπακουέτω μήτε προθυμότερον παρέστω. οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου, οὔτε τἀγαθὰ οὔτε τὰ δεινὰ ἢ

---

1 *φύσει* om. libri Xen. ‖ 3 *πᾶσι ταὐτὰ* scripsi: *πᾶσιν αὐτὰ* SMA *πᾶσι τὰ αὐτὰ* Xen. ‖ 4 *μὲν* om. libri Xen. | *κτίσισ* M ‖ 7 *συμφύλακας τῆς βασιλείας* Xen. ‖ 9 *σύσιτοι* sed *υ* et *ι* prius e corr. M[2] *σύστοι* primo, dein *οι* (voluit *σι*?) supra *στ* A | *αὐτοσκήνων* (*-σκήνου* S) SMAL: *ἀποσκήνων* Xen. ‖ 10 post *φύντες καὶ* habet *ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες καὶ* Xen., haec tamquam omissa propter homoeoteleuton Stobaeo tacite inseruit Gesn.[1] nec immerito fortasse ‖ 14 *ποτὲ* om. S ‖ 15 *ποιήσεται* compend. L | *οἰκονομεῖτε ἀδελφικὰ ἔργα* L ‖ 16 *οὕτως* (*οὕτω*) *δὴ* SMA *οὕτως ἀεὶ* Xen. | *ἔσται* SMAL: *ἄλλοις* (nonnulli *ἀλλήλοις*) *ἔσται* Xen. | *ἔσται ἡμετέρα φιλία* L ‖ 17 *ἑαυτοῦ τοι* Xen. ‖ 18 *μέγας ὢν* reposui ex MAL, Xen.: *ὢν μέγας* S | *ἄλλως*, corr. S[1] ut videtur ‖ 19 *δι'* SML *διὰ* A ‖ 20 *δὲ* ALTr., Xen. *δαὶ* SM ‖ 21 *σοῦ* (vel *σου*) *τούτῳ* (*τούτου* L) SML, Xen. *τοσούτῳ* A ‖ 22 *μήτε* Xen.: *μηδὲ* (vel *μὴ δὲ*) SMA ‖ 23 *τὰ τοῦ βίου τούτου* A | *οὔτε ἀγαθὰ οὔτε δεινὰ* libri Xen. praeter Erlang.

σοί. ἐννόει δὲ καὶ τάδε· τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυγχάνειν ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ φιλεῖν ἢ τὸν ἀδελφόν; τίνα δὲ προτιμᾶν πάντων κάλλιον ἢ τὸν ἀδελφόν; μόνου τοι, ὦ Καμβύση, πρωτεύοντος ἀδελφοῦ παρ' ἀδελφῷ οὐδὲ φθόνος παρὰ τῶν ἄλλων ἐφικνεῖται.

25 (deest Mein.) *Πλουτάρχου* (De frat. am. p. 479 B).

Ὁ μὲν Ἀρκαδικὸς μάντις δικαίως πόδα ξύλινον προσεποιήσατο τοῦ οἰκείου στερηθείς· ἀδελφὸς δὲ πολεμῶν ἀδελφῷ καὶ κτώμενος ὀθνεῖον ἐξ ἀγορᾶς ἑταῖρον οὐδὲν ἔοικεν ἄλλο ποιεῖν ἢ σάρκινον καὶ συμφυὲς ἀποκόψας μέλος ἀλλότριον προστρίβεσθαι ⟨καὶ⟩ προσαρμόττειν.

26 (deest Mein.: nescio cuius auctoris)

Ἐν τῷ φιλεῖν τὸν ἀδελφὸν μικροῦ τὸν περὶ Διοσκούρων μῦθον οὐ μῦθον ἤλεγξε.

---

1 *τίνι χαρ.* — (2) *ἢ τούτῳ* om. A | *χαρισόμενος* L ‖ 2 *μεγάλων* in *μειζόνων* corr. S[1] | *τυχεῖν* Xen. | *δ' αὖ* L ‖ 4 *τίνα δαὶ* M | *τίνα δὲ ἁπάντων κάλλιον προτιμᾶν ἢ τὸν ἀδ.* Xen. ‖ 6 *οὐδὲ* libri nisi quod *ὁ δὲ* ‖ 8 ecl. cum lemm. hab. L (post ecl. 24), om. S M A. de Stobaeana origine eclogae non dubitandum. at sedem eius genuinam inter ecl. 9 et 10 fuisse haud scio an inde colligi possit, quod reliquae ex libro *Περὶ φιλαδελφίας* excerptae cum ordine Plutarcheo congruunt tantum non omnes (ecl. 9—15) ‖ 9 *ὁ μὲν οὖν* Plut. | *δικαίως* L *ἀναγκαίως* Plut. | *προσεποιήσατο καθ' Ἡρόδοτον* (IX 37) Plut. ‖ 11 *ἐξ ἀγο⟨ρᾶς ἢ παλαιστ⟩ρας* erit fortasse qui Stobaeo dari malit ex Plut. ‖ 12 *συμφυὲς ἑκουσίως ἀποκόψας* Plut. ‖ 13 *προστίθεσθαι* libri Plut. | *καὶ* Plut., om. L ‖ 14 ecl. sine lemm. hab. L, om. S M A. cf. Plut. de frat. am. p. 483 C ‖ 16 *μῦθον οὐ μῦθον* etiam Clemens Quis dives salvetur 42, 1. monet Ed. Schwartz

Druck von J. B. Hirschfeld, Leipzig.